ΑΝΑΣΚΕΥΗ

ΤΗΣ ΤΕΛΕΥΤΑΙΟΝ ΔΙΕΡΜΗΝΕΥΘΕΙΣΗΣ ΔΙΑΘΗΚΗΣ.

ΑΠΟΔΕΙΞΙΣ

ΤΟΥ ΚΥΡΟΥΣ ΤΩΝ ΤΗΣ ΝΕΑΣ, ΚΑΙ ΠΑΛΑΙΑΣ
ΔΙΑΘΗΚΗΣ ΒΙΒΛΙΩΝ, ΚΑΙ ΤΗΣ ΕΝ ΑΥΤΟΙΣ
ΑΛΗΘΕΙΑΣ

ΥΠΕΡΑΣΠΙΣΙΣ.

Η

ΑΝΑΣΚΕΥΗ

ΤΗΣ ΤΟΥ ΒΟΛΤΕΡΟΥ ΒΙΒΛΟΥ,

τῆς καλουμένης

ΤΕΛΕΥΤΑΙΟΝ ΔΙΕΡΜΗΝΕΥΘΕΙΣΗΣ ΔΙΑΘΗΚΗΣ,

ΕΚ ΤΗΣ ΓΑΛΛΩΝ ΦΩΝΗΣ

ΜΕΤΑΦΡΑΣΘΕΙΣΑ,

ΗΠΕΡ ΠΡΟΣΕΤΕΘΗΣΑΝ ΚΑΙ ΤΙΝΕΣ

ΣΗΜΕΙΩΣΕΙΣ.



1794. Ἐν τῇ ΒΙΕΝΝΗ τῆς Ἀὐστρίας ἀψηδ.
ΠΑΡΑ ΤΟΙΣ ΑΥΤΑΔΕΛΦΟΙΣ ΜΑΡΚΙΟΥ ΠΟΥΛΙΟΥ.

Διηγήσαντό μοι Παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σε Κύριε. Πᾶσαι αἱ ἐντολαί σε ἀλήθεια. Ψαλ. 118. 85. 86.

6, ε



ΤΟΙΣ Α'ΝΑΓΙΝΩ'ΣΚΟΥΣΙΝ

Ο' ΤΗΣ ΒΙΒΛΟΥ ΜΕΤΑΦΡΑΣΤΗΣ ΕΥ'ΦΡΟΝΕΙΝΤΕ,

ΚΑΙ' ΕΥ'ΠΡΑ'ΤΤΕΙΝ.



Ο' Βολτέρ, ὁ δοκήσει μὲν τὸν τῆς φιλοσοφίας μαδύαν ἐμπεποιημένος, πράγματι δὲ ἀλήθεια αὐτόχθημα κωμῳδὸς, ὁ καὶ τὰ θεῖα, καθάπερ τὰ ἀνθρώπινα διακωμῳδῆσαι καταθρασυνθεὶς, τοῖς λοιποῖς αὐτῦ ὀλεθρίοις συγγράμμασι καὶ τὸ καλούμενον, τελευταῖον διερμηνευθεῖσα Διαθήκη, δι' ἧς αὐτὰ τὰ ἅγια τῆς πίστεως θέμεθλα ἀνασπάσαι ἐπεχείρησεν, οἷον κολοφῶνα

τῆς ἀπιστίας αὐτοῦ καὶ φαυλότητος προσθεὶς ἐξέδοτο. ἔστι δὲ τοῦτο ἀποσπασματίων τινῶν, καθ' ὧν κατεπαναστῆναι προμεμελέτηκε, τῆς παλαιᾶς καὶ νέας Διαθήκης μετάφρασις. ὁποίᾳ δὲ καταγελάστῳ λέξει, καὶ συνθήκῃ, καὶ φράσει, τὰ θεῖα σπουδάζων ἐξευτελίσαι, ἐπετηδεύσατο συῤῥάψαι ταύτην αὐτοῦ τὴν μετάφρασιν, τοῖς τὴν Γάλλων εἰδόσι φωνὴν κατιδεῖν πάνυ ῥᾴδιον. τῷ κατεπονειδίστῳ δ' αὐτοῦ ὕφει σημειώσεις ὑπέγραψεν, ὑπομνηματιζούσας τάχα τὰ τῆς θείας Γραφῆς νοήματα. αἱ δέ εἰσι ψεύδη, εἰρωνεῖαι, παραλογισμοὶ, χλεῦαι, λήρων ὁρμαθὸς, βλασφημίαι, ἀσέβειαι, τῶν θεοδωρήτων Γραφῶν ἐξουδενώσεις. διὸ δὴ πεποιθότως εἴποι ἄντις, ὅτι κατὰ ταῦτα οὐδείς ἐστι τῶν ὅσοι ποτὲ ὑπῆρξαν οἱ κατὰ τῆς εὐσεβείας λυττήσαντες, ὃν οὗτος οὐ κατόπιν ἀφεὶς ὑπερηκόντισέ τε καὶ ὑπερῆρε.

Τῷ πανωλεθρίῳ τούτῳ μηχανουργήματι, ὅπερ δολίως λαμπρῷ ἐσεμνυνεν ὀνόματι ὁ ἄπιστος, ἑρμηνείαν προσαγορεύσας τῆς Διαθήκης, προσθεὶς καὶ τὸ, τελευταῖον, ὡς τάχα πρότερον τῆς θείας Γραφῆς μηδέποτε ὑπ' ἄλλου τινὸς ἀναπτύξεως καταλλήλου τυχούσης, ὁ τῆς δε τῆς βίβλου πατὴρ, δι' αὐτῆς πολυμαθῶς καὶ γενναίως ἀπαντήσας, ἔνδοξον ᾖρε τῆς νίκης τὸ τρόπαιον. Γάλλος δὲ ὁ ἀνὴρ τὸ γένος, Ῥοθομάγος τὴν πατρίδα, Κλή-

μης τὄνομα, τῶν τῆς Ῥώμης δογμάτων θρησκευτὴς, καὶ κανονικὸς τῆς ἐν τῇ πατρίδι αὐτὸ Ἐκκλησίας. οἵῳ δὲ τὴν παιδείαν, ἡ βίβλος αὕτη ἱκανῶς διδάσκει, ποικίλῃ πολυμαθείᾳ τὸ ἀλαζόνος ἐξελέγχουσα τὴν τῆς Ἑβραϊκῆς, καὶ Ἑλληνικῆς, καὶ Λατινίδος Διαλέκτου ἄγνοιαν, καίπερ ὡς ἓν εἰδότος αὐτὰς, προπετῶς ταύταις χρωμένου. ὡσαύτως καὶ τὸ ἐν ταῖς ὑπ' αὐτὸ ἀνακαλυμέναις ἱστορικαῖς καὶ φιλολογικαῖς μαρτυρίαις ἀναιδὲς ψεῦδος, καὶ τὰς τῶν μεμπτῶν τῆς Γραφῆς μεταφράσεων χρήσεις, καὶ τὰς δολίους προθαφαιρέσεις καὶ ἀλλοιώσεις καὶ αὐτῶν τῶν τῆς Γραφῆς ῥήσεων, τῶν εἰς ἀνασκευὴν αὐτῆς ὑπ' αὐτὸ προβαλλομένων. ἐμὴν ἀλλὰ καὶ τὴν ὑπόκρισιν, καὶ τὰς παραλογίας, καὶ τὰς ἀντιφάσεις, κ]. καὶ ταῦτα ἕτω σαφῶς καὶ ἐξηκριβωμένως, ὥστε τὸς ἀναγινώσκοντας ἐναργῶς καθορᾶν, ὅτι τὸν φιλόσοφον, καὶ τὸν τῆς ἀληθείας συνήγορον ὁ δύσηνος ὅτος ἐπαγγελλόμενος, ὑποκριτὴς ἀναδείκνυται, καὶ προφανὴς τὸ ψεύδους διδάσκαλος, μηδὲν ἕτερον σκοπῶν, εἰμὴ τὸ, παντὶ τρόπῳ τὴν τῆς πίστεως ἀλήθειαν καταργῆσαι, καὶ τὸς αὐτῷ πειθομένους εἰς τὸ τῆς ἀσεβείας καταποντίσαι βάραθρον.

Ἀλλὰ γὰρ διατὶ τοιοῦτος ὢν, καὶ τοιαῦτα διδάσκων, τοσούτους ἔσχε τοὺς ὀπαδοὺς καὶ ἐπαινέτας; Διότι Γεωμετρικάς τινες ζητοῦντες ἐν τοῖς περὶ τὴν πίστιν ἀποδείξεις,

καὶ μὴ εὑρίσκοντες. ἡ γὰρ Γεωμετρία ἡ πίστις· ψυχρῶς περὶ αὐτῆς διάκεινται, ἑπομένως δὲ τῷ τῆς ἀπιστίας κηρύγματι εὐχερῶς ἤκουσι. σκεφθῆναι μὴ θέλοντες, ὅτι καὶ αὐτὴ ἡ Γεωμετρία πολλὰ ἔχει, οἷον τὸ ἀμερὲς σημεῖον, τὸ πλάτος καὶ βάθος ἄμοιρον μῆκος, εἴτουν τὴν Γραμμὴν, τὸ ἀβαθὲς τῆς ἐπιφανείας, τὸ κυρτὸν ἅμα καὶ κοῖλον τῆς καμπύλης, καὶ ἄλλα, ἅπερ κἂν ἀναπόδεικτα καὶ ἀκατάληπτα, δεκτὰ ὅμως εἰσὶ καὶ πιστευτὰ, καὶ μυρίας χορηγοῦντα θεωρητικὰς καὶ πρακτικὰς ἀληθείας.

Νικᾷ δὲ ῥᾳδίως τοὺς πολλοὺς ὁ νόμος τῆς σαρκὸς, ὁ τῷ νόμῳ τοῦ νοὸς ἀντιστρατευόμενος. ὀχληρὸς τῇ σαρκὶ ὁ χαλινὸς, ὁ διαπαντὸς ἀναχαιτίζειν σπεύδων ἀπὸ τῆς τῶν σαρκικῶν ἐπιθυμιῶν ὁρμῆς. τοῦτον ὁ μὲν νόμος τοῦ νοὸς, εἴτουν ὁ νόμος τῆς πίστεως, ἐν ἡμῖν ἐντίθησιν, ἡ δὲ ἀπιστία συντρίβει. σφοδρὰν ἐγείρει ἡ πίστις τῆς συνειδήσεως τὴν μάγισαν μετὰ τὴν ἁμαρτίαν, ταύτην δὲ κατὰ κράτος ἐκνευροῖ ἡ ἀπιστία. φάγωμεν, καὶ πίωμεν, ἄυριον γὰρ ἀποθνήσκομεν. γλυκὺ τοῦτο τῇ σαρκὶ τὸ δέλεαρ. ὀρέγεται γὰρ ἡ σὰρξ τὸν χαλινὸν τοῦτον ἀποσεῖσαι, καὶ τῆς τοιαύτης ἀπαλλαγῆναι μάσιγος. ἐπιῤῥέπὴς γὰρ πᾶς ἄνθρωπος ἐπὶ τὰ φαῦλα μετὰ τὴν τοῦ πρώτου παράπτωσιν. ἐντεῦθεν οἱ ἐπκινέται, ἐντεῦθεν οἱ

ὀπαδοὶ τῦ τῆς ἀπιςίας διδασκάλυ, κἂν ψεύδηται, κἂν παραπαίῃ, κἂν μηδὲν ὀρθὸν λέγῃ.

ς. θ΄

Πρὸς τύτοις δὲ ἡ ἄλλα εἰσὶ τῆς ἐλεεινῆς ταύτης πτώσεως τα αἴτια. τύτων πρῶτον ἡ προκατάληψις, ἡ κατὰ πάντων, ἐξόχως δὲ κατὰ τῶν ἀπαιδεύτων ἢ ἀφυῶν ἰσχύυσα. προκατέλαβε γὰρ τὰς πολλὰς ἡ ψευδοϋπόληψις τῆς τῦ Βολτέρυ σοφίας, ἢ τῆς εἰς τὸ λαλεῖν τὴν ἀλήθειαν ἐλευθερίας. ἐντεῦθεν οἵτε μηδέποτε τὸν νῦν ταῖς θείαις Γραφαῖς ἐπισήσαντες, ἢ οἱ μηδόλως εἰδότες, ἢ ἐπιπολαίως διελθόντες, ἢ ἄκροις γευσάμενοι χείλεσι τῶν εἰς αὐτὰς λογάδων ὑπομνημάτων, ἢ οἱ ἀγνοῦντες τὰς ἀληθεῖς ἀρχαίας ἱςορίας, ἢ τὰ παλαιὰ ἢ νέα γεωγραφικὰ μαθήματα, ἔτι δὲ οἱ ἄμοιροι εὐσαθῦς νοὸς, ἢ εὐφυΐας διασέλλειν δυναμένης τὸ ἀμφίβολον ἀπὸ τῦ ἀναμφιβόλυ, ἢ τὸ εἰκαζόμενον ἀπὸ τῦ ἀποδεδειγμένυ, ἢ τὸ πειθανὸν ἀπο τῦ βεβαιυ, ἢ τὰς γυμνὰς ὑποθέσεις, καὶ ἀναποδείκτυς προτάσεις, καὶ γνώμας, ἀπὸ τῶν τῷ ὄντι ὑπαρχόντων πραγμάτων, καὶ ἀποδεδειγμένων καὶ τὴν ἀπάτην καὶ τὸ σόφισμα ἀπὸ τῆς ἀληθείας, καὶ τῆς ὀρθῆς καὶ ἐντελῦς ἀποδείξεως. τῇ ἐν τοῖς τῦ ἀπίςυ συγγράμματι δοκύσῃ πολυμαθείᾳ ἐνσυγχάνοντες, καὶ τὰ ἐξαίσια αὐτῆς ἐλαττώματα διιδεῖν μὴ δυνάμενοι, κυηθόμενοί τε ὑπὸ τῦ ἐν αὐτῇ κωμικῦ ὕφυς, καὶ

ὑπὸ τῆς προκαταλήψεως ὑποσειρόμενοι, τῆς πίστεως κατασεμνιῶντες, ἐπαινέται καὶ ὀπαδοὶ τοῦ τῆς ἀσεβείας κήρυκος γίνονται.

Β'. Η' ὀξύτης τοῦ τῆς φιλοδοξίας βέλους, ὅπερ αὐτός τε καὶ οἱ ὀπαδοὶ αὐτοῦ ταῖς ἐπιτεθείσαις τοῖς πιστοῖς καὶ ἀπίστοις ὀνομασίαις σφοδρῶς ἐξέκαυσαν. τοὺς μὲν γὰρ πιστοὺς, βλάκας καὶ μαμμακύθους, τοὺς δὲ ἀπίστους, φιλοσόφους, καὶ ἰσχυρὰ πνεύματα προσαγορεύουσι. τούτῳ ἓν τῷ πεπυρωμένῳ βέλει οἱ δοξομανεῖς καιρίως κατατιτρωσκόμενοι, ἐλεεινὸν γίνονται τῆς ἀπιστίας θήραμα, οὐκ ἀφυεῖς καὶ ἀβέλτεροι, ἀλλ' ὑψηλόνοες καὶ Φιλόσοφοι ὑπὸ τῶν ἀνθρώπων καλεῖσθαι θέλοντες, καὶ ἀγαπῶντες τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ.

Γ'. Η' δολιότης τῆς μεθόδου τῶν συγγραμμάτων αὐτοῦ. εἰδὼς γὰρ, ὅτι τὸ μὲν οἰκοδομεῖν δυσχερὲς, τὸ δὲ καταργεῖν ῥᾴδιον, ὠδὲ τὸ τῆς Πολυθεΐας ὡς ὁ Πορφύριος, καὶ ὁ Ἰουλιανὸς, ὠδὲ τὸ τῆς Α'θεΐας ὡς ὁ Σπινόζας, ὠδὲ τὸ τῆς Τύχης καὶ τοῦ Αὐτομάτου ὥσπερ οἱ Ἐπικούρειοι, ὠδὲ τὸ τῆς ἀργῆς, ἀπρονοήτου, καὶ ἀνεπαιθήτου Μονοθεΐας, ὥς τινες τῶν νεωτέρων, ὠδὲ ἄλλοτι τοιοῦτον οἰκοδομῆσαι προείλετο σύστημα. ἔγνω γὰρ ὡς ἔοικεν, ὅτι ταῦτα καὶ τὰ τοιαῦτα διὰ τὰς τῇ συσάσει

αὐτῶν ὑπουργούσας ἀναποδείκτους, καὶ πάντῃ ἀπειθάνους, καὶ τῷ ὀρθῷ λόγῳ ἀντιφερομένας ὑποθέσεις αὐτεξέλεγκτά εἰσι καὶ αὐτοκατάκριτα, αὐτῆς τῆς συστάσεως αὐτῶν προδήλου καταργήσεως γενομένης. τῷ τῆς οἰκοδομῆς οὖν ἔργῳ τὸ χαῖρε εἰπὼν, το οἰκοδομηθεν ἅγιον καὶ ἀκράδαντον τῆς Πίστεως σύστημα πάσῃ ῥαδιουργίᾳ τε καὶ πονηρίᾳ καταργῆσαι ἀναιδῶς τε καὶ κακοβούλως ἐφώρμησε.

Δ΄. Οἱ τρόποι, δι' ὧν τὰ τῆς Πίστεως ἀνασκευάζει. ἀναμασσᾶται γὰρ τὰ παλαια καὶ ἕωλα, τὰ ὑπὸ Ὠριγένους, Εὐσεβίου, Ἐπιφανίου, Κυρίλλου, Θεοδωρίτου, καὶ ἄλλων καταβληθέντα καὶ ἐξουδενωθέντα, ὥσπερ ἂν εἰ ἦσαν καινά τινα καὶ πρωτοφανῆ καὶ νεόδρεπτα. ἀνυποστόλως ἀφαιρεῖ καὶ προστίθησιν οὐ μόνον ταῖς τῶν συγγραφέων, ἀλλὰ καὶ αὐταῖς ταῖς τῆς θείας Γραφῆς ῥήσεσιν, ὅσα τῷ σκοπῷ αὐτοῦ συντείνει. ἀεὶ δὲ τῷ τῶν Γραφῶν γράμματι προσκεκολλημένος, ὥσπερ μὴ εἰδὼς, ὅτι τὸ γράμμα ἀποκτείνει, καὶ μὴ ἀκηκοὼς τὸ, ἅτινά ἐστιν ἀλληγορούμενα, καὶ τὸ τροποφορήσει σε Κύριος ὁ Θεός σου, καίπερ τῶν ἱερῶν ῥημάτων, περὶ ὧν λαλεῖ, ταῦτα λαμπρᾷ βοώντων τῇ φωνῇ, ὥσπερ κτῆνος, κάτω διαπαντὸς νενευκὼς. καὶ τὸν νοῦν μηδέποτε ὑπεράνω τοῦ γράμματος ἆραι θέλων, ἑαυτόν τε ἀποκτείνει, καὶ τοὺς ἄλλους ἀποκτεῖναι σπουδάζει. παραλογίζεται ἀνυποστόλως, καὶ καταψεύδε-

6.16

ται ἀνερυθριάςως, ϗ συκοφαντεῖ ἐπιδήλως, περὶ ἀληθείας, καὶ σωφροσύνης, ϗ κανονικῆς διαλέξεως, μηδεμίαν ἀναλαμβάνων φροντίδα. οἰκοδομῶν καταργεῖ, καταργῶν οἰκοδομεῖ. παίζει, χλευάζει, αἰσχρολογεῖ, κατειρωνεύεται, ὑποκρινεται, χαριεντίζεται, κωμῳδεῖ, ἄλλος Λȣκιανὸς τȣ̃ νῦν αἰῶνος καὶ ὢν ϗ δεικνύμενος. ταῦτα δὲ τοῖς κȣ́φοις ϗ ἐυηθέσιν ȣ̓ μικρὸν δέλεαρ. οἵτινες σὺν τȣ́τῳ ὑπερήδιςα ϗ τῆς ἀσεβείας συνεκροφῶσι τὸ ἄγκιςρον.

Δείλαιοι, οἱ μὴ συνιέντες, ὅτι ὅπερ ὁ ἄπιςος καταργῆσαι ἐπεχείρησε σύςημα, ἀκατάργητον πέφυκε. Θεȣ̃ γὰρ οἰκοδομὴ ἡ Πίςις, τῷ θείῳ αὐτȣ̃ λόγῳ συςαθεῖσα, ϗ πνεύματι Προφητείας, ϗ θαύμασιν ἐξαισίοις, ϗ τιμίῳ αἵματι τȣ̃ μονογενȣ̃ς Υἱȣ̃ αὐτȣ̃ ϗ ἱδρῶσι, ϗ πόνοις, ϗ θανάτῳ Ἀποςόλων, Μαρτύρων, Διδασκάλων, ϗ μαρτυρίᾳ Οἰκȣμενικῇ ἀπ' ἀρχῆς ἄχρι τῆς σήμερον διαρκȣ́σῃ, ἐπιςηριχθεῖσά τε ϗ προσεπικυρωθεῖσα. τὶς γὰρ ἄν ποτε πεισθείη ἀνθρώπȣ ἔργον εἶναι τὴν τȣ̃ Εὐαγγελικȣ κηρύγματος ἔκτασιν, ϗ καρποφορίαν; δώδεκα πένητες, ἄοπλοι, ἀγράμματοι, περιφρονȣ́μενοι διωκόμενοι, ῥαβδιζόμενοι, λιθαζόμενοι, δεσμȣ́μενοι, θανατȣ́μενοι, κηρύττȣσι Θεὸν εἶναι τὸν ἐπὶ Ποντίȣ Πιλάτȣ ὡς κακȣ̃ργον ἐν μέσῳ δύω λῃςῶν ςαυρωθέντα. ὑπὲρ αὐ-

τοῦ δὲ οὐ μόνον πλούτου καὶ τρυφῆς, καὶ πάσης σωματικῆς καὶ γηΐνης προσπαθείας καταφρονητὰς δεῖ γενέσθαι, ἀλλὰ καὶ ἑτοίμους εἶναι διωγμοὺς, καὶ παντοίας βασάνους, καὶ θάνατον ὑπομεῖναι, πείθονται τούτοις, καὶ τοῦτο ἐνστερνίζονται τὸ κήρυγμα σοφοὶ, ἡγεμόνες, ἄρχοντες, πλούσιοι, ἔνδοξοι. τρυφηλοὶ, πλῆθος ἀναρίθμητον διαφόρων γενῶν, φυλῶν, γλωσσῶν, ὥστε ἐν βραχεῖ καιροῦ διαστήματι ἐν Εὐρώπῃ, καὶ Ἀσίᾳ, καὶ Ἀφρικῇ, Θεὸν τὸν Ἰησοῦν Χριστὸν κηρύττεσθαι, καὶ ὑπὲρ τῆς εἰς αὐτὸν πίστεως πολλοὺς ἐκ παντὸς γένους, πλούτου, δόξης, τρυφῆς, νεότητος, κάλλους, συγγενείας, πάντων τῶν ἐν κόσμῳ, καὶ αὐτῆς τῆς ζωῆς εὐψύχως τε καὶ γενναίως καταφρονεῖν. διὸ καὶ ὁ Παῦλος εὐθαρσῶς τοῖς Ῥωμαίοις ἔγραφε τὸ, ἡ Πίστις ἡμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. ἐξεγείρονται κατ' αὐτῆς Βασιλεῖς, Ἡγεμόνες Δυνάσται, Τύραννοι, δυνάμει πολλῇ, βίᾳ κραταιᾷ, ἀπείλαῖς ἀπηνέσι, θωπείαις ἀπατηλαῖς, ὀξείαις βασάνοις, βιαίοις θανάτοις ἐξαλεῖψαι αὐτὴν ἐπειγόμενοι. ἐξεγείρονται κατ' αὐτῆς οἱ τὰ Ἰουδαίων φρονοῦντες, οἱ τῆς εἰδώλοις λατρεύοντες, καὶ αὐτῶν τῶν Υἱῶν αὐτοῖς ἔνιοι, σοφίσμασι, προσδιαλεξεσι, συγγράμμασι, τρόποις παντοίοις ἀνασπάσαι αὐτὴν βουλόμενοι. ἡ δὲ πολεμουμένη αὔξει, καὶ διωκομένη λαμπρυνεται, καὶ καταπονουμένη ἀ-

νίσαται, καὶ ἰσχυοῦται, καὶ προσεπισηρίζεται. μετὰ ταῦτα τὶς οὐχ ὁρᾷ, ὅτι ἡ Πίστις οὐκ ἀνθρωπίνης, ἀλλὰ θείας χειρός ἐστιν ἔργον; ἢ τὶς μετὰ ταῦτα καταργητὴν εἶναι αὐτὴν ἡγήσαιτο; καὶ ὅμως χθιζὸν καταπτύσου ὑπερηφανείας καὶ δοξομανίας ἀνδράποδον, κωμῳδίᾳ καὶ ψεύδει καταργῆσαι αὐτὴν ἐλπίσαν, χεῖρας κατ' αὐτῆς ἐξέτεινεν ἐπιβάλλως.

Δείλαιοι, φημὶ, οἱ μὴ εἰδότες, ὅτι ἡ Πίστις ὐ μόνον σωτηρίας τῆς αἰωνίου πρόξενος, ἀλλὰ καὶ παραμυθίας διηνεκὴς χορηγὸς ἀναφαίρετος. Ὁ γὰρ πιστὸς, κἂν πάντῃ ἄπορος, ἀδικούμενος ἔχει ἐκδικητὴν ἐλπίδα, πάσχων ὁποιωδήποτε πάθει, ἔχει λυτρωτὴν προσδοκίαν, ἔχει καὶ αὐτὸν τὸν ἐσχάτου καὶ φοβερωτάτου τῶν κακῶν, φημὶ δὴ τὸν θανάτου, δραστικώτατον φάρμακον τῆς μελλούσης μακαρίας ζωῆς τὴν πεποίθησιν. πέποιθε γὰρ, ὅτι οὐκ ἀποθνήσκει. ἀλλὰ μεταβαίνει ἐκ ζωῆς εἰς ζωὴν, ἐκ τῆς χείρονος εἰς τὴν ἀμείνονα. μηδὲ δὴ κατανοῆσαι δυνάμενοι. ὅτι ἡ Πίστις οὐ μόνον ἀναγκαία τῇ τῆς ψυχῆς σωτηρίᾳ, ἀλλὰ καὶ τῇ εὐσαθείᾳ καὶ εἰρηναίᾳ & εὐτυχεῖ τῆς τῶν ἀνθρώπων ἡμιγύρεως κατασάσει. οἱ γὰρ εἰς Θεὸν μὴ πιστεύοντες παντεπόπτην, καὶ τῶν κακῶν διεκδικητὴν, κρυφίως ἐπὶ φόνους, καὶ κλοπὰς, & μοιχείας, καὶ ἐπὶ πᾶν εἶδος ἀδικίας τὰς χεῖρας ἐκτείνουσι, κἂν εἴληχεν

οἱ ἄπιστοι λέγωσι, τὸν φόβον τῶν πολιτικῶν νόμων προτείνοντες, ὡς ἰσχύοντα τὰς τῶν ἁμαρτημάτων ἀπείργειν πράξεις· ἀπείργει μὲν γὰρ ἔνιοτε τὰ ἀναφανδὸν, ἀμὴν δὲ τὰ κρυφῇ γενέσθαι δυνάμενα ἀδικήματα. εἴπερ δὲ ἀκμὴν ἐν τοῖς ζῶσιν ἐτύγχανεν ὁ ἀτάθαλος ἔτος, ἑώρακεν ἂν ὁποῖον ἐν τῇ παναθλίᾳ αὐτοῦ πατρίδι ἀπέδωκαν τὸν καρπὸν τὰ τῆς ἀσεβείας αὐτοῦ σπέρματα.

Ἀλλὰ γὰρ, φεῦ, καὶ ἐν αὐτῇ, ὡς ἠκούσαμεν, τῇ Ἑλλάδι ἀναφαίνεσθαι ἤρξαντο τῶν φθόρων σπερμάτων τὰ ἰοβόλα βλαστήματα. διὸ ἡμεῖς οἱ ἀπ' αὐτῆς πόρρω μὲν τὸ σῶμα, οὐχὶ δὲ κατὰ τὴν καρδίαν ἀφεστηκότες, κἂν πεποίθαμεν, ὅτι ὁ τῶν ἐκεῖ ἁγίων ποιμένων καὶ διδασκάλων ζῆλος παντὶ τρόπῳ κατὰ τοῦ νεοφανοῦς τούτου τῆς ἀσεβείας Βασιλίσκου γενναίως ἀντιστρατεύεται. καὶ τὸ ἐξ ἡμῶν ὅμως μὴ συνεισενεγκεῖν, καθ' ὅσον οἷόν τε ἐστάμυναι αὐτῇ κινδυνευούσῃ μηδόλως προσανεσχηκότες, τήν δε τὴν βίβλον τὴν τῆς Ἑλλάδος λαλοῦσαν φωνὴν παρασκευάσαι τε καθ' ἁνακοινώσασθαι ἔγνωμεν. τοῖς μὲν, Πανοπλίας, τοῖς δὲ, ἐπισκοφῆς, τοῖς δὲ, σημείγματος, πᾶσι δὲ σωτηρίας ὁδηγὸν μέλλειν ἔσεσθαι ἐλπίσαντες.

Τὰ ὄν ἐν αὐτῇ ἀναπτύξεως, ἢ ἀναπληρώσεως, ἢ ἐπιδιορθώσεως χρῄζειν δόξαντα, ταῖς φιλοπονηθείσαις ἡμῖν σημειώσεσι, ταῖς ἐν τῷ τέλει τῆς βίβλου κειμέναις

τὰ (ὑπὸ τὸ ὕφος σημειώματα τῦ συγγραφέως τῆς βίβλυ εἰσὶ πόνος) ἀναπεπληρώκαμεν. εἰς μόνον δὲ τὸ τῦ λόγυ σαφὲς ϗ εὐκατάληπτον ἀφορῶντες, πεζὸν, ὅσον οἱόντε, ἐν τῇ μεταφράσει μετήλθομεν χαρακτῆρα, εὐκαταγνόητον, κατάγε τὸ ἡμῖν δοκῦν, ϗὴ αὐτοῖς τοῖς πρωτοπείροις, ϗ μικρόντι τῇ Ἑλληνίδι ἐσοιχειωμένοις, τῇ χυδαίᾳ ϗ ἀγοραίᾳ φράσει, πολλῶν ἕνεκα τὴν εἰς τὴν βίβλον εἴσοδον ἀποκλείσαντες.

Σκοπὸς δὲ τῦ ἔργυ τύτυ ἄλλος ὑδείς. ἀλήθειαν λέγω, ϗ ὐ ψεύδομαι, εἰμὴ ἡ τῦ τοσύτυ ϗὴ τοιύτυ κακῦ σάσις ϗὴ ἐξολόθρευσις. ἐπεὶ δὲ τῦτο ὐ λόγυ δυνάμεως. ἀλλὰ φωτισμῦ χάριτος κατόρθωμα, αὐτὸν τὸν Πατέρα τῶν οἰκτιρμῶν, ϗ τῶν φώτων πεύτανιν, τῆς ψυχῆς ϗ τῦ σώματος τὸ γόνυ κλίνας, ἐπικαλῦμαι ὅπως ἂν ἐπὶ τὸ γένος τῶν ἀνθρώπων, τὸ τῆς πλανης ϗ καταδίκης ἀμώμῳ αἵματι, ϗ σαυρῷ θανάτῳ τῦ μονογενῦς Υἱῦ αὐτῦ Κυρίυ Ἰησῦ Χριστῦ λυτρωθὲν, σπλαγχνισθεὶς, φωτιστικὴν ἄνωθεν τοῖς τὴν βίβλον ἀναγινώσκυσι κατάπεμψη χάριν, ἐφέλκυσαν αὐτὸς ϗ ἐπισπείζυσαν ἐπὶ τὴν σωτήριον τῆς εὐαγγελικῆς ἀληθείας ἐπίγνωσιν,

5. 18'



ΠΡΟΟΙΜΙΟΝ ΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ.

Ἐν τῷ κόλπῳ ὄντες τῆς ἐξ αὐτῶν τῶν ἑαυτῆς ἀπαρχῶν Χριστιανικῆς Βασιλείας, ὁρῶμεν ἡμᾶς καὶ μετὰ παρέλθουσιν ἑπτακαίδεκα αἰώνων ὀφείλοντας ἔτι γράφειν πρὸς ὑπεράπισιν τῶν ἱερῶν ἡμῶν βιβλίων. ὐδὲ αἱ λαμπραὶ τῆς ἁγιότητος αὐτῶν ἀποδείξεις, αἱ ἐν τοσούτοις ἐκτεθεῖσαι συγγράμμασιν, ὐδὲ τῶν ποιμένων ὁ ζῆλος, ὐδὲ τῶν δικαστηρίων ἡ προσοχὴ κατίσχυσε συσεῖλαι τὴν προπέτειαν τοῦ συγγραφέως, τοῦ ἀπατᾶντε καὶ βλασφημεῖν ἐθιζόντος. ὅτος, τουτέστιν ὁ τῆς περὶ τὴν ἱστορίαν φιλοσοφίας ποιητὴς, μὴ ἀπαντήσας τοῖς συγγράμμασι, τοῖς διὰ τῆς ἀνασκοπῆς τῶν ἑαυτοῦ σφαλμάτων ἀνακαλύψασι μὲν τὸ μὴ ἀξιόπιστον αὐτοῦ, ἀγαγοῦσι δὲ ἐπὶ τὸ μεσημβρινὸν φῶς τὴν τούτου ἀμάθειαν, ὐδόλως ἠχύνθη μετὰ δεκαετῆ σιωπὴν ἀνακαινίσαι τὰς παραδοξολογίας καὶ τὸν Πυῤῥωνισμὸν αὐτοῦ, καὶ ἐπισωρεῦσαι ἐπ' ἄλλο τετραπῶδες αὐτοῦ πόνημα τὰ ἄθλια λείψανα τῶν ἤδη πεκονιαμένων αὐτοῦ συγγραμμάτων.

Τῦ ἀπίςυ τύτυ, τῦ νῦν ὑπὸ τὴν κραταιὰν χεῖρα τῦ Θεῦ ὄν-
τος, τὴν κόνιν ἐγὼ ὐκ ἐσάλευον, ἐὰν ἡ μὲν δικαία τῶν νόμων αὐςη-
ρότης ἔῤῥιπτε τὰς ἀσεβείας αὐτῦ εἰς σκότ☉ βαθύτατον, αὐτὸς δὲ
ὐκ εἶχε διαπαντὸς συμφατριαςὰς, ὐδὲ ἐποίει ἀκμὴν προσηλύτυς. ἀλλ
ἐπειδὴ πολλοί εἰσιν ἐν τοῖς καθ' ἡμᾶς διεφθαρμένοις καιροῖς οἱ περὶ
τὴν πίςιν ἀκαταςῦντες ᾗ ὑπὸ τῆς προλήψεως αὐτῶν πειθόμενοι, ὅτι
δύνανται κατανοεῖν πάντα τὰ ἀναγινωσκόμενα, ☾ ὑπὸ ἐπικινδύνυ δέ
τιν☉ περιεργείας ἀναγκαζόμενοι ἐρευνᾶν πᾶν τὸ δοκῦν ἐξαίρετον,
κἂν διεφθαρμένον ὑπάρχῃ, ὧν τὴν ἐπιθυμίαν τῆς ἀνυποταξίας κνή-
θει πᾶν τολμηρὸν σύγγραμμα· ᾗ ὁ μὲν χαριεντισμὸς τόπον ἔχει
παρ' αὐτοῖς ἀποδείξεως, ἡ δὲ χλεύη ἀποφαντικῶς βεβαιυμένη, ὡς τε-
λεία ἐκλαμβάνεται ἀπόδειξις. διὰ τῦτο ἀποδεῖξαι αὐτοῖς ἔγνων, ὅ-
τι τὰ μὲν κατὰ τῆς εὐσεβείας βιβλία, ἅπερ ζητῦσι τε ᾗ καθυ-
βρίζυσι, ᾗ ἐν οἷς καυχῶνται, ὐδεμίαν ἔχυσι σεμνότητα, ὐδ' ἐπιςή-
μην, ὐδ' εὐθύτητα, ὐδ' ἀξιοπίςιαν, ὐδὲ αὐτὸ τὸ καθῆκον, ἀντιφέ-
ρονται δὲ ᾗ ταῖς κοιναῖς ἐννοίαις, κἂν ὁ ἔξω χρωματισμὸς αὐτῶν ἀ-
πατᾷ. τὰ δὲ συςήματα, ἅπερ θέλυσι συςῆσαι, δεκτά εἰσι μόνοις ἀ-
παιδεύτοις ☾ ἀσυλλογίςοις ἀνθρώποις.

Ἰδὺ δὲ πᾶ ἀφορᾷ πᾶσα ἡ καθασκευὴ τῆς περὶ τὴν ἱςορίαν φιλο-
σοφίας, εἰς τὸ ἀμφιβάλλειν παραλόγως περὶ πάντων τῶν τὴν εὐσέβει-
αν ςηριζόντων ὑπομνημάτων, ᾗ εἰς τὸ δέχεσθαι μετὰ ἀναισθήτυ εὐ-
πιςίας ἀποσασμάτιά τινα σκοτεινὰ, ἢ διηγήματα ἀπόκρυφα, τῇ ἀ-
πιςίᾳ συνήγορα. τῦτο δὲ, ὡς νομίζω, ἄλλοθί πυ ἀπέδειξα. εἰς τῦ-
το αὐτὸ δὲ καταντᾷ ᾗ ἡ ἀθλία ἐπιτομὴ τῆς λεγομένης τελευταίου
διερμηνευθείσης Διαθήκης, ὅπερ ᾗ ψηλαφητὸν κατασῆσαι ἐλπίζω.
ἐπειδὴ δὲ ὁ ποιητὴς τῶν δύω τύτων συγγραμμάτων, ἐπαναλαμβάνα

τὰ αὐτὰ ἐν τῷ δευτέρῳ τούτων, ἀναγκάζομαι ἐν πολλοῖς προτείνειν τὰ ὑπ' ἐμοῦ προλαβὸν ἐκτεθέντα, πλατύτερον καὶ δι' ἰσχυροτέρας μεθόδου αὐτὰ ἀναπτύσσων. εἰς ἀπόδειξιν δὲ τοῦ κύρους τῶν τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης βιβλίων σκοπὸν ἔχω μετελθεῖν τὰς κοινοτέρας τε καὶ βεβαιοτέρας εἰδήσεις. ἀποδείξω δὲ, ὅτι ὁ μετὰ τὴν ἀκριβῆ τούτων ἐξέτασιν διηγάζων περὶ τοῦ Κύρους τῶν εἰρημένων βιβλίων, ἢ περὶ τῆς ἀληθείας τῶν ἐν αὐτοῖς περιεχομένων, οὐχ ἧττον ἀσυλλογίστως ἐστὶ τοῦ ἀμφιβάλλοντος περὶ τοῦ Κύρους τῶν συγγραμμάτων τοῦ προλαβόντος αἰῶνος, καὶ περὶ τῆς ἀληθείας τῶν ὑπ' αὐτῶν μνημονευομένων ἀξιολόγων καὶ κοινῶν πραγμάτων. διότι ἡ ἀδιάκοπος τῶν μαρτυρούντων σειρὰ, ἡ ἀναβαινούσα ἕως αὐτῆς τῆς ἀρχῆς οὐ μόνον τοῦ χριστιανισμοῦ, ἀλλὰ καὶ αὐτοῦ τοῦ Ἰουδαϊσμοῦ, ἐγγὺς ἄγει ἡμῶν, καὶ οἱονεί πως ταυτοποιεῖ τοὺς ἀφεστηκότας ἐκείνους καιροὺς τοῖς καθ' ἡμᾶς.

Διὰ τοῦτο ἀντὶ τοῦ μετενεγκεῖν, ὡς φίλον τοῖς ἀπίστοις, τὴν τῶν ἀναγινωσκόντων φαντασίαν εἰς τοὺς πρώτους αἰῶνας πρὸς τὸ παρασῆσαι αὐτοῖς συζήματα κατ' αἵρεσιν πεπλασμένα, χρονολογίαν, ἱστορίαν, θρησκείαν, νομοθεσίαν, τεθεμελιωμένα ἐν τῷ ἀέρι, καὶ παραδοξολογιῶν γέμοντα, ἄρξομαι ἀπὸ τοῦ καθ' ἡμᾶς αἰῶνος, ἀπὸ τῶν πραγμάτων τῶν ὁρωμένων καὶ δοκιμαζομένων, ὅπως ἂν ὑψωθῶ βαθμηδὸν ἄχρι τῶν καιρῶν τῶν τοσοῦτον ἀφ' ἡμῶν ἀφεστηκότων. ὁρώντων δὲ ἡμῶν τοὺς ἐχάτους αἰῶνας γινομένους βάσιν τῶν πρώτων, καὶ πάντας τοὺς μεταξὺ συνδέοντας διὰ τῆς συμφωνίας αὐτῶν τὰ δύω ἄκρα. καὶ ἀναβαινόντων ἔπειτα ἄχρι τῶν Ἀποστόλων, καὶ Προφητῶν, καὶ αὐτοῦ τοῦ Μωϋσέως, τῇ μὲν φαντασίᾳ ἀδεμίαν προξενεῖ φρίκην τὸ τοσοῦτον μακρὸν διάστημα, τὴν δὲ προσοχὴν ἧττον ἀποσπᾷ τὸ διάστημα, καὶ τῶν ἀντικειμένων τὸ πλῆθος, ὁ δὲ νοῦς προσηλωθεὶς εἰς ἕνα καὶ μόνον σκο-

πὸν, εἰς ὃν τὸ πᾶν καταντᾷ, ἐγκρατὴς γίνεται τῶν χέσεων, δι' ὧν τὸ ὅλον ὁμοῦ κατανοῆσαι δύναται. διὸ ἀντὶ τοῦ διαλαβεῖν πρῶτον περὶ τῶν τῆς Παλαιᾶς Διαθήκης βιβλίων, ἔγνων ἄρξασθαι ἀπὸ τῶν τῆς Νέας, καὶ διελθεῖν τὴν ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων καιρῶν παράδοσιν. ἡ ὁδὸς αὕτη κἂν ὀλίγου θάρσους ἐπιδεικτικὴ, ὅμως ἀσφαλεστέρα ἐστὶ, καὶ ὀλιγίαν ἀπάτην προξενεῖ, καθότι ἀρχομένη ἀπὸ τῶν γνωριμωτέρων ἀληθειῶν, προχωρεῖ εἰς τὰς ἧττον γνωσάς. οὐδὲν δὲ ἕτερον τῶν ἐν τοῖς συγγράμμασι τῶν ἀντιπάλων ἡμῶν ἀνασκευάσας, εἰ μὴ τὸ τοῖς ἱεροῖς ἡμῶν βιβλίοις ἐναντιούμενον. παραβλέψω τὰς κατά τινων Πατέρων, καὶ ὑπομνηματισμῶν ἐπικρίσεις αὐτῶν, τὰς περιεχούσας διαβολὰς ψευδεῖς, καὶ ῥήσεις ἤτοι ἐξηλλοιωμένας, ἢ ὑπεναντίως νενοημένας, μεγαλυνούσας δὲ καθ' ὑπερβολὴν καὶ αὐτὰ τὰ μικρὰ παραράμματα. μηδεὶς δὲ ὡς συγκατάθεσιν ἐκλάβῃ τὴν σιωπήν μου. διότι μόνῳ τῷ ἐμῷ σκοπῷ, εἴτουν τῇ τῶν ἁγίων ἡμῶν βιβλίων ὑπεραπολογίσει, ἐμαυτὸν προσηλῶσαι θέλω.

Κεκυρωμένα δὲ συγγράμματα καλῶ, ὧν μηδὲ τὸ ὄνομα ἐπίπλαστον, μηδὲ τὸ ἔτος τῆς ἐκδόσεως ψευδές. κατὰ ταύτην οὖν τὴν ἔννοιαν κεκυρωμένον σύγγραμμά ἐστι τὸ μὴ ὑποβολιμαῖον, εἴτουν τὸ μὴ ὑποθετικόν. κἂν δὲ τὸ Κῦρος τῇ προσηκούσῃ νοούμενον ἀκριβείᾳ ὑ ταὐτὸν τῇ ἀληθείᾳ, ἑκάτερα δ' ὅμως λίαν ἐγγὺς ἀλλήλων. διότι εἰσί τινα ἔργα, δι' ὧν ὁ σύγχρονος αὐτοῖς συγγραφεὺς οὐδὲ ἀπατηθῆναι, οὐδὲ ἀπατῆσαι δύναται. ἐγνώρισαν τοῦτο καὶ αὐτοὶ οἱ τῆς Πίστεως ἐχθροί. διὸ καὶ πάσαις ἠγωνίσαντο δυνάμεσιν ἀμφίβολα ἀναδεῖξαι τὰ τὴν Ἀποκάλυψιν ἐπιβεβαιοῦντα ὑπομνήματα.

Οὐδεὶς ἀντισήσεται κατὰ τῆς μεγίστης βεβαιότητος, τῆς περὶ τὸ κύρος τῶν συγγραμμάτων, τῶν κατὰ τὸν προλαβόντα αἰῶνα ἐκδοθέντων ἐπ' ὀνόματι ἀνθρώπων ζώντων μὲν τότε, μηδαμῶς δὲ αὐτὰ ἀποποιηθέντων, ἀδιςάκτως δὲ ἀπονεμηθέντων αὐτοῖς ὑπὸ τῆς ἐφεξῆς γενεᾶς. ἀλλ' οὐδὲ ἐπαναλαμβάνει τις ἀγῶνα εἰς τὸ ἀνασκευάσαι τὸν τολμῶντα τὴν σήμερον διιχυρίζεσθαι ὅτι οὐχ ὁ Βοσσέτος, οὐδὲ ὁ Φαινελώνιος, οὐδὲ ὁ Πετάυ, οὐδὲ ὁ Λαββαῖος, οὐδὲ ὁ Δεσκάρτης, οὐδὲ ὁ Μαλλεβράγχιος, οὐδὲ ὁ Μεζεράης, οὐδὲ ὁ δε - Σπόνδης, εἰσὶν οἱ αὐτουργοὶ τῶν τῷ ὀνόματι αὐτῶν ἐπιγεγραμμένων συγγραμμάτων, ἀλλ' ἕτεροί τινες ἄσημοι ψεῦσαι, οἱ δὶ ἰδίαν ἀρέσκειαν κατασκευάσαντες αὐτὰ, ἐξέδωκαν, ζώντων ἐκείνων, καὶ μηδὲν εἰδότων. ἀναίσθητον δὲ λογιζόμεθα καὶ τὸν μὴ πιςεύοντα τοῖς περιβλέπτοις ἔργοις, ἅτινα ὅτοι μὲν οἱ συγγραφεῖς συμφώνως ἐβεβαίωσαν, παραχόντες ἑαυτοὺς μάρτυρας τῶν τοιούτων καὶ ἐγγυητὰς, καὶ ὡς ἀναντίρρητα τοῖς συνακμάσασιν αὐτοῖς ταῦτα παραςήσαντες, ὁ δὲ καθ' ἡμᾶς αἰὼν ὡς τοιαῦτα ἐδέξατο.

Μηδεὶς δὲ ἀντιπροτεινέτω μοι ἐνταῦθα τὴν Διαθήκην τῦ Καρδιναλίυ τῦδε Ριχελίυ, μηδὲ διηγήσεως πολεμικῶν τινων συμπλοκῶν, ἀλλήλαις πάντη ἀντιπιπτούσας, περὶ ὧν τὰ ἀντίπαλα γένη διελέχθησαν, φιλονεικήσαντα περὶ τῆς τύτων ἐκβάσεως. διότι ἡ μὲν εἰρημένη πολιτικὴ διαθήκη οὐκ εἶδε τὸ φῶς, εἰμὴ πεντήκοντα ἔτη μετὰ τὸν τῦ δε Ριχελίυ θάνατον, κατ' αὐτὴν δὲ τὴν ὥραν, ἐν ᾗ ἐνεφανίσθη ἀμφιβολία κεκίνηται, ἔτι διαμένουσα, περὶ τῦ ἐὰν ὁ ποιητὴς αὐτῆς ὑπάρχῃ ὁ δε Ριχελιῦ. οὐ δὲ ταῖς ἀντιπιπτούσαις διηγήσεσιν ἑκάτερον τῶν δύο ἀντιπάλων μερῶν ἀπονέμον ἑαυτῷ τὴν ἐκ τῆς συμπλοκῆς νίκην, δὶ αὐτῆς τῆς ἀμφισβητήσεως βεβαιοῖ τὴν τῦ ἔργυ ὕπαρξιν, καὶ

τὸ τῆς ἐκβάσεως ἀβέβαιον. αὐτὰ δὲ μάλιστα τὰ ἐκ τῆς μάχης ἑπόμενα διδάσκουσι τοὺς μὴ ἐντελῶς εἰδότας ᾗ τὸ πότερον τῶν δύω μερῶν παραλόγως περὶ τῆς νίκης καυχᾶται. ὅτε δὲ μετὰ τὸν τοῦ συγγραφέως θάνατον περὶ μὲν τοῦ κύρους τῶν ὑπομνημάτων αὐτοῦ ἀδημία προκύπτει ἀμφιβολία, περὶ δὲ τῆς ἀληθείας τοῦ ἱστορικοῦ ἔργου ἀδημίαν βλέπομεν ἀσυμφωνίαν μεταξὺ τῶν περὶ αὐτοῦ μαρτυρούντων, τότε ἀδεὴς ἐστιν, ἐπαναλαμβάνω τὸ αὐτὸ, εἰμή τις τὰς φρένας ἐξεστηκὼς, ὁ κατὰ τοῦ Κύρου τῶν συγγραμμάτων, ᾗ τῆς ἀληθείας τοῦ ἔργου ἀνταιρόμενος.

Τὴν πληροφορίαν, ἣν ἔχομεν περὶ τῶν ἐν τῷ προλαβόντι αἰῶνι συγγραμμάτων τε ᾗ συμβάντων, ἔχων ᾗ αὐτὸς ὁ προλαβὼν αἰὼν περὶ τῶν ἐν τῷ δεκάτῳ ἕκτῳ αἰῶνι γενομένων, μετεκόμισεν αὐτὴν εἰς ἡμᾶς σὺν τοῖς ἐκείνου ὑπομνήμασι, τοῖς ὑπ' αὐτοῦ μνημονευθεῖσί τε ᾗ πιστευθεῖσιν. ἡμεῖς ἄρα πεπληροφορημένοι ἐσμὲν περὶ τοῦ κύρους τῆς ἱστορίας τοῦ δε-Θοῦ, οὐχ ἧττον ἢ περὶ τοῦ Κύρου τῆς τοῦ Μεζεράη. περὶ τοῦ τῶν συγγραμμάτων τοῦ Βελλαρμίνου ᾗ Βαρονίου οὐχ ἧττον ἢ περὶ τοῦ τῶν τοῦ Βοσυέτου ᾗ δε-Σπόνδη· ἓ περὶ τῶν συμβάντων ἐν τῷ αἰῶνι, καθ' ὃν ἤκμασεν ὁ Φραγγίσκος ὁ πρῶτος, ἓ ὁ Ἑνρῖκος ὁ δεύτερος οὐχ ἧττον ἢ περὶ τοῦ τῶν ἔργων τῶν λαμπρυνάντων τὸν αἰῶνα, ἐν ᾧ διέπρεψεν ὁ Λουΐσιος ὁ ΙΔ'. ὁ αὐτὸς λόγος τόπον ἔχει περὶ πάντων τῶν προτέρων αἰώνων, ὡς προτεινόντων ἡμῖν συγγραφεῖς μνημονευθέντάς τε ἓ πιστευθέντας ὑπὸ τῆς ἐφεξῆς γενεᾶς.

Οἱ διαχωριζόμενοι, ὅτι ἡ βεβαιότης αὕτη ἐλαττοῦται κατὰ ἀναλογίαν τῆς ἀποστάσεως τῶν προτέρων γενεῶν, ὁ συλλογίζονται, ὅτι ἡ μὲν ὁμόφωνος μαρτυρία τῶν ἀλληλοδιαδόχων αἰώνων ὁδοὺ ἕτερον

συνίσησιν, εἰμὴ μίαν, ἵν' ὅτως εἴπω, φωνὴν ἐπίσης ἀκουομένην ὑπὸ τῶν διαφόρων γενεῶν· ἡ δὲ τῶν μαρτύρων ἀκολουθία προσίθησι τῇ ἀξιοπιστίᾳ τῶν ἐν τῷ προλαβόντι αἰῶνι μαρτύρων τὸ ἀξιόπιστον, τὸ καθῆκον τοῖς μετ' αὐτὸς μάρτυσιν ἐν τῷ κατ' αὐτὸς αἰῶνι.

Ὁ λέγων, ὅτι ἡ μαρτυρία, ἡ ἀποφαντικὴ ὕσα, ἐν τῷ κατ' αὐτὴν αἰῶνι, οὐκ ἔστι τοιαύτη ἐν τῷ καθ' ἡμᾶς, ὅτος ἀντιλέγων ἑαυτῷ, συγχέει τὴν τῆς προσβολῆς ζῶσαν δύναμιν τῇ τῆς πειθοῦς εὐσταθείᾳ. ὁ μάρτυς ὁ ἐνώπιόν μου μαρτυρῶν, αἰσθητικωτέραν προσβολὴν ποιεῖ ἐν ἐμοὶ ἤπερ ὁ συγγραφεὺς, ὅτινος τὸ σύγγραμμα μόνον ἔχω πρὸ ὀφθαλμῶν μου. ἀλλ' ὅταν ὀρθῶς ἀμφιβάλλω περὶ τοῦ ὅτι ὁ διὰ τοῦ πονήματος αὐτοῦ διδάσκων με, ὁ ποιητὴς ἐστὶ καὶ αὐτουργὸς τῶν ὑπ' ἐμοῦ ἀναγινωσκομένων, καὶ γινώσκω, ὅτι τὰ ἐν αὐτοῖς περιεχόμενα οὐδὲ ἀνηρέθησαν ὑπὸ τῶν συνακμασάντων αὐτῷ, οὐδὲ ἀμφίβολα ἐφάνησαν τῇ ἑφεξῆς γενεᾷ, τότε τῇ μαρτυρίᾳ τούτου τοῦ συγγραφέως τοσοῦτον πληροφορῶμαι, κἂν οὐδέποτε αὐτὸν εἶδον, ὅσον καὶ τῇ τοῦ ἐνώπιόν μου μαρτυροῦντος ἐκθέσει.

Ἀλλὰ πῶς ἂν δυνηθείημεν γνῶναι, ὅτι ἡ μαρτυρία τῶν ἐν τοῖς ἀφεσηκόσι καιροῖς διαπρεψάντων συγγραφέων οὐ κατήργηται ὑπὸ ἑτέρων ἀντικειμένων μαρτυριῶν, αἵτινες εἰς ἡμᾶς οὐ κατήντησαν; τοῦτο γνωσὸν γίνεται ἐκ τῶν καταλειφθέντων συγγραμμάτων τῶν συνακμασάντων αὐτοῖς συγγραφέων, καὶ λόγον ἐχηκότων ἀντιπεῖν αὐτοῖς, ἐπειδὰν δηλαδὴ τὰ τοιαῦτα συγγράμματα οὐ μόνον οὐκ ἐν περιέχωσιν ἐκσυρίζον τὴν ἐκείνων μαρτυρίαν, ἀλλὰ καὶ δηλοποιῶσι τὰ αὐτὴν ἐπιβεβαιοῦντα. ἐξόχως δ' ἐπληροφορεῖ ἡμᾶς ἡ πίστις, μεθ' ἧς ὑπεδέξατο αὐτὴν ἡ προλαβοῦσα γενεά. οὐδέποτε γὰρ ἂν ὡς βεβαίαν,

ἐδέξατο αὐτὴν, εἴπερ ἐγίνωσκεν, ὅτι ὡς ψεύδης ἐξηλέγχθη ὑπὸ τῆς προλαβούσης γενεᾶς. ὅπερ ἀγνοεῖν οὐκ ἠδύνατο.

Διὰ τούτων οὖν τῶν ἁπλῶν μὲν, ἀλλὰ φωτιστικῶν ἀρχῶν πολυπραγμονήσομεν πρῶτον τὰ περὶ τοῦ Κύριος ἐκ τῆς ἀληθείας τῶν τῆς Νέας Διαθήκης βιβλίων, εἶτα ἐπὶ τοὺς Προφήτας, καὶ τὰ ἱστορικὰ τῆς Παλαιας Διαθήκης βιβλία πορευσόμεθα, πέρας δὲ ἐπιθήσομεν διὰ τῶν τοῦ Μωϋσέως βιβλίων.

ΠΙΝΑΞ

Τῶν ἐν τῷδε τῷ τεύχει Βιβλίων, Κεφαλαίων, καὶ Ἄρθρων.

ΒΙΒΛΙΟΝ Α'.

Περὶ τῆ Κύρες, καὶ τῆς ἀληθείας τῶν τῆς Νέας Διαθήκης βιβλίων.

ΚΕΦΑΛΑΙΟΝ, Α'.

Περὶ τῶν τεσσάρων Εὐαγγελίων.

Σελ.

Ἄρθρον Α'. Περιέχον τὰς ἀποδείξεις τῆ τῶν Εὐαγγελίων Κύρες. — — — — — — — — — — 1

Ἄρθρ. Β'. Περὶ τῆ ὅτι τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἐμνημονεύετο ἐν τῷ πρώτῳ αἰῶνι, — — — — — 3

ΚΕΦΑΛΑΙΟΝ, Β'.

Ἀπάντησις κατὰ τῆς ἐκ τῶν ἀποκρύφων Εὐαγγελίων ἐξαχθείσης ἐνςάσεως. — — — — — — — — 8

Ἄρθρ. Α'. Περὶ τῆ ὅτι εἰς ὑπερβολὴν προήγαγον τῶν ἀποκρύφων Εὐαγγελίων τὸν ἀριθμόν. — — — — — 8

Ἄρθρ. Β'. Περὶ τῆς τῶν ἀποκρύφων Εὐαγγελίων παραγωγῆς. — — — — — — — — — — 10

ΚΕΦΑΛΑΙΟΝ, Γ'.

Ἀπάντησις εἰς τὰς τῆ Βολτέρε ἐνςάσεις, κατὰ τῶν ἐντῷ Εὐαγγελίῳ περιεχομένων. — — — — — — — 13

Ἄρθρ. Α'. Περὶ τῆς γενεαλογίας τῆ Ἰησῆ Χριςῆ, καὶ τῆς γεννήσεως αὐτῆ. — — — — — — — — — 14

Ἄρθρ. Β'. Περὶ τῶν ἀναιρεθέντων νηπίων, καὶ τῆς γελοιώδες τῆ κριτικῆ ἑρμηνείας εἰς τὸ τῆ Ματθαίε ῥητόν. — — — 16

Σελ.
Ἄρθρ. Γ'. Τὰ τῆ κριτικῆ σφάλματα ἐν τῷ προτείνειν τὸ ἑβραϊκὸν ὕφος. — — — — — — — — 19
Ἄρθρ. Δ'. Περὶ τῆ ἐν τῇ ἐρήμῳ πειρασμῆ τῆ Γησῆ Χριςῆ, ϗ τῆ ἐν Κανᾷ γάμε. — — — — — — — — 21
Ἄρθρ. Ε'. Περὶ τῶν δαιμονιζομένων, ϗ τῆς κατηραθείσης συκῆς. 22
Ἄρθρ. ς'. Περὶ τῆς προρρήσεως, τῆς ἐπισυναπτούσης τὴν τῆς Ἰουδαίας ἐρήμωσιν τῇ ἐσχάτῃ κρίσει. — — — — 23
Ἄρθρ. Ζ'. Περὶ τῆ ὅτι ὁ Φλέγων ἐσημείωσε τὸ ἐν τῷ θανάτῳ τῆ Ἰησῆ Χριςῆ γενόμενον σκότος. — — — — 26
Ἄρθρ. Η'. Περὶ τῆς ὥρας, καθ' ἣν ὁ Γησῆς ἐσταυρώθη. — — 28

ΚΕΦΑΛΑΙΟΝ. Δ'.

Περὶ τῆ κύρε τῶν ἄλλων τῆς νέας Διαθήκης Βιβλίων. — — 29
Ἄρθρ. Α'. Περὶ τῶν τῆς νέας Διαθήκης Βιβλίων, ὧν τὸ κῦρος ἀντιλεγόμενον. — — — — — — — — 30
Ἄρθρ. Β'. Ἐν ᾧ αἱ περὶ τῆς θειότητος τῆς Ἀποκαλύψεως εἰδικαὶ ἀποδείξεις. — — — — — — — — 31
Ἄρθρ. Γ'. Περὶ τῆ πῶς ἐστηρίχθη τὸ τῶν ἀμφισβητεμένων βιβλίων κῦρος. — — — — — — — — 34

ΒΙΒΛΙΟΝ, Β.

Περὶ τῆ Κύρε τῶν τῆς Παλαιᾶς Διαθήκης Βιβλίων, τῶν μετὰ τὴν καταςροφὴν τῆ Ναῆ τῆ Σολομῶντος συγγραφέντων. — — — — — — — 36

ΚΕΦΑΛΑΙΟΝ. Α'.

Περὶ τῆ κύρε τῆ πρώτε ϗ δευτέρε βιβλίε τῶν Μακκαβαίων. 36
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρε τῆ πρώτε ϗ δευτέρε τῶν Μακκαβαίων βιβλίε. — — — — — — — 36
Ἄρθρ. Β'. Περὶ τῆς ἐπιβατικῆς καταδίκης τῶν ἑπτὰ ἀδελφῶν, ϗ τῆς τούτων μητρός. — — — — — — — 38
Ἄρθρ. Γ'. Περὶ τῶν Ἀντιόχε τῆ Ἐπιφανῆς Χαρακτήρων. — 39
Ἄρθρ. Δ'. Περὶ τῆς διανομῆς τῶν τῆ Ἀλεξάνδρε ἐπικρατειῶν, ϗ τῆς διαθήκης αὐτῆ. — — — — — — — — 40
Ἄρθρ. Ε'. Περὶ τῆς ὑπὸ Ἀντιόχε τῆ Ἐπιφανῆς γενομένης λεηλασίας τῆς Περσεπόλεως. — — — — — — 41
Ἄρθρ. ς'. Περὶ τῆ ἔτες, ἐν ᾧ οἱ Ῥωμαῖοι τὸς Γαλάτας κατέ-

Σελ.

σρεψαν, καὶ περὶ τῶν περισάσεων τῆς Ἀντιόχου τοῦ μεγάλου καταστροφῆς. — — — — — — — — 43
Ἄρθρ. Ζ'. Περὶ τῆς πρεσβείας, τῆς ὑπὲρ τῆς συνωμοσίας τῶν Ἰουδαίων μετὰ τῶν Ῥωμαίων. — — — — — — 46
Ἄρθρ. Η'. Περὶ τῆς νομιζομένης τῶν Ἑβραίων τε καὶ Λακεδαιμονίων συγγενείας. — — — — — — — — 47
Ἄρθρ. Θ'. Περὶ τῆς οἰκονομικῆς προνοίας ὑπὲρ τοῦ ἐν Ἱερουσαλὴμ Ναοῦ. — — — — — — — — — 50
Ἄρθρ. Ι'. Περὶ τοῦ τέλους Ἀντιόχου τοῦ Ἐπιφανοῦς. — — 51

ΚΕΦΑΛΑΙΟΝ, Β'.

Περὶ τοῦ κύρους τοῦ βιβλίου τῆς Σοφίας τοῦ Σειράχ, καὶ τῆς τοῦ Σολομῶντος, καὶ τῶν δύο πρώτων βιβλίων τοῦ Ἔσδρα. — 55
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τῆς Σοφίας τοῦ Σειράχ. — — — — — — — — — — 55
Ἄρθρ. Β'. Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τοῦ βιβλίου τῆς Σοφίας τοῦ Σολομῶντος, καὶ ἡ τότε διδασκαλία περὶ ἑτέρου βίου. — 57
Ἄρθρ. Γ'. Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τῶν βιβλίων τοῦ Ἔσδρα, καὶ Νεεμίου. — — — — — — — — 59
Ἄρθρ. Δ'. Περὶ τοῦ ὁποίαν γνῶσιν ἠδύνατο ἔχειν ὁ Κύρος περὶ τοῦ τῶν Ἰουδαίων Θεοῦ. — — — — — — — 63
Ἄρθρ. Ε'. Περὶ τοῦ πῶς τὸ τοῦ Κύρου δόσπισμα εὑρέθη ἐν Ἐκβατάνοις, καὶ περὶ τῶν ἐν αὐτῷ περιεχομένων. — — 65

ΚΕΦΑΛΑΙΟΝ, Γ'.

Περὶ τοῦ τῆς Ἐσθὴρ βιβλίου. — — — — — — — 68
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τοῦ τῆς βίβλου τῆς Ἐσθήρ. — — — — — — — — — 68
Ἄρθρ. Β'. Περὶ τοῦ πότου τοῦ Ἀρταξέρξου, καὶ τῆς ἀπολύσεως τῆς Ἀσίν. — — — — — — — — — 70
Ἄρθρ. Γ'. Περὶ τοῦ διατὶ ὁ Μαρδοχαῖος οὐκ ἔσεισε προσπεσεῖν ἐνώπιον τοῦ Ἀμάν. — — — — — — — — 73
Ἄρθρ. Δ'. Περὶ τοῦ χαρακτῆρος τοῦ Ἀμάν. — — — — 74
Ἄρθρ. Ε'. Περὶ τῆς τῶν Ἰουδαίων ἐκδικήσεως κατὰ τῶν ἐχθρῶν αὐτῶν. — — — — — — — — — — 76

Σελ.

Ἄρθρ. ς'. Ἐν ᾧ ἡ εἰκασία περὶ τῆ λαῆ, εἰς ὃν ὁ Ἀμὰν μετενεγκεῖν ἤθελε τὴν τῶν Περσῶν Βασιλείαν. — — — 77

ΚΕΦΑΛΑΙΟΝ. Δ'.

Περὶ τῶν Προφητῶν, τῶν συγγραψάντων μετὰ τὴν καταστροφὴν τῆ Ναῆ τῆ Σολομῶντος. — — — — — — 80

Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρες τῶν προφητειῶν τῆ Ἀγγαίε, Ζαχαρίε, ϗ Μαλαχίε. — — — — 80

Ἄρθρ. Β'. Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρες τῆς τῆ Δανιὴλ βίβλε. 82

Ἄρθρ. Γ'. Περὶ τῶν ἐντελῶν τῆ κριτικῆ ἐνςάσεων κατὰ τῆ Δανιὴλ. — — — — — — — — — — 84

Ἄρθρ. Δ'. Περὶ τῆς τῆ Ναβυχοδονόσορ μεταβολῆς εἰς βῆν. — 86

Ἄρθρ. Ε'. Περὶ Δαρείε τῆ Μήδε. — — — — — — 87

Ἄρθρ. ς'. Περὶ τῆ κύρες τῆς περὶ τὴν Σωτάννην ἱςορίας, κτ. 88

Ἄρθρ. Ζ'. Περὶ τῆς τῆ Δανιὴλ, Μεγασθένες, ϗ Ἀβυδηνῆ συμφωνίας περὶ τῆ Ναβυχοδονόσορ. — — — — — 91

ΚΕΦΑΛΑΙΟΝ. Ε'.

Περὶ τῶν Προφητῶν, τῶν ἐν τῷ καιρῷ τῆς καταστροφῆς τῆ Ναῆ συγγραψάντων. — — — — — — — — 92

Ἄρθρ. Α'. Περὶ τῆ κύρες τῶν προφητειῶν τῆ Ἱερεμίε ϗ Βαρούχ. 92

Ἄρθρ. Β'. Ἐν ω αἱ ἀποδείξεις τῆ κύρες τῆς τῆ Ἰεζεκιὴλ βίβλε. 95

Ἄρθρ. Γ'. Περὶ τῶν ματαίων ϗ ἀπρεπῶν τῆ κριτικῆ ἐνςάσεων κατὰ τῆ Ἰεζεκιὴλ. — — — — — — — — 96

Ἄρθρ. Δ'. Περὶ τῆ ἐπισήμε σφάλματος τῆ κριτικῆ ἔν τινι τῶν ῥητῶν τῆ αὐτῆ Προφήτε. — — — — — — 97

ΒΙΒΛΙΟΝ, Γ'.

Περὶ τῶν προφητικῶν ϗ ἱςορικῶν συγγραμμάτων τῆς Παλαιᾶς Διαθήκης, τῶν πρὸ τῆς καταστροφῆς τῆ ναῆ τοῦ Σολομῶντος, μετὰ δὲ τὸ τῶν δέκα φυλῶν σχίσμα.

ΚΕΦΑΛΑΙΟΝ. Α'.

Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρες τῶν πρὸ τῆς αἰχμαλωσίας Προφητῶν. — — — — — — — 99

Σελ.

Ἄρθρ. Β'. Περὶ τὴ κύρης τῶν τῆ Ἡσαΐε προφητειῶν, ϗ περὶ τῶν πρὸ αὐτῆ Προφητῶν. — — — — — — 101
Ἄρθρ. Γ'. Περὶ τῆ ἐὰν ὁ Ὡσηὲ ἦν σχισματικὸς ϗ μοιχός. — 104
Ἄρθρ. Δ'. Περὶ τῆς ἀποσολῆς τῆ Ἰωνᾶ, ϗ τῆ καταπιόντος αὐτὸν ἰχθύος. — — — — — — — — — 105

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν βιβλίων τῆ Τωβὶτ, ϗ τῆς Ἰουδὶθ. — — — — 106
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρης τῶν βιβλίων τῆ Τωβὶτ, ϗ τῆς Ἰουδὶθ. — — — — — — — — 106
Ἄρθρ. Β'. Περὶ τῶν ματαίων κατὰ τῆς τῆ Τωβὶτ βίβλε ἐγκάσεων. — — — — — — — — — — 108
Ἄρθρ. Γ'. Περὶ ἧς εἶχον οἱ Ἰουδαῖοι γνώσεως Ἀγγέλων ϗ Δαιμόνων. — — — — — — — — — — 111
Ἄρθρ. Δ'. Περὶ τῆ κατὰ τῆ Τωβὶε ἀναπηρ[illegible]αντος ἰχθύος, ϗ τῶν ἰδιοτήτων τῆ ἥπατος αὐτῆ. — — — — — 112
Ἄρθρ. Ε'. Περὶ τῆς πολιορκίας τῆς Βετυλούας, ϗ τῆς θέσεως αὐτῆς. — — — — — — — — — — 115
Ἄρθρ. ς'. Περὶ τῆς διαγωγῆς τῆς Ἰουδὶθ ἐν τῷ ςρατῷ τῶν Ἀσσυρίων, ϗ τῆ ἔτες τῆ θανάτε αὐτῆς. — — — — 116
Ἄρθρ. Ζ'. Περὶ τῆς Ἰουδαϊκῆς ἑορτῆς, τῆς εἰς ἀνάμνησιν τῆς ἀπολυτρώσεως τῆς γενομένης ὑπὸ τῆς Ἰουδὶθ. — — 118

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆ κύρης τῶν δύω ἐσχάτων βιβλίων τῶν Βασιλειῶν, ϗ τῶν δύω Παραλειπομένων. ἐν ᾧ ϗ ἡ ἀπάντησις τῶν ἐγκάσεων κατὰ τῆ τρίτε βιβλίε τῶν Βασιλειῶν. — — 119
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρης τῶν δύω ἐσχάτων βιβλίων τῶν Βασιλειῶν, ϗ τῶν δύω Παραλειπομένων. — 119
Ἄρθρ. Β'. Περὶ τῆ τρόπε τῆ Σολομῶντος κατὰ τῆ Ἀδωνίε — 121
Ἄρθρ. Γ'. Περὶ τῆς ποινῆς τῆ Ἰωάβ. — — — — — 123
Ἄρθρ. Δ'. Περὶ τῆ θανάτε τῆ Σεμεΐ. — — — — — 125
Ἄρθρ. Ε'. Περὶ τῆς ἐκτάσεως τῆς Βασιλείας τῆ Σολομῶντος. 126
Ἄρθρ. ς'. Περὶ τῆ σφάλματος τῆ κριτικῆ, τῆ περὶ τῆς ποσότητος τῆ ἀλεύρε, τῆ καθ' ἑκάςην δαπανωμένε ἐν τῷ τῆ Σολομῶντος θαλατίῳ, — — — — — — — 129

Σελ.
Ἄρθρ. Ζ'. Περὶ τῶν τῦ Σολομῶντος ἱπποστασίων, ϗ τῶν ᾠδῶν αὐτῦ. — — — — — — — — — — 130
Ἄρθρ. Η'. Περὶ τῦ ναῦ τῦ Σολομῶντος, ϗ τῆς καθιερώσεως αὐτῦ. — — — — — — — — — 131
Ἄρθρ. Θ'. Περὶ τῦ πλέτυ τῦ Σολομῶντος. — — — 134
Ἄρθρ. Ι'. Περὶ τῆς Βασιλείας Σαβὰ, ϗ τῆς τῶν Ἑβραίων θρησκείας ἐπὶ Σολομῶντος. — — — — — — 136
Ἄρθρ. ΙΑ', Περὶ τῆς τὰ Ῥαζὼν ἐπανασάσεως. — — — 138
Ἄρθρ. ΙΒ'. Περὶ τῆς Βασιλείας Ῥοβοὰμ, ϗ Ἀβιὰ, ϗ τῶν πολυκρίθμων στρατευμάτων αὐτῶν. — — — — — 139
Ἄρθρ. ΙΓ'. Περὶ τῆς τῦ Ἠλιὰ ὑπερογίας. — — — — 142
Ἄρθρ. ΙΔ'. Περὶ τῆς δοθείσης τῷ Σατανᾷ ἀδείας πλανῆσαι τὸς τῦ Ἀχαὰβ Προφήτας. — — — — — — 145

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐν ᾧ ἡ ἀπάντησις εἰς τὰς κατὰ τῦ τετάρτυ βιβλίυ τῶν Βασιλειῶν ἐνστάσεις. — — — — — — — — 146
Ἄρθρ. Α'. Περὶ τῆς ὑπερογίας τῦ Ἐλισσαίε: ϗ περὶ τῶν μβ'. παιδαρίων, τῶν ὑπὸ τῶν ἄρκτων κατασβωθέντων. — 146
Ἄρθρ. Β'. Περὶ τῆς τῦ Ἀχαζ Βασιλείας. ἤτοι περὶ τῦ ἐὰν δεκαέτης ὢν ἐγέννησε τὸν Ἐζεκίαν. — — — — 148
Ἄρθρ. Γ'. Περὶ τῆς τῦ Σεναχηρὶμ καταστροφῆς, ϗ τῆς τῦ Ἡροδότυ ϗ τῶν ἡμετέρων ἱερῶν βιβλίων συμφωνίας. — — 151
Ἄρθρ. Δ'. Περὶ τῆς τῦ Ἐζεκίε ἀσθενείας, ϗ τῆς ἐπιστροφῆς τῦ ἡλίυ. — — — — — — — — — 153
Ἄρθρ. Ε'. Περὶ τῆς τῦ Μανασσῆ ϗ Γωσίε Βασιλείας. — — 156
Ἄρθρ. ς'. Περὶ τῦ ἐὰν ὁ Ἱερεμίας ἦν προδότης συνεργῶν τοῖς Σαμαρείταις. — — — — — — — — — 158
Ἄρθρ. Ζ'. Περὶ τῦ ἐὰν ὁ Ἱερεμίας ἦν μωρὸς, ϗ περὶ τῦ ἐὰν τὸ τιθέναι ἐν τῷ νεύρῳ σημαίνῃ τὸ τύπτειν μετὰ νεύρων βοείων. — — — — — — — — — — 159
Ἄρθρ. Η'. Ἐν ᾧ αἱ τῦ κριτικῦ σκέψεις περὶ τῆς τῶν Ἑβραίων καταστάσεως. — — — — — — — — — 161

ΒΙΒΛΙΟΝ, Δ'.

Σελ.

Περὶ τῶν ἐπὶ τῆς Βασιλείας τῦ Δαβὶδ καὶ Σολομῶντος συγγραφέντων βιβλίων. 162

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῦ κύρους τῦ Ψαλτῆρος, τῶν Παροιμιῶν, τῦ Ἐκκλησιαστῦ, τῦ Ἄσματος τῶν Ἀσμάτων. καὶ τῶν δύω πρώτων βιβλίων τῶν Βασιλειῶν. — — — — — — — 162

Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῦ κύρους τῆς τῶν Ψαλμῶν συλλογῆς. — — — — — — — — — 162

Ἄρθρ. Β'. Περὶ τῦ κύρους τῶν βιβλίων τῦ Σολομῶντος. καὶ τῆς διδασκαλίας τῦ Ἐκκλησιαστῦ, τῆς περὶ ἑτέρου βίου — 164

Ἄρθρ. Γ'. Ἐν ᾧ αἱ ἀποδείξεις τῦ κύρους τῶν δύω πρώτων βιβλίων τῶν Βασιλειῶν. — — — — — — — 166

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἐν ᾧ ἡ ἀπάντησις τῶν δυσκολιῶν, τῶν κατὰ τῦ πρώτυ τῶν Βασιλειῶν βιβλίου. — — — — — — — 167

Ἄρθρ. Α'. Περὶ τῆς τῶν Ἑβδαίων καταστάσεως ἐπὶ τῆς Ἀρχιερατείας τῦ Ηλὶ, καὶ περὶ τῶν Ἀσείων ψευδοϊδεῶν τῦ κριτικῦ. — — — — — — — — — — 167

Ἄρθρ. Β'. Περὶ τῆς πτώσεως τῦ εἰδώλυ Δαγών. — — 170

Ἄρθρ. Γ'. Περὶ τῆς τῶν Βαιθσαμιτῶν ποινῆς. — — — 171

Ἄρθρ. Δ'. Περὶ τῆς ἐκλογῆς τῦ Σαὺλ, καὶ τῦ πολυαρίθμου στρατῦ αὐτῦ. — — — — — — — — 173

Ἄρθρ. Ε'. Περὶ τῦ πρώτυ πολέμου τῦ Σαὺλ κατὰ τῶν Φιλισταίων. — — — — — — — — — — 176

Ἄρθρ. ς'. Περὶ τῦ κατὰ τῶν Ἀμαληκιτῶν πολέμου. — — 179

Ἄρθρ. Ζ. Περὶ τῦ κατὰ τῦ Γολιὰθ πολέμου τῦ Δαβίδ. — 181

Ἄρθρ. Η'. Περὶ τῆς τῦ Δαβὶδ φυγῆς, καὶ περὶ τῦ ἐὰν αὐτὸς ἦν ἡγούμενος λῃστῶν — — — — — — — 183

Ἄρθρ. Θ'. Περὶ τῦ τρόπου τῦ Δαβὶδ ἐν τῇ αὐλῇ τῦ Ἀγγαῖ. 185

Ἄρθρ. Ι'. Περὶ τῆς ἐν Ἐνδὼρ μάντεως, ἧς τὴν συμβουλὴν ἐζήτησεν ὁ Σαὺλ. — — — — — — — — — 186

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Σελ.

Ἐν ᾧ ἡ ἀπάντησις τῶν ἐνςάσεων, τῶν κατὰ τὸ δευτέρα βιβλία τῶν Βασιλειῶν. — — — — — — — 188
Ἄρθρ. Α. Περὶ τῆς διηγήσεως τὸ Ἀμαληκίτα, καὶ τῆς ποινῆς τῶν φονευσάντων τὸν Ἰεβοσθέ. — — — — — — 188
Ἄρθρ. Β'. Περὶ τῆς μεταχομιδῆς τῆς Κιβωτὸ, καὶ τῆς ποινῆς τὸ Ὀζά. — — — — — — — — 191
Ἄρθρ. Γ'. Περὶ τῶν πολέμων τὸ Δαβὶδ κατὰ τῶν Φυλιςιαίων καὶ Μωαβιτῶν, καὶ Γύρων. καὶ περὶ τὸ ἐὰν αἱ κατὰ τῶν Μωαβιτῶν αὐςηρότητες ἔχωσιν ὁμοιότητα τῷ τὸ Βασίρεως μύθῳ. — — — — — — — — — 192
Ἄρθρ. Δ'. Περὶ τῆς νομιζομένης ἀκυρώσεως τὸ γάμε τὸ Δαβὶδ μετὰ τῆς Βηρσαβεέ. — — — — — — 193
Ἄρθρ. Ε'. Περὶ τῆς πορθήσεως τῆς Ῥαββὰθ, καὶ τῆς κατὰ τῶν Ἀμμωνιτῶν αὐςηρότητος. — — — — — — 195
Ἄρθρ. ς'. Περὶ τῆς φθορᾶς τῆς Θημὰρ, καὶ τῶν συνεπειῶν αὐτῆς. 196
Ἄρθρ. Ζ'. Περὶ τῆς συγχωρηθείσης τοῖς Γαβαωνίταις ἀνδροληψίας. — — — — — — — — 197
Ἄρθρ. Η'. Περὶ τῆς διαταχθείσης ὑπὸ τὸ Δαβὶδ ἐωαριθμήσεως, καὶ τῶν ἐξ αὐτῆς κακῶν. — — — — — 199

ΒΙΒΛΙΟΝ Ε.

Περὶ τῶν ἱερῶν βιβλίων, τῶν συγγραφέντων πρὶν μὲν τῆς τὸ Δαβὶδ Βασιλείας, μετὰ δὲ τὴν τῶν Ἑβδαίων κατάςασιν ἐν τῇ γῇ τῆς ἐπαγγελίας. 201

ΚΕΦΑΛΑΙΟΝ, Α'.

Περὶ τὸ κύρες τῶν βιβλίων τῆς Ῥὰθ, τῶν Κριτῶν, καὶ τὸ Ἰησοῦ. 201
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τὸ κύρες τὸ βιβλίε τῆς Ῥάθ. 201
Ἄρθρ. Β'. Περὶ τῆς φύσεως τῆς ἐν τῇ Βηθλεὲμ γῆς. — — 203
Ἄρθρ. Γ'. Ἐν ᾧ αἱ ἀποδείξεις τὸ κύρες τὸ τῶν Κριτῶν βιβλίε. 204
Ἄρθρ. Δ'. Ἐν ᾧ αἱ ἀποδείξεις τὸ κύρες τῆς τὸ Ἰησοῦ βίβλε. — 205

ΚΕΦΑΛΑΙΟΝ, Β'.

Ἐν ᾧ ἡ ἀπάντησις τῶν κατὰ τὸ βιβλίε τὸ Ἰησοῦ ἐνςάσεων. — 207

Σελ.
Ἄρθρ. Α'. Περὶ τῦ ἐὰν ὁ Ἰησῦς ἃ ἐκτήσατο εἰμὴ πέντε, ἢ ἐξ λέγας γῆς. — — — — — — — 207
Ἄρθρ. Β'. Περὶ τῦ ἐὰν ἡ Ἱεριχὼ ἐδέποτε ἦν ἄλλοτι, εἰμὴ χωρίον. — — — — — — — — — — 208
Ἄρθρ. Γ'. Περὶ τῦ ἐὰν διαβατὸς ἦν ὁ Ἰορδάνης, ὅτε διεπέρασεν αὐτὸν ὁ Ἰησῦς. — — — — — — — 210
Ἄρθρ. Δ'. Περὶ τῆς ἁλώσεως τῆς Ἱεριχώ. — — — — 213
Ἄρθρ. Ε'. Περὶ τῆς ἐν Γαβαὼν ἡμέρας. — — — — 216
Ἄρθρ. ς'. Περὶ τῆς βίβλε τῦ Εὐθῦς. — — — — — 219
Ἄρθρ. Ζ'. Περὶ τῦ Σαγχωνιάθωνος, ϗ τῶν Φοινίκων. — — 220
Ἄρθρ. Η'. Περὶ τῦ τόπε, πρὸς ὃν οἱ Χαναναῖοι κατέφυγον. — 223

ΚΕΦΑΛΑΙΟΝ, Γ'.

Ἐν ᾧ ἡ ἀπάντησις τῶν ἐνςάσεων κατὰ τῦ τῶν Κριτῶν βιβλίε. 225
Ἄρθρ. Α'. Περὶ τῦ Ἀδωνιβεζὲκ, ϗ τῶν ὁ Βασιλέων, τῶν ἐσθιόντων ἐν τῇ τραπέζῃ αὐτῦ. — — — — — 225
Ἄρθρ. Β'. Περὶ τῦ Χυσαρσαθαίμ. — — — — — 226
Ἄρθρ. Γ'. Περὶ τῦ ἐὰν ὁ βασιλεὺς τῆς Μωὰβ ἦν ὁ νόμιμος ἡγεμὼν τῦ Ἀὼδ. — — — — — — — — 227
Ἄρθρ. Δ'. Περὶ τῦ Ἀβὶν, ϗ τῆς Ἀὴλ. — — — — 228
Ἄρθρ. Ε'. Περὶ τῦ ἐὰν ἡ περὶ τῦ Γεδεὼν ἰσορία ὑπάρχῃ μῦθος. — — — — — — — — — — 229
Ἄρθρ. ς'. Περὶ τῦ Ἰεφθάε. — — — — — — — 231
Ἄρθρ. Ζ'. Περὶ τῆς θυσιασθείσης θυγατρὸς τῦ Ἰεφθάε. — 233
Ἄρθρ. Η'. Περὶ τῦ Σαμψών. — — — — — — 235
Ἄρθρ. Θ'. Περὶ τῦ διασπασθέντος λέοντος, ϗ τῶν ἀλωπέκων. ϗ τῆς σιαγόνος τῆς ὄνε. — — — — — 237
Ἄρθρ. Γ'. Περὶ τῶν τῆς Γάζης θυρῶν, τῶν ὑπὸ τῦ Σαμψὼν ἀρθεισῶν, ϗ τῦ ἀναγραφέντος βωμῦ. — — — — 239
Ἄρθρ. ΙΑ'. Περὶ τῆς τῶν Δανιτῶν ἐκγρατείας κατὰ τῆς Λαισᾶς. — — — — — — — — — — 240
Ἄρθρ. ΙΒ'. Περὶ τῦ ἀληθῦς ἔτες τῆς κατὰ τῆς Γαβαὰ ἐφόδε. 243

ΚΕΦΑΛΑΙΟΝ, Δ'.

Περὶ τῆς τῦ Ἰὼβ βίβλε. — — — — — — — 245
Ἄρθρ. Α'. *Περὶ τῦ ὅτι ὁ μὲν Ἰὼβ τῷ ὄντι ὑπῆρχε, τὸ δὲ βιβλίον αὐτῦ γνωσὸν ἦν τοῖς Ἑβραίοις.* — — — — 245

Σελ.
Ἄρθρ. Β'. Ἐν ᾧ ἡ εἰκασία περὶ τῆ καιρῆ, καθ' ὃν ἡ τῆ Ἰὼϐ βίβλος συνεγράφη. — — — — — — — 247

ΒΙΒΛΙΟΝ, ε'.

Περὶ τῆς Πενταπεύχε. — — — — — — 249

ΚΕΦΑΛΑΙΟΝ, Α'.

Περὶ τῆ Μωσαϊκῆ νόμε γενικῶς. — — — — — — 249
Ἄρθρ. Α'. Περὶ τῆ ὅτι ὁ Μωϋσῆς, καὶ οἱ νόμοι αὐτῆ γνωσοὶ ἦσαν τῇ θύραθεν ἀρχαιότητι. — — — — — 249
Ἄρθρ. Β'. Περὶ των ψευδοποδέσεων τῶν ἀπίσων, τῶν περὶ τῆ καιρῆ, ἐν ᾧ ἐγράφησαν οἱ Ἑϐδαϊκοὶ νόμοι — — — 250
Ἄρθρ. Γ'. Περὶ τῆ ἀτόπε τῆ κριτικῆ, τῆ ἐμφαίνοντος τὴν Πενταπεύχον ὑπὸ τῶν Σαμαρειτῶν κατεσκευασμένην. — 252

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆ Δευτερονομίε. — — — — — — — — 257
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρε τῆ Δευτερονομίε. 257
Ἄρθρ. Β'. Ἐν ᾧ ἡ ἀναίρεσις τῶν τῆ κριτικῆ ἐνςάσεων κατὰ τῆ πρώτε κεφαλαίε τῆ Δευτερονομίε. — — — — 259
Ἄρθρ. Γ'. Περὶ τῶν ἐν τῷ Δευτερονομίῳ προσθηκῶν, καὶ τῶν ἐν τῇ ἐρήμῳ ἱματίων τῶν Ἑϐραίων. — — — — — 261
Ἄρθρ. Δ'. Περὶ τῶν νόμων, τῶν κατὰ τῶν εἰδωλολατρῶν, καὶ ψευδοπροφητῶν. — — — — — — — — 263
Ἄρθρ Ε'. Περὶ τῆ ἐὰν τὸ Δευτερονόμιον ἐγράφη μόνον μετὰ τὴν Σαμαρείας πολυορκίαν. — — — — — — 266

ΚΕΦΑΛΑΙΟΝ, Γ'.

Περὶ τῆ βιϐλίε τῶν Ἀριθμῶν. — — — — — — 267
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρε τῆς τῶν Ἀριθμῶν βίβλε. 267
Ἄρθρ. Β' Περὶ τῆ ἐὰν ἡ ἱςορία τῆ Κορὲ ἐκ ἐγράφη, εἰ μὴ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπιςροφὴν, ἡ δὲ προφητεία τῆ Βαλαὰμ μετὰ τὰς τῆ Ἀλεξάνδρε κτήσεις. — — — 269
Ἄρθρ. Γ'. Ἐν ᾧ αἱ μάταιαι τῆ κριτικῆ ἐνςάσεις. — — 271
Ἄρθρ. Δ'. Περὶ τῆ ἐὰν βέϐαιον ὑπάρχῃ τὸ ὅτι οἱ Ἑϐραῖοι παρέλαϐον παρὰ τῶν Αἰγυπτίων σχεδὸν πάσας τὰς τελετὰς αὐτῶν, ἐξόχως τὸν Χαλκῆν ὄφιν. — — — 274

Σελ.
Ἄρθρ. Ε'. Περὶ τῆς περὶ τῦ Βαλαὰμ ἱστορίας. — — — 277
Ἄρθρ. ς'. Περὶ τῦ τῶν Μαδιανιτῶν ἐγχειρήματος, ϗ τῆς κατ' αὐτῶν ποινῆς. — — — — — — — 278
Ἄρθρ. Ζ'. Περὶ τῶν πόλεων τῶν ἀσύλων. — — — — 282

ΚΕΦΑΛΑΙΟΝ, Δ'.

Περὶ τῦ Λευϊτικῦ. — — — — — — — — — 284
Ἄρθρ. Α'. Περιέχων τὰς περὶ τῦ κύρους Λευιτικῦ ἀποδείξεις. 284
Ἄρθρ. Β'. Περὶ τῆς τῶν Ἑβδαίων διδασκαλίας περὶ φύσεως ψυχῆς. — — — — — — — — — 286
Ἄρθρ. Γ'. Περὶ κτηνοβατίας, τῆς ὑπὸ τῦ χριτικῦ ἀπονεμομένης τοῖς Ἑβδαίοις. — — — — — — — — 289

ΚΕΦΑΛΑΙΟΝ. Ε'.

Περὶ τῆς Ἐξόδυ. — — — — — — — — — 290
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῦ Κύρους τῆς Ἐξόδυ. — — 290
Ἄρθρ. Β'. Περὶ τῶν Ὀ ψυχῶν τῦ οἴκυ Ἰωκὼϐ, τῶν παραγενομένων κατοικῆσαι ἐν Αἰγύπτῳ, ϗ περὶ τῦ διωγμῦ, ὃν ὑπέμειναν οἱ τύτων ἀπόγονοι. — — — — — — 291
Ἄρθρ. Γ'. Περὶ τῆς θέσεως τῆς γῆς Γεσέμ. — — — — 293
Ἄρθρ. Δ'. Περὶ ἀποκρύφυ τινὸς βιογραφίας τῦ Μωϋσέως. — 295
Ἄρθρ. Ε'. Περὶ τῶν προτερημάτων, καθ' ἃ ἡ Συρία ὑπερέχει τὴν Αἴγυπτον. — — — — — — — — 296
Ἄρθρ. ς'. Περὶ τῆς τῦ Θεῦ ἐμφανείας ἐν τῇ καιομένῃ βάτῳ. — 300
Ἄρθρ. Ζ'. Περὶ τῆς τῦ χριτικῦ πλάνης, δικαιολογῆντος τὸν Φαραὼ, μὴ πιςεύσαντα τῷ ἀληθινῷ Θεῷ. — — — 303
Ἄρθρ. Η'. Περὶ τῆς δοκήσης κλοπῆς, τῆς ὑπὸ τῶν Ἑβραίων γενομένης, ϗ τῦ θανάτυ τῶν τῆς Αἰγύπτυ πρωτοτόκων. 304
Ἄρθρ. Θ'. Περὶ τῆς διαβάσεως διὰ τῆς ἐρυθρᾶς θαλάσσης. 307
Ἄρθρ. Ι'. Περὶ τῆς νομιζομένης τῶν θύραθεν σιωπῆς περὶ τῆς διαβάσεως διὰ τῆς ἐρυθρᾶς θαλάσσης. — — — — 311

ΚΕΦΑΛΑΙΟΝ, ς'.

Περιέχον τὴν ἀκολυθίαν τῶν ἀπαντήσεων πρὸς τὰς κατὰ τῦ βιβλίυ τῆς Ἐξόδυ προτεθείσας δυσκολίας. — — — 313
Ἄρθρ. Α'. Περὶ τῆς ὑπὸ τῦ χριτικῦ κακῶς τοῖς Ἑβραίοις ἁρμοζομένης ῥήσεως Διοδώρυ τῦ Σικελιώτυ. — — — 313

Σελ.
Ἄρθρ. Β'. Περὶ ἧς ἐλάλησε διαλέκτου οἱ ἐξ Αἰγύπτου ἐξελθόντες Ἑβραῖοι — — — — — — — — — 315
Ἄρθρ. Γ'. Περὶ τῶν ματαίων τῆ κριτικῆ ἐνστάσεων κατὰ τῶν ἐν Σινᾷ ὄρει δοθέντων νόμων. — — — — — — 317
Ἄρθρ. Δ'. Περὶ τῶν ἐντόμων, ἅπερ ἔδει τῷ Θεῷ ἀποστεῖλαι πρὸς κατάθλιψιν τῶν Χαναναίων. — — — — — 319
Ἄρθρ. Ε'. Περὶ τῶν ἀληθινῶν τῆς ἐπαγγελθείσης γῆς ὁροθεσίων, καὶ τῆς περὶ τούτων τῆ κριτικῆ ἀμαθείας. — — 320
Ἄρθρ. ς'. Περὶ τῆ ἐὰν ἡ περὶ τῆ Μωϋσέως ἱστορία μίμησις ὑπάρχῃ τῆς περὶ τῆ Διονύσου. — — — — — — 323
Ἄρθρ. Ζ'. Περὶ τῆ χρυσῆ μόσχου. — — — — — — 325
Ἄρθρ. Η'. Περὶ τῆ ἐὰν οἱ ἔνοπλοι, οἱ ἐν τούτῳ τῷ συμβάντι φονευθέντες, ἦσαν τρεῖς χιλιάδες πρὸς ταῖς εἴκοσι. — 329
Ἄρθρ. Θ'. Περὶ τῆ ποίαν ἔννοιαν ἔχει τὸ, ὁ Θεὸς ἐλάλει τῷ Μωϋσεῖ ἐνώπιος ἐνωπίῳ. — — — — — — — 331
Ἄρθρ. Ι' Περὶ τῶν ἀναλωθέντων εἰς κατασκευὴν τῆς Κιβωτοῦ, καὶ τῆς Σκηνῆς. — — — — — — — — 332
Ἄρθρ. ΙΑ'. Ἐν ᾧ τὰ περὶ τῶν ἀκαθάρτων ζώων τῆ κριτικῆ σφάλματα — — — — — — — — — 333
Ἄρθρ. ΙΒ'. Ἐν ᾧ αἱ τῆ κριτικῆ κατὰ τῆ Μωϋσέως ψευδομέμψεις περὶ τῆς τῆ Ἀαρὼν Ἀρχιερωσύνης. — — — 334

ΚΕΦΑΛΑΙΟΝ, Ζ'.

Περὶ τῆ τῆς Γενέσεως βιβλίου. — — — — — — 336
Ἄρθρ. Α'. Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρους τῆς Γενέσεως, καὶ τὰ τῆ κριτικῆ ἄτοπα, τὰ περὶ τὰ πρῶτα αὐτῆς ἐδάφια. — 336
Ἄρθρ. Β'. Περὶ τῆ πῶς πρὸ τῆς τῶν Ἄστρων ὑπάρξεως ἔλαμπε τὸ φῶς ἐν τῷ στερεώματι. — — — — — — 338
Ἄρθρ Γ'. Περὶ τῆ ἐὰν ὁ Μωϋσῆς ἀφῆκε τὸς Ἰουδαίοις πιστεύειν, ὅτι ὁ Θεὸς ἐστὶν ἐνσώματος. — — — — — 339
Ἄρθρ. Δ'. Περὶ τῆς θέσεως τῆ ἐπιγείου Παραδείσου. — — 340
Ἄρθρ. Ε'. Περὶ τῆ ξύλου τῆ εἰδέναι καλὸν καὶ πονηρόν. — — 442
Ἄρθρ. ς'. Περὶ τῆ ὄφεως τῆ ἀπατήσαντος τὸς πρώτους πατέρας ἡμῶν. — — — — — — — — — — 345
Ἄρθρ. Ζ'. Περὶ τῆς ἐξορίας τῶν πρωτοπλάστων ἐκ τῆ παραδείσου. 346
Ἄρθρ. Η'. Περὶ τῆ φονευθέντος Ἄβελ, καὶ περὶ τῆ ἐὰν ὑπῆρχέ τις τότε λαός. — — — — — — — 347

Ἄρθρ. Θ'. Περιέχον τὴν ἑρμηνείαν ῥητῶν τινων κακῶς ὑπὸ τῆ κριτικῆ νοηθέντων. — — — — — — — — 349

ΚΕΦΑΛΑΙΟΝ, Η'.

Ἐν ᾧ ἡ ἀκολουθία τῶν ἀπαντήσεων εἰς τὰς δυσκολίας, τὰς κατὰ τῆ βιβλίη τῆς Γενέσεως. — — — — — 350
Ἄρθρ. Α'. Περὶ κατακλυσμῆ, ᾗ τῆς Κιβωτῆ. — — — 350
Ἄρθ. Β'. Περὶ τῆ ἐὰν ἡ Γραφὴ ἀπονέμῃ τοῖς ζώοις τὸν λόγον ᾗ τὸ ἐλεύθερον ὥσπερ ᾗ τῷ ἀνθρώπῳ. — — — — 355
Ἄρθρ. γ'. Περὶ τῆ ἐὰν ὁ Βάκχος ἐφύτευσεν ἄμπελον πρὸ τῆ Νῶε. — — — — — — — — 357
Ἄρθρ. Δ'. Περὶ τοῦ ἐὰν ἡ παλαιὰ ἀρχαιότης ἐγνώρισε τὸν Χὰμ, ᾗ τοὺς ἄλλους υἱοὺς ᾗ ἐγγόνας τῆ Νῶε. — — 358
Ἄρθρ. Ε'. Περὶ τῆς διαλέκτῃ τῶν ἀπογόνων τῆ Νῶε. ᾗ τῆ πλήθος αὐτῶν, ὅτε τὸν τῆς χαλάνης πύργον ᾠκοδόμων. — 359
Ἄρθρ. ς'. Περὶ τῆ χρόνῃ τῆς προσκλήσεως τῆ Ἀβραὰμ, ᾗ τῆς ὑποκρίσεως αὐτῆ πρὸς τὸν βασιλέα τῆς Αἰγύπτῃ. — 362
Ἄρθρ. Ζ' Περὶ τῆς ἐπιστροφῆς τῆ Ἀβραὰμ ἐν τῇ γῇ Χαναὰν, ᾗ τῆς ἰσχύος τῶν ὑπ' αὐτῆ πολεμηθέντων Βασιλέων. — 364
Ἄρθρ. Η'. Περὶ τῆς περιτομῆς — — — — — — 367
Ἄρθρ. Θ. Περὶ τῆ σφάλματος τῆ κριτικῆ περὶ τῆς ἐμφανείας τῶν Ἀγγέλων. — — — — — — — 369
Ἄρθρ. Ι'. Ἐν ᾧ αἱ τῆ κριτικῆ ἀμφιβολίαι περὶ τῆς ἁμαρτίας τῶν Σοδομιτῶν, ᾗ τῆς τούτων ποινῆς. — — — — 372
Ἄρθρ. ΙΑ'. Περὶ τῆ ἐὰν ὑπῆρχε πόλις ᾗ Βασιλεὺς ἐν τῇ τῶν Γεράρων περιχώρῳ. — — — — — — — 375
Ἄρθρ. ΙΒ'. Περὶ τῆς τῆ Ἀβραὰμ θυσίας. — — — — 377
Ἄρθρ. ΙΓ'. Περὶ τῆ ἐὰν ἡ τιμὴ τῆ ὑπὸ τῆ Ἀβραὰμ ἀγορασθέντος ἀγρῆ ὑπερβολικὴ, τὸ δὲ ἀργύριον ἰσότιμον ἦν τότε τῷ χρυσίῳ. — — — — — — — — — 378
Ἄρθρ. ΙΔ'. Περὶ τῶν τῆ κριτικῆ ματαίων ἐνστάσεων κατὰ τῆς Χεττέρας, ᾗ τῆ τῶν πρωτοτοκίων δικαιώματος. — — — 380

ΚΕΦΑΛΑΙΟΝ, Θ'.

Περιέχον τὴν ἀκολουθίαν τῆς ἀποκρίσεως πρὸς τὰς κατὰ τῆ βιβλίη τῆς Γενέσεως δυσκολίας. — — — — — 382

Σελ.

Ἄρθρ. Α'. Περὶ τῆς πράσεως τῶν πρωτοτοκίων τȣ̃ Ἡσαῦ, ϗ τῆς ἰδιότητος τῆς γῆς τῶν Γεράρων. — — — — 382
Ἄρθρ. Β'. Περὶ τῆς ἀπάτης, ἣν μετῆλθεν ὁ Ἰακὼβ, ἵνα λάβῃ τὴν εὐλογίαν τȣ̃ Ἰσαάκ. — — — — — — 384
Ἄρθρ. Γ'. Περὶ τȣ̃ ἐὰν ἀληθῶς οἱ τȣ̃ Ἡσαῦ ἀπόγονοι ἔλαβον συνεχῆ τινα ὑπεροχὴν ἐπὶ τȣ̀ς καταγομένȣς ἐκ τȣ̃ Ἰακώβ. 385
Ἄρθρ. Δ'. Περὶ τȣ̃ ἐὰν πρὸ τȣ̃ Ἀβραὰμ ϗ Ἰακὼβ εἶχον τὰ ἄλλα ἔθνη μαντεῖα, ὑποσχόμενα αὐτοῖς τὴν τῆς οἰκȣμένης κυριότητα. — — — — — — — — — 387
Ἄρθρ. Ε'. Περὶ τȣ̃ πῶς ἐποίησεν ὁ Ἰακὼβ τὰ πρόβατα ῥαντά. 388
Ἄρθρ. ϛ'. Περὶ τȣ̃ ἐὰν ὁ τȣ̃ Ἀβραὰμ οἶκος ἦν διαπαντὸς εἰδωλολάτρης. — — — — — — — — — 390
Ἄρθρ. Ζ'. Περὶ τȣ̃ ἐὰν ὁ Ἰακὼβ ἐπάλαισε μόνῳ φάσματι. ϗ περὶ τῆς σημασίας τȣ̃ ὀνόματος Ἰσραήλ. — — — 391
Ἄρθρ. Η'. Περὶ τῆς κατὰ τῆς Δείνας βίας, ϗ τῶν ἐπακολȣθημάτων αὐτῆς, ϗ περὶ τȣ̃ ἐὰν αὐτὴ τότε ἦν μόνον ἑξαέτης. 392
Ἄρθρ. Θ'. Περὶ τȣ̃ ὀνόματος Ἐφραθᾶ, τȣ̃ δοθέντος τῇ Βηθλεὲμ, ϗ τῆς διαδοχῆς τῶν τῆς Ἰδȣμαίας, Βασιλέων. — 394
Ἄρθρ. Ι'. Περὶ τῆς τȣ̃ Ἰωσὴφ πράσεως· ϗ περὶ τȣ̃ ἐὰν ἡ λέξις, ᾄδης, σημαίνῃ ἐνταῦθα μνημεῖον. — — — — — 396
Ἄρθρ. ΙΑ'. Περὶ τῶν παχυλῶν τȣ̃ κριτικȣ̃ σφαλμάτων περὶ τῶν λέξεων, κιλίκιον. ϗ εὐνȣ̃χος. — — — — — 397
Ἄρθρ. ΙΒ'. Περὶ τȣ̃ ἐὰν τῷ τῆς Γενέσεως συγγραφεῖ γνωςὴ ἦν ἡ τῶν Αἰγυπτίων θρησκεία. — — — — — 399
Ἄρθρ. ΙΓ'. Περὶ τȣ̃ ἐὰν ὁ Ἰωσὴφ μετῆλθε τὴν μαγείαν. — 400
Ἄρθρ. ΙΔ'. Περὶ τȣ̃ ἐὰν συνέφερε τοῖς υἱοῖς Ἰακὼβ σιωπῆσαι τὸ ὅτι ἦσαν Ποιμένες. — — — — — — — 402
Ἄρθρ. ΙΕ'. Περὶ τȣ̃ ἐὰν τὸ τȣ̃ Ἰωσὴφ ὑπȣ́ργημα ἦν τυραννία ἄτοπος. — — — — — — — — — — 403

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

Περὶ τοῦ κύρους καὶ τῆς ἀληθείας τῶν τῆς νέας Διαθήκης Βιβλίων.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ τῶν τεσσάρων Εὐαγγελίων.

ΑΡΘΡΟΝ Α.

Περιέχον τὰς ἀποδείξεις τοῦ τῶν Εὐαγγελίων κύρους.

Ἀπὸ τοῦ καθ' ἡμᾶς ἄχρι τοῦ πρώτου αἰῶνος τοῦ χριστιανικοῦ ἔτους οὐδεὶς αἰὼν ἐστιν ὁ μὴ παρασχὼν πολλοὺς ἐκκλησιαστικοὺς συγγραφεῖς, ὧν τινὲς μὲν τῶν πρὸ τοῦ πρὸ αὐτῶν αἰῶνος συγγραψάντων, πάντες δὲ τῶν ἁγίων Εὐαγγελίων μνημονεύουσι. Περιττή ἐστιν ἡ τούτων ἐπαρίθμησις, καὶ ἡ τῆς σειρᾶς τῶν μαρτυριῶν αὐτῶν ἔκθεσις· διότι ἀπαλλάττουσιν ἡμᾶς τοῦ τοιούτου πόνου οἱ ἀποφαντικῶς τῇ ἀπιστίᾳ ἑαυτοὺς ἐκδόντες, ἀναγκαζόμενοι ὁμολογεῖν, ὅτι ἐν τῇ ἀρχῇ τοῦ τετάρτου αἰῶνος πάντες κοινῶς, οἵτε χριστιανοὶ καὶ οἱ ἐθνικοὶ ἐγνώριζον τὰ τέσσαρα

σαρα Εὐαγγέλια ὡς συγγράμματα τῶν τεσσάρων ποιητῶν, ὧν φέρουσι τὰ ὀνόματα· τῷ ὄντι δὲ ὁ μὲν Εὐσέβιος, συγγράφων κατὰ τὴν ἀρχὴν τῦ τετάρτυ αἰῶνος, τάττει τὴν τετρακτὺν τῶν Εὐαγγελίων ἐν τῇ κορυφῇ τῶν ὁμολογυμένων θείων Γραφῶν· ὁ δὲ Ἰυλιανὸς ὁ Αὐτοκράτωρ ἐν τῷ πονήματι αὐτῦ, τῷ ὑπὸ τῦ ἐν ἁγίοις Κυρίλλυ ἀνασκευασθέντι, ῥητῶς μνείαν τύτων ποιεῖται· ἐπ' ὀνόματι τῦ Ματθαίυ, Μάρκυ, Λυκᾶ, Ἰωάννυ.

Εὐσ. β. 3. κ. 24. τῆς Ἐκκλ. Ἱστ.

2. Ἀλλ' ὐδὲ περὶ τῦ τρίτυ αἰῶνος ἀμφισβητῦσιν οἱ ἀντίπαλοι ἡμῶν· ἐν ᾧ καθορῶνται ἐν διαφόροις τόποις, ἐξόχως δὲ ἐν τῇ Ἀφρικῇ, οἱ μὲν τῆς Ἐκκλησίας ὑπηργοὶ βασάνυς ὑπομεῖναι ςήρξαντες καὶ θάνατον μᾶλλον ἢ προδῦναι τὰ Ἱερὰ βιβλία, ὧν ἦσαν φύλακες· ὁ δὲ θεῖος Κυπριανὸς μνημονεύων αὐτῶν ἐν ταῖς διδασκαλίαις αὐτῦ· ὁ δὲ Τερτυλλιανὸς τύτοις χρώμενος ἐν ταῖς κατὰ τῶν εἰδωλολατρῶν, καὶ αἱρετικῶν προσδιαλέξεσιν· ὁ δὲ Ὠριγένης, ἀρχομένυ τῦ αὐτῦ αἰῶνος, ἐν τῷ κατὰ τὴν Ἀλεξάνδρειαν Σχολείῳ παῤῥησίᾳ διερμηνεύων τὰ τοσῦτον πολύτιμα τοῖς χρισιανοῖς βιβλία, εἶτυν ταῦτα τὰ τέσσαρα Εὐαγγέλια, εἶτα καὶ κοινολογῶν τὰς εἰς αὐτὰ ἑρμηνείας αὐτῦ. Ὡς ἐν παραδόσει (ἔλεγεν ὅτος ὁ περίφημος διδάσκαλος, ὃν σοφώτερον τῶν συγχρόνων αὐτῷ ἐγνώρισεν ὁ Πορφύριος) „ μαθὼν πε-
„ ρὶ τῶντεσσάρων Εὐαγγελίων, ἃ καὶ μόνα ἀναντίῤῥητά ἐςιν ἐν τῇ
„ ὑπὸ τὸν ὐρανὸν Ἐκκλησίᾳ τῦ Θεῦ.

Ὠριγ. ἐν τῇ ἀρχῇ εἰς τὸ κατὰ Ματθ. ὑπομν.

3. Ἀλλ' ἰδὲ κατηντήσαμεν εἰς τὸν δεύτερον αἰῶνα· ἐν τῷ τέλει ὗν τύτυ ὁ ἅγιος Εἰρηναῖος ἐλάλει ὕτω. „ Τοιαύτη ἐςὶν ἡ πε-
„ ρὶ τὰ Εὐαγγέλια βεβαιότης, ὥςε καὶ αὐτὰς τὰς αἱρετικὰς ὑπὲρ
„ αὐτῶν μαρτυρεῖν, καὶ τὸ κῦρος αὐτῶν δανείζεσθαι πρὸς τὸ ἐπιςηρίζειν τὴν διδασκαλίαν αὐτῶν· οἱ μὲν γὰρ Ἐβιωναῖοι οἱ μόνῳ τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ χρώμενοι, δι' αὐτῦ τύτυ ἐλέγχονται,
„ ὡς μὴ ὀρθῶς περὶ τῦ Κυρίυ λογιζόμενοι· ὁ δὲ Μαρκίων, ὁ περικείρων τὸ κατὰ Λυκᾶν, διὰ τῶν παρ' αὐτῷ ἔτι σωζομένων ἀποσπασμάτων βλάσφημος κατὰ τῦ μόνυ ὑπάρχοντος Θεῦ δείκνυται· οἱ δὲ
„ τὸν Ἰησῦν χωρίζοντες ἀπὸ τῦ Χριςῦ, καὶ ἀπαθῆ μὲν διαμεῖναι
„ τὸν Χριςὸν, παθητὸν δὲ τὸ Ἰησῦν λέγοντες, διορθωθῆναι δύνανται, ἐὰν ἀληθείας πόθῳ ἀναγνῶσι τὸ ὑπ' αὐτῶν προτιμώμενον
„ κατὰ Μάρκον Εὐαγγέλιον· οἱ δὲ ἀπὸ Οὐαλεντίνυ, οἱ ὅλῳ τῷ
„ κατὰ Ἰωάννην χρώμενοι πρὸς ἀπόδειξιν τῶν συζυγιῶν αὐτῶν, ἐξ
„ αὐτῦ τύτυ δῆλοι γίνονται, μηδὲν ὀρθὸν λέγοντες, ὡς ἐν τῷ
„ πρώτῳ βιβλίῳ (κεφ. γ'.) ἐδείξαμεν· ἐπειδὴ δὲ οἱ ἀντιλέγοντες μαρτυρίαν ἡμῖν παρέχυσι, καὶ τύτοις χρῶνται (τοῖς Εὐαγγελίοις) βε-

Εἰρην. β. 3. κ. 11. κατὰ αἱρεσ.

„ βαία

„ βαία ἄρα καὶ ἀληθής ἐςιν ἡ ἡμετέρα ὑπὲρ αὐτῶν ἀπόδειξις. Ἰδὺ τα τέσσαρα Εὐαγγέλια κατ' ὄνομα ὑπὸ τȣ̃ ἐν ἁγίοις Εἰρηναίȣ προβαλλόμενα, ὡς κῦρος ἔχοντα ȣ̓ μόνον ἐν τῇ καθολικῇ Εκκλησίᾳ, ἧς αὐτὸς ἦν ἐπίσκοπος, καὶ τῶν δογμάτων ὑπέρμαχος, ἀλλὰ καὶ ἐν ταῖς τῶν αἱρετικῶν φατρίαις, ὧν ἡ μὲν τȣ̃το, ἡ δὲ ἐκεῖνο τὸ Εὐαγγέλιον ἐδέχετο, κατὰ τὴν φαντασίαν αὐτῆς καὶ τὸ συμφέρον, τῆς καθολικῆς Εκκλησίας πάντα ὡς ἀναμφίβολα δεχομένης· ȣ̓τος ὁ ἅγιος μάρτυς ταῦτα ἐδίδασκεν ἐν τῇ ἡμετέρᾳ Γαλλίᾳ, παραλαβὼν αὐτὰ ἐκ νεότητος αὐτȣ̃ ἐν τῇ Ασίᾳ, ὅπȣ, ὡς αὐτὸς μαρτυρεῖ, ἐδιδάχθη ὑπὸ τȣ̃ ἐν Αγίοις Πολυκάρπȣ, μαθητȣ̃ τȣ̃ Εὐαγγελιςȣ̃ Ἰωάννȣ.

Εἰρην. ἐν τῇ πρὸς Φλωριν. ἐπις.

4. Πρόσθες τῇ μαρτυρίᾳ ταύτῃ τὴν τȣ̃ ἁγίȣ Ἰȣ̓ςίνȣ τȣ̃ φιλοσόφȣ· μεταξὺ τῶν πολλῶν συγγραμμάτων, τῶν ὑπ' αὐτȣ̃ κατὰ τὸ μέσον τȣ̃ δευτέρȣ αἰῶνος ἐκδοθέντων, εἰσὶν αἱ δύω ὑπὲρ τῶν χριςιανῶν ἀπολογίαι· ȣ̓τος ȣ̓ν ȣ̓ μόνον ὀνομαςὶ μνημονεύει τῶν ἡμετέρων τεσσάρων Εὐαγγελίων, ἀλλὰ καὶ ἐπιβεβαιοῖ, ὅτι καὶ καθ' ἑκάςην κυριακὴν ἀνεγίνωσκον αὐτὰ παῤῥησίᾳ ἐν ταῖς τῶν χριςιανῶν συνελεύσεσιν· ὁ δὲ Παπίας, ἵνα καὶ εἰς τὰ ἔτι ὑψηλότερα ἀναβῶμεν, ὁ Ιεραπόλεως ἐπίσκοπος, συγγράφων ἐν τῇ ἀρχῇ τȣ̃ δευτέρȣ αἰῶνος τὰ βιβλία, ὧν ἀποτμήματα διέσωσεν ὁ Εὐσέβιος, μνημονεύει ῥητῶς τῶν Εὐαγγελίων τȣ̃τε κατὰ Ματθαῖον, καὶ τȣ̃ κατὰ Μάρκον, μαρτυρῶν, ὅτι ἐν τοῖς κατ' αὐτὸν χρόνοις, τȣ̓τέςι κατὰ τὸ 120 ἀπὸ Χριςȣ̃ ἔτος, ἐφέροντο διάφοροι ἑλληνικαὶ μεταφράσεις τȣ̃ πρωτοτύπȣ ὕφȣς τȣ̃ ἁγίȣ Ματθαίȣ·

Ἰȣ̓ς. ἐρωτ. 87. 131. καὶ Διαλ. πρὸς Τρυφ. Ἰȣ̓ς. ἀπορ. 2.

Εὐσ. β. 3. κ. 39. Ἐκκλ. Ἱςορ.

Ἄ ΡΘΡΟΝ Β'.

Περὶ τȣ̃ ὅτι τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἐμνημονεύετο ἐν τῷ πρώτῳ αἰῶνι.

1. Τὶ δ' ἄντις συλλογισθῇ περὶ τῆς ἑξῆς ἀποφάνσεως τȣ̃ συγγραφέως τῆς τελευταῖον διερμηνευθείσης „διαθήκης; Ὁ συγγραφεὺς, „ φησὶν αὐτὸς, τȣ̃ κατὰ Ματθαῖον Εὐαγγελίȣ ἤκμασεν ἐν τῇ ἀρ„ χῇ τȣ̃ δευτέρȣ αἰῶνος

Πῶς; ἄνθρωπος ψεύςης ἐτόλμησεν ἐκδȣ̃ναι ἐν τῇ ἀρχῇ τȣ̃ δευτέρȣ αἰῶνος ἐπὶ τῷ ὀνόματι τȣ̃ ἁγίȣ Ματθαίȣ Εὐαγγέλιον, κατὰ τὴν αὐτȣ̃ ἀρέσκειαν κατεσκευασμένον, ζώντων ἔτι τῶν Αποςόλων

λων, καὶ εὑρισκομένων ἔτι ἐν τῇ Ἰουδαίᾳ πολλῶν χιλιάδων χριστιανῶν, οἵτινες συνέζησαν τῷ ἁγίῳ Ματθαίῳ, καὶ ὑπ' αὐτοῦ ἐδιδάχθησαν; εἶτα ἡ τοσοῦτον φανερὰ ἀπάτη εὐτύχησε τοσοῦτον, ὥστε μόνον ὀδεὶς ἦρε φωνὴν κατ' αὐτῆς, ἀλλὰ καὶ πολλοὶ μὲν ἠγωνίσθησαν ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ αὐτοῦ αἰῶνος μεταφράσαι αὐτὸ πρὸς χρῆσιν τῶν ἐν Φρυγίᾳ Ἐκκλησιῶν· αἱ δὲ Ἐκκλησίαι τῆς Ἀσίας, ὧν ἐν μέσῳ ὁ ἅγιος Εἰρηναῖος ἐδιδάχθη, καὶ αἱ τῆς Ῥώμης, ὅπου ὁ ἐν ἁγίοις Ἰουστῖνος ἐδημοσίευε τὰς ἀπολογίας αὐτοῦ, καὶ αἱ τῆς Παλαιστίνης, ὅπου ὁ αὐτὸς μάρτυς ἐγεννήθη, ἠνλαβοῦντο, καὶ ἀκαταπαύστως ἀνεγίνωσκον ἐν ταῖς αὐτῶν συνελεύσεσι τὸ ἄδηλον ποίημα τοῦ πονηροῦ ἀνθρώπου, ὡς σύγγραμμα Ἀποστόλου πρὸ ὀλίγου ἀποθανόντος, καὶ ταῦτα εὐθὺς ὅτε τοῦτο ἐνεφανίσθη ἐν τῷ κόσμῳ, καὶ εἶδε τὸ φῶς.

2. Ἀλλὰ πῶς καταντήσει τὸ παράδοξον, ὅπερ ὁ ἄπιστος ἔτος ἐφαντάσθη, ἐὰν δείξωμεν τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, τὸ κατασκευασθὲν, ὡς αὐτὸς λέγει, ἐν τῇ ἀρχῇ τοῦ δευτέρου αἰῶνος, μνημονευόμενον ἐν βιβλίοις συγγεγραμμένοις ἐν τῷ τέλει τοῦ πρώτου αἰῶνος; τῷ ὄντι δὲ τὸ 13. ἐδάφιον τοῦ 9. κεφαλαίου, καὶ τὸ 4. τοῦ 20, καὶ τὸ 42. τοῦ 22. τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου ἀναμιμνήσκονται ἐν τῇ ἐπιστολῇ τοῦ Ἀποστόλου Βαρνάβα, ἥτις κατὰ τὴν τῶν κριτικῶν γνώμην ἔργον ἐστὶ τοῦ πρώτου αἰῶνος, καθ' ἃ τινες περὶ τοῦ συγγραφέως αὐτῆς ἀμφιβάλλωσιν· ὡσαύτως τὸ πρῶτον τῶν εἰρημένων ἐδαφίων τοῦ Εὐαγγελίου Ματθαίου, καὶ τὸ 32. τοῦ δεκάτου κεφαλαίου, τὸ 24. τοῦ 6., τὸ 21. καὶ 23. τοῦ 7., τὸ 50. τοῦ 12., τὸ 6. τοῦ 18., καὶ τὸ 24. τοῦ 26. προβάλλονται ἐν ταῖς δυσὶν ἐπιστολαῖς τοῦ ἁγίου κλήμεντος, ὡς ἐξηγμένα ἐκ τῶν Εὐαγγελίων, καὶ ὡς λόγια Κυρίου, παραδεδομένα ὑπὸ τῆς θείας Γραφῆς· ὁμοίως ὁ ἅγιος Ἰγνάτιος Ἀντιοχείας, ὁ ἐν τῇ ἀρχῇ τοῦ δευτέρου αἰῶνος τελευτήσας, ἐν μὲν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ αὐτοῦ προτείνει τὸ 33. ἐδάφιον τοῦ 12. κεφαλαίου τοῦ αὐτοῦ Εὐαγγελίου, ἐν δὲ τῇ πρὸς τοὺς ἐν Σμύρνῃ, ῥήσεις ἐξαχθείσας ἐκ τοῦ 15. ἐδαφίου τοῦ 3. κεφαλαίου, καὶ ἐκ τοῦ 12. τοῦ 15., ἐν δὲ τῇ πρὸς τὸν ἅγιον Πολύκαρπον, ἐκ τοῦ 16. τοῦ 10. *)

Ὅρα τὸν 1. Τόμ. τῶν Καθολικ. πατέρ

3. Οὐ-

*) Ἐπειδὴ παρέθηκα τὰς δύο ἐπιστολὰς τοῦ ἁγίου Πάπα Κλήμεντος, καὶ τὰς τοῦ ἁγίου Ἰγνατίου Ἀντιοχείας, ἐκ ἔξεστί μοι σιωπῆσαι τὰ περὶ τούτων εἰρημένα ἐν τῇ τοῦ κυρίου Βυρίγου ἐπιτομῇ τοῦ ὑπομνήματος τοῦ περὶ τῶν ἐν

3. Οὐδὲν ἕτερον ἔλειπε τῷ ὑπὸ πάσης τῆς ἀρχαιότητος ἐλεγχθέντι ἀπίστῳ, εἰμὴ τὸ αὐτὸν ἀναδεῖξαι, ἑαυτὸν ψεύστην ὅπερ δὴ πεποίηκεν, ἀφορμὴν λαβὼν ἀπὸ τούτων τῶν τοῦ Ιησοῦ Χριστοῦ

τοῖς πρώτοις τῆς Ἐκκλησίας αἰῶσιν ὑποθετικῶν συγγραμμάτων· λέγει οὖν αὐτὸς κατ' ἀρχὰς, ὅτι ὁ Εὐσέβιος, ὁ Ἱερώνυμος, καὶ ὁ Φώτιος ἀναιροῦσιν ἀπολύτως τὴν δευτέραν τῶν τοῦ ἁγίου Κλήμεντος ἐπιστολῶν· „ἀλλ' ἰδοὺ τὸ τοῦ Εὐσεβίου ῥητὸν αὐτολεξεί. „Γ-στέον δὲ, ὡς καὶ δευτέρα τις εἶναι λέ-„γεται τοῦ κλήμεντος ἐπιστολὴ, οὐ „μὴν ἔθ' ὁμοίως τῇ προτέρᾳ καὶ ταύ-„την γνώριμον ἐπιστάμεθα. Ἆρά γε δὲ ἀπολύτως ἀναιροῦμεν, λέγοντες, ὅτι τὸ ἕτερον τῶν συγγραμμάτων τοῦ αὐτοῦ συγγραφέως ἐστὶν ἧττον ἐγνωσμένον καὶ ἐπιφανὲς τοῦ ἑτέρου; Ἰδοὺ καὶ τὰ τοῦ Φωτίου λόγια· „ἀνέγνων, λέγει, βιβλιδάρι-„ον, ἐν ᾧ κλήμεντος ἐπιστολαὶ πρὸς „Κορινθίους δύω ἐνεφέροντο· ὧν ἡ „πρώτη δι' αἰτίας αὐτοὺς ἄγει, στά-„σεσι καὶ ταραχαῖς καὶ σχίσμασι τὴν „πρέπουσαν αὐτοῖς εἰρήνην καὶ ὁμόνοι-„αν ἐμπολιτεύεσθαι, λύσαντας, καὶ „παραινεῖ παύσασθαι τοῦ κακοῦ ἀ-„πλοῦς δὲ κατὰ τὴν φράσιν καὶ σα-„φής ἐστι, καὶ ἐγγὺς τοῦ Ἐκκλησια-„στικοῦ καὶ ἀπεριέργου χαρακτῆρος· „αἰτιά σοιτο δ' ἄντις αὐτὸν ἐν ταύ-„ταις, ὅτι τε τοῦ ὠκεανοῦ ἔξω κόσ-„μους τινὰς ὑποτίθεται εἶναι· καὶ δεύ-„τερον ἴσως, ὅτι ὡς παναληθεστά-„τῳ τῷ κατὰ τὸν φοίνικα τὸ ὄρνεον „ὑποδείγματι κέχρηται· καὶ τρίτον, „ὅτι ἀρχιερέα καὶ προστάτην τὸν Κύ-„ριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξονο-„μάζων, οὐδὲ τὰς θεοπρεπεῖς καὶ ὑ-„ψηλοτέρας ἀφῆκε περὶ αὐτοῦ φω-„νάς· οὐ μὴν οὐδὲ ἀπαρακαλύπτως „αὐτὸν οὐδαμοῦ ἐν τούτοις βλασφημεῖ.

Ἐν Τ. 22. τῆς ἱστορ. τῆς Ἀκαδ. τῶν Ἐπιγρ. σελ. 95.

Ηύσ. β. 3. κ. 38. Ἐκκλ. ἱστορ.

Κάδ. 126. Μυριοβιβ.

Φανερόν ἐστι ὅτι ὁ Φώτιος ἐνταῦθα οὐ μόνον οὐκ ἀναιρεῖ τὴν δευτέραν τῶν ἐπιστολῶν τοῦ ἁγίου Κλήμεντος, ἀλλὰ καὶ ἀπονέμει αὐτῷ ἑκατέραν, ἐπισημειῶν μόνον ὅπερ ἔνιοι τῶν κριτικῶν ἐλέγξαι δύνανται περὶ οὗ ἡμεῖς μετ' ὀλίγον ἀποκριθησόμεθα· ὁ δὲ Ἱερώνυμος ἀληθῶς ἐν τῷ καταλόγῳ τῶν ἐκκλησιαστικῶν συγγραφέων λέγει σαφῶς, „ὅτι ἡ δευτέρα τῶν „ἐπιστολῶν τῶν τῷ ἁγίῳ Κλήμεντι ἀ-„πονεμομένων ἀποδοκιμάζεται ὑπὸ τῶν „ἀρχαίων, Τοῦτο δὲ οὐ μόνον οὐκ ἔστι τὸ ὑπὸ τοῦ Εὐσεβίου εἰρημένον, ἀλλ' ἀπέχει καὶ τῶν λόγων τοῦ Ῥουφίνου, τοῦ κακῶς μεταφράσαντος τὸν Εὐσέβιον, καὶ παραστήσαντος αὐτὸν εἰπόντα, ὅτι οὐδόλως γνωρίζει τὴν ἐπιστολὴν ταύτην· ὁ ἅγιος ὅμως Ἐπιφάνιος καὶ τὰς δύω ἐγνώριζε.

„Ἡ πρώτη, προστίθησιν ὁ Ἀκα-„δημαϊκὸς (ὁ Βουρίγνυς,) τῶν ἐπιστο-„λῶν τοῦ ἁγίου Κλήμεντος, κἂν ὑπὸ „τοῦ Ῥουφίνου μετεφράσθη, φέρει ὅ-„μως ἐν ἑαυτῇ χαρακτῆρας ἀμαθίας, „μὴ συγχωροῦντας συγκαταλέξαι αὐ-„τὴν τοῖς τοῦ ἁγίου τούτου προέδρου

Ματθ. 24. 34. Λουκ. 21. 32.

„ ςῦ ῥημάτων· τῦ ὐμὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν ταῦτα πάντα γένηται. „Ὁ αὐθάδης ὕτος προτείνας τὸ ῥητὸν τῦτο, τὸ ἐν τῷ κατὰ Ματθαῖον, ὡσαύτως καὶ ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ, ἐπανα-

„ φιλοπονήμασιν. Ἐκ τύτων τὶς ὐκ „ ἂν νομίσῃ, ὅτι τὸ μεῖζον τῶν συςατικῶν τῆς ἐπιςολῆς ταύτης ἐςὶν αὐτὸ τὸ μεταφρασθῆναι αὐτὴν ὑπὸ τῦ Ῥυφίνυ; ἀλλ' ὁ ἐν ἁγίοις Διονύσιος ὁ Κορίνθυ ἐν τῇ πρὸς τὸν Σωτῆρα τὸν Ῥώμης ἐπίσκοπον ἐπιςολῇ αὐτῦ μαρτυρεῖ, ὅτι ἀνέκαθεν ἐξ ἀρχαίυ ἔθυς τὴν ὑπὸ τῦ Κλήμεντος ςαλεῖσαν αὐτῷ ἐπιςολὴν ἐν τῇ Ἐκκλησίᾳ αὐτῦ ἀνεγίνωσκον· ὁ ἅγιος Εἰρηναῖος ἀνακηρύττει αὐτὴν ἱκανωτάτην· ὁ Κλήμης ὁ Ἀλεξανδρεὺς παρατίθησιν αὐτὴν ἐν τοῖς ἑαυτῦ ςρώμασιν ὕτως, ὡς καὶ παρ' ἡμῖν σώζεται· ὁ Ὠριγένης μνημονεύει αὐτῆς ἐν τῷ ὑπομνήματι αὐτῦ εἰς τὸ κατὰ Ἰωάννην, καὶ δια τῦ κύρυς αὐτῆς συνίςησιν ἄλλυς κόσμυς πέραν τῦ ὠκεανῦ· ὁ Εὐσέβιος, ὁ τῦ Ῥυφίνυ ἀρχαιότερος, καλεῖ αὐτὴν ἐπιςολὴν μεγάλην καὶ θαυμασίαν· ὁ Ἱερώνυμος ἐν δυσὶ τόποις τῶν ὑπομνημάτων αὐτῦ προτείνει δύω ῥητὰ ἐξ αὐτῆς τοιαῦτα, οἷα καὶ ἡμεῖς ἄχρι τῆς σήμερον ἀναγινώσκομεν· ἐν δὲ τῷ ἑαυτῦ καταλόγῳ τῶν ἐκκλησιαςικῶν συγγραφέων παραβάλλει αὐτὴν τῇ πρὸς Ἑβραίυς ἐπιςολῇ· ὁ ἐν ἁγίοις Κύριλλος Ἱεροσολύμων ἀναμιμνήσκει αὐτὴν ἐν τῷ περὶ τῦ φοίνικος ἄρθρῳ, τῦ μόνυ παρασχόντος ἀφορμὴν κατηγορηθῆναι αὐτὴν ἀμαθίας, τοιύτυ ἁγίυ προέδρυ ἀναξίας ἡ δὲ κατηγορία πρύτέθη μὲν ἐν τῇ τῶν ὑπομνημάτων τῆς Ἀκαδημίας ἐπιτομῇ, ὐδὲν ὅμως περὶ αὐτῆς ἐῤῥέθη· ἀλλ' ἆρά γε ἡ χρῆσις τῦ παραδείγματος, τῦ κατ' ἐκεῖνον τὸν αἰῶνα δεκτῦ παρὰ πᾶσι, πρὸς τὸ ποιῆσαι τὸν λόγον ὠφελιμώτερον, ἐςὶν ἔργον ἀνάξιον τῦ Ῥώμης ἐπισκόπυ; τὸ παράδειγμα τῦτο περιέγραψεν ὁ Τάκητος μετὰ τῶν αὐτῶν περιςάσεων, μεθ' ὧν καὶ ὁ Κλήμης, ὡσαύτως καὶ ὁ Πλύταρχος, καὶ ὁ Πλίνιος, καὶ ὁ Σενέκας, οἱ τῷ ἁγίῳ μάρτυρι σύγχρονοι, καὶ πρὸ τύτων μὲν ὁ Ἡρόδοτος, μετὰ δὲ τούτυς ὁ Πομπόνιος ὁ Μέλα, ὁ Σολῖνος ὁ Φιλόςρατος, ὁ Λιβάνιος· ἦν δ' ἆρά γε τὸ διήγημα τῦτο ἀπρεπέςερον τῷ καλάμῳ τῦ ἁγίυ τύτυ πρόεδρυ, ἥπερ τῷ τῦ Ὠριγένυς, τῷ τῦ Τερτυλλιανοῦ, τῷ τῦ Κυρίλλυ Ἱεροσολύμων, τῷ τοῦ Λακτανζίυ, τῷ τοῦ ἁγίυ Ἀμβροσίυ, κτ'. τῷ τοῦ ἁγίυ Γρηγορίυ τοῦ Ναζιανζινοῦ, τῷ τῦ Εὐσεβίυ, τῷ τῦ ἁγίυ Ἐπιφανίυ, τῷ τῦ Συνεσίυ, κτ'. οἵτινες ἐχρήσαντο αὐτῷ πειθόμενοι τοῖς τῦ κατ' αὐτῶν καιρῦ φυσιολόγοις, ἐκ τῦ παραδείγματος τῦ φοίνικος ὐδὲν ἕτερον συνάγεται, εἰμὴ τὸ ὅτι ὁ τοῦτο προτείνας ὐδε ἐφωτίσθη, ὐδὲ εἰδικῇ τινι θείᾳ προςασίᾳ διετηρήθη ἀνώτερος πάσης παραδρομῆς· γελειῶδες δὲ τὸ συμπεραίνειν, ὅτι τὸ σύγγραμμα, ἐν ᾧ ἡ περὶ τῦ

Παρ. Εὐσ. β. 4. κ. 24. Εκκλ. Ἱς.

Εἰρ. κατὰ αἱρέσ. β. 3. κ. 3.

Κλημ. ςρωμ. 5.

Εὐσ. β. 31. κ. 16. εκκλ. ἱςορ.

Κύριλλ. κατηχ.

αναλαμβάνει τὸ ὑπ' αὐτῦ εἰρημένον ἐν τῇ ἰδίᾳ περὶ τὴν Ἰσορίαν φιλοσοφίᾳ, τυτέσι τὸ, ὅτι ἡ μὲν γενεὰ παρῆλθεν, ἡ δὲ πρόρρησις ὐκ ἐπληρώθη. Εν. κ. 32. κε τῶν χρησμ.

Πῶς

φοίνικος ἀνάμνησις, ψευδεπίγραφόν ἐςιν, ἐπειδὰν ἀπονέμηται ἑνὶ τῶν μαθητῶν τῶν Ἀποςόλων. Εὐλόγως δὲ εἶπεν ὁ ἅγιος Κλήμης, ὅτι πέραν τῆ ὠκεανῆ εἰσὶ κατῳκισμένοι κόσμοι· διότι τοῦτο ὁ μὲν Πλάτων, ϗ ὁ Ἀριςοτέλης, ϗ ὁ Πλίνιος, ϗ ὁ Αἰλιανὸς ὑπετόπασαν, οἱ δὲ μετὰ ταῦτα ἀνακαλυφθέντες τόποι ἀπεκύρωσαν· ἐν δὲ ταῖς ὑπὸ τοῦ Φωτίε προτεθείσαις δυσὶ δυσκολίαις ἐδόλως χρονοτριβῶ· αὐτὸς ἠπατήθη εἰπών, ὅτι ἐν ταῖς δυσὶν ἐπιςολαῖς τῆ ἁγίε Κλήμεντος ἐκ ἐξελέθη ἡ Θεότης τοῦ Γησοῦ Χριςοῦ ἐν μὲν τῇ πρώτῃ ὁ Γησοῦς Χριςὸς κηρύττεται σκῆπτρον Θεοῦ, ἐν δὲ τῇ δευτέρᾳ, Θεὸς κριτὴς ζώντων ϗ νεκρῶν. τῶν ἐπιςολῶν τούτων ἡ πρώτη ϗ ἀποσπάσματά τινα τῆς δευτέρας εὑρέθησαν ἐν τῷ ὑπὸ Κυρίλλε τοῦ Λευκάρεως ϛαλέντι τῷ Βασιλεῖ τῆς Ἀγγλίας ἑλληνικῷ χειρογράφῳ τῷ περιέχοντι πρὸς τούτοις ϗ τὴν παλαιὰν ϗ νέαν Διαθήκην, μεγάλοις ἐγγεγραμμένην γράμμασιν ὑπάτου δεσποίνης Αἰγυπτίας ὀνόματι Θέκλης, ἀκμαζούσης ἐπὶ τῆς πρώτης ἐν Νικαίᾳ Συνόδε.

Ο' κύριος, προσίθησιν ὁ τῆς Ἀκαδημίας ἀσηκρίτης, ἐδόλως πολυ-
„ πραγμονεῖ τὰ περὶ τοῦ κύρες τῶν
„ ἐπιςολῶν τοῦ ἁγίε Ἰγνατίε, σημειοῖ δὲ ὅτι τῶν ἐπιςολῶν αὐτοῦ
„ ϗ αὐταὶ αἱ τοῖς πλείοσι τῶν κριτι-
„ κῶν δικταὶ πρὸ πολλῶν αἰώνων το-
„ σοῦτον ἐξηλλοιωμέναι εἰσὶν, ὥςε ϗ
„ αὐτὰς τοὺς πρὸς τὰ τοιαῦτα ἱκα-
„ νωτέρες μὴ δύνασθαι διακρίνειν τὸ
„ ἀληθὲς τοῦ ἁγίε ὕφος. διὸ εἰσὶν ἄκυροι. Τὸ δὲ διϊσχυρίζεσθαι, ὅτι ἐδόλως πολυπραγμονεῖ τὸ ἔργον ὁ ἐν τρισὶ σειραῖς συνάγων ὅπερ ἔκρινεν ἱκανὸν ἐγεῖραι τὴν τοῦ ψεύδες ὑποψίαν, ξένη μέθοδός ἐςι τοῦ Λευκαίνειν τὴν ἀλήθειαν, ϗ ταχέως προάγειν τὰς τῆς μαθήσεως προόδες· ἐδεμία δὲ χρεία ἦν ἐκτεταμένων διαλέξεων εἰς τὸ τὰς ἀμφιβολίας ϛῆσαι· διότι ἱκανὸν ἦν τὸ ἐπισυνάψαι ταῦτα· αἱ ἑπτὰ ἐπιςολαὶ τοῦ ἁγίε Ἰγνατίε, αἱ ὑπὸ μὲν τῶν κριτικῶν ὡς κεκυρωμέναι λογιζόμεναι, ὑπὸ δὲ τοῦ Βασίε ἑλληνιςὶ ἐκδοθεῖσαι ἀπὸ τοῦ φλωρεντινοῦ χειρογράφε, ἐμνημονεύθησαν ὑπὸ τοῦ ἁγίε Πολυκάρπε συγχρόνε τε ϗ φίλε τοῦ ἁγίε μάρτυρος Ἰγνατίε, ὑπὸ τοῦ ἁγίε Εἰρηναίε, ὑπὸ τοῦ Ὠριγένες ἐν ταῖς προλεγομέναις, τοῖς εἰς τὸ ἆσμα τῶν ἀσμάτων, ϗ ἐν τῇ ἕκτῃ αὐτοῦ ὁμιλίᾳ τῇ εἰς τὸ κατὰ Λευκᾶν Εὐαγγέλιον, ὑπὸ Εὐσεβίε ἐν τῇ Ἐκκλησιαςικῇ αὐτῦ Ἱςορίᾳ ὑπὸ τῦ ἁγίε Ἀθανασίε ἐν τῷ αὐτοῦ βιβλίῳ, τῷ περὶ τῶν Συνόδων, ὑπὸ τοῦ ἁγίε Χρυσοςόμε ἐν τῷ περὶ τοῦ μόνε νομοθέτε πονήματι αὐτοῦ

Εἰρην. β. 5. κ. 8. κατὰ αἱρες. Εὐσ. β. 3. κ. 36. ϗ β. 5. κ. 8.

Πῶς δὲ ὁ μέγας ἧτος κριτικὸς ὢν κατενόησεν, ὅτι εἰ καὶ ψευδογράφος ἦν ὁ ἐν τῇ ἀρχῇ τῦ δευτέρυ αἰῶνος τὸ Εὐαγγέλιον κατατασκευάσας, ὃν ἂν ἐνέθηκεν ἐν αὐτῷ πρόῤῥησιν, ἣν ἐκπληρωθῆναι ἔδει κατὰ τὸν πρῶτον αἰῶνα, ὁρῶν ὅτι ἡ ἔκβασις, ἣν προδήλως ἐναντία; διερμηνεύσω δὲ ἐν τῷ ἰδίῳ τόπῳ τὴν ῥῆσιν ταύτην, τὴν κακῶς μὲν ὑπὸ τῦ ἀντιπάλυ ἡμῶν νοηθεῖσαν, ἐναντίαν δὲ ὖσαν τῷ ἑαυτῦ ψευδοσυγήματι.

Εν κ. 13. ἀρθρ. 6. ἀριθ. 1.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Ἀνάντησις κατὰ τῆς ἐκ τῶν ἀποκρύφων Εὐαγγελίων ἐξαχθείσης ἐνςάσεως.

ΑΡΘΡΟΝ. Α'.

Περὶ τῦ ὅτι εἰς ὑπερβολὴν προήγαγον τῶν ἀποκρύφων Εὐαγγελίων τὸν ἀριθμόν.

1. Οἱ ἄπιςοι, οἱ πάντα κάλων κατὰ τῆς Εὐσεβείας κινῦντες, ἐνόμισαν, ὅτι τὰ ὑποθετικὰ Εὐαγγέλια, τὰ ὁπωσδήποτε περιενεχθέντα ὑπὸ τοῦ Γερωνύμυ ἔν τε τῷ περὶ τῶν περιφανῶν ἀνδρῶν καταλόγῳ, καὶ ἐν τῷ κατὰ τοῦ Ἑλβιδίυ συγγράμματι, καὶ τῷ πρώτῳ βιβλίῳ τῶν εἰς τὸ κατὰ Ματθαῖον ὑπομνημάτων, καὶ ὑπὸ Θεοδωρίτυ ἐν τῇ πρώτῃ αὐτοῦ διατριβῇ, κτ, κτ. πρέπον δὲ ἦν παρατηρῆσαι, ὅτι τὰ πολυάριθμα ῥητὰ, τὰ ὑπὸ τούτων τῶν ἁγίων διδασκάλων προβαλλόμενα κεῖνται πάντα ἐν τῷ εἰρημένῳ χειρογράφῳ ἧτος, ὡς ὑπ' αὐτῶν πρετείνονται. Ἐκ τύτυ ἕπεται τὸ μὴ δύνασθαι εὐλογοφανῶς ἀμφιβάλλειν περὶ τοῦ ὅτι αἱ ἐπιςολαὶ αὗται διετηρήθησαν ὁλόκληροι κατὰ τὸ ἑαυτῶν πρωτότυπον· ἐξῆν δὲ προσέτι παρατηρῆσαι, ὅτι καθ' ὃ τῆς φατρίας πνεῦμα ἐξήγειρε δύο ἢ τρεῖς κριτικοὺς ἐκ τῶν πρεσβυτερικῶν κατὰ ταύτης τῆς τοῦ Βοσίθ ἐκδόσεως, τῆς κατ' αὐτῶν ὅπλα χορηγούσης κραταιότατα, τοσῦτον ὅμως κατήργησαν αὐτοὺς οὔτε Ἀγγλικανοὶ ἢ οἱ Καθολικοὶ, ὥςε μηδόλως συζητεῖσθαι περὶ τοῦ κύρυς τούτων τῶν ἐπτὰ ἐπιςολῶν.

Ἠναγκάσθην ὑπὸ τῆς ὑποθέσεώς μυ ἀνακαλύψαι, καίπερ δυσαρεσκόμενος, τὰ ἐν τῇ πλήρει πολυμαθίας καὶ ὀρθῆς ἐπικρίσεως συλλογῇ σφάλματα, ἣν ἔδει ταμεῖον εἶναι βαθείας καὶ ἐξηκριβωμένης μαθήσεως.

τα κατὰ τὸς πρώτος αἰῶνας, ἰσχυρὰν παρέχεσθαι ἀπόδειξιν κατὰ τῶν ἀληθινῶν Εὐαγγελίων· γνωρά εἰσι τὰ γεγραμμένα περὶ ταύτης τῆς ὑποθέσεως ὑπὸ τῦ συγγράψαντος τὴν ἐπικριτικὴν ἔρευναν τῶν ὑπὲρ τῆς χριστιανικῆς πίστεως ἀπολογημένων, καὶ ποίᾳ ραθυμότητι ἀνεσκεύασαν αὐτὸν ὅ τε κύριος Βεργέρος, καὶ ὁ Βοισῖνος· ὐδεὶς δὲ τοῖς τότων πονήμασιν ἀπήντησε· τῷ ὄντι δὲ τῦτο ταὐτὸν ἐςὶ τῷ κατηγορεῖν τὸ δοκιμώτατον νόμισμα ἐπὶ προφάσει τῦ ὅτι ἐνίοτε εὑρίσκεται νόμισμα κίβδηλον· ὁ συγγραφεὺς ὅμως καθ' ὃ ἀντιφέρομαι, ἠβελήθη ἔτι ἀκροβολίσαι διὰ τῶν αὐτῶν ὅπλων, τῶν ἤδη θλασθέντων ὑπὸ τῶν χειρῶν τῦ ἀθλητῦ τῦ πολλῷ ἰσχυροτέρυ, ἢπερ αὐτός. Οσις εἰπὼν ἐν τῇ περὶ τὴν ἱσορίαν φιλοσοφίᾳ αὐτῦ, „ὅτι ἄχρι τῆς ἐν Νι„καίᾳ Συνόδυ ἦσαν Εὐαγγέλια πλείονα τῶν πεντήκοντα, προσέθησιν „ἐν τῇ ὑπ' αὐτῦ τελευταίᾳ διερμηνευθείσῃ διαθήκῃ τὸ, ὅτι σοφοὶ „ἄνθρωποι ἐλογίσαντο πολλὰ τῶν ἀποκρύφων Εὐαγγελίων παλαι„ότερα τῶν τεσσάρων, τῶν ὑπὸ τῆς Ἐκκλησίας ἐγνωσμένων.

Ἀλλὰ καὶ ὧδε δὲ προσεκτικώτερός ἐσιν, ὐδὲ ἀληθέσερος ἢπερ ἀλλαχῦ. οἱ μετὰ μεγίσης ἐπιμελείας ἐπὶ λεπτῦ ἐρευνήσαντες τὰς διαφόρυς τίτλυς, ἐξ ὧν οἱ παλαιοὶ ἐγνώριζον τὰ ἀπόκρυφα Εὐαγγέλια, εὗρον μόνον τριάκοντα ἓξ ἐννέα *). πρὸς τότοις δὲ ἐσημείωσαν ὅτι πολλάκις τὸ αὐτὸ πόνημα προτείνεται μετὰ διαφόρων τίτλων. οἷον τὸ Εὐαγγέλιον των Εβραίων τὸ αὐτό ἐσι τῷ ὀνομαθέντι τῶν Ναζωραίων, των δώδεκα Ἀποςόλων, καὶ τυ ἁγίυ Πέτρυ· ταῦτα δὲ τὰ τεσσαρα ὐδὲν διαφέρυσι τῦ κατὰ Ματθαῖον, εἰμὴ κατά τινας μικρὰς ἀλλοιώσεις, ἃς οἱ ἰουδαΐζοντες χριστιανοὶ ποιησαι ἐτόλμησαν. Πάλιν τὸ μὲν πρωτοευαγγέλιον τυ ἁγίυ Ιακώβυ τὸ αὐτό ἐσι τῷ τῆς γεννήσεως τυ Σωτῆρος· τὸ δὲ της ἀληθείας, τῷ τυ Οὐαλεντίνυ τὸ δὲ τῆς νηπιότητος τῦ Σωτῆρος, τῳ τυ ἁγίυ Θωμᾶ· τὸ δὲ τυ Παύλυ, τῷ τῦ Μαρκίωνος, ὐδὲν ἕτερον ὄντι, εἰμὴ τὸ τῦ Λυκᾶ, ἀφ' ὗ ὁ αἱρεσιάρχης, ὅτος ἀφεῖλε μὲν τὰ δύω πρῶτα κεφάλαια, ἐξηλλοίωσε δὲ καί τινας ῥήσεις· καὶ τὸ μὲν Εὐαγγέλιον τυ Τατιανυ ἦτων Εγκρατητων ὐδὲν ἕτερον ἦν, εἰμὴ συμφωνία τῶν τεσσάρων Εὐαγγελίων, ἐν ᾗ οἱ αἱρετικοὶ ὅτοι ἐσιώπησαν τὰ αὐτὸς κατακρίνοντα· τὸ δὲ τυ Νικοδήμυ ἄδηλον ἦν ἐν τοῖς πρώτοις τέσσαρσιν αἰῶσι **)· τὸ δὲ ἀθάνατον Εὐαγγέλιον ποίημά ἐσι φραγκισκάνυ τινὸς

*) Ὅρα τὴν τῦ Καλμέτυ διάλεξιν εἰς τὰ ἀπόκρυφα Εὐαγγέλια, καὶ τὰς ὑπ' αὐτῦ μνημονευομένας συγγραφέας.

**) Ἐν τῇ προειρημένῃ ἐπιτομῇ τυ κυρίυ Βεργέρυ εἴρηται, ὅτι το τῦ Νικοδήμυ Εὐαγγέλιον εὑρέθη ἐπὶ Θεοδοσίυ.

νὸς; ἀνθρώπου τοῦ δεκάτου τρίτου αἰῶνος· ἰδοὺ οὖν τὰ πεντήκοντα Εὐαγγέλια, τὰ ἀναφανέντα κατὰ τὸν ἡμέτερον Ἱστορικοφιλόσοφον πρὸ τῆς ἐν Νικαίᾳ Συνόδου, συσταλλέντα εἰς εἴκοσι καὶ ἑπτά· δυνατὸν δέ ἐστι δεῖξαι καὶ ἐλάττονα ἔτι τὸν τούτων ἀριθμόν· ἀλλ' ἱκανὸν τοῦτο εἰς ἔνδειξιν τῆς αὐτοῦ ἀκριβολογίας· περὶ δὲ τῆς τούτου εἰλικρινείας προσκαλῶ τοὺς ὑπερασπιστὰς αὐτοῦ, ἵνα δηλώσωσιν ὀνομαστὶ, τίνες εἰσὶν οἱ σοφοὶ, οἱ εἰπόντες, ὅτι πολλὰ ἀπόκρυφα Εὐαγγέλια ἐγράφησαν πρὸ τῶν Εὐαγγελίων τοῦ κατὰ Ματθαῖον, καὶ τοῦ κατὰ Μάρκον· ἐὰν δὲ τῇ προσκλήσει ταύτῃ μὴ ἀπαντήσωσιν, ὡς ψεύστης ὁ Ηρως αὐτῶν κατακριθήσεται.

Α' ΡΘΡΟΝ Β'.

Περὶ τῆς τῶν ἀποκρύφων Εὐαγγελίων παραγωγῆς.

1. Ἐπιτηδευσώμεθα νουθετῆσαι διὰ βραχέων τοὺς τούτου ὀπαδοὺς καὶ τὸ πλῆθος τῶν ἀναγινωσκόντων αὐτόν· ὁ ἅγιος Λουκᾶς ἀνακαλύπτει τὴν ἀρχὴν τῶν πρώτων ἀποκρύφων Εὐαγγελίων ἐν τῷ συντόμῳ προοιμίῳ τοῦ ἰδίου Εὐαγγελίου. „Ἐπειδὴ Πολλοὶ, λέγει, ἐπεχείρησαν ἀνα-
Λουκ. 1. 1. „τάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων „καθὼς παρέδωκαν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λό„γου, ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς „σοι γράψαι, κράτιστε Θεόφιλε, ἵνα ἔχῃς περὶ ὧν κατηχήθης λόγων „τὴν ἀσφάλειαν. Ὁ ἅγιος Λουκᾶς ἐνταῦθα διαστέλλει τοὺς συγγραφεῖς, περὶ ὧν λαλεῖ, ἀπὸ τῶν Αποστόλων, οἵτινες ἦσαν ἀρχηγοὶ τοῦ χριστιανισμοῦ

ἀληθῶς δὲ τοῦτο ἀναγινώσκεται ἐν τῷ τέλει τοῦ αὐτοῦ Εὐαγγελίου, τοῦ ἔτι σωζομένου ἀλλὰ τοῦτο οὐκ ἔστιν ἄξιον πλείονος πίστεως, ἥπερ τὸ ἑξῆς ἀναγινωσκόμενον. „Εὑρέθη ἐν τῷ πραιτωρίῳ τοῦ Πι„λάτου ἐν τοῖς κοινοῖς γράμμασι· τὸ αὐτὸ ῥητέον καὶ περὶ τῆς ἐν αὐτῷ χρο„ολογίας, „τῆς ἐκ τῶν δι συγκειμέ„νης τῶν λόγων. Γέγονεν ἔτι 19. Τι„βερίου, δεκάτῳ ἑβδόμῳ Ἡρώδου τοῦ „Βασιλέως τῆς Γαλιλαίας, τῇ 8 τῶν „καλανδῶν τοῦ Ἀπριλλίου, τῇ εἰκοστῇ „τρίτῃ τοῦ Μαρτίου ἐν τῷ τῆς διακοσιο„στῆς δευτέρας ὀλυμπιάδος ἔτει· ὁ Καλμέτος παρετήρησεν, ὅτι τοῦτο μὲν τὸ πόνημα ἄδηλον ἦν ἐπὶ Παύλου τοῦ Ὀρίζου, καὶ Γρηγορίου τοῦ Τουρωνίας, οὐδέποτε δὶ ὑπῆρξεν ἑλληνικὸν, ἡ δὲ λατινικὴ ἐν αὐτῷ διάλεκτος βαρβαρωτάτη ἐστὶ, καὶ τῆς ἐν τοῖς ἐσχάτοις καιροῖς λατινίδος.

μᾶ, αὐτόπται τῶν ἔργων τᾶ Ιησᾶ Χριςᾶ, καὶ τᾶς διδασκαλίας αὐτᾶ κήρυκες· ταῦτα ὧν λέγων οὐκ ἐσκόπει οὐδὲ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, οὐδὲ τὸ κατὰ Μάρκον, ἀλλὰ μόνα τὰ ὑπομνήματα ἰδιωτῶν τινων καὶ ἀχαρακτηρίςων ἀνθρώπων, ὃς διὰ τᾶ, πολλοὶ, σημαίνει μηδένα ἕτερον προθεὶς χαρακτῆρα, ἵνα δηλώσῃ, ὅτι αὐτοὶ συνέγραψαν ἄνευ Αποςολῆς καὶ ἐξουσίας· οἱ συγγραφεῖς ὅτοι ἦσαν μὲν ἐνδεχόμενος πιςοὶ ἀλλ' ἰδιῶται ὧν οἱ μὲν ὑπὸ τᾶ ἁγίᾳ Ιακώβᾳ, οἱ δὲ ὑπὸ ἄλλων Αποςόλων διδαχθέντες, ἔγραψαν ὅσα περὶ πίςεως ἤκουσαν παρὰ τῶν ἰδίων διδασκάλων· ἀλλ' ἡ ἁπλότης αὐτῶν, ἴσως δὲ ὁ πολὺς ζῆλος ἔπεισεν αὐτὸς οἰκειοποιηθῆναι ἀδιακρίτως πάντα τὰ ἀβεβαίως περιφημιζόμενα περὶ τῆς νηπιότητος, καί τινων εἰδικῶν ἔργων τᾶτε Κυρίᾳ Ιησᾶ, καὶ τῆς μητρὸς αὐτᾶ, περὶ ὧν οὐδὲν ἐλάλησεν οὐδὲ ὁ ἅγιος Ματθαῖος, οὐδὲ ὁ ἐν ἁγίοις Μάρκος. τῷ ὄντι δὲ ταῦτα ἐξόχως περιέχει τὸ πρωτοευαγγέλιον τᾶ ἁγίᾳ Ιακώβᾳ, τὸ τῆς γεννήσεως τῆς Παρθένᾳ, καὶ τὸ τῆς νηπιότητος τᾶ Σωτῆρος, τὰ κατὰ τὸν δεύτερον αἰῶνα περιφερόμενα· διὰ τᾶτο δὲ ἐνδεχομένως ὁ ἅγιος Λυκᾶς ἀρχὴν ποιούμενος τᾶ Εὐαγγελίᾳ ἀπὸ τῆς γεννήσεως Ιωάννᾳ τᾶ Βαπτιςᾶ, διηγεῖταί τινα καὶ περὶ τῆς γεννήσεως καὶ νηπιότητος τᾶ Ιησᾶ Χριςᾶ.

2 Τᾶτοις τοῖς ἀποκρύφοις καὶ ἀκύροις πονήμασιν ἄλλα προσήλως ψευδῆ προσέθεντο οἱ Αἱρετικοὶ, σκοπὸν ἔχοντες καταςῆσαι ἀξιόπιςα τὰ ἑαυτῶν σφάλματα· ἀνωτέρω σεσημείωκα, ὅτι οἱ Ιουδαΐζοντες χριςιανοὶ ἐπεσύναψάν τινα τῷ τᾶ ἁγίᾳ Ματθαίᾳ ὕφει, ὅπερ συνάγει ἐκ τῆς παραθέσεως τῶν μαρτυριῶν τᾶ Εὐσεβίᾳ, τᾶ Ιερωνύμᾳ, καὶ τᾶ ἁγίᾳ Ἐπιφανίᾳ *), ὅςις διδάσκων ἡμᾶς τὸ, ὅτι οἱ μετὰ ταῦτα ἐξ Ἑβραίων ὁρμηθέντες Εβιωναῖοι πραγματικῶς ἠκρωτηρίασαν καὶ ἐνόθευσαν τὸ ἑβραϊκὸν πρωτότυπον τᾶ κατὰ Ματθαῖον Εὐαγγελίᾳ, λεπτολογεῖ τὰς τᾶτων νοθείας, ἐξ ὧν προήχθη τὸ ὑπὸ τῶν ἀρχαίων καλούμενον Εὐαγγέλιον τῶν Ἑβιωναίων· ὁ Μαρκίων ἔπραξε τὰ αὐτὰ ἐν τῷ κατὰ Λυκᾶν Εὐαγγελίῳ, ὡς κατὰ πλάτος ἀποδείκνυσιν ὁ Τερτυλλιανὸς ἐν τοῖς ἰδίοις κατὰ τᾶτο τᾷ αἱρεσιάρχᾳ βιβλίοις· οἱ δὲ Οὐαλεντινοὶ κατασκευάσαντες Εὐαγγέλιον, ὡς μαρτυρεῖ ὁ Εἰρηναῖος καὶ ὁ Τερτυλλιανὸς, πάντη διαφέρον τῶν ἡμετέρων, ὠνόμασαν αὐτὸ Εὐαγγέλιον τῆς ἀληθείας. Οἱ Σιμωνιακοὶ, οἱ Γνωσικοὶ, οἱ Μανιχαῖοι βδελυκτὰ ἐτεκτήναντο Εὐαγγέλια

x. 2. ἄρθρ. 1. ἀριθ. 1.

Εἰρ. β. 3. κ. 13. κατα αἱρ. Τερτ. ἀντιγραφ. κ. 47.

*) Εὐσ. β. 3. κ. 36. τῆς Ἐκκλησιας. Ἱερ. Ἱερών. ἐν τῷ ὑπομν. εἰς τὸ κατὰ Ματθ. καὶ ἐν τῷ καταλόγῳ, τῶν ἐκκλησιας. συγγραφ. ἐν τῇ λέξει Ματθ. καὶ Ἰακωβ. Ἐπιφάν. αἱρες. 29. καὶ 30.

λια. οὐδεὶς ὅμως τῶν φατριαςῶν τούτων, οὐδὲ αὐτῶν τῶν μηδαμῶς δεχομένων τὸ τῶν ἡμετέρων Εὐαγγελίων κῦρος, ἐτόλμησεν ἀποδεῖξαι, ὅτι ταῦτά εἰσι ποιήματα πλαςὰ καὶ ψευδεπίγραφα.

3. Μεταξὺ τῶν ἀποκρύφων Εὐαγγελίων δύω, ὡς ἀρχαῖα ☾ τοῖς τοῦ δευτέρου αἰῶνος Πατράσιν ἐγνωσμένα, εἰσὶν ἄξια διαςολῆς. τούτων τὸ μὲν ἐςὶ τὸ τῶν Ναζωραίων ἢ τῶν Εβραίων, περὶ οὗ ἀνωτέρω εἴρηκα· εὑρίσκεται δὲ ἐν τούτῳ, κατὰ τὴν τοῦ Ιερωνύμου παρατήρησιν ῥῆσις μὴ κειμένη μὲν ἐν τῷ κατὰ Ματθαῖον, μνημονευομένη δὲ ὑπὸ τοῦ ἐν ἁγίοις Ιγνατίου ἐν τῇ πρὸς Σμυρναίους ἐπιςολῇ αὐτοῦ ὡς ἐκ ςόματος τοῦ Ιησοῦ Χριςοῦ ἐξελθοῦσα· ὁ Ιησοῦς, φησὶν „οὗτος ὁ ἅγιος μάρτυς, ὅτε πρὸς τοὺς περὶ Πέτρον ἦλθεν, ἔφη αὐ„τοῖς. ψηλαφείσατέ με, καὶ ἴδετε, ὅτι οὐκ εἰμὲ πνεῦμα ἀσώματον, ὅτι „τὸ πνεῦμα σάρκα καὶ ὀςέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. ἀλλὰ τὸ ῥητὸν τοῦτο, τὸ μὴ κείμενον εἰς τὸ κατὰ Ματθαῖον, κεῖται ἐν τῷ εἰς τὸ κατὰ Λουκᾶν· διὸ ἐκ τούτου συμπεράναι οὐ δυνάμεθα, ὅτι ὁ ἅγιος Ιγνάτιος ἐξέλαβε τὴν μαρτυρίαν ταύτην ἐκ τοῦ τῶν Ναζωραίων Εὐαγγελίου· διότι ἠδύνατο ἐκλαβεῖν αὐτὴν ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου.

κ. 2. Ἀρθρ. ἀριθ. 1.

Λουκ. 24. 39.

4. Τὸ δὲ ἕτερον Εὐαγγέλιον, τὸ τοῖς Πατράσι τοῦ δευτέρου αἰῶνος γνώριμον, ἐςὶ τὸ τῶν Αἰγυπτίων· ἀπὸ τούτου ὁ Κλήμης ὁ Αλεξανδρεὺς πολλὰ ῥητὰ περαλαβὼν, ἐνέθηκεν ἐν τῷ τρίτῳ βιβλίῳ τῶν ἑαυτοῦ ςρωμάτων· μεταξὺ δὲ τῶν ῥητῶν τούτων ἐςὶν ἓν αἰνιγματωδῶς ἐκτιθέμενον τὴν κατάςασιν τῶν ἀνθρώπων, τὴν μετὰ τὴν κοινὴν ἀνάςασιν· τὸ αὐτὸ δὲ αὐτολεξεὶ κεῖται ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ ἐπιςολῇ τοῦ ἁγίου Κλήμεντος· ἀλλ' ἐκ τούτου οὐχ ἕπεται ἀναγκαίως, ὅτι οὗτος ὁ ἅγιος Πάπας τῷ Εὐαγγελίῳ ἐχρήσατο τῶν Αἰγυπτίων· διότι ἐν τοῖς Εὐαγγελίοις οὐ περιέχονται πάντα ὅσα εἶπεν ὁ Ιησοῦς Χριςὸς· τινὲς δὲ τῶν λόγων αὐτοῦ παρὰ τοῖς πρώτοις χριςιανοῖς ἐκ παραδόσεως διεσώθησαν· πιςευτὸν οὖν ἐςὶν, ὅτι ἐκ τῶν λόγων τούτων τινὰς μὲν προσθήκας ἐποίησαν οἱ Ναζωραῖοι ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ, τινὰς δὲ τυχὸν οἱ Αἰγύπτιοι ἐν τῷ κατὰ Μάρκον· αὗται δὲ αἱ προσθῆκαι, αἱ μηδὲ τοῦ δόγματος ἐφαπτόμεναι, μηδὲ τῶν οὐσιωδῶν πραγμάτων, κατ' ἀρχὰς τοσοῦτον μικραὶ ἦσαν, ὥςε πολλοὺς τῶν παλαιῶν νομίσαι, ὅτι οὐκ ἔςι πρέπον διαςέλλειν τὸ τῶν Εβραίων, ἢ τὸ τῶν Ναζωραίων ἀπὸ τοῦ κατὰ Ματθαῖον Εβραιοσύρου Εὐαγγελίου.

5. Εκ τε τῶν ὧδε, καὶ ἐκ τῶν ἐν τῷ προλαβόντι κεφαλαίῳ εἰρημένων ταῦτα ἕπονται· α'. Τὰ ἡμέτερα τέσσαρα Εὐαγγέλια ἐμνημονεύοντο μὲν ἐν τῇ ἀρχῇ τοῦ δευτέρου αἰῶνος ὡς θεία Γραφὴ ὑπὸ τῶν μαθητῶν τῶν Αποςόλων, ἀνεγινώσκοντο δὲ παῤῥησίᾳ, καὶ ἴδια πᾶσι τοῖς πιςοῖς ἐλογίζοντο, δεκτὰ δὲ ἦσαν καὶ αὐτοῖς τοῖς φατριαςαῖς, κἂν τινες ἐξ

αὐτῶν

αὐτῶν ἐνόθευσαν αὐτά. β'. Οὐδὲν τῶν ἀποκρύφων Εὐαγγελίων πρότερόν ἐστι τῦ κατὰ Ματθαῖον, καὶ τῦ κατὰ Μάρκον. γ'. Τὰ παλαιότερα τύτων τῶν ἀποκρύφων πονήματα, τὰ ὑπό τινων ἁγίων διδασκάλων προτεινόμενα κατὰ τὸν δεύτερον καὶ τρίτον αἰῶνα, ὡδόλως ἀντίκειν) τοῖς ἔργοις καὶ τῇ διδασκαλίᾳ, τῇ ἐν τοῖς ἡμετέροις τετράρσιν Εὐαγγελίοις περιεχομένῃ. δ'. Οἱ μνημονεύσαντες αὐτῶν Πατέρες ὡς λείψον αὐτὰ ὡς βιβλία θεῖα, κεκυρωμένα, καὶ τοῖς πᾶσι δεκτά. ε'. Τὰ ὑπο των ... ρετικῶν καζασκευαθέντα Εὐαγγέλια ὐκ ἐνεφανίσθησαν, εἰμὴ μετὰ τὴν τῶν Ἀποςόλων ἀποβίωσιν, ἅπερ καὶ ὡς ψευδῆ ἐξηλέγχθησαν ὑπὸ τῆς καθολικῆς Ἐκκλησίας. ς'. Οὐδὲν τῶν ἀποκρύφων τύτων βιβλίων ἐνώθη ἔχον ἀληθῆ συγγραφέα ἤτοι Ἀπόςολον, ἢ ἕνα τῶν πρώτων μαθητῶν. ὁ δὲν πολὺς τῶν ἀποκρύφων Εὐαγγελίων ἀριθμὸς ὀδεμίαν ἔχει δύναμιν τῦ σπείρειν ἀμφιβολίαν τινὰ περὶ τῦ κύρυς τῶν ἡμετέρων· ἐπιβεβαιοῖ δὲ μάλιςα τῦτο διὰ τῆς συμφωνίας τῶν δύω πρώτων αἰώνων, τῶν τοσῦτον ἀκριβῶς διαφειλάντων αὐτὰ ἀπὸ τῶν ἀμφιβόλων, ἢ ψευδῶν, τῶν τότε περιφερομένων (1).

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἀπάντησις εἰς τὰς τῦ Βολτέρυ ἐνςάσεις κατὰ τῶν ἐν τῷ Εὐαγγελίῳ περιεχομένων.

Ἐνταῦθα σκοπὸν ὐκ ἔχω ἀναπτύξαι τὰς ἐν τῷ Εὐαγγελίῳ ἐκλάμπονζας χαρακτῆρας τῆς ἀληθείας καὶ θειότητος. Τῦτο τοσαύτῃ λόγων περιυσίᾳ καὶ λαμπρότητι ἤδη γέγονεν, ὥςε ὀδέν με ἕτερον ποιῆσαι δύνασθαι, εἰμὴ ἐπαναλαβεῖν, τυχὸν δὲ καὶ ἐκνευρίσαι, τὰς ἐν τοῖς πολυαρίθμοις καὶ ὑπερεξηρημένοις συγγράμμασιν ἀποδείξεις· ἀλλ' ὀδὲ ἐνοχλῆσαι θέλω τὸν νῦν μὲ ὑπὲρ τῆς ἀπρεπείας καὶ τῦ χλευασικῦ τρόπυ, τῦ δεσπόζοντος ἐν τοῖς ἐμπαικτικοῖς σημειώμασι τῦ συγγραφέως, ὃν ἀνασκευάσαι προεθέμην. ἀγωνιῶ δὲ τοσῦτον λακωνικὸς γενέσθαι, ὅσον ἐκεῖνός ἐστιν ἐπιτόλαιος.

Ἄ Ρ Θ Ρ Ο Ν Α΄.

Περὶ τῆς γενεαλογίας τȣ̃ Ιησȣ̃ Χριστȣ̃, καὶ τῆς γεννήσεως αὐτȣ̃.

1. Ἰδȣ̀ ἡ πρώτη αὐτȣ̃ δυσκολία. „Εὰν ὁ Ιησȣ̃ς Χριστὸς ὑπῆρχεν ἀληθὴς Θεȣ̃ υἱὸς, ȣ̓δεμία ἀνάγκη ἦν ποιῆσαι αὐτὸν υἱὸν τȣ̃ Δαβίδ. διότι „ὁ Βασιλεὺς καὶ ὁ βοσκὸς ἴσοί εἰσιν ἐνώπιον τȣ̃ Θεȣ̃.

Πᾶς ὁ τὴν χριστιανικὴν εἰδὼς κατήχησιν ὁμολογήσειεν ἄν, ὅτι ἀθλία ἐστὶν ἡ τοιαύτη ἔνστασις. Ἔδει κατὰ τὴν τῶν Προφητῶν πρόῤῥησιν, τὸν Ἰησȣ̃ν Χριστȣ̃ν καθὸ ἄνθρωπον κατάγεσθαι ἐκ τȣ̃ Αβραὰμ καὶ τȣ̃ Δαβὶδ, διὸ ἀνάγκη ἦν ἐμφανίσαι αὐτὸν, μάλιστα τοῖς Ιȣδαίοις, ἐκ τȣ̃ Δαβὶδ ὁρμώμενον.

2. Ἀλλ' ἰδȣ̀ ἄλλη δυσκολία ἐμβριθεστέρα. „Τὸ κατὰ Ματθαῖ„ον Εὐαγγέλιον ὑποτίθεται τεσσαράκοντα καὶ δύω γενεὰς ἀπὸ Αβραὰμ „ἕως Δαβὶδ *) ἐν τῷ μεταξὺ δύω χιλιάδων ἐτῶν· ἐὰν δὲ ἀκριβῶς ἀριθ„μήσῃς ταύτας, ȣ̓χ εὑρίσκεις εἰ μὴ τεσσαράκοντα καὶ μίαν.

Τόμ. 2. σ. 152 τῶν χαρακτ. τȣ̃ Μεσίȣ.

Τȣ̃το ἀληθές ἐστιν· ἀλλ' ἰδȣ̀ ἡ ἀπόκρισις, ἣν ἀλλαχȣ̃ προέτεινον. Ἡ τῶν μεταγραφέων ἀμέλεια παρέβλεψεν ἐν τῇ γενεαλογίᾳ, τῇ ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ, τὸ ὄνομα τȣ̃ Ιωακεὶμ, τȣ̃ υἱȣ̃ Ιωσίȣ, καὶ πατρὸς τȣ̃ Ιεχονίȣ· ὁ Ροβέρτος ὁ Στέφανος, καὶ ὁ Φέβρε Δε-τάπλες ἐπιβεβαιȣ̃σιν, ὅτι εἶδον χειρόγραφα, τὴν γενεὰν ταύτην περιέχοντα. Ἀλλ' ἀκμὴν, ἐρεῖτις τυχὸν σφάλματα συγγραφέως; ἀλλὰ διατὶ ȣ̓χί; ὑπόκεινται τοῖς σφάλμασιν οἱ μεταγραφεῖς ȣ̓χ ἧττον ἢ οἱ τυπογράφοι· ἓν σφάλμα λίαν ἀξιοσημείωτον περιέχει τὸ προκείμενον συντομώτατον τȣ̃ ἀπίστȣ τȣ̃τȣ ὕφος, ὅπερ καὶ μετέγραψα· τȣ̃το δέ ἐστι τὸ, Δαβὶδ, ἀντὶ τȣ̃ Χριστȣ̃ κεῖται δὲ τȣ̃το ȣ̓ μόνον ἐν τῇ ὀγδοημορίῳ τὸ μέγεθος ἐκδόσει, ἀλλὰ κἂν τῇ ἑτέρᾳ, τῇ δωδεκατημορίῳ (2).

3. „Ἀλλὰ μεταξὺ, φησὶν ὁ αὐτὸς, δύω χιλιάδων ἐτῶν τεσ„σαράκοντα καὶ δύω γενεαὶ, τȣ̃ Λȣκᾶ ἀριθμȣ̃ντος πεντήκοντα καὶ „τέσσαρας;

Ἐσημείωσα ἐν τῷ πρὸ μικρȣ̃ εἰρημένῳ περὶ τῶν χαρακτήρων τȣ̃ Μεσίȣ συγγράμματι ά ὅτι ἐν μὲν τοῖς παρ' ἡμῖν τȣ̃ ἁγίȣ Λȣκᾶ τεύχεσιν ἐκλαμβάνονται δὶς αἱ γενεαὶ τȣ̃ Ματθὰτ καὶ τȣ̃ Λευὶ, ἐν δὲ τοῖς βιβλίοις, οἷς ὁ ἅγιος Εἰρηναῖος ἐχρήσατο, αἱ αὐταὶ ἅπαξ μόνον

*) Ἀναγνωστέον πάντως ἕως Χριστȣ̃.

νον ἐκεῖντο. β'. ὅτι ὁ ἅγιος Ματθαῖος, ἵνα συμφωνήσῃ ταῖς τῶν Ἰουδαίων συνηθείαις, καὶ τοῖς αὐτῶν καταλόγοις ἐσιώπησε τὰς γενεὰς τῶν τριῶν τοῦ Ἰούδα Βασιλέων, τουτέστι τοῦ Ὀχοζίου, τοῦ Ἰωὰς, καὶ τοῦ Ἀμασίου· ἡ ἀληθὴς δὲ διαφορὰ ἐστὶ μόνον ἑπτὰ γενεῶν. Τοῦτο δὲ οὐδὲ παράδοξόν ἐστιν οὐδὲ σπάνιον μεταξὺ δύο πλαγίων σειρῶν, κατιουσῶν ἀπὸ τοσοῦτον μεμακρυμένης ἀρχῆς, ὅσον ἐστὶν ἡ τοῦ Δαβὶδ, καὶ ἡ τοῦ Ἰησοῦ χριστοῦ.

4. „Ὁ ἅγιος Ματθαῖος, προσέθηκεν ὁ αὐτὸς, παρίστησι τὸν „Ἰησοῦν Χριστὸν γεννηθέντα ἐκ τοῦ Ἰωσήφ.

„Ὁ κριτικὸς οὗτος νοθεύει τὸ Εὐαγγέλιον, ὅπερ τοῦτο μόνον „λέγει. Τὸν Ἰωσὴφ, τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς Μάθ. 1. 16.
„ὁ λεγόμενος Χριστὸς (3).

5. „Ὁ ἅγιος Λουκᾶς, φησὶν ὁ ἄπιστος, ἐπιγράφει αὐτῷ πα„τέρα τὸν Ἰωσὴφ, τὸν υἱὸν τοῦ Ἡλὶ . . . . γενεαλογεῖ δὲ οὐχὶ τὸν „Ἰησοῦν, ἀλλὰ τὸν Ἰωσὴφ, ὅστις οὐκ ἔστι πατὴρ αὐτοῦ.

Διὰ τοῦ ἀνωτέρω μνημονευθέντος συγγράμματος ἀπέδειξα, ὅτι ὁ ἅγιος Λουκᾶς ἐγενεαλόγησε τὸν Ἡλὶ, οὗτινος θυγάτηρ ἦν ἡ Μαρία κατὰ τὴν τῶν χριστιανῶν παράδοσιν, ὡσαύτως καὶ κατὰ τὴν τῶν Ἰουδαίων, τῶν ἐνθέντων αὐτὴν ἐν τῷ ἑαυτῶν Ταλμούδ. (4) ματαίως ἂν ἀνακαινίζῃ ἡ τοσάκις λυθεῖσα ἔνστασις.

6. „Ἀλλ' ἰδοὺ ἄλλη νέα. Ὁ ἅγιος Ματθαῖος, λέγει, ὅτι τοῦ „βρέφους γεννηθέντος ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ Βασιλέως, οἱ μά„γοι μετὰ μῆνα ἕνα ἐλθόντες, ἐζήτουν πῦ ἐστὶν ὁ νεογεννηθεὶς Βα„σιλεὺς τῶν Ἰουδαίων· διότι ἡμεῖς εἴδομεν τὸν ἀστέρα αὐτοῦ ἐν τῇ Α„νατολίᾳ.

Ἡ τῷ ὀνόματι τῆς Ἀνατολίας γνωριζομένη ἡμῖν ἐλάσσων Ἀσία πολλῷ δυτικωτέρα ἐστὶν ὁ μόνον τοῦ τόπου, ἀφ' οὗ ἦλθον οἱ μάγοι, ἀλλὰ καὶ αὐτῆς τῆς Ἰουδαίας· κάκεισε ἂν μετηνέχθη ἡ Εὐαγγελικὴ λέξις, Ἀνατολὴ, εἰς τὴν Ἀνατολίαν. ἔδει δὲ μετενεχθῆναι αὐτὴν κατὰ τὸ ἴδιον αὐτῆς σημαινόμενον, εἴτουν εἰς τὸ, Ἀνατολή· οὐκ ἐδήλωσε δὲ ὁ ἐν ἁγίοις Ματθαῖος τὸν διελθόντα καιρὸν μεταξὺ τῆς γεννήσεως τοῦ Σωτῆρος, καὶ τῆς ἀφίξεως τῶν μάγων, ἀλλ' οὐδὲ εἶπεν, ὅτι ὁ Σωτὴρ ἐγεννήθη ἐν Φάτνῃ καπηλείου· αὐτὴ ἡ ἐκ τριόδου λέξις ἐμφαίνει τόπον, ἐν ᾧ τὰ μεθύσκοντα ποτὰ πωλοῦνται. ἀγνοεῖ δὲ παντελῶς τήν τε ἀρχαίαν καὶ τὴν παροῦσαν τῆς Ἀνατολῆς συνήθειαν ὁ προσαγορεύων καπηλεῖα τοὺς ἐν ταῖς χώραις ἐκείναις ὡρισμένους τόπους εἰς ὑποδοχὴν τῶν ὁδοιπόρων, τῶν μηδὲν μὲν ἕτερον ἐκεῖ εὑρισκόντων, εἰμὴ μόνην σκέπην, φερόντων δὲ μεθ' ἑαυ-

τῶν

τῶν, ἢ ἀλλαχόθεν προσπορίζομένων τὰ ἀναγκαῖα ἐφόδια· γελοιῶδες δ' ἐστὶ τὸ δι' ἀστρονομικῶν ἀρχῶν ζητεῖν, ὡς ὁ ἀντίπαλος, ὁποῖος ἦν ὁ διὰ θαύματος φανεὶς ἀστήρ. ὅθεν ἦν γελοιῶδες τὸ ἐξίστασθαι ὑπὲρ τοῦ ὅτι ὁ ἅγιος Λουκᾶς βουληθεὶς ἀναπληρῶσαι τὰ ὑπὸ τῶν ἄλλων ἐγκαταλειφθέντα, οὐκ ἐπενέλαβε τὰ ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ εἰρημένα, ἀλλ' ἐξέθετο περιστάσεις ἐν αὐτῷ μὴ περιεχομένας· ἠπίστατο ὁ Εὐαγγελιστὴς Λουκᾶς, ὅτι ἡ μαρτυρία αὐτοῦ οὐδὲν προσετίθη τῇ αὐθεντίᾳ τοῦ συγγράμματος, τοῦ ὑπὸ ἑνὸς μὲν τῶν Ἀποστόλων συντεθέντος, τοῖς πᾶσι δὲ εὐαποδέκτου· ψευδὲς γάρ ἐστιν ὅτι τὸ ἕτερον τῷ ἑτέρῳ ἀντίκειται)· ἐπεὶ δὲ περὶ τούτου ὁ κριτικὸς θέλει ἀπόδειξιν προβάλλει ἀπόδειξιν, ἡ σιωπὴ ἀπόδειξίς ἐστι τῆς ἀδυναμίας αὐτοῦ πρὸς τὴν τοῦ σκοποῦ αὐτοῦ ἐπίτευξιν.

ΑΡΘΡΟΝ Β'.

Περὶ τῶν ἀναιρεθέντων νηπίων, καὶ τῆς γελοιώδους τοῦ κριτικοῦ ἑρμηνείας εἰς τὴν τοῦ Μακροβίου ῥῆσιν.

1. Ὅρισας (ὁ ἀντίπαλος) μηδέποτε ψευσθῆναι, τῷ αὐτῷ τόνῳ προσιόντι τάδε. „Ὁ Ἡρώδης πέμψας Ἀποστόλους· ὅτω μεταφρά„ζει τὴν ἑλληνικὴν λέξιν Ἀπόστολος· ἀνεῖλε πάντας τοὺς παῖδας τῆς „Βηθλεέμ.

Τί περὶ τούτου λέγετε ὑμεῖς, ὦ ἀδυσώπητοι κριτικοὶ *), οἱ ἐξελέγχοντες τὸν συγγραφέα, ὡς τοσάκις σολοικίζοντα καὶ βαρβαρίζοντα, ὁσάκις αὐτὸς προφέρει μίαν μόνην ἑλληνικὴν λέξιν, ἀκμὴν ἄρα διισχυρίζεσθε, ὅτι ἀγνοεῖ ταύτην τὴν διάλεκτον, τυπώσας ἤδη ἐν τῷ ἐσχάτῳ τῶν πονημάτων αὐτοῦ πολλὰ ῥητὰ ἑλληνικὰ τῆς νέας Διαθήκης δι' ἑλληνικῶν καὶ λατινικῶν χαρακτήρων, ἀρνεῖσθε ἄρα γε ὑμεῖς, ὅτι ἡ λέξις, Ἀπόστολος, παράγεται ἀπὸ τοῦ ἑλληνικοῦ ῥήματος, Ἀποστέλλω, ὅτινος ὁ ἀόριστος ἀποστείλας καλῶς μετηνέχθη εἰς τὰ ῥήματα, πέμψας ἀποστόλους; ἐρεῖτε ἴσως, ὅτι ἡ χοῖσις τῆς λέξεως, ἀπόστολος, ἐν τῇ ἡμετέρᾳ διαλέκτῳ σημαίνει τὸν διορισθέντα κηρύξαι θεία-

*) Ὅρα τὸ παραπλήρωμα εἰς τὴν περὶ τῆς Ἱστορίας φιλοσοφίαν, τὴν ὑπεράσπισιν τῆς παλαιᾶς Διαθήκης, καὶ τὴν πρὸς τὸν Βολτέρον ἐπιστολὴν τῶν Ἑβδαίων.

διδασκαλίαν τινα, ȣδέποτε δὲ τὸν ἀποςελλόμενον φονοκτονῆσαι; ὑμεῖς μὲν, εἴπερ ἀνάγκη, ποιήσατε ἔκκλητον ἐν τῇ τῶν Γάλλων Ακαδημίᾳ, ἥτις καταδικάσαι ὑμᾶς ȣ̓ δυνήσεται· ἡμεῖς δὲ ἀφέντες ἐκεῖ τὰ λόγια, πορευόμεθα ἐπὶ τὰ πράγματα.

2. „Τὰ ἄλλα Εὐαγγέλια, φησὶν ὁ ἄπιςος, ἐσιώπησαν τὴν „τοιαύτην ἀνήκȣςον ὠμότητα, ἧς ἐν ȣ̓δενὶ ἔθνει εὑρίσκεται παράδει„γμα..... Ακατάληπτόν ἐςι τὸ, ὅτι ἄνθρωπος ἡγεμὼν, τιμηθεὶς τῇ „προσκλήσει τȣ̃, μέγας Βασιλεὺς, τῷ Αὐγȣ́ςῳ φίλτατος, καὶ ἑβδο„μηκοντȣ́της, τοσȣ̃τον ἀσθενὴς ὑπῆρχεν, ὥςε πιςεῦσαι, ὅτι τὸ ἐν „φάτνῃ ἐκ τȣ̃ κοινȣ̃ λαȣ̃ γεννηθὲν βρέφος, ἦν Βασιλεὺς τῶν Ιȣδαίων, „ὅςις ἐκθρονίσαι αὐτὸν ἔμελλεν.... αὐτὸς δὲ ὁ Ηρώδης τοσȣ̃τον μω„ρὸς ἦν, καὶ βάρβαρος, ὥςε ἀποκτεῖναι πάντα τὰ βρέφη τῆς χώρας „ἐκείνης, τȣ̃ νομȣ̃ ἐκείνȣ ἔδει αὐτῷ εἰπεῖν.

Ὅσον τὸ κατ' ἐμὲ, ȣ̓δόλως κατανοῶ, πῶς τȣ̃το δοκεῖ ἀκατάληπτον τῷ πρὸ ὀλίγȣ εἰπόντι περὶ τȣ̃ Ηρώδȣ τάδε· „Ἡ ὠμότης γέ„γονεν ἐν αὐτῷ δευτέρα φύσις, καὶ ἀνάγκη διαπαντὸς ἀνανεουμένη, „ὥσπερ ταῖς τίγρεσεν ἀνάγκη πρὸς τὸ ζῆν τὸ καταβροχθίζειν." περὶ τȣ̃ τοιȣ́τȣ τέρατος ἔξεςι πάντα πιςεύειν. Τοιουτοτρόπως αὐτὸς ὁ ἀντίπαλος χαρακτηρίζει αὐτόν. ἄνθρωπος τύραννος, ὁ διὰ ψιλὰς ὑποψίας μολύνας τὰς χεῖρας αὐτȣ̃ ἐν τῷ αἵματι τῆς ἰδίας γυναικὸς (5), καὶ τοσȣ̃τον μωρὸς καὶ βάρβαρος ὢν, ὥςε πρὸ ὀλίγων ἡμερῶν τȣ̃ θανάτȣ αὐτȣ̃ καθεῖρξαι ἐν τῷ ἱπποδρόμῳ τȣ̀ς πρωτίςȣς τῆς ἐπικρατείας αὐτȣ̃, ὅπως ἂν ἀποκτείνωσιν αὐτȣ̀ς κατ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν αὐτὸς ἀποθανεῖν ἔμελλε, καὶ ȣ̓τω λύπην προξενήσῃ ἐν ὅλῃ τῇ Βασιλείᾳ αὐτȣ̃, ἠδύνατο πάντως θυσιάσαι τῷ τῆς ψυχῆς αὐτȣ̃ θορύβῳ τὰ βρέφη ἑνὸς νομȣ̃. Επειδὴ δὲ τὸ μὲν γεννηθὲν βρέφος ȣ̓κ ἐκ τȣ̃ κοινȣ̃ λαȣ̃, ἀλλ' ἐκ τȣ̃ Δαβὶδ κατήγετο, ἡ δὲ γέννησις αὐτȣ̃ περιςάσεις εἶχε λιαν ἀσυνήθεις, εἰκότως διήγειρεν αὐτῷ θόρυβον, ἐπιςηριζόμενον ἐπὶ τὰς διαθέσεις τȣ̃ γένȣς τȣ̃ περιμένοντος ἡμέραν παρ' ἡμέραν τὸν ἐκ τῆς πατριᾶς τȣ̃ Δαβὶδ Μεσίαν καὶ Βασιλέα. ταύτην δὲ τὴν ἐπὶ τῇ σωρείᾳ τῶν προῤῥήσεων ἐρειδομένην προσδοκίαν ἐπεξήγειραν οἱ Μάγοι, εἰς τὰ Ιεροσόλυμα ἐλθόντες. εἴτε δὲ ἐπίςευεν, εἴτε ἠπίςει ὁ Ηρώδης ταύταις ταῖς προῤῥήσεσιν, ἐγίνωσκεν ὅμως, ὅτι οἱ Ιȣδαῖοι ἐπίςευον αὐταῖς. Τȣ̃το δὲ ἱκανώτατον ἦν εἰς τὸ ἐναποτεκεῖν ἐν τῇ καρδίᾳ αὐτȣ̃ ἰσχυρὰς ὑποψίας, καὶ βαρβαρωτάτας ἀποφάσεις.

σ. 58—60 τȣ̃ 2. τόμ. τῆς τελευτ. διερμ. Διαθ.

Γάσ. β. 15. κ. 11. ϗ β. 17. κ. 8. Ἀρχ.

3. „Ἀλλὰ φησὶν, ὁ Ιώσηπος ὁ Φλάβιος ȣ̓κ ἐλάλησε περὶ τȣ̃ „τοιȣ́τȣ φρικώδȣς συμβάντος.

Οὐκ ἠδύνατο λαλῆσαι, μὴ λαλήσας ἅμα ⲥ̀ περὶ τȣ̃ διὰ θαύματος γεννηθέντος βρέφȣς, ὑπὲρ ȣ̃ ταῦτα γεγόνασιν. ἀνάγκη αὐτῷ ἐπέκειτο, ἐπειδὴ τὰ πράγματα ἦσαν γνωςὰ, ἤτοι σιωπῆσαι, ἢ διηγηθῆναι τὰ ὑπὸ τȣ̃ Ματθαίȣ γραφέντα. Εκωλύετο δὲ ποιῆσαι τὸ δεύτερον ὑπὸ τῶν συνδεόντων αὐτὸν τῇ Συναγωγῇ δεσμῶν.

4. „Αποκρίνονται, φησὶν ὁ αὐτὸς, ὅτι ἀρκεῖ ἡ μαρτυρία τȣ̃ „ἁγίȣ Ματθαίȣ· αὐτὸς ἐπιβεβαιοῖ, οἱ ἄλλοι ȣ̓κ ἀρνȣ̃νται, ἀλλὰ παραβλέπȣσιν· ȣ̓δεὶς ἀντέφη τῇ τȣ̃ ἁγίȣ Ματθαίȣ μαρτυρίᾳ.

Πρέπον ἦν αὐτῷ ἐπισυνάψαι ⲥ̀ τὸ, ὅτι ἡ ἀπόκρισις αὕτη ἐςὶν ἰσχυρά· ὁ Ευαγγελιςὴς Ματθαῖος ἔτη περίπȣ δεκατέσσαρα μετὰ τὸν τȣ̃ Ιησȣ̃ Χριςȣ̃ θάνατον ἔγραψε τὸ Ευαγγέλιον αὐτȣ̃ τῇ ἐν Ιερȣσαλὴμ κοινῶς λαλȣμένῃ ἑβραϊκῇ διαλέκτῳ· δύναται δέ τις ἄράγε εἰπεῖν, ὅτι πλάσας κατὰ τὴν ἑαυτȣ̃ ἀρέσκειαν τὴν Ιςορίαν ταύτην κατ' αὐτὸν τὸν αἰῶνα, καθ' ὃν ἔζη ὁ Ηρώδης, ἐξέδωκεν αὐτὴν ἐν τῷ μέσῳ τῆς ἐπικρατείας αὐτȣ̃ τῇ κοινῇ τȣ̃ τόπȣ διαλέκτῳ. ἵνα πάντες οἱ τὰ ἔσχατα ἔτη τῆς τȣ̃ Ηρώδȣ Βασιλείας ἰδόντες, ⲥ̀ ἐνδεχομένως, καθ' ὃν καιρὸν ἐκοινολογήθη τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, τὸ τέταρτον τȣ̃ ὅλȣ γένȣς συνιςῶντες, δύνωνται εὐχερέςερον ψεῦσαι αὐτὸν, ⲥ̀ ὡς χυδαιότατον τῶν ὑποκριτῶν ἐξελέγξαι; ἀνωτέρω ἀπέδωκα τὸν λόγων τῆς σιωπῆς τῶν ἄλλων Εὐαγγελιςῶν, τῶν συγγραψάντων πρὸς ἀναπλήρωσιν τῶν τε ἐγκαταλειφθέντων, ⲥ̀ τῶν συντόμως ἐκτεθέντων ὑπὸ τȣ̃ Ευαγγελιςȣ̃ Ματθαίȣ.

Κ.3. Ἀρθρ.1. Ἀριθ.5.

5. „Προβάλλȣσι, προςίθησιν ὁ αὐτὸς, τὴν τȣ̃ Μακροβίȣ „μαρτυρίαν, ὅςις ἔζη μὲν ἀληθῶς μετὰ παρέλευσιν τετρακοσίων ἐτῶν „ⲥ̀ ἐπέκεινα, λέγει ὅμως, ὅτι ὁ Ηρώδης ἀνεῖλε πολλȣ̀ς παῖδας σὺν τῷ „υἱῷ αὐτȣ̃· ἀλλὰ συγχέει τȣ̀ς καιρȣ́ς· διότι ὁ Ηρώδης ἀπέκτεινε τὸν „υἱὸν αὐτȣ̃ τὸν Αντίπατρον πρὶν τȣ̃ καιρȣ̃, καθ' ὃν τάττȣσι τὴν νηπιοκτονίαν· ἀλλὰ λαλεῖ περὶ παίδων φονευθέντων. ἀλλὰ δύναταί „τις εἰπεῖν, ὅτι νοεῖ τȣ̀ς παῖδας, τȣ̀ς ὑπὸ Ηρώδȣ φονευθέντας κατὰ „τὸν καιρὸν τῆς ὑπὸ τȣ̃ Ιωσήπȣ μνημονευομένης ςάσεως, τῆς ὑπό τινος σχολαςικȣ̃ διδασκάλȣ διεγερθείσης.

Ὁ Μακρόβιος ἔζη μὲν ἐπὶ τῆς Βασιλείας Θεοδοσίȣ τȣ̃ μεγάλȣ, τῆς ἐν τῇ ἀρχῇ τȣ̃ 395 Χριςιανικȣ̃ ἔτȣς περαιωθείσης, ἑπομένως πρὸ τȣ̃ τετρακοσιοςȣ̃ ἔτȣς ἀπὸ τῆς τῶν νηπίων φονοκτονίας, ȣ̓δόλως δὲ τȣ̀ς καιρȣ̀ς συνέχεε· διότι ἡ φονοκτονία αὕτη, ὡσαύτως ⲥ̀ ὁ τȣ̃ Αντιπάτρȣ θάνατος, συνέβη ἐν τῷ ἐσχάτῳ ἔτει τῆς τȣ̃ Ηρώδȣ Βασιλείας, ὁ κριτικὸς δέ ἐςιν, ὁ κατὰ τὸ σύνηθες αὐτῷ ἀναφύρων τὰ πάντα, ⲥ̀ λέγων, ὅτι ὁ Αντίπατρος ἐφονεύθη πρὶν τȣ̃ καιρȣ̃,

καθ'

καθ' ὃν τάττουσι τὴν νηπιοκτονίαν· ὁ Αντίπατρος ἐφονεύθη, ὥς φησιν ὁ Ιώσηπος, πέντε ἡμέρας πρὸ τῆς τοῦ Ηρώδου τελευτῆς. Επομένως ἡ μὲν νηπιοκτονία ἐντεταλμένη ἦν καὶ ἐκτετελεσμένη, ὁ δὲ Αντίπατρος, ὁ τοῦ Ηρώδου πρωτότοκος υἱὸς οὐ συνανῃρέθη τοῖς νηπίοις· ταῦτα δὲ τὰ δύω συμβάντα οὐ συνάπτει ὁ Μακρόβιος, εἰ μὴ καθὸ συνέβησαν κατὰ τὸ τέλος τοῦ ἐσχάτου ἔτους τῆς Βασιλείας τοῦ Ηρώδου· ἄτοπον δέ ἐστι τὸ λέγειν, ὅτι ὁ Μακρόβιος ἐνόησε τοὺς ἐπὶ Ηρώδου ἀναιρεθέντας παῖδας ἐν τῷ καιρῷ τῆς ὑπότινος σχολαστικοῦ διδασκάλου διεγερθείσης στάσεως· διότι ἐν ταύτῃ τῇ ὑπὸ τοῦ Ιωσήπου μνημονευομένῃ στάσει οὐ περὶ νηπίων ἀναιρεθέντων ἐστὶν ὁ λόγος, ἀλλὰ περὶ νέων, οἵτινες προτροπῇ δύω σοφιστῶν Ιουδαίων, ἀναβάντες ἐπὶ τὴν μεγάλην τοῦ ναοῦ θύραν, πελέκεσιν ἐξέκοψαν τὸν χρυσοῦν ἀετὸν, τὸν ὑπὸ Ηρώδου ἐκεῖ τεθέντα, ἀντιστάντες τῷ τε στρατηγῷ, καὶ τοῖς πολυαρίθμοις στρατιώταις, τοῖς ἐκεῖ συνδραμοῦσιν· οἵτινες προφθάσαντες συνέλαβον τεσσαράκοντα ἐξ αὐτῶν, καὶ παρέστησαν αὐτοὺς ἐνώπιον τοῦ Βασιλέως, ὅστις ἐκέλευσεν ἀποτμηθῆναι τὰς κεφαλὰς αὐτῶν. (6). Πρὸς τούτοις, τίς ποτε εἶδε νήπια ἀπὸ διετοῦς καὶ κατωτέρω πορευόμενα εἰς τὸ σχολεῖον; λαλεῖ δὲ ὁ Μακρόβιος ῥητῶς περὶ νηπίων ἀναιρεθέντων ἐντὸς τῆς διετοῦς ἡλικίας, inter bimatum· ποῖον οὖν πρόσωπον ἔχειν χρὴ πρὸς τὸ κοινολογεῖν τὸ ψεῦδος, τὸ ὑπὸ τοῦ ἀντιπάλου τυπωθὲν ἐν τῇ ὑπ' αὐτοῦ τελευταῖον διερμηνευθείσῃ Διαθήκῃ; ἀνοίξατε τὰ ὄμματα οἱ τοσοῦτον χρόνον ὑπὸ τῆς κωμῳδίας αὐτοῦ ἀπατώμενοι.

Ιώσ. β. 1. κ. 21. περὶ πολ. ἢ β. 17. κ. 8. ἢ 9. Αρχ.

ΑΡΘΡΟΝ Γ'.

Τὰ τοῦ κριτικοῦ σφάλματα ἐν τῷ προτείνειν τὸ Εβραϊκὸν ὕφος.

1. Συγγνωστὸς ὁ ἀντίπαλος μὴ εἰδὼς μὲν, ὅτι τὸ ὄνομα Ναζωραῖος Νοτζρι, τὴν αὐτὴν ἔχει ῥίζαν καὶ σημασίαν τῷ Νοτζερ, τῷ ὑπὸ τοῦ Ησαίου ἀπονεμηθὲν τῷ Μεσίᾳ, γράψας δὲ τὸ, „οὐδεὶς τῶν Προ„φητῶν εἶπεν, ὅτι ὁ Μεσίας κληθήσεται Ναζωραῖος· συγγνωστὸς ὡσαύτως, μὴ κατανοήσας, ὅτι ὁ εὐαγγελιστὴς Ματθαῖος ἐπιμένει τῷ τοῦ Ναζωραίου ὀνόματι οὐκ ἄλλου τοῦ ἕνεκα, εἰμὴ ἵνα καταργήσῃ τὴν περὶ τῆς Ιερουσαλὴμ ψευδῆ τῶν Ιουδαίων πρόληψιν ἐν παραθέσει τῆς Γαλιλαίας, καὶ ἐξόχως τῆς πόλεως Ναζαρέτ"· μηδὲ δυνηθεὶς διαστεῖλαι τὸ νόημα τῆς ἐφαρμογῆς, τὸ ὑπὸ τοῦ αὐτοῦ Εὐαγγελιστοῦ ἀπονεμόμενον τῷ ῥητῷ τοῦ Ιερεμίου, ἀπὸ τοῦ νοήματος, ὅπερ ἔχει τὸ αὐτὸ

Τόμ.2.σ.195. τῶν χαρακτ. τȣ̃ Μεσίȣ.

ῥητὸν ἐν τῇ ἀκολȣθίᾳ τῆς ὁμιλίας τȣ̃ Προφήτȣ· ἀλλοθίπȣ προτείνας τὰς δυσκολίας, τὰς ὑπὸ τῶν Ῥαβϐίνων, ϗ μετ' αὐτȣ̀ς, ὑπὸ τῶν Κολλίνων προβαλλομένας περί τε τῆς ῥήσεως ταύτης, καὶ τῆς τȣ̃ Ωσηὲ, θαῤῥῶ ὅτι ἀποχρώντως ἀπήντησα (7)· ἀσύγγνωςον δὲ αὐτῶ το θελῆσαι ἔτι ὑποκριθῆναι λαλεῖν ἑβραϊςὶ, ϗ ταῦτα τοσȣ̃τον κακῶς, ϗ μετὰ τὰς προτεθείσας αὐτῶ νȣθεσίας.

2. Περὶ τῆς τȣ̃ Ησαΐȣ προῤῥήσεως περὶ τȣ̃ Εμμανȣὴλ, τῆς κατ' ȣ̓δένα λόγον, ὡς αὐτὸς ἀναποδείκτως τε ϗ παραλόγως διϊσχυρίζεται, τῶ Μεσίᾳ ἀνηκȣ́σης, λέγει· „ὁ υἱὸς τȣ̃ Προφήτȣ ὀνο„μάζεται Μαχερ Σαȣλ Ασϐας· ȣ̓τω γέγραπται τὰ ῥήματα ταῦτα ἐν ταῖς πρὸ τῶν ὀφθαλμῶν μȣ δυσὶν αὐτȣ̃ ἐκδόσεσιν.

Ἀλλὰ τὸ μὲν Σαȣλ σφάλμα ἐςὶ παχυλώτατον. διότι τὸ ὑπὸ τȣ̃ Ησαΐȣ ληφθὲν ἑϐραϊκὸν ῥῆμα ἐςὶ σχαλαλ, ὅπερ σημαίνει, διανέμειν σκύλα· πρέπον δὲ ἦν αὐτῶ εἰδέναι, ὅτι τὸ Χεθ, προσωδία ὂν δασεῖα, γραπτέον ἐςὶν ȣ̓ διὰ τȣ̃ ας, ἀλλὰ διὰ τȣ̃ Χας, ὅπερ δηλοῖ, τάχυνον· τελευταῖον, τὸ δεύτερον γράμμα τȣ̃ βαζ, ἁρπάζειν, προνομεύειν, ἐπειδὴ ἓν Ζαϊν ἐςὶ, πολλῷ βέλτιόν ἐςι γράφειν αὐτὸ διὰ τȣ̃ ζ ἢ διὰ τȣ̃ ς, τȣ̃ ἀνήκοντος τῶ σαμεχ ϗ τῶ σχιν. Περὶ δὲ τȣ̃ νοήματος τῆς προῤῥήσεως ἀλλαχȣ̃ ἐκτεταμένως διαλαβὼν ἀπέδειξα ά. ὅτι ὁ Εμμανȣὴλ ἐςὶν αὐτὸ τὸ παιδίον, τὸ μετὰ ταῦτα ἐν τῶ ἐννάτω κεφαλαίῳ ὑπὸ τȣ̃ Ησαΐȣ ὀνομαζόμενον, „Θεὸς „ἰσχυρὸς, ἄρχων εἰρήνης, πατὴρ τȣ̃ μέλλοντος αἰῶνος, διάδοχος τȣ̃ „θρόνȣ τȣ̃ Δαβίδ." ϐ'. Ὅτι ὁ Εμμανȣὴλ ἐν τῶ ὀγδόῳ κεφαλαίῳ διαςέλλεται ἐπ' ἀκριϐὲς ἀπὸ τȣ̃ υἱȣ̃ τȣ̃ Ησαΐȣ, τȣ̃ καλȣμένȣ Μαχερ Σχαλαλ Χασχϐαζ. γ'. Ὅτι ὁ Εμμανȣὴλ ȣ̓δὲν ἕτερόν ἐςιν, εἰ μὴ ὁ Μεσίας. (8).

3. Οὐκ ἐπιμένω ἐν τῇ ἐκ τριόδȣ ἐφεξῆς ἐνςάσει, τῇ ἑκατοντάκις καταργηθείσῃ· ἣν αὐτὸς διαπαντὸς ἐπανακρȣ́ειν ȣ̓ πάυεται, ἀφορμὴν λαμβάνων ἐκ τῶν τȣ̃ Ιησȣ Χριςȣ̃ θαυμάτων. „Εὰν, λέγει, „οἱ ȣ̓ρανοὶ ἠνεώχθησαν, ὅτε ἐβαπτίσθη ὁ Ιησȣ̃ς, ϗ φωνὴ ȣ̓ράνιος „ἠκȣ́σθη, τὸ γένος εὐλαβείᾳ ϗ φόβω συσχεθὲν, ἐλογίζετο αὐτὸν „Θεόν. Οὐδὲ ἵςαμαι ἐν τῶ χλευαςικῶ τρόπω, δι' ȣ̓ διισχυρίζεται ἀπαντᾶν τῇ ἰδίᾳ ἐνςάσει· εὐχερὲς δὲ ἐςιν ἰδεῖν ἀλλαχȣ̃ τὴν ἐμὴν ἀπάντησιν. (9).

Τόμ.2.σ.103. τῶν χαρακτ. τȣ̃ Μεσίȣ.

ΑΡΘΡΟΝ

ΆΡΘΡΟΝ Δ'.

Περὶ τῦ ἐν τῇ ἐρήμῳ πειρασμῦ τῦ Ιησῦ Χριςῦ, Ϛ τῦ ἐν Κανᾷ Γάμυ.

1. Κατὰ τῆς ὑπ' αὐτῦ προτιθεμένης ἐνςάσεως περὶ τῦ πειρασμῦ τῦ Ιησῦ Χριςῦ δύω μόνον προτείνω λόγια, κἂν ἡ ἔνςασις αὐτὴ πεπαλαίωται ἤδη, καθάπερ Ϛ ἡ προλαβῦσα. „Ὁ Ιησῦς, λεγει αὐτὸς, „βαπτισθεὶς, ἀνήχθη εὐθέως ὑπὸ τῦ Κατζὰλ εἰς τὴν ἔρημον. Προς- Ματθ. 4. 1.
„ίθησι δὲ ἐνταῦθα τῇ ἀλογίᾳ τὴν βλασφημίαν· διότι τὸ μὲν Εὐαγ- Λκ. 4. 1.
„γέλιον φησίν· ὁ Ιησῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τῦ ἁγίυ Πνεύματος, τῦ ὁρατῶς κατελθόντος ἐπ' αὐτὸν βαπτιζόμενον· ὁ δὲ ἀσεβὴς ὗτος ἐπιφέρει· „ὁ Διάβολος κατακυριεύσας αὐτὸν τὸν Θεὸν, λα„τρευθῆναι θέλει ὑπ' αὐτῦ.... Ἡ ἱςορία αὕτη ἐςιν ἄτοπος ἐπίτης „καὶ βλάσφημος.... λίαν δὲ γελοιώδης ἐςὶν ὁ φανταζόμενος ὅρος, „ἀφ' ᾧ δυνατόν ἐςιν ἰδεῖν πάσας τὰς Βασιλείας τῆς γῆς.

Ἐξαφανίζεται ἡ δυσκολία, ἐὰν συλλογισθῶμεν πρῶτον μὲν ὅτι ὁ Δαίμων μὴ εἰδὼς, πότερον ὁ Ιησῦς Χριςὸς ἐςὶν ὁ αἰώνιος τῦ Θεῦ υἱὸς, ἢ εἷς τῶν συνήθων Προφητῶν, πάντας μετήρχετο τὺς τρόπυς, ὅσυς ἡ πονηρία αὐτῦ ἐδίδασκεν αὐτὸν, ἵνα δηλοποιήσῃ αὐτῷ τίς ἐςι· μετασχηματίζεται εἰς Ἄγγελον φωτὸς, προβάλλει ἀπατηλῶς Λκ. 4. 10.
τὴν θείαν Γραφὴν, τελευταῖον δὲ ἀναγγέλλει ἑαυτὸν ἀπεςαλμένον παρὰ Θεῦ, τῦ καὶ παραδόντος αὐτῷ, ὡς αὐτὸς φησι, τὰ σύμπαντα. Παρατίθεται τῷ Σωτῆρι πάσας τὰς Βασιλείας ἀπὸ τῆς κορυφῆς ὑ- Λκ. 4. 6.
ψηλῦ τινὸς ὄρυς, ἀπεριορίςῳ τὸν ὁρίζοντα, ὃ καθὸ δυνατὸν ἦν ἰδεῖν ἐκεῖθεν πάσας τὰς Βασιλείας, ἀλλὰ καθὸ εὐκολώτερον ἦν δεῖξαι ἐκεῖθεν τὴν μεταξὺ ἀλλήλων θέσιν. (10). Δεύτερον δὲ, ὅτι ὁ Ιησῦς Χριςὸς ἐπιτρέψας μὲν αὐτῷ τοσαύτῃ ἐξυσίᾳ πειράξαι τὴν ἁγίαν αὐτῦ ἀνθρωπότητα, ὅση καὶ πάντα ψιλὸν ἄνθρωπον, ἀποκρινόμενος δὲ αὐτῷ ὡσπερ καὶ πᾶς ἄνθρωπος δίκαιος, ἐξέφυγε τὰ ἐφευρέματα αὐτῦ, καὶ ἐματαίωσε πάντας τὺς αὐτῦ πειρασμύς. Ὅθεν ὐδόλως θαυμάζομεν, ὁρῶντες τὸν θεάνθρωπον διδόντα τῷ ἄρχοντι τῦ σκότους ἀκαριαίαν ἐξυσίαν τῦ μετακομίζειν τὸ σῶμα αὐτῦ (11), εἰδότες, ὅτι τὸ αὐτὸ λατρευτὸν σῶμα αὐτῦ μετ' ὀλίγον παραδοθῆναι ἔμελλε τῇ ἐξυσίᾳ τῶν τῦ Δαίμονος ὑπηκόων, προκεῖσθαι δὲ μετὰ ταῦτα ταῖς τῶν ὀργάνων αὐτῦ βλασφημίαις τε καὶ θεοςυγίαις.

2. Οὐκ οἶδα δὲ τίνες ἀτμοὶ τὸν μυελὸν τῦ φιλοσόφυ τύτυ κακῶς διέθεντο, ὅτε ἀναμνήσας τὰ λόγια τῦ ἐν τῷ Κανᾷ γάμῳ ἀρ- Γωάν. 2. 10.

χιτρι-

χιτρικλίνῳ· „Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅ-„ταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω· εἶπεν, ὁ Ἰησοῦς Χριστὸς μετέ-„βαλε τὸ ὕδωρ εἰς οἶνον ὑπὲρ ἀνθρώπων ἤδη μεμεθυσμένων.

Ὁ Εὐαγγελιστὴς, ὅτινος τὰ ῥήματα αὐτὸς προτείνει, ἐσημείωσεν, ὅτι ἐν τῷ γάμῳ τῷ ἐν Κανᾷ συνέβη πᾶν τὐναντίον τῆς κοινῆς συνηθείας, εἴτων πρῶτον ἔπιον τὸν οἶνον τὸν ἀσθενῆ, καὶ ταῦτα τοσοῦτον ὀλίγον, ὥςε καὶ λεῖψαι πρὶν ἢ τὸς δαιτυμόνας λαβεῖν τὸ καθῆκον· τὸ δὲ ῥῆμα, μεθυσθῶσι, τὸ ἄλοθι μὴ σημαῖνον ἀναι-καίως τὴν μέθην, ἀλλ' ἁπλῶς τὴν μετὰ διακρίσεως πόσιν, ὐδόλως ἀνήκει τοῖς ἐν τῷ ἐν Κανᾷ γάμῳ εὐωχυμένοις. (12).

Α΄ ΡΘΟΝ Ε΄.

Περὶ τῶν δαιμονιζομένων, καὶ τῆς κατηραθείσης συκῆς.

1. „Οἱ ἐνεργούμενοι κατὰ τὸν ἀντίπαλον εἰσὶ μελαγχολικοὶ, σπα-„σμοῖς ὀχλούμενοι. (13.)

Τῦ παραδόξυ τύτυ, τῦ ἑκατοντάκις ἀνασκευασθέντος ὐδε-μίαν ὕτος προβάλλει ἀπόδειξιν.

2. Δεινὸν αὐτῷ εὑρεῖν ἐν τῇ Ιυδαίᾳ τοσῦτον πολυάριθμον ποίμνην (ὕτω καλεῖ αὐτὴν) χοίρων, ὅση ἦν ἡ ὑπὸ τῶν Δαιμόνων εἰς τὴν θάλασσαν κατακρημνισθεῖσα.

Ἀλλὰ τῦτο γέγονε πέραν τῦ Ιορδάνυ, ἐν τῇ χώρᾳ τῶν Γε-ρασηνῶν ἢ τῶν Γαδαρηνῶν. ἐν ταύταις δὲ, ὁμοίως καὶ ἐν ταῖς λοι-παῖς τῆς Δεκαπόλεως πόλεσι, ταῖς ἐν τῇ παλαιᾷ Βασιλείᾳ τῆς Βα-σὰν, τῆς τοσῦτον ὀνομαςῆς παρὰ τῇ θείᾳ Γραφῇ διὰ τὸ ἐν αὐτῇ πλῆθος τῶν δρυῶν, κατώκυν ἐθνικοί τε & Ιυδαῖοι· διὸ ὐδὲν παράδο-ξον, τὸ ὑπάρχειν ἐκεῖ πολὺ πλῆθος χοίρων.

3. Ἀλλ' ἵνα τί ἐπετράπη τοῖς Δαίμοσι κατακρημνίσαι εἰς τὴν θά-λασσαν τοσῦτον πλῆθος χοίρων, & τὰς τύτων κυρίως βλάψαι;

Ἵνα πεισθῇ πᾶσα ἡ οἰκυμένη, ὅτι ὁ ἄπιςος, & οἱ τῦτον μεταγρά-ψαντες ὐκ οἴδασι τὶ λαλῦσι, διϊσχυριζόμενοι, ὅτι οἱ δαιμονῶντες ὐδὲν ἕτερόν εἰσιν, εἰμὴ μελαγχολικοὶ σπασμοῖς ὀχλούμενοι· πρέπον δὲ ἦν τοῖς τῶν χοίρων κυρίοις τοιαύτην ὑποςῆναι ζημίαν, καθότι ἔτρεφον ἐν τῇ γῇ τῆς ἐπαγγελίας ζῶα, ὧν τὴν χρῆσιν ἀπηγόρευεν ὁ νόμος τοῖς Ιυδαίοις.

4. Οἱ μὲν ἅγιοι Μάρκος & Λυκᾶς περὶ ἑνὸς μόνον ἐνεργυμένυ λαλῦσιν, ὁ δὲ ἅγιος Ματθαῖος περὶ δύω.

Οἱ

Οἱ ἅγιοι Μάρκος & Λουκᾶς λαλοῦσι περὶ τοῦ ἰσχυροτέρου, τοῦ πρώτου ἀπαντήσαντος τῷ Χριστῷ.

5. „Ὁ Διάβολος εἶπεν ἐν τῷ κατὰ Μάρκον Εὐαγγελίῳ, ὅτι ὀ-„νομάζεται λεγεών.

Πρέπον ἦν μὴ σιωπῆσαι καὶ τὸ ἑξῆς, εἴτουν τὸ, „ὅτι πολλοί Μάρκ. 5. 9.
„ἐσμεν.

6. Ἰδοὺ τελευταῖον καὶ ἡ τοῦ ἁγίου Μάρκου ῥῆσις, ἡ τοσάκις ἐν-ερ-γατικῶς προτεθεῖσα· „Ἐλθὼν ἐπ' αὐτὴν, (τὴν συκῆν) οὐδὲν εὗρεν, εἰ Μάρκ. 11. 13.
„μὴ φύλλα μόνον· οὐ γὰρ ἦν καιρὸς σύκων. Οἱ κριτικοὶ, λέγει αὐτὸς, „σφοδρῶς διεγείρονται κατὰ τοῦ θαύματος, ὅπερ ἐτέλεσεν ὁ Ἰησοῦς, „ξηράνας τὴν συκῆν, τὴν μὴ πρὸ τοῦ καιροῦ φέρουσαν σῦκα.

Οὗτος κακῶς μὲν νοεῖ τὴν ῥῆσιν ταύτην, ἐξαλλοιοῖ δὲ αὐτὴν διὰ τῆς ἑρμηνείας αὐτοῦ. Καιρὸν παντὸς καρποῦ λέγουσι τὸν καιρὸν, ἐν ᾧ ὁ καρπὸς ὥριμός ἐστι, καὶ ἐν ᾧ ἑπομένως συλλέγουσιν αὐτόν. τὸ δὲ ὑπὸ τοῦ ἁγίου Μάρκου ἱστορούμενον θαῦμα ἔγινεν ὀλίγας ἡμέρας πρὸ τοῦ Πάσχα, τυτέστι τὴν ἐφεξῆς ἡμέραν τῆς ἐνδόξου εἰσόδου τοῦ Σωτῆρος ἐν Ἱερουσαλὴμ, καθάπερ ῥητῶς διαλαμβάνει ὁ Εὐαγγελιστής. τότε δὲ, προσίδησι τὸ ἱερὸν ὕφος, ὃν ἦν καιρὸς σύκων τυτέστιν, ὁ καιρὸς τῆς συλλογῆς, καθ' ὃν ἔδει γυμνωθῆναι τὸ φέρον αὐτὰ δένδρον. ἦν ὅμως ὁ καιρὸς, καθ' ὃν αἱ συκαῖ προβάλλουσι τοὺς ὀλύνθους αὐτῶν, οὓς καὶ ἡ συκῆ ἐκείνη προέβαλλεν ἂν τότε, εἰ μὴ ἄκαρπος ἦν· διότι αἱ ἐν τῇ Ἰουδαίᾳ συκαῖ ἐν τῇ ἀρχῇ τοῦ ἔαρος προβάλλουσι τοὺς πρώτους αὐτῶν ὀ-λύνθους. „Ὁ χειμὼν παρῆλθε, φησὶν ὁ νυμφίος τοῦ ᾄσματος, ὁ ὑετὸς Ἄσμ. 2. 11 — 13.
„ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ, τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, καιρὸς τῆς „τομῆς ἔφθακε, φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν· ἡ συ-„κῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς. Ὁ Ἰησοῦς ὃν ἦλθεν ἐπὶ τὴν συκῆν καθ' ὃν καιρὸν ἔδει προβεβλημένα εἶναι τὰ σῦκα. Ἐὰν ἐν τῷ τέλει τοῦ θέρους ἤρχετο, τότε ἂν ἠδύνατο συμπεράναι τὴν ἀκαρπίαν, μὴ εὑρὼν καρπόν. Ἐνδεχόμενον γὰρ ἦν, προλαβὼν αὐτὸν συλλεχθῆναι· ἐκ θεμελίων πίπτει ἡ ἔνστασις αὕτη, ἡ τοσάκις ἐπαναληφθεῖσα.

ΑΡΘΡΟΝ ς'.

Περὶ τῆς προῤῥήσεως τῆς ἐπισυναπτούσης τὴν τῆς Ἰουδαίας ἐρήμωσιν τῇ ἐσχάτῃ κρίσει.

1. Ἰδοὺ ἄλλη ἔνστασις ἀξιολογωτέρα. „Καὶ ἔσονται, φησὶν ὁ ἱερὸς Λουκ. 21. 25— 32.
„Λουκᾶς, σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ, καὶ ἄστροις. καὶ τότε ὄψονται τὸν

„υἱὸν τȣ̃ ἀνθρώπȣ ἐρχόμενον ἐπὶ νεφελῶν μετὰ δυνάμεως καὶ δόξης . . .
„Ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε, ὅτι ἡ Βασιλεία τȣ̃ Θεȣ̃ εγ-
„γύς ἐςιν. Αμὴν, λέγω ὑμῖν, ὅτι ȣ̓ μὴ παρέλθη ἡ γενεὰ αὕτη, ἕως
„ἂν πάντα γένηται. Ἡ πρόῤῥησις αὕτη, ἐπαναλαμβάνει ὁ ἄπιςος,
„ἡ ἀκμὴν μὴ ἐκπληρωθεῖσα, λίαν ἐσκανδάλισε τȣ̀ς κριτικȣ̀ς, οἵτινες
„ἐκραύγασαν, ὅτι τȣ̃το ἐςι πρόῤῥησις τȣ̃ τέλȣς τȣ̃ κόσμȣ, καὶ τῆς
„τελευταίας κρίσεως· ⲥ̀ ὅτι ὁ Ιησȣ̃ς ἐξεφώνησε τὰς ἀποφάσεις αὐτȣ̃
„κατὰ τȣ̃ ἀνθρωπίνȣ γένȣς, ὡς ἀπωλεσθῆναι μέλλοντος σὺν πάσῃ
„τῇ γῇ ἐπὶ Τιβερίȣ.

Μηδόλως ἐνταῦθα πολυπραγμονήσας τὰ εἰς τὴν ῥῆσιν ταύ-
την τȣ̃ ἁγίȣ Λȣκᾶ διάφορα τῶν διερμηνευτῶν ὑπομνήματα μηδὲ τὰς
ἐκ τȣ́των προκυπτȣ́σας λύσεις, παρατηρῶ μόνον, ὅτι ἡ τοιȣτοτρόπως
προβαλλομένη ὑπὸ τȣ̃ ἀντιπάλȣ ἔνςασις, ὑποτίθεται τὴν λέξιν, γε-
νεὰν, ἀναγκαίως μηδὲν ἕτερον σημαίνειν, εἰμὴ μίαν ἡλικίαν, τȣτέςι
τὸ διάςημα τȣ̃ καιροῦ, τȣ̃ μεταξὺ τῆς γεννήσεως τȣ̃ πατρὸς ⲥ̀ τȣ̃
υἱȣ̃. ἀναγκη δὲ ȣ̓τω συςεῖλαι ταύτης τῆς λέξεως τὴν σημασίαν, ὅ-
πως ἂν συμπεράνωμεν μετὰ τȣ̃ ἀντιπάλȣ. ⲥ̀ τῶν ὑπ' αὐτȣ̃ νομιζομέ-
νων κριτικῶν, ὅτι κατὰ τὴν τȣ̃ ἁγίȣ Λȣκᾶ ῥῆσιν ἡ ἐσχάτη κρίσις γε-
νέσθαι ἔμελλεν ἐπὶ Τιβερίȣ. Αλλ' ἀρκεῖ τῶν λεξικῶν ἡ ἀνάπτυξις
πρὸς τὸ γνῶναι, ὅτι ἡ λέξις, γενεὰ, παρά τε τοῖς ἱεροῖς ⲥ̀ τοῖς ἐθνι-
κοῖς συγγραφεῦσι σημαίνει λαὸν, φυλὴν, γένος, ὁμοίως ⲥ̀ ἡλικίαν,
καὶ καιρȣ̃ τινος διάρκειαν. Ικανὴ ἡ τῆς Βȣλγάτης (14) ἀνάγνωσις
πρὸς τὸ κατιδεῖν, ὅτι ἡ λέξις, γενεὰ, πολλάκις κατὰ τὴν πρώτην
ἐκλαμβάνεται σημασίαν. Οὕτω δὲ ἐκλαβεῖν τὴν ἐν τῇ προκειμένῃ ῥή-
σει γενεὰν, ὁδηγȣ̃σιν ἡμᾶς τὰ πράγματα. Ὁ ἅγιος Λȣκᾶς προβάλ-
λει ἐνταῦθα τὴν τȣ̃ Σωτῆρος πρόῤῥησιν περὶ τῆς καταςροφῆς
τῆς Ιερȣσαλήμ· „Ὅταν δὲ ἴδητε κυκλȣμένην ὑπὸ ςρατοπέδων τὴν Ιε-
„ρȣσαλὴμ, τότε γνῶτε, ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς· εἶτα σημειοῖ
ἐν ποίᾳ καταςάσει ἔσονται οἱ Ιȣδαῖοι μετὰ τὴν τοιαύτην ἐρήμωσιν.
„Καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη. ⲥ̀ Ιερȣσαλὴμ ἔςαι
„πατȣμένη ὑπὸ ἐθνῶν ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν" ὅπερ δὴ καὶ
ὀφθαλμοφανῶς βλέπομεν. τȣ́τοις ἕπονται τὰ σημεῖα τῆς ἐλεύσεως
τȣ̃ υἱȣ̃ τȣ̃ ἀνθρώπȣ. εἶτα συμπεραίνων ἐπιβεβαιοῖ, ὅτι ⲥ̀ τȣ́των ȣ̓-
τω κειμένων, ἤτοι τῶν συμφορῶν, τȣ̃ ὁλοσχερȣ̃ς διασκεδασμȣ̃, τῆς
μακροτενȣ̃ς αἰχμαλωσίας, ἧς τὸ τέλος ἄδηλον τοῖς ἀνθρώποις, ἡ Γε-
νεὰ αὕτη, εἴτȣν ἡ φυλὴ τȣ̃ Ιακὼβ, ἰδιαζȣ́σῃ προνοίᾳ ȣ̓ μὴ παρέλθῃ,
ὅπως ἂν αἱ τȣ̃ Θεȣ̃ ἀποφάσεις, αἱ ἐν τῇ παλαιᾷ ⲥ̀ νέᾳ Διαθήκῃ
πληρωθῶσιν, ἕως ἂν πάντα γένηται. τὰ χρησμοδοτήματα ταῦτα τὰ

ἀμε-

ἀμεταβλητότερα τȣ̃ ȣ̓ρανȣ̃ ⲥ̀ τῆς γῆς· „ὁ ȣ̓ρανὸς, γάρ φησι, ⲥ̀ ἡ „γῆ παρελεύσεται, οἱ δὲ λόγοι μȣ ȣ̓ μὴ παρέλθωσιν· εἴρηκεν ὁ τȣ̃ Θεȣ̃ υἱὸς, ἀφορῶν ȣ̓ μόνον εἰς τȣ̀ς Αποςόλȣς, ⲥ̀ εἰς τȣ̀ς τότε ζῶντας ἀνθρώπȣς, ἀλλὰ ⲥ̀ εἰς πάντας τȣ̀ς εἰς αὐτὸν πιςεύειν μέλλοντας. μηδὲν δὲ νῦν λέγων περὶ τῶν ὑπὸ τȣ̃ ἀπίςȣ ἐπιφερομένων ἑτέρων ῥητῶν τῶν Αποςόλων Παύλȣ, Πέτρȣ, ⲥ̀ Ιȣ́δα, τῶν μηδόλως ἀποδεικνύντων τό προκείμενον αὐτῶ, λόγον περὶ τȣ́των ποιήσω (15), ἐπειδὰν περὶ τȣ̃ κύρȣς τῶν συγγραμμάτων αὐτῶν διαλάβω.

2. Αλλ' ȣ̓δὲ ςῆναι βȣ́λομαι ἐν τῷ ὑπὸ τȣ̃ αὐτȣ̃ ἀπίςȣ προτεινομένῳ κατὰ τȣ̃ Ιησȣ̃ Χριςȣ̃ ἐλέγχῳ, διὰ τὸ ἀπατῆσαι τάχα τȣ̀ς ἀνθρώπȣς τοῖς δε τοῖς ῥήμασιν· „Εὰν μὴ ὁ κόκκος τȣ̃ σίτȣ πεσὼν „εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει.

Τȣ̃τό ἐςι τἀυτὸν τῷ διϊσχυρίζεσθαι, ὅτι ὁ Αςρόνομος ἀπατᾷ τȣ̀ς ἀνθρώπȣς, λαλῶν περὶ ἀνατολῆς ⲥ̀ δύσεως Ἡλιȣ, ⲥ̀ περὶ τῆς προόδȣ αὐτȣ̃ ἐπὶ τὰ Ζώδια (16.). Ὅταν ἀφανίζηταί τι, ⲥ̀ τὴν πρώτην ἀποβάλλῃ μορφὴν, ἵνα ἄλλην ἀναλάβῃ καινὴν, κἂν μηδὲ τὸ εἶναι, μηδὲ τὴν ζωοποιȣ̃σαν αὐτȣ̃ δύναμιν διαφθείρῃ, εὐλογοφανῶς ὅμως λέγομεν τότε, ὅτι ἐκεῖνο φθείρεται, ἢ ἀπωλεῖται. καθ' ἑκάςην λέγομεν, ὅτι τὰ μεν ἐσθιόμενα κὶα τρέφοντα ἡμᾶς βρώματα καταναλίσκονται ἢ φθείρονται· ὁ δὲ εἰς χρυσαλλίδα μεταβληθεὶς σκώληξ διεφθάρη,

Αλλ' ȣ̓δὲ ςῆναι θέλω ἐν ταῖς ὑπ' αὐτȣ̃ μνημονευομέναις δυσὶν ἢ τρισὶ ῥήσεσιν, αἷς ἄλλοτε οἱ Αρειανοὶ (17) κατεχρῶντο πρὸς σύςασιν τῶν ἰδίων σφαλμάτων. διότι αὐταὶ τοσάκις ȣ̓́τω γενναίως ἀνεσκευάσθησαν, ὥςε ȣ̓δὲ χρὴ φοβηθῆναι περὶ τȣ̃ μήτι δι' αὐτῶν ἰσχύσῃ τὴν τȣ́των ψευδοδιδασκαλίαν συςῆσαι· μεταβαίνω ȣ̓ν εἰς ἄλλας ὑποθέσεις.

3. Εἰσάγει αὐτὸς τὸν Εὐαγγελιςὴν Ματθαῖον, λέγοντα, ὅτι τὰ τῶν πολλῶν ἁγίων σώματα, τῶν μετὰ τὸν θάνατον τȣ̃ Σωτῆρος ἐγερθέντων, περιήρχοντο τὴν ἁγίαν πόλιν.

Ὁ Εὐαγγελιςὴς λέγει μόνον, ὅτι εἰσῆλθον· „τὰ γὰρ μνη- Ματθ. 27. 22.
„μεῖα ἔξω ἦσαν τῶν πόλεων· ⲥ̀ ἐνεφανίσθησαν πολλοῖς. ȣ̓κ ἦσαν ȣ̓ν ὁρατοὶ πᾶσι τοῖς ἐν τῇ πόλει, ὥσπερ ȣ̓δὲ ὁ Ιησȣ̃ς Χριςὸς μετὰ τὴν ἀνάςασιν. παραλόγως ἄρα ὁ κριτικὸς θαυμάζει (18) περὶ τȣ̃ ὅτι ȣ̓δὲ ὁ Πιλάτος ἐπέςειλεν ἐν Ῥώμῃ, ȣ̓δὲ ὁ Ιώσηπος, ȣ̓δὲ ὁ Φίλων ἐλάλησε περὶ τȣ́τȣ τȣ̃ θαύματος.

ἈΡΘΡΟΝ Ζ.

Περὶ τȣ̃ ὅτι ὁ Φλέγων ἐσημείωσε τὸ ἐν τῷ θανάτῳ τȣ̃ Ιησȣ̃ Χρῖςȣ γενόμενον σκότος.

1. Τὸ ὑπὸ τῆς ἐκλείψεως τȣ̃ ἡλίȣ, ὅτε ὁ Ιησȣ̃ς Χριςȣ̃ς ἐκρέματο ἐν τῷ ςαυρῷ, γενόμενον σκότος ἀπὸ ἕκτης ὥρας ἕως ἐννάτης, τȣτέςιν ἀπὸ μεσημβρίας ἕως ὥρας τρίτης, πλείονα πολυπραγμοσύνην ἀπαιτεῖ. τὸ ἔργον τȣ̃το ἐπιβεβαιȣ̃σιν οἱ τέσσαρες Εὐαγγελιςαί. ἄτοπον δέ ἐςιν ὑποτίθεσθαι, ὅτι τέσσαρες συγγραφεῖς σύγχρονοι εἰς τιμὴν τȣ̃ ἐν ςαυρῷ ἀποθανόντος διδασκάλȣ αὐτῶν, πλάσαντες ἱςορίαν ἡλίȣ ἐκλείψεως, σκοτισάσης πᾶσαν τὴν γῆν, ὅτε ἡ σελήνη ἦν πανσέληνος, ἐκήρυξαν τοιαύτην παχυλωτάτην ψευδολογίαν ἐνώπιον χιλιάδων ἀνθρώπων, συγχρόνων μὲν αὐτοῖς, γινωσκόντων δὲ ὥσπερ Ϛ αὐτοὶ, ὅτι ȣ̓δὲν τοιȣ̃τον συνέβη ἐν τῷ καιρῷ τῆς ςαυρώσεως τοῦ Ιησȣ̃ Χριςοῦ. Τȣ̃το τἀυτόν ἐςι τῷ πιςεύειν, ὅτι τέσσαρες μωροὶ ὑποθέμενοι μωρὸν τὸν σύμπαντα κόσμον, ἔπεισαν πολυάριθμον πλῆθος τῶν συμπολιτῶν αὐτῶν, ὅτι αὐτοὶ εἶδον ὅπερ ȣ̓δεὶς ἄλλος ἑώρακεν.

2. Ὁ ἄπιςος ἀντὶ τȣ̃ προτεῖναι αὐτὸς ἑαυτῷ ταύτην τὴν ἔνςασιν, λέγει· „Ἡ κατὰ κέντρον τȣ̃ ἡλίȣ ἔκλειψις τόπον ȣ̓κ ἔχει „ἐν πανσελήνῳ καιρῷ.

Εὐλόγως ταῦτα λέγει, ἐὰν λαλῇ περὶ ἐκλείψεως μόνον φυσικῆς διὰ τῆς παρενθέσεως τοῦ τῆς σελήνης δίσκȣ γενομένης, Ϛ κατὰ τȣ̀ς ἀςρονομικȣ̀ς κανόνας ἀναλογισθείσης· διὰ τȣ̃το δὲ οἵτε Εὐαγγελιςαὶ, Ϛ μετ' αὐτȣ̀ς πάντες οἱ χριςιανοὶ ἐλογίσαντο τὸ ἐν τῷ θανάτῳ τοῦ Ιησȣ̃ Χριςȣ̃ συμβὰν σκότος, θαῦμα τῶν πρωτίςων θαυμάτων.

3. „Προέτεινον, ἐπιφέρει ὁ αὐτὸς, ῥῆσίν τινα ἐκ τῶν βιβλίων
Ἐν τῷ χρον. „τȣ̃ Φλέγοντος ὑπὸ τȣ̃ Εὐσεβίȣ μνημονευομένην. Ιδȣ̀ τὸ ῥητὸν τȣ̃ „Φλέγοντος· Τῷ δ'. ἔτει τῆς σϐ'. ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡ„λίȣ μεγίςη τῶν ἐγνωρισμένων πρότερον. Ϛ νὺξ ὥρα ς'. τῆς ἡμέρας „ἐγένετο, ὥςε Ϛ ἀςέρας ἐν ȣ̓ρανῷ φανῆναι· ἀλλ' οἱ σοφοὶ σημειȣ̃σιν, „ὅτι ἡ μὲν καταδίκη τȣ̃ Ιησȣ̃ ȣ̓ συνέβη ἐν τȣ́τῳ τῷ ἔτει, ἡ δὲ ὑπὸ „τȣ̃ Φλέγοντος ἱςορȣμένη ἔκλειψις ȣ̓κ ἦν μὲν κατὰ κέντρον, ἐγένετο „δὲ ἐν μηνὶ Νοεμβρίῳ, ὅπερ ȣ̓δενὶ τρόπῳ τῇ τȣ̃ Ιησȣ̃ συμβιβάζεται „καταδίκῃ τῇ ἐν τῇ πανσελήνῳ τȣ̃ Μαρτίȣ μηνὸς γενομένῃ.

Ἡ

Ἡ τȣ̃ Ιησȣ̃ καταδίκη ȣ̓ συνέβη ἐν τῷ τετάρτῳ ἔτει τῆς διακοσιοστῆς δευτέρας ὀλυμπιάδος; ποίαν αὐτὸς ἔχει περὶ τȣ́τȣ ἀπόδειξιν; τὸ τέταρτον ἔτος τῆς διακοσιοστῆς δευτέρας ὀλυμπιάδος ἤρξατο ἐν τῇ θερινῇ τροπῇ τȣ̃ τριακοστȣ̃ δευτέρȣ ενιαυτȣ̃ τοῦ χριστιανικοῦ ἔτȣς, τέλος δὲ ἔσχεν ἐν τῇ θερινῇ τροπῇ τοῦ τριακοστοῦ τρίτȣ ενιαυτȣ̃ τȣ̃ αὐτοῦ ἔτȣς. πλῆθος δὲ πολυάριθμον σοφῶν ἀνθρώπων, τεθεμελειωμένον ἐπὶ λόγȣς, ⲥ̀ ἀποδείξεις ȣ̓ μόνον μὴ πολεμηθείσας, ἀλλὰ μηδὲ μνημονευθείσας, ἐνδεχομένως δὲ μηδὲ γνωστὰς αὐτῷ τῷ ἀπίστῳ, λέγȣσιν, ὅτι ὁ Ιησȣ̃ Χριστὸς ἀπέθανεν ἐν τῷ ἔαρι τοῦ τριακοστοῦ τρίτȣ ἐνιαυτȣ̃ τοῦ χριστιανικοῦ ἔτȣς.

„Ἡ ὑπὸ τȣ̃ Φλέγοντος ἱστορȣμένη ἔκλειψις ȣ̓κ ἦν κατὰ κέν„τρον. ὅπερ ἐστὶν, ȣ̓κ ἦν δακτυλιδιωειδὴς, ὥσπερ εἰσὶν αἱ συνήθεις „φυσικαὶ ἐκλείψεις, „ἀλλὰ κατὰ τὸν Φλέγοντα ὅλος ὁ τȣ̃ ἡλίȣ δί„σκος ἠμαύρωται· διότι νὺξ ἦν, ⲥ̀ οἱ ἀστέρες ἐφάνησαν. Εγένετο δὲ „ἐν μηνὶ Νοεμβρίῳ.

Εἴπερ τȣ̃το ἀληθὲς ἦν, ἐξ ἀνάγκης ἐσημείȣν ἂν οἱ ἀστρονομικοὶ πίνακες ἔκλειψιν ἡλίȣ, γενομένην κατὰ τὸν Νοέμβριον μῆνα τȣ̃ 32. ἐνιαυτȣ̃ τȣ̃ χριστιανικȣ̃ ἔτȣς, ἐν ᾧ κατὰ τὸν καιρὸν τȣ̃ θέρȣς ἤρξατο τὸ τέταρτον ἔτος τῆς διακοσιοστῆς δευτέρας ὀλυμπιάδος. πρέπον ȣ̓ν ἦν αὐτῷ δηλῶσαι τȣ̀ς τοιȣ́ς δε πίνακας. ἔχω πρὸ ὀφθαλμῶν τȣ̀ς τȣ̃ κυρίȣ Αβϐᾶ Δε-λα.Κάϊλλε, μηδεμίαν μὲν κατ' αὐτὸν τὸν καιρὸν σημειȣ̃ντος ἡλίȣ ἔκλειψιν, ἐμφαίνοντος δὲ μίαν γενομένην τῇ 24. τȣ Νοεμβρίȣ μηνὸς τȣ̃ 29. ἐνιαυτȣ̃ τȣ̃ χριστιανικȣ̃ ἔτȣς, τῇ ἐννάτῃ ὥρᾳ πρὸ τῆς μεσημβρίας κατὰ τὸν μεσημβρινὸν τȣ̃ Παρισίȣ. ἀλλὰ τὸ ἔτος τȣ̃το ἐστὶ τὸ δεύτερον τῆς διακοσιοστῆς δευτέρας ὀλυμπιάδος, ȣ̓χὶ δὲ τὸ τέταρτον, τὸ ὑπὸ τȣ̃ Φλέγοντος σεσημειωμένον. πρὸς τȣ́τοις δὲ, ταύτην τὴν ἔκλειψιν, τὴν ἐν τῷ 29. ἐνιαυτῷ τȣ̃ χριστιανῶν ἔτȣς ἀσφαλῶς ἔστησεν ἐν τῇ ἐννάτῃ ὥρᾳ πρὸ τῆς μεσημβρίας κατὰ τὸν τȣ̃ Παρισίȣ μεσημβρινόν. ὁ δὲ Φλέγων τάττει τὴν περὶ ἧς λαλεῖ ἐν μεσημβρίᾳ, ἐνδεχομένως κατὰ τὸν μεσημβρινὸν τῆς Ρώμης, ἀνατολικώτερον ὄντα τȣ̃ ἐν Παρισίῳ,

3. „Ὁ ἄπιστος φησί. Τȣ̃το ὅλον ἐστὶν ἄβυσσος σκοτεινοτέρα „τῆς ἐκλείψεως, περὶ ἧς διαλαμβάνει ὁ Φλέγων.

Δοκιμαστέον ȣ̓ν διασκεδάσαι τὰ ὑπ' αὐτȣ̃ βιαίως συναχθέντα νέφη· ἡ ἐν τῷ θανάτῳ τȣ̃ Ιησȣ̃ Χριστȣ̃ γενομένη τȣ̃ ἡλίȣ ἔκλειψις τέσσαρας ἔχει χαρακτῆρας. ά. Τὸ γενέσθαι εν μεσημβρίᾳ. β΄. Εν τῷ τριακοστῷ τρίτῳ ἐνιαυτῷ τȣ̃ χριστιανικȣ̃ ἔτȣς, καθ' ὃν καιρὸν οἱ Εβραῖοι τὸ Πάσχα αὐτῶν ἑόρταζον. γ΄. Σὺν αὐτῇ δὲ ⲥ̀ σεισμὸν τῆς

γῆς. δ'. Διὰ θαύματος. Η' ὑπὸ τῦ Φλέγοντος περιγραφομένη ἔκλειψις ἔχει πάντας τὰς εἰρημένας χαρακτῆρας. α. Γέγονεν ἐν μεσημβρίᾳ, ἐν ὥρᾳ ἕκτῃ. β'. Ἐν τῷ τριακοσῷ τριτῳ ἐνιαυτῷ τῦ χρισιανικῦ ἔτυς, καθ' ὃ συμπίπτει τὸ τέταρτον ἔτος, τῆς διακοσιοςῆς δευτέρας ἀλυμπιάδος. γ'. Σὺν αὐτῇ δὲ σεισμὸς τῆς γῆς. „Σεισμός τε „μέγας κατὰ Βιθυνίαν γενόμενος, τὰ πολλὰ Νικαίας κατερρέψατο. ταῦτα διαλαμβάνει αἱ ὑπὸ τῦ Εὐσεβίυ προτεινομένη τῦ Φλέγοντος ῥῆσις. δ'. Διὰ θαύματος· διότι μετὰ τὸ θέρος τῦ τριακοσῦ δευτέρυ ἐνιαυτῦ τῦ χρισιανικῦ ἔτυς, καθ' ὃ ἤρξατο τὸ τέταρτον ἔτος τῆς διακοσιοςῆς δευτέρας ὀλομπιάδος, ἄχρι τῆς θερινῆς τροπῆς τῦ τριακοσῦ τριτυ χρισιανικῦ ἔτυς, ὠδεμία κατὰ τὺς Ἀστρονόμυς συνέβη φυσικὴ ἔκλειψις. τῦ ὅλυ ἄρα ἡλίυ τὸ σκότος, τὸ ἐν τῷ θανάτῳ τῦ Ἰησῦ Χρισῦ γενόμενον, ἔχει ἐπ' ἀκριβὲς τὺς αὐτὺς χαρακτῆρας, ὃς δὲ ἡ ὑπὸ τῦ Φλέγοντος περιγραφομένη ἔκλειψις· αὐτὸς ἀληθῶς ὁ λέγει αὐταῖς λέξεσιν ὅτι ἦν ἐναντία τῇ φυσικῇ τάξει, ἀλλ' ὠδὲ φησιν, ὅτι ἦν κατὰ φύσιν. „Ἱκανὰς δὲ παρέχει ἀφορμὰς νοεῖν αὐτὴν „ἔκτακτον, ἐπισυνάψας τὸ, „μεγίςη ἦν τῶν ἐγνωρισμένων πρότερον. ἐπεὶ δὲ συνέβη ἐν τῷ τετάρτῳ ἔτει τῆς διακοσιοςῆς δευτέρας ὀλυμπιάδος, ὡς αὐτὸς ἐπιβεβαιοῖ, ὐκ ἠδύνατο γενέθαι εἰ μὴ διὰ θαύματος. διότι, κατὰ τὰς ἀπταίςυς τῶν ἡμετέρων Ἀστρονόμων ἀναλογισμὺς, ὠδεμία φυσικὴ ἔκλειψις ἐγένετο καθ' ὅλην τὴν τῦ αὐτῦ Ὀλυμπιακῦ ἔτυς περίοδον.

Α" Ρ Θ Ρ Ο Ν Η'.

Περὶ τῆς ὥρας, καθ' ἣν ὁ Ἰησῦς ἐσαυρώθη.

1. „Ἀνθίσαται ἔτι ὁ ἄπιςος, λέγων. Ο' Ἰησῦς κατὰ μὲν τὸν Εὐ„αγγελιςὴν Ἰωάννην κατεκρίθη ἐν τῇ ἕκτῃ ὥρᾳ, κατὰ δὲ τὸν Μάρ„κον τῇ τρίτῃ ὥρᾳ ἐσαυρώθη.

Ἀλλὰ διατὶ ὁ προβάλλει τὴν τῦ Καλμέτυ ἀπόκρισιν, ὃν συχνάκις ἀνακαλεῖ ἀπροσφυῶς, ἐνίοτε δὲ καὶ ἐπιψευδῶς; παρατίθημι αὐτὴν ὡς κεῖται εὐθὺς μετὰ τὴν ἔνςασιν, τὴν ὑπὸ τῦ ἀπίςυ, ὡς ἔοικε μεταγραφεῖσαν. „Πολλὰ παλαιὰ χειρόγραφα τῦ κατὰ Ἰω„άννην Εὐαγγελίυ (19), μεταξὺ δὲ τῶν ἄλλων τὸ τῆς Κανταβρι„γίας, διαλαμβάνυσιν, ὅτι ὁ Ἰησῦς κατεκρίθη περὶ τὴν τρίτην ὥραν. Ἀναγινώσκομεν δὲ ἐν τῷ Ἀλεξανδρινῷ χρονικῷ τάδε (20). „Αὕτη

ἐςὶν

„ἐςὶν ἡ ἀνάγνωσις τῶν ὀρθοτέρων Βιβλίων, ϗ τȣ̃ ἐν τῇ Εφέσω δια-„φυλαχθέντος πρωτοτύπȣ. Τȣ̃το τὸ φρόνημα ȣ̓κ ἔςι μόνȣ τȣ̃ Καλμάτȣ, ἀλλὰ πολλῶν ἐπιτηδείων κριτικῶν, προτεινόντων τὸν Εὐσέβιον, τὸν ἅγιον Πέτρον Αλεξανδρείας, κτ. (21).

2. Εγκαταλείπω τὴν ἀποτρόπαιον τȣ̃ κριτικȣ̃ παράθεσιν τȣ̃τε ἐμφυσήματος, δι' ȣ̃ ὁ Ιησȣ̃ς Χριςȣ̃ς τοῖς Αποςόλοις τὸ θεῖον μετέδωκε πνεῦμα, ϗ τῶν ἐν ταῖς θεȣργίαις μαγικῶν ἐμφυσημάτων (22) οἴδαμεν γὰρ, ὅτι οἱ πονηροὶ ἀσμένως μιμȣ̃νται τὰς διατεταγμένας σεπτὰς ϗ συμβολικὰς πράξεις. ἀλλ' ȣ̓δὲ τὴν ῥαψωδίαν αὐτȣ̃ ἐλέγχω, τὴν κατὰ τȣ̃ 22. ἐδ. τȣ̃ 21. κεφ. τȣ̃ Εὐαγγελιςοῦ Ἰωάννȣ διότι τὸ τοσȣ̃τον σαφές τε ϗ ἐξηκριβωμένον ὕφος (23) ȣ̓δόλως ἀμαυρῶσαι δύνανται τὰ διάσημα φαντάσματα τινῶν συγγραφέων.

3. Ιδοὺ εἰς τὶ καταντῶσιν οἱ κατὰ τῶν ἁγίων ἀγῶνες τοῦ συνάξαντος τὰς ἐνςάσεις ϗ τὰς χλεύας τῶν πρὸ αὐτȣ̃ ἀσεβῶν· παράθες ταῦτα ταῖς ἡμετέραις ἀπαντήσεσι, μᾶλλον δὲ ταῖς ἀποδείξεσι τοῦ κύρȣς, ϗ τοῖς χαρακτῆρσι τῆς ἀληθείας, τοῖς ἐκλάμπȣσιν ἐν αὐτοῖς τοῖς θείοις βιβλίοις, εἶτα πρόφερε τὴν ἀπόφασίν σȣ περὶ αὐτῶν τε ϗ τοῦ ἐσκοτισμένȣ συγγραφέως, τοῦ κατ' αὐτῶν αὐθαδῶς ἐγχειρήσαντος.

ΚΕΦΑ'ΛΑΙΟΝ Δ'.

Περὶ τȣ̃ κύρȣς τῶν ἄλλων τῆς νέας Διαθήκης βιβλίων.

Ο· Καισαρείας Εὐσέβιος ἀριθμῶν τῆς νέας Διαθήκης τὰ βιβλία, συγκαταλέγει τὰ τέσσαρα Εὐαγγέλια, περὶ ὧν ἱκανῶς διέλαβον, τὰς πράξεις τῶν Αποςόλων, τὰς ἐπιςολὰς τοῦ ἁγίȣ Παύλȣ, τὴν πρώτην ἐπιςολὴν τοῦ ἁγίȣ Ιωάννȣ, ϗ τὴν πρώτην τοῦ ἁγίȣ Πέτρȣ ἐν τῇ τάξει τῶν βιβλίων. ὧν τὸ κῦρος ὁμολογούμενον, ϗ μηδαμῶς ἀντιλεγόμενον. τῷ ὄντι δὲ οἱ τȣ̃ δευτέρȣ ϗ τρίτȣ αἰῶνος Πατέρες ὑπὲρ τῶν βιβλίων τȣ́των τὰ αὐτὰ διεμαρτύραντο, ἃ ϗ ὑπὲρ τῶν Εὐαγγελίων. ἐπίσης δὲ ϗ τούτοις ἐχρήσαντο πρὸς τὸ διδάξαι μὲν τοὺς πιςοὺς, πολεμῆσαι δὲ τοὺς αἱρετικούς· ὁ δὲ Τερτȣλλιανὸς ῥητῶς λέγει, „ὅτι τὰ πρωτότυπα τῶν ἐπιςολῶν τῶν Αποςόλων ἐφυλάτ-„τοντο ἐν ταῖς Εκκλησίαις, ἐν αἷς ἐπέμφθησαν, ϗ ἐν παντὶ καιρῷ „ἀνεγινώσκοντο ἐν ταῖς τῶν πιςῶν συνάξεσιν. ἡ δὲ ἀρχὴ τοῦ βιβλίȣ

Εὐσ. β. 3. κ. 25. ἱστορ.

Τερτ. περὶ προγραφ.

τῶν

τῶν πράξεων ἐπιβεβαιοῖ, ὅτι τὸν αὐτὸν ἔχει συγγραφέα, ὃν & τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον, & πρὸς τὸν αὐτὸν ἐπεμφθη.

Α" ΡΘΡΟΝ Α'.

Περὶ τῶν τῆς νέας Διαθήκης βιβλίων, ὧν τὸ κῦρος ἀντιλεγόμενον.

1. Τῷ καταλόγῳ τῶν βιβλίων τῆς νέας Διαθήκης, ὧν τὸ κῦρος ἁπανεκῶς τε & καθολικῶς ἀνωμολόγηται ἐπισυνάπτει ὁ Εὐσέβιος & τὸν τῶν ἀντιλεγομένων βιβλίων κατάλογον. ἐν ταύτῃ δὲ τῇ τάξει θεὶς τὴν ἐπιστολὴν τοῦ ἁγίου Ιακώβου, τὴν τοῦ Ιούδα, τὴν δευτέραν τοῦ ἁγίου Πέτρου. & τὴν δευτέραν & τρίτην τοῦ ἁγίου Ιωάννου, ὁμοίως & τὴν ἀποκάλυψιν αὐτῷ, σημειοῖ, ὅτι ἡ ἐνίων ἀμφιβολία περὶ τούτων τῶν βιβλίων οὐκ ἐκώλυσε τὸ πολὺ τῶν Ἐκκλησιῶν πλῆθος δέχεσθαι αὐτά (24). λέγων δὲ ἀλλαχοῦ, ὅτι οἱ Ρωμαῖοι ἐδίσαζον περὶ τῆς πρὸς Εβραίους ἐπιστολῆς τοῦ ἁγίου Παύλου (25), ἀνακηρύττει αὐτὴν γνήσιον αὐτοῦ πόνημα. παρατηρῶν δὲ, ὅτι ὁ ἅγιος Κλήμης ὁ Ρώμης μνημονεύει αὐτῆς ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ αὐτοῦ, πιστεύει, ὅτι αὐτὸς μετέφρασεν αὐτὴν εἰς τὴν ἑλληνίδα διάλεκτον ἐκ τῆς ἑβραΐδος, ἐν ᾗ συνέγραψεν αὐτὴν ὁ ἅγιος Παῦλος. (26) ὁ σοφὸς οὗτος συγγραφεὺς προτίθησι τὴν τοῦ Ωριγένους εἰδοποιημένην ἀπόφασιν, λέγοντος ἐν τῷ εἰς τὸ κατὰ Ιωάννην ὑπομνήματι. „Κάν τινες „ἀμφιγνοῶσι περὶ τῆς πρὸς Εβραίους ἐπιστολῆς τοῦ ἁγίου Παύλου, ὁ„ρῶντες τὴν φράσιν αὐτῆς σαφεστέραν τῆς ἐν ταῖς ἄλλαις ἐπιστολαῖς, „ἐγὼ ὅμως κατὰ τὸν παλαιὸν ἀποφαίνομαι αὐτὴν εἶναι ἀναντιῤῥή„τως τοῦ ἁγίου Παύλου. διότι οἱ ἀρχαῖοι ἡμῶν διδάσκαλοι ἐγνώρισαν „αὐτὴν πόνημα τοῦ αὐτοῦ Αποστόλου. (27) Τοιοῦτον ἦν πρὸ τοῦ Ωριγένους τὸ τοῦ Κλήμεντος τοῦ Αλεξανδρέως φρόνημα· τοιοῦτον μεταξὺ τῶν Λατίνων τὸ τοῦ Ιερωνύμου, εἰπόντος, ὅτι τοῦτο τοῦ κοινοῦ τῶν Ανατολικῶν φρονήματος ὀπαδοὶ γεγόνασι πολλοὶ Δυτικοί. ὅπερ δὴ περὶ τὸ τέλος τῆς τετάρτης αἰῶνος κοινὸν γέγονεν, ὡς δῆλον ἐκτῶν ἐπιστολῶν Ιννοκεντίου τοῦ ά. ἐκ τοῦ θεσπίσματος τῆς ἐν Καρθαγένει τρίτης Συνόδου, & τῆς μαρτυρίας τοῦ Αὐγουστίνου.

Κλημ. ἐν τῷ βιβ. τῶν Τ-ποτυπ. Ἱερων. ἐπιστ. πρὸς Δαρδ. Γννοκ. ἐπιστ. 3. πρὸς Ἐξουπερ. Αὐγ. β. 2 περὶ διδασκ. χρι. ε.

2. Τὸ αὐτὸ ῥητέον περὶ τῶν ἐπιστολῶν τῶν ἄλλων Αποστόλων τῶν ἀνωτέρω μνημονευθέντων. εἰσὶ δὲ αἱ ἐπιστολαὶ αὗται τεταγμέναι ἐν τοῖς τῶν κανονικῶν βιβλίων καταλόγοις, τοῖς ἐν τῇ περιό-

δῳ

δω τῦ τελάρτυ αἰῶνος πεμφθεῖσιν ἐν τῇ ἀνατολῇ Ϛ δύσει, ὡς Ϛ πάντες κοινῶς ἐδέχθησαν. Ϛ ὁ μὲν Εὐσέβιος μαρτυρεῖ, ὅτι ἔκτοτε καθολικαὶ ἐπιστολαὶ ὠνομάζοντο· κἂν δέ τινες περὶ τῶν ἐπιστολῶν τοῦ Ιακώβυ, Ϛ Ἰούδα ἐδίσαζον, δεδημοσιευμέναι ὅμως ἦσαν ἐν πλείσαις Ἐκκλησίαις· ὁ δὲ Τερτυλλιανὸς, Ϛ ὁ Ὠριγένης ὡς θείαν Γραφὴν προετίθεσαν αὐτάς· τῷ αὐτῷ δὲ λόγῳ ἐχρήσατο αὐταῖς καὶ ὁ ἐν ἁγίοις Κυπριανὸς κατὰ Νοβατιανῶν· τῆς μὲν τῦ ἁγίυ Ἰούδα ἐπιστολῆς μνείαν ποιεῖ ἐν τῷ δευτέρῳ αἰῶνι ὁ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν τοῖς ἑαυτῦ στρώμασιν, ὡς σημειοῖ ὁ Εὐσέβιος ἐν τῷ ἕκτῳ βιβλίῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας. τῆς δὲ δευτέρας τῦ ἁγίυ Πέτρυ ὁ Ὠριγένης, ἐν δὲ τῷ μέσῳ τῦ δευτέρυ αἰῶνος ὁ ἅγιος μάρτυς Ἰουστῖνος, ἀλλὰ ἐκ τῆς παρ᾽ Εὐσεβίῳ ῥήσεως τῦ Παπίυ δοκεῖ ἡ αὐτὴ γνωσὴ καὶ αὐτῷ τῷ ἀρχαίῳ τῆς Ἱεραπόλεως ἐπισκόπῳ.

Εἰσ. β. 2. κ. 23. Ἱερ. Τερτ. κατὰ Ἰουδ. κ. 2. Ὠριγ. β. 5. ἐν τῇ πρὸς Ῥωμ. ὁμίλ. 13. εἰς τὴν Γέν. Κυπρ. β. κατὰ Νουτ. Εὐσέβ. 6. κ. 14 Ὠριγ. περὶ τῆς εἰς Ἰησῦν ὁρθ. πίσ. Γρηγ. ἐν τῷ πρὸς Ε. Μ. λόγ. Παρ. Εὐσ. β. 2 κ. 25.

ΑΡΘΡΟΝ. Α΄.

Ἐν ᾧ αἱ περὶ τῆς θειότητος τῆς ἀποκαλύψεως εἰδικαὶ ἀποδείξεις.

1. Ἀμφισβήτησις ἦν κατὰ τοὺς πρώτυς αἰῶνας περὶ τῦ τῆς Ἀποκαλύψεως συγγραφέως· ὁ εἰρημένος Παπίας δισσείλας δύω ἄνδρας τῦ πρώτυ αἰῶνος τὸ αὐτὸ ἔχοντας ὄνομα, εἶτον Ἰωάννης, ἐν Ἐφέσῳ ἀποθανόντας, ὅπυ τὰ μνημεῖα αὐτῶν ἐδείκνυον, πρῶτος ταύτης τῆς ἀμφισβητήσεως ἀφορμὴν παρέσχε· τύτων ὁ μὲν ἦν ὁ Ἀπόστολος, ὁ δὲ ἱερεὺς τῆς κατ᾽ Ἔφεσον Ἐκκλησίας· ὁ Εὐσέβιος ἐν τῇ ἱστορίᾳ καταλιπὼν ἄριστον τὸ ζήτημα περὶ τῦ τίς τῶν δύω τύτων ἐστὶν ὁ τῆς ἀποκαλύψεως συγγραφεὺς, „ἐν τῷ χρονικῷ σαφέστατα ἀποφαίνεται λέγων. „Ἐν τῷ πεντηκοστῷ ἕκτῳ ἔτει τῦ Ἰησῦ Χριστῦ ὁ ἅγιος Ἀπόστολος Ἰωάννης εἰς Πάτμον ἐξορισθεὶς, εἶδε τὴν ὀπτασίαν, ἣν παρέδωκε τῇ ἀποκαλύψει, τῇ ὑπὸ τῦ ἁγίυ Εἰρηναίυ διερμηνευθείσῃ. (28) ὁ περιφανὴς ὗτος μάρτυς, ὁ ἐν τῷ τέλει τῦ δευτέρυ αἰῶνος ἀκμάσας, καὶ ὁ τύτυ ἔτι πρεσβύτερος ἅγιος Ἰουστῖνος αἴρυσι τὴν ἀμφιβολίαν, λέγοντες, ὅτι ἡ ἀποκάλυψις ἐστὶ πόνημα τῦ ἁγίυ Ἰωάννυ τῦ Ἀποστόλυ. ὕτως ἐφρόνει καὶ τὸν αὐτὸν καιρὸν ὁ Ἀντιοχείας Θεόφιλος, ὁ Σάρδεων Μελίτων, ὁ Κλήμης ὁ Ἀλεξανδρεύς· τύτοις ὁπαδοὶ ἦσαν κατὰ τὸν τρίτον αἰῶνα ὁ Ὠριγένης, ὁ Τερτυλλιανὸς, καὶ ὁ ἐν ἁγίοις Κυπριανός. τὸ αὐτὸ δὲ φρόνημα καὶ οἱ Λατῖνοι ἐδέξαντο, ὡς φησιν ὁ Ἱερώνυμος· ἐξ αὐτῆς δὲ τῆς ἀμφισβητήσεως τινῶν συγγρα-

Παρ. Εὐσ. β. 3. κ. 9.

Εἰρην. β. 5 κατὰ Λίρσ. Ἰουστ. ἐν Διαλ. πρὸς Τρύφ.

Παρ. Εὐσ. β. 4. κ. 24.

Ἱερ. ἐπισ. πρὸς Δάρδ.

γραφέων τῦ δευτέρυ αἰῶνος περὶ τῦ τῆς Ἀποκαλύψεως αὐτυργῦ, συνάγε), ὅτι ἡ ἀποκάλυψες ὑπῆρχεν ἐν τῷ τέλει τῦ πρώτυ αἰῶνος· μόνος δὲ ὁ χρόνος ὗτος ἀρκεῖ πρὸς ἀπόδειξιν τῦ κύρυς ὁμῦ καὶ τῆς ἁγιότητος αὐτῆς. δῆότι τὶς ἄλλος τότε, εἰμὴ εἷς τῶν Ἀποςόλων, ὑπὸ τῦ θείυ Πνεύματος πεφωτισμένος, ἠδύνατο εἰσελθεῖν εἰς τὸν τῶν μελλόντων γνόφον, καὶ καζανοῆσαι τὰς πάσῃ τῇ ἀνθρωπίνῃ ἀγχινοίᾳ ἀκαζανοήτυς ἀλλοιώσεις, τὰς ἀπὸ τῆς ἀρχῆς τῦ δευτέρυ αἰῶνος ἕως τῦ τέλυς τῦ ἑβδόμυ μεζαβαλόσας τῆς οἰκυμένης τὸ πρόσωπον;

2. Ἀπὸ τῦ κέντρυ σκοτεινῆς τινὸς νεφέλης ἐπίτηδες διὰ μυςηριωδῶν αἰνιγμάτων συγκροτηθείσης, ἵνα ἐπικρυφθῇ ἀπὸ τῆς διωκόσης Αὐτοκρατορίας τὸ περὶ αὐτῆς ὁρισθὲν, ἕως ἂν ἡ προθεσμία πληρωθῇ, & διὰ λαμπρῶν λόγων εὐφραινόντων τὰς πιςὰς, & ἐν μέσῳ τῶν διωγμῶν ἐνισχυόντων αὐτὰς, συνορᾷ τὸ προσεκτικὸν ὄμμα τὴν διασποράν τῶν ἀπίςων Ἰουδαίων, τῶν ἐξορισθέντων ἐκ τῆς γῆς τῆς Ἐπαγγελίας, τὴν τῶν Πάρθων ἔφοδον κατὰ τῆς τῶν Ῥωμαίων γῆς, τὰς ὑπ' αὐτῶν γενομένας κατὰ τῆς Ἐκκλησίας διωγμὰς, ἐξόχως δὲ τὸν τῦ Διοκλητιανῦ. ἵνα δὲ μήτις πλανηθῇ, σημειώσας ἐκπεφασμένως ὁ Προφήτης τὸ ὑπὸ τότυ τῦ Αὐτοκράτορος τεθὲν ἐμπόδιον τῦ πωλεῖν ἢ ἀγοράζειν πρὶν ἢ θυμίαμα προσενεγκεῖν τοῖς εἰδώλοις· & τὴν ἀνάγκην τῦ λαμβάνειν εἰδωλολατρείας μαρτυρίαν εἰς φύλαξιν τῆς ἰδίας ζωῆς & τῶν ὑπαρχόντων, ἐδιώρισε τὸν ἀριθμὸν τῶν συνεργησόντων αὐτῷ ἐν τότῳ τῷ διωγμῷ. Οἱ πέντε ἔπεσον, φησὶν ὁ Ἱερὸς συγγραφεὺς, προσηλώσας τὰ ὄμματα ἐπὶ τὸν καιρὸν, καθ' ὃν ἡ Αὐτοκρατορία ἐχρισιάνισεν· ὗτοι δὲ οἱ πέντε εἰσὶν, αὐτὸς ὁ Διοκλητιανὸς, ὁ Μαξιμιανὸς ὁ Ἐρκύλιος, ὁ Μαξιμιανὸς ὁ Γαλέριος, ὁ Μαξέντιος, & ὁ Μαξιμῖνος ὁ Δαΐας, καὶ ὁ εἷς ἐςὶν, ὗτος δὲ ἦν ὁ Λικίνιος, ὁ τὸν διωγμὸν ἐπαναλαβὼν, & ὑπὸ τῦ Κωνσαντίνυ καταζροπωθεὶς· ὁ ἕβδομος (ὁ ἄλλος ἐν τῷ ἑλλην.) Οὕπω ἦλθεν· ὗτος ἦν ὁ Ἰουλιανὸς, ὅσις ἀγωνισθῆναι ἔμελλεν ἀνακαινίσαι τὴν εἰδωλολατρείαν μετὰ τὸν θάνατον τῶν ἱῶν τῦ Κωνσαντίνυ. ἐχαρακτήρισε δὲ αὐτὸν ὁ Προφήτης διὰ τῆς ὑποκρίσεως, ἀπονείμας αὐτῷ κέρατα ἐνῶ ὁμοια ἀρνίῳ, & διὰ τῆς κλίσεως αὐτῦ πρὸς τὰς μαγείας, ἐξόχως δὲ διὰ τῦ Ἑλληνικῦ ὀνόματος, Ἀποςάτης, τῦ ἐντελῶς συμποσθέντος τὸν ἑξακόσια & ἑξήκοντα & ἓξ ἀριθμόν· „ὅθεν δὲ ἧττον καὶ τὴν Ῥώμην ἐχαρακτήρισε „διὰ τῶν ἑπτὰ αὐτῆς ὀρῶν, διὰ τῦ πορφυρῦ αὐτῆς ἱματίυ, διὰ τοῦ „ποτηρίυ τῆς μοιχείας, τῦ προτεθέντος πᾶσι τοῖς Βασιλεῦσιν, ὃς ἀ„νέπεισε λατρεῦσαι τοῖς ψευδοθεοῖς αὐτῆς. Ἔπεσεν, ἔπεσε Βαβυλὼν „ἡ

Λύκε κ.5.β 7. & 8 Αυτ.9.14 Αὐτ.11.ϛ 12.

Αὐτ. 13. 11. 18. ϛ 17. 19. κτ.

Αὐτ.13 12.13 ϛ 17. 10. κτ.

Αὐτ. 13. 11. 18.

Αὐτ. 11. 9. 4.

Αὐτ. 18. 2. 3.

„ἡ μεγάλη, καὶ ἐγένετο κατοικητήριον Δαιμόνων, καὶ φυλακὴ παντὸς
„πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ
„μεμισημένου· ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πέπωκε
, πάντα τὰ ἔθνη· καὶ οἱ Βασιλεῖς τῆς γῆς μετ' αὐτῆς ἐπόρνευσαν,
„καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλού-
„τησαν. Σεσημείωνται δὲ καὶ οἱ ὑπηρέται τῆς καταστροφῆς αὐτῆς.
οὗτοι δὲ εἰσὶν οἱ βάρβαροι Βασιλεῖς, οἵτινες ἔδωκαν αὐτῇ τὴν δύ-
ναμιν αὐτῶν, καὶ γενόμενοι μισθωτοὶ, ἢ τελεσφόροι αὐτῆς, ὕστερον
„δὲ ἐχθροὶ ἀνακηρυχθέντες, ἠρημωμένην ἐποίησαν αὐτὴν καὶ γυμνὴν,
„καὶ τελευταῖον κατέκαυσαν ἐν πυρί. Ἐκτίθεται δὲ καὶ ὁ λόγος τῆς Αὐτ. 17. 13
παιδείας αὐτῆς· „ὅτι ἐμεθύσθη ἐκ τοῦ αἵματος τῶν μαρτύρων τοῦ Ἰη- Αὐτ. 17. 16.
„σοῦ. Οἱ δὲ ἐν αὐτῇ κατοικοῦντες χρισιανοὶ σώζονται διὰ τῆς φυγῆς. Αὐτ. 17. 6.
„Ἐξελθε ἐξ αὐτῆς ὁ λαός μου, ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις
„αὐτῆς, καὶ ἵνα μὴ λάβητε ἐκ τῶν πληγῶν αὐτῆς. Τίνες δὲ εἰσὶν αἱ Αὐτ.18.4. 8.
πληγαί; θάνατος, καὶ πένθος, καὶ λιμὸς, καὶ πῦρ. Φοβερὰ σκηνὴ,
ἐν ᾗ παλαίει ἡ δόξα τοῦ Χριςοῦ, ὅτινος ἡ πίςις ἀμεταπτώτως ἐςηρί-
χθη ἐπὶ τῆς πτώσεως τῆς εἰδωλολατρείας. Ἔςι δὲ ἄραγε ὁ τούτων
συγγραφεὺς ἄνθρωπος τοῦ πρώτου αἰῶνος; ἢ εἰσὶν ἄραγε οἱ τούτων
συγγραφεῖς ἄνθρωποι πολλοὶ τοῦ τετάρτου, τοῦ πέμπτου, τοῦ ἕκτου
αἰῶνος; Τίς ἐν τούτοις τοῖς ἴχνεσι, καὶ ἐν ἄλλοις πολλοῖς ὑπ' ἐμοῦ σιω-
πηθεῖσιν ὁ γνωρίζει Ἀπόςολον, ταῖς τοῦ αἰωνίου φωτὸς ἀκτῖσι πεφωτι-
σμένον, παρόντας ἐπίσης ἔχοντα πάντας τοὺς αἰῶνας;

3. Τί οὖν βούλεται ὁ τῆς τελευταίου διερμηνευθείσης Διαθή-
κης συγγραφεὺς, ὅταν ψελλίζων περὶ ὑποθέσεων πάντη ἀκατανοή-
των αὐτῷ, προβάλλῃ ὡς ἔτυχε τοὺς ἐν ἁγίοις Παῦλον καὶ Πέτρον κε-
κωλοβωμένους, καὶ τὸν ἅγιον Ἰούδαν, ὡς διδάσκοντας ἀναφανῆναι μέλ-
λειν τὸ τοῦ κόσμου τέλος, νέους οὐρανοὺς, καὶ νέαν γῆν, ἔτι ζώντων
αὐτῶν, μηδενὸς τοιούτου νοήματος ἐν τοῖς λόγοις αὐτῶν κειμένου; οὗτοι
οἱ Ἀπόςολοι καθήγγειλαν τὴν δευτέραν τοῦ Ἰησοῦ Χριςοῦ ἔλευσιν ὁ-
μοιοτρόπως τῷ Ἰωάννῃ, ὅςις ἐν τῇ Ἀποκαλύψει αὐτοῦ ἄρχεται οὕ- Ἀποκ. 1. 7.
τως· „Ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφ-
„θαλμὸς, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν· καὶ κόψονται ἐπ' αὐτῶν
πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Ἐφαντάζετο ἄραγε ὁ Ἀπόςολος οὗτος, ὁ
σημειώσας πάντα τὰ περὶ τῆς Αὐτοκρατορίας τῆς Ῥώμης προορισθέν-
τα, καὶ χαρακτηρίσας τὴν πτῶσιν αὐτῆς, καὶ προιδὼν πολλὰς ἐκ τῶν
λειψάνων αὐτῆς συςάσας Βασιλείας, τετρακόσια καὶ πεντακόσια ἔτη
πρὸ τῆς ὑπάρξεως αὐτῶν, ὅτι τὸ τοῦ κόσμου τέλος ἔσεται καθ' ὃν αἰ-
ῶνα ἠκμασεν ὁ Τιβέριος; ἐσυλλογίζοντο ἄραγε οἱ τῶν πρώτων αἰώνων

διδάσκαλοι, οἱ ἀναγινώσκοντες, καὶ μελετῶντες, καὶ διερμηνεύοντες τὴν Ἀποκάλυψιν, ὅτι τοσαῦτα ἀλληλοδιάδοχα συμβάντα, καὶ τὸ τέλος τοῦ κόσμου, τὸ μέλλον τελειῶσαι ταῦτα, συμβῆναι ἔμελλεν ἐν ταῖς ἡμέραις αὐτῶν;

ΑΡΘΡΟΝ Γ.

Περὶ τοῦ πῶς ἐσηρίχθη τὸ τῶν ἀμφισβητουμένων βιβλίων κῦρος.

1. Καὶ τοῦ κύρους τῶν βιβλίων, τῶν ἄλλοτέ ποτε ἀμφιβαλλομένων ἡ ἐξῆς ἔνστασις παῤῥησιάζεται. Πῶς τοῦ πράγματος τοῦ δόξαντος ἀμφιβόλου κατὰ τοὺς δύω πρώτους αἰῶνας ἐπαύσατο ἡ ἀμφιβολία ἐν τῷ τετάρτῳ; ἔλαβον ἆρά γε οἱ τότε χρισιανοὶ φῶτα, ὧν ἐσερημένοι ἦσαν οἱ πρὸ αὐτῶν;

Εὔκολος ἡ ἀπάντησις. Οἱ περὶ τοῦ κύρους τῶν βιβλίων τούτων πείθοντες λόγοι, οἱ αὐτοὶ ἦσαν διαπαντὸς, θεμελιωμένοι ὑπάρχοντες ἐπὶ τῆς μαρτυρίας τῶν συγχρόνων τοῖς βιβλίοις ἀνδρῶν, τῶν καὶ γνωρισάντων τοὺς τούτων αὐτουργοὺς, καὶ ἐπὶ τῆς ἀδιακόπου παραδόσεως τῶν Ἐκκλησιῶν, πρὸς ἃς ταῦτα ἐπέμφθησαν, ἢ τῶν ἀκαταπαύστως μετερχομένων αὐτὰ πρὸς νουθεσίαν τῶν πιστῶν· τινὰ μὲν ἐξ αὐτῶν τῶν βιβλίων πολλῷ πρότερον γνωστὰ ἦσαν ἐν τῇ Ἀνατολῇ, οὐμὴν εὐθέως καὶ ἐν τῇ Δύσει· τινὲς μὲν τῶν Ἐκκλησιῶν ἀποδείξεις εἶχον περὶ αὐτῶν σερεὰς, καὶ παραδόσεις βεβαίας, τινὲς δὲ τούτων ηὐπόρουν. ἐντεῦθεν ἡ ἐνίων ἀμφιβολία, ἥτις εὐθὺς ἐκ μέσου ἤρθη διὰ τῆς γενομένης ἐρεύνης. διότι τὸ ἐγνωσμένον καὶ βέβαιον τοῖς πολλοῖς, γέγονε τελευταῖον γνωστὸν τοῖς πᾶσι· τὸ αὐτὸ καὶ ἐν τῇ πολιτικῇ συμβαίνει τάξει. πράγματά τινα, περὶ ὧν οὐδόλως μὲν ἐδίσαζον οἱ εὐχερῶς περὶ αὐτῶν ἐρευνῆσαι δυνάμενοι, οὐ τοσοῦτον δὲ ἐντελῶς ἀπ' ἀρχῆς ὑπὸ τῶν ἄλλων ἐγνωρίζοντο, γίνονται τελευταῖον γνωστὰ καθολικῶς τοῖς πᾶσι.

2. Ἐκ τῆς παραδόσεως ἆρα τῆς ἄχρι τῶν καιρῶν τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων ἀνιούσης, ἀσφαλές τε καὶ δῆλον, ὅτι πάντα τὰ τῆς νέας Διαθήκης βιβλία, ποιήματά εἰσι τῶν συγγραφέων, οἷς ἐπεγράφησαν, καὶ τοῦ αἰῶνος, εἰς ὃν αὐτὰ ἀναφέρομεν, τὰ δὲ ἐν αὐτοῖς περιεχόμενα κατὰ τὸν αὐτὸν πρῶτον αἰῶνα ἐπιστεύθησαν· ἐπεὶ δὲ ἦσαν λίαν κεκοινολογημένα, καὶ ἐκπληκτικὰ, καὶ τῇ ἐπικρίσει, καὶ ταῖς ἀντιῤῥήσεσιν ὑποκείμενα, οὐδεὶς ἐδέχετο αὐτὰ, εἴπερ ἦσαν

σαν ψευδῆ. Τὸ δὲ ἐπαναλαμβάνειν τὴν σήμερον τὴν περὶ αὐτῶν ἀμφιζολίαν ἐςὶ τὸ κατὰ πασῶν τῶν ἀρχῶν ἀντιφέρεσθαι, πρὸς τούτοις εἴδομεν, πόσον εἰσὶν ἐλλειπεῖς τε καὶ εὐτελεῖς αἱ ὑπὸ τῶν ἐμπαθεςέρων ἀπίςων προτεθεῖσαι κατ' αὐτῶν δυσκολίαι.

3. Ὀφείλω δὲ μὴ καταλιπεῖν τὴν δὲ τὴν περατήρησιν πάντων τῶν ὑπὲρ τῆς χριςιανικῆς πίςεως ἀπολογημένων. Τὸ κῦρος τῶν ἡμετέρων ἁγίων βιβλίων, τὸ ἀποδεικνύον ἀναντίῤῥητον τὴν τῶν ἐν αὐτοῖς περιεχομένων ἀλήθειαν, οὐκ ἔςιν ἁπλῶς ἀναγκαῖον εἰς τὴν τούτων βεβαίωσιν· ἀρκετὸν γὰρ τὸ ὅτι τὰ ἐν αὐτοῖς ἔργα παρετέθησαν πρὸς τοὺς μέλλοντας ἔσεσθαι μάρτυρας, καὶ ἀνηγγέλθησαν, καὶ ἐπιςεύθησαν κατ' αὐτὸν τὸν αἰῶνα, καὶ τοὺς τόπους, ἐν οἷς γεγόνασι. κἂν δὲ μὴ δι' ἀκαταβλήτων ἀποδείξεων ἀποδεδειγμένον ἦν, ὡς εἴδομεν, ὅτι τὰ τῆς νέας Διαθήκης βιβλία ποιήματά εἰσι τῶν Ἀποςόλων, βεβαιοῦται δ' οὖν ὅμως τοῦτο διὰ πάντων τῶν ἐκκλησιαςικῶν ὑπομνημάτων τῶν τριῶν πρώτων αἰώνων, διὰ τῆς ὑπάρξεως καὶ αὐξήσεως τῆς χριςιανικης πίςεως, καὶ διὰ τῆς ὁμολογίας, οὐμὴν ἀλλὰ καὶ διὰ τῆς σιωπῆς τῶν ἐχθρῶν αὐτῆς. διὸ οὐδὲν προσθεὶς τῇ παρατηρήσει ταύτῃ τῇ εἰς τὸν ἐμὸν σκοπὸν μὴ ἀφορώσῃ μεταβαίνω πρὸς τὸ κῦρος των της παλαιας Διαθήκης βιβλίων.

ΒΙΒΛΙΟΝ Β΄.

Περὶ τῦ κύρους τῶν τῆς παλαιᾶς Διαθήκης βιβλίων, τῶν μετὰ τὴν καταςροφὴν τῦ ναῦ τῦ Σολομῶντος συγγραφέντων.

Ἡ ὑπ' ἐμοῦ ὁρισθεῖσα μέθοδος τοῦ ἀναβαίνειν ἀπὸ τῶν πλησιεςέρων ἡμῖν εἰς τοὺς ἀπωτέρους καιροὺς ἀπαιτεῖ μετὰ τὴν ἀπόδειξιν τοῦ κύρους καὶ τῆς ἀληθείας τῶν τῆς νέας Διαθήκης βιβλίων, ἣν πεποίηκα ἀνερχόμενος βαθμηδὸν ἀπὸ τῦ καθ' ἡμᾶς αἰῶνος ἄχρι τοῦ τῶν Ἀποςόλων, καὶ τοῦ Ἰησοῦ Χριςοῦ, ἀνελθεῖν ὁμοίως ἀπὸ τούτυ τοῦ αἰῶνος ἕως τῆς τοῦ Μωϋσέως νομοθεσίας. ἡ τῆς ὑποθέσεως ἔκτασις ἀναγκάζειμε διελεῖν αὐτὴν εἰς διάφορα ἔτη. διὸ τὰ ἑβραϊκὰ βιβλία, τὰ γραφέντα μετὰ τὴν ὑπὸ τοῦ Ναβυχοδονόσορ γενομένην τοῦ ναοῦ καταςροφὴν, ἔσονται τοῦδε τοῦ βιβλίυ ἡ ὕλη. Πρῶτα δὲ κατὰ τὴν εἰρημένην τάξιν παρίςανται τὰ δύω τῶν Μακκαβαίων βιβλία.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῦ κύρους τῦ πρώτυ καὶ δευτέρυ βιβλίυ τῶν Μακκαβαίων.

ΑΡΘΡΟΝ Α΄.

Ἐν ᾧ αἱ ἀποδείξεις τῦ κύρους τῦ πρώτυ & δευτέρυ τῶν Μακκαβαίων βιβλίυ.

1. Ταῦτα τὰ δύω βιβλία ὐ κατελέχθησαν ἐν τῷ τῶν Ἑβδαίων κανόνι· ὁ δὲ λόγος ἁπλῦς ἐςίν. ὁ κανὼν ὗτος, ἢ κατάλογος, ἐσφραγισμέ-

γισμένος ἦν πρὸ τῆς ὑπάρξεως αὐτῶν ἔτη ἑκατὸν πεντήκοντα· μιμηταὶ δὲ τῶν Ιȣδαίων γεγόνασιν, ὡς πρὸς τὰ τῆς παλαιᾶς Διαθήκης βιβλία, οἱ πρῶτοι χριςιανοί· ἐκ τȣ́τȣ συνέβη τὸ μὴ περιληφθῆναι ταῦτα ἀπ' ἀρχῆς ἐν τοῖς τῶν ἱερῶν βιβλίων καταλόγοις, τοῖς κοινῶς δεκτοῖς ταῖς χριςιανικαῖς Εκκλησίαις. ὡς κανονικὰ ὅμως ἐλογίζοντο ἐν τῷ τετάρτῳ αἰῶνι, ὡς μαρτυρεῖ ὁ ἱερὸς Αὐγȣςῖνος, λέγων ῥητῶς· „Κἂν οἱ Ιȣδαῖοι ȣ̓κ ἐδέξαντο τὰ τῶν Μακκαβαίων βιβλία ἐν τῷ κα„νόνι αὐτῶν, ὅμως ὡς κανονικὰ λογίζονται ὑπὸ τῆς Εκκλησίας· κατὰ δὲ τὸν τρίτον αἰῶνα ὡς Γραφῆς τινος θείας μνημονεύει αὐτῶν ὁ ἐν ἁγίοις Κυπριανὸς, ὁμοίως ⲥ̀ ὁ Τερτȣλλιανὸς ⲥ̀ ὁ Ωριγένες, οἱ παρατηρήσαντες, ὡς φησιν ὁ Εὐσέβιος, ὅτι οἱ Ιȣδαῖοι ἐκάλȣν αὐτὰ, Σχαρβὴθ, Σαρβανὲ, ἕλ, τὸ σκῆπτρον τῆς κεφαλῆς τῶν παίδων τȣ̃ Θεȣ̃, κἂν τῷ τȣ̃ κύρȣς λόγῳ ȣ̓κ ἐνόμιζον ἶσα τοῖς ἐν τῷ κανόνι περιεχομένοις δυσὶ πρὸς τοῖς εἴκοσι βιβλίοις· κατὰ δὲ τὸν δεύτερον αἰῶνα μνημονεύει τȣ́των ὁ Κλήμης ὁ Αλεξανδρεύς. ἀναμφίβολον δὲ ἔςαι τὸ ὅτι καὶ κατὰ τὸν πρῶτον αἰῶνα τοσȣ̃τον εἶχον κῦρος, ὅσον τὰ ἱςορικὰ βιβλία, ἐὰν τὸν νȣ̃ν ἐπιςήσωμεν ἐπὶ τὸν Ιώσηπον, τὸν ἐξαγαγόντα ἐκ μὲν τȣ̃ πρώτȣ τῶν βιβλίων τȣ́των τὸ ὑπ' αὐτȣ̃ ἐν ταῖς ἀρχαιότησι γραφὲν περὶ τῆς νίκης τῶν Ασμοναίων κατὰ τῶν τῆς Συρίας Βασιλέων, ἐκ δὲ τȣ̃ δευτέρȣ, ὁλοσχερῆ τὴν περὶ τȣ̃ μαρτυρίȣ τῶν ἑπτὰ ἀδελφῶν, καὶ τῆς μητρὸς αὐτῶν διήγησιν, τὴν ἐν τῷ περὶ τȣ̃ αὐτοκράτορος λογισμȣ̃ βιβλίῳ κειμένην· ȣ̓τος δὲ ὁ ἱςορικὸς ἐν τῷ κατὰ Απίωνος πρώτῳ αὐτȣ̃ βιβλίῳ δηλοποιεῖ τὸν λόγον, δι' ὃν οἱ Ιȣδαῖοι ȣ̓κ ἐνέθηκαν αὐτὰ ἐν τῷ ἑαυτῶν κανόνι. (29) ȣ̓κ ἐδέχοντο, λέγει, εἰμὴ τὰ τῶν Προφητῶν, ὧν ἡ ἀκολȣθία, καὶ ἡ διαδοχὴ ἀκριβής. ἡ δὲ διαδοχὴ τέλος ἔσχε τὸν Μαλαχίαν, μεθ' ὃν ȣ̓κ ἐνεφανίσθησαν ἔτι Προφῆται ἐν τῷ Ισραὴλ, ὡς ὁ συγγραφεὺς τȣ̃ πρώτȣ βιβλίȣ τῶν Μακκαβαίων ἐσημείωσεν. ἀλλὰ μετὰ τὰς ὑπ' ἐμȣ̃ προτεθείσας μαρτυρίας ἀμφιγνοεῖν ȣ̓ δυνάμεθα περὶ τȣ̃ ὅτι κατὰ τὸν καιρὸν τȣ̃ Ιησȣ̃ Χριςȣ̃, καὶ τȣ̀ς πρὸ αὐτȣ̃ δύω αἰῶνας, τὸ τῶν Ιȣδαίων γένος ἐγνώριζε τὰ βιβλία ταῦτα ὡς τῷ ὄντι ἱςορικὰ, καὶ κατὰ πάντα ἀξιόπιςα.

Αὐγ. περὶ πόλ. Θεȣ̃.

Κυπρ. ἐν τῷ προτρεπτ. ϗ ἐπιςτ. 1. πρὸ Κορνήλ. Εὐσ. β. 6. κ. 25. ἱςορ.

Κλημ. β. 5. ςρωμ.

1. Μακκ. 9. 27.

2. Πολυπραγμονητέον δὲ τὶ κατ' αὐτῶν ἀντιτείνει ὁ ἐνςάσεις τινὰς τῶν Προτεςάντων ἀνακαινίσας, αἷς πολλάκις ἀπήντησαν οἱ ὑπὲρ ἡμῶν ἀπολογȣ́μενοι, καὶ συναγαγὼν καὶ τὰς ὑπὸ τῶν κριτικῶν προτεθείσας τε καὶ λυθείσας, καὶ τελευταῖον χιμαίρας τινὰς συγκροτήσας, μηδὲν ἐχȣ́σας θεμέλιον, εἰ μὴ τὰ ἑαυτȣ̃ σφάλματα, καὶ τὴν ἀμάθειαν, ἢ τὸ κακόπιςον.

ΑΡΘ.

Ἄ ΡΘΡΟΝ. Β'.

Περὶ τῆς ἐπιθανατίȣ καταδίκης τῶν ἑπτὰ ἀδελφῶν, καὶ τῆς τȣ́των μητρός.

1. Ὁ αὐτὸς ἀποφαινόμενος φησί. Τῶν ἑπτὰ ἀδελφῶν, καὶ τῆς μητρὸς αὐτῶν ἡ καταδίκη, ἡ τοσȣ̃τον παθητικῶς καθιςορȣμένη ἐν τῷ δευτέρῳ τῶν Μακκαβαίων βιβλίῳ, „ȣ̓δὲν ἕτερον ἐςιν, εἰ μὴ „πλάσμα. Ἰδȣ̀ τῶν ἀποδείξεων αὐτȣ̃ ἡ πρώτη· ȣ̓δεμία ἀνάμνησις αὐ„τῆς γέγονεν ἐν τῷ πρώτῳ βιβλίῳ τῷ προχωρȣ̃ντι πορρωτέρω τῆς „Αντιόχȣ τȣ̃ Επιφανȣ̃ς Βασιλείας.

Ιςέον, ὅτι ὁ κανὼν, ὦ ἐνταῦθα ςοιχεῖ, τȣ̃ ἀπορρίπτειν τὴν ἔκθεσιν τȣ̃ ἑτέρȣ, μαρτυρȣ̃ντος περίτινος ὑποθέσεως, διὰ μόνην τὴν σιωπὴν τȣ̃ ἑτερȣ, ἐςὶ καινὸς ἔντε τῇ κριτικῇ κἂν τῇ δικανικῇ ἐπιςήμῃ· ἀλλὰ κατὰ παραδρομὴν ȣ̓ κατεῖδεν, ὅτι τὸ μὲν πρῶτον τῶν Μακκαβαίων βιβλίον ȣ̓ διαλαμβάνει, εἰ μὴ περὶ τῶν ἐν τῇ Ιȣδαίᾳ συμβάντων, τὸ δὲ δεύτερον ἐκτείνεται ἐπὶ τοῖς ἐν τῇ Αντιοχείᾳ γενομένοις. Ὁ Αντίοχος, λέγει τὸ αὐτὸ βιβλίον, πορθήσας τὸν ναὸν, ἐπέςρεψεν εἰς τὴν Αντιόχειαν· ἀπέςειλε δὲ ἐκεῖθεν τὸν Απολλώνιον εἰς τὴν Ιερȣσαλὴμ, ὅςις ἐποίησε τὴν ἐν ὅλῳ τῷ λοιπῷ μέρει τȣ̃ παρασημειωθέντος κεφαλαίȣ φονοκτονίαν· πέμψας δὲ ἔπειτα καὶ τὸν Γέροντα (τὸν Αθηναῖον) ἐπέταξεν αὐτῷ βεβηλῶσαι μὲν τὸν ἐν Ιερȣσαλὴμ ναὸν, βιάσαι δὲ τȣ̀ς Ιȣδαίȣς ἐναγκαλισθῆναι τὴν εἰδωλολατρευτικὴν τῶν Ελλήνων θρησκείαν. τελευταῖον κελεύσας ἐνεχθῆναι αὐτῷ ἐκεῖ τȣ̀ς ἑπτὰ παῖδας σὺν τῇ μητρὶ αὐτῶν, βαρβαρικῇ ὠμότητι αὐτȣ̀ς ἀπέκτεινεν. ἐκ τȣ́τȣ βλέπομεν ὁποίας προσοχῆς ἀξία ἐςὶ καὶ ἡ ἐφεξῆς δευτέρα τȣ̃ ἀπίςȣ ἔνςασις.

2. Μακκ. 5. 21. 24. & 6.

„Ὁ τȣ̃ δευτέρȣ βιβλίȣ συγγραφεὺς, ὁ τὴν τῶν Μακκαβαίων „καταδίκην περιγράψας ȣ̓ δηλοῖ τον τόπον, ἐν ὦ ὁ Αντίοχος τὴν βαρ„βαρικὴν ταύτην πρᾶξιν γενέσθαι διέταξεν, ἐδήλȣ δὲ αὐτὸν, εἴπερ „ἀληθὲς ἦν τὸ ἔργον.

Συγχώρησόν μοι. ἀπὸ τȣ̃ πρώτȣ κεφαλαίȣ ἀρχόμενος, ἐδήλωσέ σοι, ὅτι ὁ Αντίοχος ἐπιςρέψας εἰς τὴν Αντιόχειαν, ἐποίησε πάντα ὅσα διηγεῖται ἄχρι τȣ̃ ὀγδόȣ κεφαλαίȣ. ἐκεῖθεν δὲ πάλιν, ἐκ τȣ̃ πρώτȣ ἐδαφίȣ, ἐπαναςρέφει ἐπὶ τὰ κατορθώματα, τὰ ἐν τῇ Ιȣδαίᾳ κατὰ τὸν αὐτὸν καιρὸν γεγονότα ὑπὸ Ιȣ́δα τȣ̃ Μακκαβαίȣ, καὶ τῶν ἀδελφῶν αὐτȣ̃. τȣ̃το κατενόησεν ἐντελῶς ὁ Ιώσηπος, λέγων ῥητῶς. ὁ Αντίοχος ἐκέλευσεν ἐνεχθῆναι εἰς τὴν Αντιόχειαν τȣ̀ς ἑπτὰ ἀδελ-

Ιωσ. β. περὶ αὐτοκρ. Λογισμ.

ἀδελφοὺς σὺν τῇ μητρὶ αὐτῶν. (30) κἂν τὸ τῶν Μακκαβαίων βιβλίον οὐκ ἐδήλου τὸν τόπον, ἐν ᾧ ἡ φοβερὰ αὕτη τραγῳδία συνέβη, κακως σὺ διαλογιζόμενος συμπεραίνεις, ὅτι ἡ ἱςορία οὐκ ἔςιν ἀληθής.

Ἄ Ρ Θ Ρ Ο Ν Γ'.

Περὶ τῶν Αντίοχου τοῦ Επιφανοῦς χαρακτήρων.

1. „Ἰδοὺ καὶ ἡ τρίτη ἀπόδειξις αὐτοῦ. Ὁ Αντίοχος ἀνεπίδεκτος ἦν ἔρ„γου τοσοῦτον εὐτελοῦς· αὐτὸς ἦν μέγιςος ἡγεμών... Ὁ τοῦ Επιφανοῦς „τῖτλος, ὃν ἡ μὲν Ασία αὐτῷ ἀπένειμεν, οἱ δὲ μεταγενέςεροι διετή„ρησαν, ἱκανὴ ἀπόκρισίς ἐςι κατὰ τῶν ὑπὸ τῶν Ιουδαίων διασπαρεισῶν „κατὰ τῆς μνήμης αὐτοῦ ὕβρεων.

Ἀλλ' ἄραγε οἱ Ιουδαῖοι εἰσιν, οἱ μετὰ τὸ διηγηθῆναι τὰς ἀτοπίας, τὰς εὐτελείας, τὰς παντὸς εἴδους ἀσωτίας, καὶ τὰς παρασπονδὰς τοῦ Αντιόχου, τοῦ επονομασθέντος Επιφανοῦς, ἐσημείωσαν, ὅτι μετήλλαξε τὸ τοῦ Επιφανοῦς ὄνομα εἰς τὸ τοῦ Επιμανοῦς, τοῦ Αναισθήτου, τοῦ Μωροῦ; οὐχί· ὁ Διόδωρός ἐςιν ὁ Σικελιώτης, ὁ Αθηναῖος, ὁ Πολύβιος· διατὶ δὲ ὁ λεγόμενος κριτικὸς λαλῆσαι ἠθέλησε περὶ τῆς παλαιᾶς ἱςορίας, ταύτην μὴ εἰδώς; ἐὰν τῇ ἀναγκαίᾳ προσοχῇ καὶ διακρίσει ἐμελέτα τοὺς ἐθνικοὺς συγγραφεῖς, αὐτοὶ ἐδίδασκον αὐτὸν τὸ, ὅτι ὁ Αντίοχος οὗτος, ὁ ἐκ χειρὸς τῆς φύσεως ἀγαθά τινα δεξάμενος ἰδιώματα, ἦν πρωτεὺς, καὶ ὂν ἀπεριόριςον, ἐκ τούτου δὲ καὶ πρὸς πᾶσαν ἀτοπίαν ἐπιτήδειος· μὴ ἀποδοὺς δὲ τῷ ἰδίῳ ἀνεψιῷ τὴν τῆς μητρὸς αὐτοῦ προῖκαν, ἀφορμὴν ἔλαβεν ἀπὸ τῆς τῶν ἐπιτρόπων τοῦ νεωτέρου ἀδελφοῦ ἀναζητήσεως κατακυριεῦσαι τῆς Αἰγύπτου, καὶ αὐτὴν λεηλατεῦσαι. οὐ δι' ἄλλο δέ τι ὑπεκρίθη ἀποδοῦναι τῷ νέῳ Ηγεμόνι τὰς ὑπ' αὐτοῦ ἐξουσιαζομένας Επαρχίας, ὧν τὸ τιμιώτερον κατέσχε μέρος, εἰ μὴ ἵνα ἐκβιάσῃ τὸν ἐν Αλεξανδρείᾳ νεώτερον ἀδελφὸν τοῦ Βασιλέως, ὃν οἱ ταύτην τὴν βασιλεύουσαν τῆς Αἰγύπτου πόλιν ἀνεγνώριζον, ὅτε ἐμάνθανον, τὸν πρεσβύτερον αὐτοῦ ἀδελφὸν ὑπὸ τὴν τοῦ Αντιόχου ἐξουσίαν διατελεῖν. ἐξωσθεὶς δὲ τῆς Αλεξανδρείας, ἀνεχώρησε κατέχων μὲν διαπαντὸς τὸ Πηλούσιον, κατακυριεύσας δὲ τῆς Κύπρου, ἐπὶ σκοπῷ τοῦ καταλιπεῖν τοὺς δύω ἀδελφοὺς ἐξαφανίσαι ἀλλήλους. ἰδὼν δὲ αὐτοὺς ἐναντίον τῆς ἐλπίδος αὐτοῦ συμφωνήσαντας, ἐπανελθὼν ἐφώρμησε κατὰ τῆς Αἰγύπτου, ὡς κατὰ θηράματος, μὴ δυναμένου ἐκφυγεῖν τὰς χεῖρας αὐτοῦ· τοὺς δὲ ὑπερηφάνους καὶ παρασπόν-

Διοδ. ἐν τα: Ἐκλογ. τοῦ Οὐαλεσ. Αθήν. β. 5. ϗ 10. Πολύβ. πρεσβ. 26.

δους

δὺς σκοπὸς αὐτῷ συνέχειν ἡ τῆ Ποπλίᾳ ἀνδρεία, καὶ ὁ περικατέχων αὐτὸν φόβος ὅτε ἦκεν προφερόμενον μόνον τὸ τῶν Ρωμαίων ὄνομα. Ἰδὲ ποῖός ἐςιν ὁ μέγιςος Ηγεμὼν, ὁ Βασιλεὺς ὁ τὴν μεγαλοψυχίαν ἀπαραδείγμάτιςος, καὶ ἑπομένως ὁ ἀπροσφυὴς εἰς τὸ φονεῦσαι μίαν γυναῖκα μετὰ τῶν ἑπτὰ ιῶν αὐτῆς, ὡς ςαθερῶς ἀποβαλόντων τὸ ἐναγκαλισθῆναι τὴν τῶν Ἑλλήνων θρησκείαν, ἧς τὰ ἔθιμα ἐκτελεῖν ἠνάγκαζε πάνζας τὸς Ἰουδαίους· ἐπελάθετο ἀναμφιβόλως ὁ φιλόσοφος ὗτος, ὅτι ὁ Αντίοχος ἦν ὀμώκτης· ὅθεν μετὰ τὸς γενναίους λόγους, „ὃς ἠκούσαμεν, ἐπέφερεν. „Η ἱςορία ἄρα τῶν λεγο„μένων Μακκαβαίων, καὶ τῆς μητρὸς αὐτῶν ἐςὶ πλάσμα.

Α΄ ΡΘΡΟΝ Δ.

Περὶ τῆς διανομῆς τῶν τῦ Αλεξάνδρου ἐπικρατειῶν, καὶ τῆς Διαθήκης αὐτῦ.

1. „Τῷ αὐτῷ τόνῳ ὁ αὐτὸς ἀκολούθως, λέγει· ὁ πλασματοποιὸς „συγγραφεὺς ἄρχε) τῦ ψεύδους, λέγων ὁ Αλέξανδρος ἔτι ζῶν, διέ„νειμε τοῖς φίλοις αὐτῦ τὴν ἰδίαν ἐπικράτειαν· τῦτο δὲ τὸ σφάλ„μα, τὸ ἀνασκευῆς μὴ χρῄζον, καθίςησιν ἱκανὸς κρίνειν τὰ περὶ τῆς „τῦ συγγραφέως ἐπιςήμης.

Κρίνομεν ἡμεῖς τὴν τῦ κριτικῦ ἐπιςήμην ἐκ τῦ σφάλματος, ὅπερ ἐνταῦθα πεποίηκεν, ὑποτιθέμενος ἕνα τὸν αὐτὸν εἶναι τὸν συγγραφέα τῦ δευτέρου τῶν Μακκαβαίων βιβλίου, τῦ τὴν ἱςορίαν τῦ θανάτου τῶν ἑπτὰ ἀδελφῶν, τῆς μητρὸς αὐτῶν περιέχοντος, τῷ τῦ πρώτου, τῦ ἐναρχομένου ἀπὸ τῆς διηγήσεως τῦ θανάτου τῦ Αλεξάνδρου, τῶν ἐσχάτων αὐτοῦ διατάξεων· τὸ δὲ ταυτίζειν τὸς συγγραφεῖς τύτων τῶν δύο βιβλίων ἐπίσημόν ἐςιν ἀμαθείας σημεῖον· ἡ ἀνομοιότης τῆς φράσεως· ἡ μὲν τῦ πρώτου ἐςὶν ἁπλῆ, συντετμημένη, καὶ καλὰ πάνζα τῆς τῶν ἑβραϊκῶν βιβλίων ἰδιότητος πλησθῦσα· ἡ δὲ τῦ δευτέρου, ἐκτεζαμένη τρόπων γέμουσα· καὶ ἡ διαφορὰ τῆς τῶν συμβάντων διηγήσεως, καὶ τῦ τρόπου τῆς ἐπαριθμήσεως τῶν ἐνιαυτῶν τῶν Σελευκίδων, καὶ αὐτοῖς τοῖς ἀμβλυωπῦσιν ἀναγγέλλουσι δύο συγγραφεῖς, ἀσυμφώνους κατὰ τὴν συγγραφὴν, καὶ διαφέροντας ἀλλήλων κατά τε τὸς καιρὸς καὶ τὸς τόπους· πρῶτός ἐςιν ἐνδεχομένως ὗτος ὁ σοφὸς ἄπις ὁ ἐνὶ καὶ τῷ αὐτῷ συγγραφεῖ ταῦτα τὰ δύο ἀπονείμας ποιήματα. Πρὸς τύτοις, ποῖόν ἐςι τὸ ἐν τῷ πρώτῳ βιβλίῳ τῶν Μακκα-

βαίων

βαίων σφάλμα, τὸ μὴ χρῆζον ἀνασκευῆς, καὶ πορίζον τὸ κρίνειν τὴν τῦ συγγραφέως ἐπιστήμην; ἄρα γε τὸ εἰπεῖν, ὅτι ὁ Ἀλέξανδρος ἐν τῇ κλίνῃ τῦ θανάτυ αὐτῦ διένειμε τὴν ἐπικράτειαν τοῖς ὑπηργοῖς αὐτῦ; ἀλλ' ὁ Δρύσιος, ὅσις ὡς Προτεσάντης, ὐχ ὡς κανονικὰ ἐδέχετο τὰ τῶν Μακκαβαίων βιβλία, ἔλεγε πός τινας τῶν συναδελφῶν αὐτῦ, τῶν καὶ αὐτηργῶν ὄντων τῶν ἐνστάσεων, τῶν ὑπὸ τῦ κριτικῦ ἀνακαινιζομένων, ὅτι τὸ περὶ ᾧ ὁ λόγος ἔγκλημα, ἄδικόν ἐστι καὶ συκοφαντικόν· δηλότι κατὰ τὸν Ἀρειανὸν, τὸν κρείττονα τῶν ἱστορύντων τὰ τῆς Βασιλείας τῦ Ἀλεξάνδρυ, τοσαύτη διαφορά ἐστιν ἐν τοῖς περὶ τῶν ἔργων καὶ τῦ θανάτυ αὐτῦ ἱστορυμένοις, ὥστε μηδέποτε τοσύτυς ἱστορικὺς ἀσυμφώνυς ἀναφανῆναι· τῷ ὄντι δὲ ὁ Κυϊντοκύρτιος, ὁ ἀρνύμενος τὴν ὑπὸ τῦ Ἀλεξάνδρυ ἔτι ζῶντος γενομένην διανομὴν, ὁμολογεῖ, ὅτι ἐνίοις τῶν συγγραφέων ἦν δεκτή· καὶ ὁ μὲν Διόδωρος ὁ Σικελιώτης λαλεῖ περί τινος τῦ Ἀλεξάνδρυ διαθήκης, διαλαμβανύσης περὶ διαιρέσεως τῆς ἰδίας ἐπικρατείας· τὸ δὲ τῆς Ἀλεξανδρείας χρονικὸν φησὶ ῥητῶς, ὅτι ὁ Περδίκας ἐν τῇ διανομῇ, ἧς πρόεξη εὐθέως μετὰ τὴν τῦ μονάρχυ τελευτὴν, ὐδὲν ἕτερον πεποίηκεν, εἰμὶ, τὴν ἐκπλήρωσιν τῶν ὑπ' αὐτῦ διαταγέντων· ἀληθῶς ὁ Ἀλέξανδρος εἰδὼς τὴν τῶν μεγισάνων αὐτῦ διάθεσιν, ἀναδέξασθαι ὐκ ἠθέλησε τὸ τῆς ἐκλογῆς τῦ διαδόχυ αὐτῦ βάρος, ἀλλ' ἐπεφόρτισεν αὐτὺς ἐκλέξαι τὸν μεζῶ αὐτῶν ἀξιώτερον· τῦτο ὅμως ὐκ ἐκώλυσεν αὐτὸν διορίσαι ἕκασον αὐτῶν οἱονεὶ διοικήτορα, διέποντα μέρος τῆς μεγάλης αὐτῦ μοναρχίας· τῦτο δέ ἐστιν ὅπερ ἐκτίθησι τὸ πρῶτον βιβλίον τῶν Μακκαβαίων, λέγον. „Διένειμεν αὐτοῖς τὴν Βασιλείαν αὐτῦ. „Ἄτοι δὲ μὴ ἐμμείναντες ἐν τύτῳ, μετέβαλον μετὰ τὸν τύτυ θάνατον τὰ διοικύμενα ὑπ' αὐτῶν μέρη εἰς τοσαύτας δυναστείας. „Ἐπέβηκαν ἑαυτοῖς διαδήματα μετὰ τὸν θάνατον αὐτῦ. ὐκ ἄρα ὁ τῦ βιβλίυ τῶν Μακκαβαίων συγγραφεὺς, ἀλλ' ὁ αὐθάδης κριτὴς αὐτῦ, ἐστὶν ὁ ἐνταῦθα δεικνύων ἀμάθειαν.

Κυϊντ. β. το.

1. Μακκ. 1. 8. 9.

Α΄ ΡΘΡΟΝ Ε΄.

Περὶ τῆς ὑπὸ Ἀντιόχυ τῦ Ἐπιφανῦς γενομένης λεηλασίας τῆς Περσεπόλεως.

1. Μετὰ τῆς αὐτῆς ἀπειρίας, ὑποτιθέμενος διαπαντὸς τὸ δύω τῶν Μακκαβαίων βιβλία, ἐκ τῦ αὐτῦ ἐξελθόντα καλάμυ· λέγει.

„Κατὰ τὸν συγγραφέα ὁ Ἀντίοχος εἰσέρχεται εἰς τὴν περσέ-
„πολιν, ἵνα λεηλατεύσῃ τὴν πόλιν καὶ τὸν ναόν. . . Ἡ μὲν πό-
„λις αὕτη, ἡ ὑπὸ τῶν Ἑλλήνων καλουμένη Περσέπολις, οὐκ εἶχε το-
„τε ὕπαρξιν, τὸ δὲ ἀληθὲς ὄνομα αὐτῆς ἦν Σεσεκάρ. εἴπερ οὖν ὁ
„τῶν βιβλίων τῶν Μακκαβαίων συγγραφεὺς Ἰουδαῖος ἦν Ἱεροσολυμί-
„της, οὐκ ἂν ἐκάλει τὴν παροικίαν τῶν Βασιλέων τῆς Περσίας τοιού-
„τῳ ξένῳ ὀνόματι· ἐντεῦθεν συνάγεται, ὅτι τὰ βιβλία ταῦτα οὐκ ἐ-
„γράφησαν, εἰμὴ ὑπὸ Ἰουδαίου τινὸς τῶν ἐν Ἀλεξανδρείᾳ Ἑλληνι-
„σῶν, ἀσκημένου τῶν ῥητορικῶν γυμνασμάτων.

Τὸ συμπέρασμα τοῦτο, ὅπερ ἀληθεύει τυχὸν περὶ τοῦ δευτέρου τῶν Μακκαβαίων βιβλίου, ψεύδεται περὶ τοῦ πρώτου· πρὸ ὀλίγου ἀπέδειξα τὰ βιβλία ταῦτα ἔργον διαφόρου χειρός· ὁ Ἑβραϊκὸς χαρακτὴρ τῆς Φράσεως τοῦ πρώτου ἱκανῶς ἀποδείκνυσιν, ὅτι διὰ τῆς Ἑβραΐδος συνεγάφη διαλέκτου, ἑπομένως δὲ ὑπὸ Ἰουδαίου Ἱεροσολυμίτου. ὁ δὲ Ἱερώνυμος ἐπιβεβαιοῖ, ὅτι εἶδε τὸ νῦν μὴ ὑπάρχον ἑβραϊκὸν πρωτότυπον τοῦ πρώτου τῶν Μακκαβαίων βιβλίου. οὐκ ἐν τῷ πρώτῳ δὲ, ἀλλ' ἐν τῷ δευτέρῳ βιβλίῳ γέγραπται Ἑλληνιστὶ, ὅτι ἡ πόλις, ἧς τὸν ναὸν λεηλατεῦσαι ἐβούλετο ὁ Ἀντίοχος, ἐκαλεῖτο Περσέπολις. τὸ δὲ πρῶτον προσαγορεύει αὐτὴν ἁπλῶς, πόλιν τῆς Ἐλυμαΐδος, εἶτα πρώτην πόλιν τῆς Ελάμ. τοῦτο δὲ νέα ἀπόδειξίς ἐστιν, ἐπικυροῦσα, ὅτι τὰ μὲν δύο τῶν Μακκαβαίων βιβλία οὐκ εἰσὶ τοῦ αὐτοῦ συγγραφέως, ὁ δὲ κριτικὸς καὶ ὧδε ἀπατᾶται.

Γερ. προλεγ. εἰς τὴν πρὸς Γαλατ.

2. Μακκ. 9. 2.

Ἀλλ' ἵνα παραιτήσῃ ἑαυτὸν ἐπιτήδειον, ἐν τῇ περὶ τῆς Ἀνατολῆς πολυμαθείᾳ κεκοσμημένον, φησί. Τὸ ἀληθὲς ὄνομα τῆς τῶν Περσῶν βασιλεύουσης ἦν Σεσεκάρ. Τοῦτο λέγεται ὑπότινων Ἀράβων καὶ Περσῶν συγγραφέων, τῆς τοῦ Μωάμεθ Ἐγίρας μεταγενεστέρων, οἵτινες γράφουσιν Εσεκὰρ, καὶ οὐχὶ Σεσεκάρ· ἀλλ' ἄραγε εἰκὸς ἐστι, μεγάλης τιμῆς ἀξίους νομίζειν συγγραφεῖς τοσοῦτον νέους ὡς πρὸς τὸ ἀρχαιότατον ὄνομα τῆς πόλεως, μάλιστα ἐπειδὰν ἐν τοῖς αὐτῶν συγγράμμασιν ἀναγινώσκομεν τὸ, ὅτι ἡ τοῦ Εσακὰρ πόλις τοσοῦτον εὐρύχωρος ἦν, ὥστε περιελάμβανεν ἐντὸς τῆς περιοχῆς αὐτῆς τὴν Σχίραν πόλιν; σημειωτέον δὲ, ὅτι κατὰ τὸν Θεβενότον *) δέκα ὡρῶν τοῦ λάχι-

*) Ὅρα τὰς Ἀνατολικ. ὁδοιπορ. τοῦ Θεβεν. ἐν τόμ. 4. σελ. 499. τῆς κατὰ τὴν Ῥοτερδ. ἐν ἔτ. 1727. ἐκδ. καὶ τὴν Ἀνατολικ. Βιβλιοθ. τοῦ Ἐβεδλότ· ἐν τῇ λέξει Εσακὰρ: καὶ τὸν Μαρτινιέρ. ἐν τῇ λέξει Περσέπολις, καὶ τὴν ἱστορίαν τῆς Ἀκαδημίας τῶν Ἐπιγραφῶν ἐν Τόμ. 29. σελ. 140.

λάχιστον ὁδοιπορία ἐστὶ μεταξὺ τῆς Σχίρας καὶ τῶν ἐρειπίων τοῦ Χελμινὰρ, ἢ τῆς Περσεπόλεως, τῆς ὑπὸ τούτων τῶν Γεωγράφων καλουμένης Εστακάρ ἐπὶ τῇ ὑποθέσει οὖν, ὅτι τοῦτο (ὅπερ ὁ Βολτέρος λέγει) τοσοῦτον βέβαιόν ἐστιν ὅσον καὶ ἀμφίβολον, παράδοξον ἄρα ἐστί, τὸν συγγραφέα τοῦ δευτέρου βιβλίου ἑλληνιστὶ συγγράφοντα χρήσασθαι τῷ ἑλληνικῷ ὀνόματι, Περσεπόλει, ἀντὶ τοῦ Περσικοῦ Εστακάρ;

2. Μετὰ τοῦτο τῆς πολυμαθείας τὸ δεῖγμα βοᾷ ὁ αὐτός. „Πόσοι λόγοι συμβοηθοῦσι τοῖς σοφοῖς, καὶ τοῖς πατρᾶσι τῶν πρώτων „αἰώνων, τοῖς ἐξωστρακίσασι τὴν τῶν Μακκαβαίων ἱστορίαν·

Οὐδεὶς τῶν σοφῶν ἀνδρῶν, οὐδὲ τῶν Πατέρων ἐξωστράκισε τὴν τῶν Μακκαβαίων ἱστορίαν, πάντες δὲ ἐλογίζοντο αὐτὴν ὡς ἱστορίαν ἀληθηνὴν, κἂν μὴ πάντες κατέλεξαν ἐν τοῖς κανονικοῖς βιβλίοις τὰ περιέχοντα αὐτὴν βιβλία· εἰπὼν δὲ τὶς ὁ περὶ τούτου λόγος, παρέστησα ἄλλους Πατέρας τοῦ δευτέρου καὶ τρίτου αἰῶνος, μνημονεύσαντας αὐτῶν ὡς θείας Γραφῆς, ὧν ἡ γνώμη κοινὴ γέγονεν ἐν τῷ τετάρτῳ αἰῶνι. Κ.Ι. Ἀριθ. Ι Ἀριθ. Ι.

Ἄ Ρ Θ Ρ Ο Ν ϛ.

Περὶ τοῦ ἔτους, ἐν ᾧ οἱ Ρωμαῖοι τοὺς Γαλάτας κατέστρεψαν· καὶ περὶ τῶν περιστάσεων τῆς Αντιόχου τοῦ μεγάλου καταστροφῆς.

1. Δυσκολίαι τινὲς ἐκ τοῦ ὀγδόου κεφαλαίου τοῦ πρώτου βιβλίου τῶν Μακκαβαίων προαχθεῖσαι, ἀφορμὴν παρέχουσι τῷ κριτικῷ περιϋβρίσαι τὸν συγγραφέα, „καὶ ἐλέγξαι αὐτὸν εἰπόντα, ὅτι Ιούδας ὁ Μακ„καβαῖος ἐκ σπηλαίου εἰς σπήλαιον περιερχόμενος, καὶ πόλεμον συγ„κροτῶν ἐν μιᾷ τῆς Ιουδαίας γωνίᾳ, ἠθέλησεν ὁμόσπονδος γενέσθαι „τοῖς Ρωμαίοις, ἀκούσας, ὅτι λαός τις Ρωμαῖος λίαν ἀφεστηκὼς, ὑπέ„ταξε τοὺς Γαλάτας. Επαναλαβὼν δὲ οὗτος ὁ τῶν ἱερῶν ἡμῶν βιβλί„ων κριτὴς, φησί, Τοῦτο τῶν Γαλατῶν τὸ γένος ἀκμὴν οὐχ ὑπῆρ„χε δεδουλωμένον, δεδούλωται δὲ μόνον ὑπὸ Κορνηλίου τοῦ Σκιπί„ωνος.

Οἱ Γαλάται ἔτει πρὸ χριστοῦ 188. ἐν δυσὶ διαφόροις συμβολαῖς κατὰ κράτος νικηθέντες ὑπὸ Κνείου Μανλίου τοῦ ὑπάτου, τοῦ ἐν Αγκύρᾳ τῇ βασιλευούσῃ τῶν Γαλατῶν πόλει καταλύειν αἱρετισαμένου, πρέσβεις πρὸς αὐτὸν ἀπέστειλαν, ἐπαγγελλόμενοι δεχθῆναι πάσας ὅσας ἂν αὐτὸς θελήσῃ ἐπιθεῖναι αὐτοῖς συνθήκας· ὁ δὲ τὸ ἐφεξῆς ἔ-

λος γράψας αὐτὰς, προσέθετο τὸ εἰρηνεύειν ἀλλήλοις, ἀπαγορεύσας ὁλοκλήρως καὶ τὰς κατ' ἔθος πειρατείας αὐτῶν καὶ τὰς ληϛείας· καὶ τὸ μὲν πρὸ τῆς χριϛιανικῆς χρονολογίας 188. ἔτος προϋπῆρχε τῷ ἔτει, καθ' ὃ ἐτελεύτησεν ὁ Ἀντίοχος ἔτη εἰκοσιτέσσαρα· ὁ δὲ Ἰούδας ὁ Μακκαβαῖος ὐκ ἀπέϛειλε τὰς πρέσβεις αὐτῷ εἰς τὴν Ῥώμην, εἰμὴ δύω ἔτη μετὰ τὴν τοῦ Ἀντιόχου τελευτήν· ὅτε δὴ ὁ Μακκαβαῖος Ἰούδας ἐζήτησε τῆς κραταιᾶς ταύτης Ἀριϛοκρατίας τὴν φιλίαν, παρελη-λυθότα ἦσαν τότε εἴκοσι καὶ ἓξ ἔτη, ἐξότου οἱ Γαλάται, ἢ Γαλοέλληνες δαμασθέντες ὑπέκειντο τοῖς Ρωμαίοις· μεταῤῥῖψαι ἄρα δυνάμεθα ἐπὶ τὸν κριτικὸν, ὃν αὐτὸς κατὰ τὸ ἱερὸν συγγραφέως συνέῤῥαψεν ἔλεγχον, εἰπών· „Λαλεῖ ὡς ἔτυχε περὶ ὃ ὐκ οἶδεν.

2. „Ὁ αὐτὸς λαλῶν περὶ τοῦ πρώτου τῶν Μακκαβαίων βιβλίου, „φησίν. Ὁ αὐτὸς συγγραφεὺς ἀκολούθως λέγει· ὁ Ἀντίοχος ὁ μέ„γας, ὕτινος υἱὸς ὁ Ἀντίοχος ὁ Ἐπιφανὴς ἠχμαλωτίσθη ὑπὸ τῶν Ρω„μαίων· τοῦτο δέ ἐϛι σφάλμα προφανές.

Πρέπον ἦν αὐτῷ ἐπισυνάψαι ϵ τὸ, ὅτι ὁ συγγραφεὺς τοῦ πρώτου βιβλίου τῶν Μακκαβαίων ὐκ ἐπιβεβαιοῖ, ὅτι ὁ Ἀντίοχος ὁ μέγας ἠχμαλωτίσθη ἐν τῷ κατὰ τῆς Μαγνησίας πολέμῳ, λέγει δὲ μόνον, ἡ φήμη διεσπάρη ἐν τῇ Συρίᾳ. ὁ Ἰούδας, φησὶν ὁ Ἱερὸς συγ-
1. Μακ. 8. 1. γραφεὺς, ἤκουσε τότε φημιζόμενον τὸ τῶν Ρωμαίων ὄνομα ϵ τὴν ἰσχὺν, τοὺς πολέμους καὶ τὰς ἀνδραγαθίας αὐτῶν, κτ. ἡ δὲ φήμη ἐδόκει ἀσφαλὴς, διότι εὐθὺς μετὰ τὸν ἐν Μαγνησίᾳ πόλεμον οἱ Ρωμαῖοι ἐκυρίευσαν τῶν Σάρδεων, ὅπου ὁ Ἀντίοχος μετὰ τὴν καταϛροφὴν αὐτῷ κατέφυγεν· ἀληθὲς δέ ἐϛιν ὅτι κατὰ τὸν ἀπίωνα καὶ τὸν Τίτον Λίβιον ὁ Ἀντίοχος ἐκφυγὼν τὸν διωγμὸν τῶν Ρωμαίων, ἦλθεν ἐν τῇ Ἀπαμίᾳ πρὸς ἔντευξιν τοῦ υἱοῦ αὐτοῦ. ἀλλ' ἆρά γε ὐκ ἔϛι πειθανὸν, ὅτι ὁ Σκιπίων, ὁ κατέχων τὸν Ἀντίοχον ἐν Σάρδεϛι συνήργησε τῇ φυγῇ αὐτοῦ; βέβαιόν ἐϛι τὸ, ὅτι ὁ Ἀφρικανὸς Σκιπίων, ὁ τῷ ἀδελφῷ αὐτοῦ τῷ ὑπάτῳ ἐν τούτῳ τῷ πολέμῳ ἀκολουθῶν, ἦν ὅλος τῷ μεγάλῳ Ἀντιόχῳ ἐκδοτος, ὅϛις καὶ μεγαλοψύχως ἄνευ λύτρων ἐπέϛρεψεν αὐτῷ τὸν υἱὸν αὐτοῦ, τὸν ἐν θαλάϛσῃ διὰ τῆς νηὸς αὐτοῦ αἰχμαλωτισθέντα· ὐχ ἧττον δὲ βέβαιον τὸ, τοὺς δύω Σκιπίωνας ἐγκληθῆναι ἐνώπιον τοῦ λαοῦ, ὡς ὑπὸ τοῦ Ἀντιόχου διαφθαρέντας.

3. „Ὁ συγγραφεὺς, ὁ αὐτὸς λαλεῖ. τῶν Μακκαβαίων προ„σίθησι τάδε· ὁ Ἀντίοχος ὁ μέγας παρεχώρησε τοῖς Ρωμαίοις τῆς „Ἰνδίας, τῆς Λυδίας, καὶ τῆς Μηδείας· τοῦτο λίαν φορτικόν ἐϛι· τοι„αὐτη αὐθάδεια ἐϛὶν ἀκατανόητος· ζημίαν προεξένησεν ὁ Ἰουδαῖος συγ„γραφεὺς, μὴ ἐπισυνάψας τούτοις τὴν Σίναν, καὶ τὸ Ἰαπόνι.

Τοῦτο

Τοῦτο δὲ μᾶλλον ἀκατανόητον τῷ ἀναγινωσκομένῳ ἐν τῷ τρίτῳ ἄρθρῳ τῆς ἐγγράφου συμφωνίας, τῆς μεταξὺ τοῦ Ἀντιόχου τοῦ μεγάλου καὶ τῶν Ρωμαίων, ὅτω δηλαδὴ ὡς κεῖται ἐν τοῖς πλείοσι τῶν τοῦ Τίτου Λιβίου ἀντιγράφων. „Ὁ Ἀντίοχος ὁ Βασιλεὺς ἐξέβαλε τὰ στρα„τεύματα αὐτοῦ ἐκ πασῶν τῶν πόλεων, πολυχνίων, καὶ φρουρίων τῶν „πέραν τοῦ Ταύρου, ἄχρι τοῦ ποταμοῦ Τανάϊδος*). Οὐδέποτε δὲ ὁ Ἀντίοχος ὁ μέγας φρουρὰς εἶχε πλησίον τοῦ Τανάϊδος· ἀλλ' ἐρεῖτις· τοσοῦτον διακριτικὸς ὢν ὅσον καὶ ὁ κριτικὸς ὅτος· διατὶ δὲ ἐπισυνάπτεται τὸ, ἄχρι τῆς Σαρματείας, ἢ ἄχρι τῶν ὑπερβορείων; ἀλλ' ἔπεται ἁρά γε ἐκ τούτου, ὅτι οἱ συγγραφεῖς τῆς εἰρημένης συμφωνίας, ἢ ὁ Τίτος ὁ Λίβιος ὁ μνημονεύων αὐτῆς, ἦν αὐθάδης; ὐδαμῶς· ἕπεται δὲ μόνον τὸ, ὅτι οἱ τὴν ἰσορίαν τοῦ Τίτου Λιβίου μεταγράψαντες ἠπατήθησαν. γράψαντες ἀντὶ τοῦ Ἅλυς, Τάναϊς· τὸ αὐτὸ συνέβη καὶ τοῖς μεταγράψασιν ἃς ἔχομεν μεταφράσεις τοῦ πρώτου βιβλίου τῶν Μακκαβαίων, οἵτινες ἐπισφαλῶς ἔγραψαν Μήδας ἀντὶ Μύσας, καὶ Ινδοὺς ἀντὶ Ιωνεῖς (31) τὴν τούτων δὲ διόρθωσιν τοσοῦτον καλῶς τεθεμελιωμένην ἔκρινεν ὁ Μινῦκιος ὁ Κένες, ὥσε ἐν τῇ ὑπ' αὐτοῦ γενομένῃ μεταφράσει ἀντεκατέστησε τοὺς Μύσας καὶ Ιωνεῖς ἀντὶ τῶν Μήδων καὶ Ινδῶν· τῷ ὄντι δὲ ὁρῶμεν παρὰ τῷ Τίτῳ Λιβίῳ μετὰ τὴν εἰρήνην, τὴν μετὰ τοῦ Ἀντιόχου γενομένην, τήν τε Μυσίαν καὶ τὴν Ιωνίαν παραχωρηθείσας Εὐμενεῖ τῷ Βασιλεῖ τῆς Περγάμου· τὰ παραδείγματα ταῦτα μιμηθῆναι ὤφειλεν ὁ νομιζόμενος κριτικὸς. μὴ ὑβρίζειν δὲ αὐθαδῶς συγγραφέα, τὸν διὰ τὴν ἀρχαιότητα καὶ τὸ φιλάληθὲς αὐτοῦ σεβάσμιον ὄντα καὶ αὐτοῖς τοῖς τῇ προκαταλήψει τοῦ κόμματος αὐτῶν κωλυομένοις κανονικὸν αὐτὸν λογίζεσθαι.

3. Οὐχ ἧσα δὲ αὐτὸς ἐνταῦθα, ἀλλ' ἐλέγξας τὸν ἱερὸν συγγραφέα, „εἰπόντα, ὅτι κατὰ πᾶν ἔτος ἐκλέγουσιν ἐν Ρώμῃ ἕνα ὑπέρ„τατον κριτὴν, ᾧ μόνῳ ὑπακούουσιν, ἐπαναλαβὼν, φησίν· Ὁ ἀμαθὴς „οὐδὲ τοῦτο ἐγίνωσκεν, ὅτι ἡ Ρώμη εἶχε δύω Ὑπάτους.

Συγχώρησόν μοι· ἐγίνωσκε τοῦτο, ἀλλ' ἐγίνωσκε προσέτι, ὅτι οἱ δύω Ὑπατοι ἀμοιβαδὸν ἐξουσίαζον· ὅτε δὲ ὁ αὐτὸς στρατὸς αὐτοῖς ὑπέ-

*) Τίτ. Λιβ. β. 38. κ. 28. Τ. 6. τῆς καθολικ. ἰσορ. ἐν τῇ τῶν Σελευκίδ. ἰσορ. σιλ. 350. τῆς ἐν Ἀμσελ. ἐκδ. Τέσσαρας δὲ ἐθεώρησα τοῦ Τίτου Λιβίου ἐκδόσ. ὧν ἡ πρώτη ἐν Λουγδ. ἔτ. 1553. ἡ δὲ ἐσχάτη ἐν Παρισ. ἔτ. 1788. ἐν πάσαις δὲ τὸ, Τάναϊς κεῖται.

ὑπέκειτο, τότε ἑκάτερος αὐτῶν εἶχε τακτὴν ἡμέραν, ἐν ᾗ προσέταττε· δίκαιον δέ ἐσιν εἰπεῖν περὶ σοῦ, ὅτι σὺ αὐτὸς ὑπάρχεις λίαν ἀμαθὴς, μὴ εἰδὼς, ὅτι ἡ ἐν Κάναις περίφημος ἡμέρα δι' ὐδὲν ἕτερον γέγονε τοῖς Ρωμαίοις τοσοῦτον ὀλέθριος, εἰμὴ διὰ τὸ εἶναι τὴν ἡμέραν, καθ' ἣν ὁ Τερέντιος ὁ Βάρων εἶχε τὴν ἐξουσίαν.

ΑΡΘΡΟΝ Ζ.

Περὶ τῆς πρεσβείας τῆς ὑπὲρ τῆς συνωμοσίας τῶν Ιουδαίων μετὰ τῶν Ρωμαίων.

1. Περὶ τῆς ἐν Ῥώμῃ πρεσβείας τῶν Ιουδαίων φησὶν ὁ αὐτός· „Τοῦτο ταυτόν ἐσι σχεδὸν τῷ ὥσπερ ἂν εἴτις λέγων ἐν τῇ Αριστοκρατίᾳ „τοῦ ἁγίου Μαρίνου ἀρχηγῶν ἀπέστελλε πρέσβεις πρὸς τὸν Σουλτάνον, „ἵνα ὁμόσπονδον αὐτῷ γένηται.

Σὺ ἀληθῶς περιπαίζεις σεαυτὸν, παραβάλλων τὴν Ἱερουσαλὴμ καὶ τὸ γένος τῶν Ιουδαίων τῇ Αριστοκρατίᾳ τοῦ ἁγίου Μαρίνου, ἐγὼ ὅμως διισχυρίζομαι, ὅτι ἐὰν ὁ Σουλτάνος ἐν ταῖς τῆς Ιταλίας ὑποθέσεσι τοσαύτην εἶχε συνεισφορὰν, ὅσην κατὰ τὸν καιρὸν τοῦ Ιούδα τοῦ Μακκαβαίου οἱ Ῥωμαῖοι ἐν ταῖς τῆς Συρίας καὶ τῆς Αἰγύπτου, μικρὰ δέ τις Ιταλικὴ ἐπικράτεια ἔντισι περιοίκοις ἀπέστελλεν ἐν Κωνσταντινουπόλει, ζητοῦσα προσασίαν κατὰ τῆς Αὐστρίας, ἐτύγχανεν ἂν δεξιώσεως.

2. „Αλλ' ὁ Τίτος ὁ Λίβιος, καὶ οἱ ἄλλοι ἱστορικοὶ οὐδὲν ἐλάλη„σαν περὶ τῆς τοιαύτης περιφήμου συμφωνίας.

Οὐδὲν παράδοξον, ἐὰν αὐτοὶ ἐσιώπησαν ὑπόθεσιν, μηδὲν ἀναγκαῖον συνεισάγουσαν ἐν τῇ τῆς Ῥώμης ἱστορίᾳ. τῷ δὲ τὰ τῶν Μακκαβαίων ἱστοροῦντι συγγραφεῖ, συγχρόνῳ ὄντι τῷ ἔργῳ, καὶ ὡς εἰκὸς καλῶς δεδιδαγμένῳ περὶ τῆς ὑποθέσεως ταύτης, ὡς τῷ ἰδίῳ αὐτοῦ γένει ἀνηκούσης, ἐξῆν ἄνευ γελοιώδους ὑπερηφανείας μὴ ἀμελῆσαι τῆς περὶ αὐτὴν διηγήσεως.

Α΄ ΡΘΡΟΝ Η΄.

Περὶ τῆς νομιζομένης τῶν Ἑβραίων τε καὶ Λακεδαιμονίων συγγενείας.

1. „Ὁρῶμεν, λέγει ὁ αὐτὸς, εὐθὺς μετὰ ταῦτα ἄλλην τινὰ καύ-
„χησιν περὶ τῆς νομιζομένης τῶν Ἰουδαίων καὶ Λακεδαιμονίων συγγε-
„νείας. ὁ συγγραφεὺς ὑποτίθεταί τινα Βασιλέα τῆς Λακεδαιμονίας,
„ἄρειον τὸ ὄνομα, γράψαντα πρὸς τὸν ἀρχιερέα τῶν Ἰουδαίων, Ονίαν
„τὸν τρίτον, ὅτως· Εὑρέθη ἐν τοῖς περὶ τῶν Σπαρτιατῶν καὶ Ἰου-
„δαίων γράμμασιν, ὅτι ὅτοι πάντες ἐκ τῆς φυλῆς ὄντες τῦ Ἀβραὰμ, 1 Μακκ. 12.
„εἰσὶν ἀδελφοί. ῥᾳδίως δὲ δείκνυται, ὅτι ἀδέποτε ἐν Σπάρτῃ ὑπῆρξε 21.
„Βασιλεὺς, Ἀρει῀ καλόμεν῀. ἀληθῶς ἐπὶ μὲν Ονίᾳ τῦ πρώτου
„ἦν τις Βασιλεὺς Ἀρετὸς τὄνομα, ἐπὶ δὲ Ονίᾳ τῦ τρίτυ ἓξ ἔτι ἦσαν
„Βασιλεῖς ἐν τῇ Λακεδαιμονίᾳ· περιττὸν δέ ἐσιν καταναλίσκειν τὸν
„καιρὸν εἰς τὸ ἀποδεῖξαι, ὅτι ὁ Ἀβραὰμ τοσῦτον ἄδηλ῀ ἦν ἐν Σπάρ-
„τῃ κἂν ταῖς Ἀθήναις, ὅσον καὶ ἐν Ῥώμῃ.

Πρὶν ἢ τὸ ἐμὸν δηλῶσαι φρόνημα περὶ τῆς συγγενείας, ἣν οἱ Λακεδαίμονες μεταξὺ αὐτῶν τε & τῶν Ἰουδαίων ὑπετίθεντο, ἀναγκαῖόν ἐσιν ἀνακαλύψαι τρία τῦ κριτικῦ τύτυ ἐπίσημα ψεύδη· „τύ-
„των πρῶτον τὸ, ὅτι ἀδέποτε ἐν τῇ Σπάρτῃ ὑπῆρξε Βασιλεὺς, κα-
„λόμενος Ἄρειος ἢ Ἀρέσιος, (32) καθάπερ προσαγορεύει αὐτὸν ὁ
„Ἰώσηπος. Διότι ἐν αὐτῇ δύω ὑπῆρξαν Βασιλεῖς τύτω αὐτῷ προσα-
γορευόμενοι τῷ ὀνόματι· ὧν ὁ μὲν ὁ τῦ Κλεωνύμυ ἦν ἔγγονος καὶ διάδοχ῀, ὁ δὲ, ὁ υἱὸς καὶ διάδοχ῀ τῦ Ἀρχόντυ. ὁ Παυσανίας, καὶ ὁ Πλύταρχ῀ περιγράφυσι τὸν πρῶτον τύτων σύγχρονον τῷ Πύῤῥῳ, καλῦντες αὐτὸν Ἀρεα. ὅτος δέ ἐσιν ὁ ἐν τῷ εἰκοσῷ βιβλίῳ τῆς βιβλιοθήκης Διοδώρυ τῦ Σικελιώτυ ἐπισφαλῶς κληθεὶς Ἀρετὸς, ὁ καὶ σύγχρον῀ Ονίᾳ τῷ πρώτῳ. Ὁ αὖτὸς δέ ἐσιν ἐνδεχομένως, ὁ πέμψας πρὸς τὸν αὐτὸν Ονίαν τὴν ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ τῦ πρώτυ βιβλίυ τῶν Μακκαβαίων ἐπιστολήν. διότι ὁ Ἰωνάθαν ἐν τῇ πρὸς τὸς Σπαρτιάτας ἐπιστολῇ αὐτῦ γράφει· πολλοὶ καιροὶ διῆλθον, ἀφ᾽ ὗ εἷς τῶν Βασιλέων ἡμῶν ἀπέστειλε πρὸς Ονίαν. τῷ ὄντι δὲ ὁ Ἀρει῀, ὁ πρῶτ῀ τύτυ λαχὼν τῦ ὀνόματ῀, ἐτελεύτησεν, ὡς φησιν ὁ Πετάυ, ἔτει 265 πρὸ τῆς χρισιανικῆς χρονολογίας, ὅπερ ἐσὶν ἔτει 122 πρὸ τῆς πρεσβείας, τῆς ὑπὸ τῦ Νάθαν ἐν Λακεδαιμονίᾳ πεμφθείσης.

Παυσ. ἐν τῇ ἀρχ. τῶν Λακεδ. Πλύτ. εἰς τὰ Περ. κ. εἰς τὸ Πύῤῥ.

1 Μακκ. 12. 10.

Τεῦ

„Ψεῦδος δεύτερον· ὁ συγγραφεὺς τοῦ πρώτου βιβλίου τῶν „Μακκαβαίων ὑποτίθεται τὸν τῆς Λακεδαιμονίας Βασιλέα Αρειον γρά„ψαντα πρὸς Ονίαν τὸν τρίτον. Ὁ τοῦ πρώτου βιβλίου τῶν Μακκαβαίων συγγραφεὺς ὑποτίθεται τὸ κατ' εὐθείαν ἐναντίον, ἐμφαίνων τὸν ἀρχιερέα τῶν Ιουδαίων Ἰωνάθαν, λέγοντα, πολλοὶ καιροὶ διῆλθον, ἀφ' οὗ αἱ τοῦ Βασιλέως ἐπιστολαὶ ἐπέμφθησαν πρὸς τὸν Αρχιερέα τὸν Ονίαν, ὅπερ ἐστὶ πρὸ τῶν διωγμῶν, ὑπὸ τῶν Βασιλέων τῆς Συρίας γενομένων κατὰ τῶν Ιουδαίων, καὶ ἐν τῇ ἀρχῇ τῶν πολέμων, τῶν κατ' αὐτῶν συγκροτηθέντων· ὅτε δὲ ὁ Ιωνάθαν ἔγραφε ταῦτα πρὸς τοὺς Σπαρτιάτας, ἀκμὴν οὐκ ἦσαν παρεληλυθότες πολλοὶ καιροὶ, ἀφ' οὗ ὁ Ονίας ὁ τρίτος, βασιλεύοντος Αντιόχου τοῦ Επιφανοῦς, ἐτελεύτησεν, ἢ ἐφονεύθη. ὁ δὲ ἐν τῇ Ιουδαίᾳ διωγμὸς ἤρξατο πρὸ ταύτης τῆς ἀνδροκτονίας.

„Ψεῦδος τρίτον. Κατὰ τὸν καιρὸν τῶν Μακκαβαίων τὸ τοῦ „Αβραὰμ ὄνομα ἄδηλον ἦν ἐν τῇ Σπάρτῃ, κἂν ταῖς Αθήναις. Ιδοὺ συγγραφεὺς τοῖς Μακκαβαίοις σύγχρονος ἐπιμαρτυρῶν τὸ ἐναντίον, καὶ προτείνων γράμμα, ὑπὸ τῶν Ιουδαίων ὡς αὐτόγραφον γνωριζόμενον, τουτέστι τὴν τοῦ Βασιλέως τῆς Σπάρτης ἐπιστολήν. ποίαν μαρτυρίαν κατὰ ταύτης, τῆς ὑπὸ τούτου τοῦ συγγραφέως προτεινομένης ἀντιπαρατίθησιν ὁ κριτικός; ὅτε ὁ τοῦ πρώτου βιβλίου τῶν Μακκαβαίων ποιητὴς ἀναφανδὸν προὔτεινε τὰς τῶν Σπαρτιατῶν ἐπιστολὰς, καὶ τὴν τοῦ Ιωνάθαν, παρεληλυθὼς ἦν τότε αἰὼν εἷς καὶ ἐπέκεινα, ἐξότου τὰ ἑβραϊκὰ βιβλία μεταπεφρασμένα ἦσαν εἰς τὴν ἑλληνίδα διάλεκτον, καὶ παῤῥησίᾳ ἀνεγινώσκοντο ἑλληνιστὶ ἐν τῇ ὑπὸ Ἑλλήνωντε καὶ Ιουδαίων οἰκουμένῃ τότε Αλεξανδρείᾳ· τίνα οὖν πείσῃ ἂν ὁ αὐθάδης οὗτος, ὅτι οἱ Αθηναῖοι καὶ Πελοποννήσιοι Ἕλληνες, οἱ ἀκαταπαύστως μετὰ τῶν Αἰγυπτίων, ἐξόχως δὲ μετὰ τῶν Αλεξανδρέων ἐμπορευόμενοι, οὐδεμίαν εἶχον εἴδησιν περὶ τούτων τῶν βιβλίων, τῶν τοσούτων ἐντίμων παρὰ τοῖς Ηγεμόσι τῆς Μακεδονίας, τοῖς τότε ἐπὶ τῆς ἐν Αἰγύπτῳ Βασιλείας αὐτῶν μεταφράσασιν αὐτὰ εἰς πλουτισμὸν τῆς βιβλιοθήκης αὐτῶν; τίνα ἂν πείσῃ, ὅτι τὸ ἐν Αλεξανδρείᾳ πολυάριθμον τῶν Ιουδαίων ἑλληνιστῶν πλῆθος ἐγκατέλειπε τοὺς ὁμογλώσσους ἀγνοεῖν ταῦτα; ἦν δὲ ἄραγε δυνατὸν, τοὺς ἔχοντας κἂν βραχυτάτην τινὰ γνῶσιν περὶ τῶν Ιουδαίων, καὶ τῶν βιβλίων αὐτῶν, ἀγνοεῖν τὸν Αβραὰμ, τὸν ἐν πᾶσιν ὀνομαζόμενον; τελευταῖον ὁ μὲν Νικόλαος ὁ Δαμασκηνὸς, ὁ τεσσαράκοντα καὶ δύω ἔτη πρὸ τῆς χριστιανικῆς χρονολογίας γράφων, μαρτυρεῖ ἐν τῷ τετάρτῳ βιβλίῳ τῆς ἱστορίας αὐτοῦ, ὅτι τὸ τοῦ Αβραὰμ ὄνομα γνωστὸν ἦν καθ' ὅλην τὴν ἀνατο-

νατολήν. ὁ δὲ Ἑκάταιος ὁ Ἕλλην, ὁ ἐπὶ τῶν πρώτων Πτολεμαίων, ὁλόκληρον βιβλίον, ἐὰν τῷ Ἰωσήπῳ πιστεύωμεν (33) περὶ τῦ Ἀβραὰμ συνετάξατο.

Περὶ δὲ τῆς τῶν Ἰουδαίων καὶ Λακεδαιμονίων συγγενείας ἐρῶ τὸ δοκοῦν μοι. ἀληθῆ ταύτην εἶναι ἐπίστευσαν εὐφυεῖς ἄνδρες, ἐν οἷς ἔ,τε Σαλιὲν, καὶ ὁ πατὴρ Τερεμπίνος, λέγων· οἱ λέλεγοι οἱ τὴν Σπάρτην θεμελιώσαντες, καὶ παλαιοὶ τῆς Λακεδαιμονίας οἰκήτορες ἦλθον μὲν, κατὰ τὴν μαρτυρίαν πάντων τῶν παλαιῶν συγγραφέων, ἀπὸ τῆς Φοινίκης καὶ Παλαιστίνης, ἦσαν δὲ Ἰδυμαῖοι, κἂν ἐκ μέρους, ἐξόχως δὲ Ἀμαληκῖται τὸ γένος, συνήφθησαν δὲ τοῖς Χαναναίοις, ὅτε αὐτοὶ μετὰ τὴν τῦ Ἰησῦ ἔφοδον ἀπελθόντες ἐν τοῖς δυτικοῖς μέρεσιν ἐζήτων κατοικίαν· ὑδεμίαν δὲ ἄλλην ἀπόδειξιν προτίθησιν ὅτ῀ τῆς τῶν Ἀμαληκιτῶν καὶ λελέγων ταυτότητ῀, εἰμὴ ἐτυμολογίας, ὧν τινες μακρόθεν παράγονται.

Ὅσον τὸ κατ' ἐμὲ πιστεύω, ὅτι αὕτη ἡ λεγομένη συγγένεια παράγεται ἀπό τιν῀ τῶν Λακεδαιμονίων σφάλματ῀. Ἰδὲ ἡ εἰκασία μου, ἣν ἀλλοθίτου εὑρεῖν ὑ μέμνημαι. Ἐκ τῆς ἀρχαίας τῆς Ἑλλάδ῀ ἱστορίας βέβαιον δοκεῖ, ὅτι οἱ Ἰναχίδες, οἱ τὸν τῦ Ἄργους θρόνον κατασχόντες, ὐκ ἦσαν αὐτόχθονες, ἀλλ' ἀπὸ τῆς ἀνατολῆς ἐληλυθότες· αὐτὸ δὲ τὸ τῦ Ἰνάχου ὄνομα ἄνθρωπον δηλοῖ ἐκ τῆς τῦ Ἐνὰχ πατριᾶς· ὁ δὲ Παυσανίας ἐν τῇ περὶ τῆς Ἀττικῆς ἐκθέσει τίθησι τὸν τάφον τῦ γίγαντ῀ Ἀσερίου, ὑῦ τῦ Ἐνὰχ ἐν τῇ νήσῳ Λάδῃ, τῇ ἀπεναντίας τῆς Μιλήτου (34). Τὸ δὲ γέν῀ τῶν Ἐναχίδων κατακρατῆσαν τῆς Πελοποννήσου ἐν διαρκείᾳ δέκα γενεῶν, εἶτεν ἀπὸ τῦ Ἰνάχου ἄχρι τῦ Γελάνορ῀, πολὺ μέρ῀ αὐτῆς ἐνώκισε. πρὸς τούτοις ἀναγινώσκομεν ἐν τῷ τῦ Εὐσεβίου χρονικῷ, τὴν Σπάρτην θεμελιωθῆναι ὑπὸ Σπάρτου ὑῦ τῦ Ἰνάχου (35). Οὐκ ἔστιν ὃν ἀπείθανον τὸ ὅτι ἡ φυλὴ τῶν Ἡρακλειδῶν, ἐξ ἧς ὁρμῶντο οἱ τῆς Σπάρτης Βασιλεῖς, ὡς αὐτοὶ διϊσχυρίζοντο, ἡ δ' ἄχρι τῆς ὁλοκλήρου ἐξαλείψεως τῆς Βασιλείας τῶν Λακεδαιμονίων διαρκέσασα, κατήγετο ἐκ τῶν Χαναναίων. οἱ δὲ Σπαρτιᾶται ὁρῶντες ἐν τοῖς παλαιοῖς αὐτῶν γράμμασιν, ὅτι οἱ μὲν πατέρες αὐτῶν ἦλθον ἀπὸ τῶν τόπων, ἐν οἷς τοσούτους αἰῶνας ἡ φυλὴ τῦ Ἀβραὰμ κατώκει, ὁ δὲ ἐν τῇ Ἀνατολῇ ὀνομαζόμεν῀ Ἀβραὰμ, ὡσαύτως δ' ὁ υἱὸς αὐτῦ Ἰσαὰκ διήνυσαν τὸν βίον συνεσφιγμένως συνημμένοι τῇ φυλῇ τῦ Ἐνὰχ τῦ τὴν Χεβρὼν οἰκοῦντ῀, ἐνόμισαν, ὅτι τῦ πατρὸς τῶν Ἰουδαίων Ἀβραὰμ ἡ φυλὴ, δ' ἡ τῦ Ἀρβὲ, πατρὸς τῦ Ἐνὰχ, ἦν μία δ' ἡ αὐτὴ, μάλιστα βλέποντες τὴν χώραν τῶν προγόνων αὐτῶν, τουτέστι τὴν κυρίως λεγομένην Ἰουδαίαν, ἐν ᾗ

Ἐν τῇ πρὸσθ. εἰς τὸν διάλεξ. τῦ Ποσείνου περὶ σωζομ.

Γεν. 8.

Ἀριθ. 13. 29. Δευτ. 1. 28. & 2. 10.

Ἰησῦς 13. 15. & 15. 13.

ἔκειτο ἡ πόλις Ἀρβὲ, πρὸ πολλῶν αἰώνων μὴ ἔχουσαν ἄλλους οἰκήτορας, εἰμὴ τοὺς Ἰουδαίους· ὅθεν ὅτε τὰ τῶν Ἰουδαίων βιβλία ἤρξαντο δῆλα γενέσθαι τοῖς Ἕλλησι, τότε ἐσπούδασαν γράψαι πρὸς αὐτούς. Οἱ δὲ Ἰουδαῖοι διὰ τῆς ἀποκρίσεως αὐτῶν δηλοῦσιν, ὅτι περὶ ταύτης τῆς
1. Μακκ. 12. 9. συγγενείας οὐκ ἦσαν λίαν πεπεισμένοι. „Ἡμεῖς οὖν, ἀπεκρίθησαν τοῖς „Σπαρτιάταις, ἀπροσδεεῖς τούτων, (τῶν ὑπομνημάτων τῶν ὑπ' αὐτῶν „προτεινομένων) ὄντες, παράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια, τὰ ἐν ταῖς χερσὶν ἡμῶν (16). ἐν οἷς οὐδὲν πάντως ἀνεγίνωσκον, ταυτίζον τὴν τοῦ Ἀβραὰμ φυλὴν τῇ τοῦ Ενὰχ. αἱ δὲ περιςάσεις αἱ τότε περιςατοῦσαι αὐτοὺς οὐκ ἐπέτρεπον παραβλέψαι τὰς ἀφορμὰς τῆς κατὰ τῶν Βασιλέων τῆς Συρίας συνωμοσίας. Τοιαύτη ἐςὶ κατ' ἐμὲ ἡ λύσις ταύτης τῆς δυσκολίας παρατηρητέον δὲ ἐνταῦθα ὁποῖόν ἐςι τὸ ἀξιόπιςον, ἢ ἡ ἱκανότης τοῦ καυχωμένου περὶ τοῦ ὅτι τελευταῖον διηρμήνευσε τὴν Διαθήκην.

Ἄ Ρ Θ Ρ Ο Ν Θ'.

Περὶ τῆς οἰκονομικῆς προνοίας ὑπὲρ τοῦ ἐν Ἱερουσαλὴμ ναοῦ.

1. Διηγηθεὶς ὁ αὐτὸς κατὰ τὸν τρόπον αὐτοῦ τὴν διὰ θαύματος παιδείαν, ἣν ἔλαβεν ὁ Ἡλιόδωρος, ὁ ἐγχειρήσας διαρπάσαι τὸν ἐν τῷ ναῷ θησαυρὸν, καὶ τὰ τῶν ἰδιωτῶν ἀνθρώπων ἀφιερώματα, λέγει· „Τοῦτο τὸ θαῦμα ἔδοξε λίαν ἄπρεπον. διότι οὐδὲ τὸν Βασιλέα „τῆς Αἰγύπτου Σεσὰκ, οὐδὲ τὸν τῆς Ἀσίας Ναβουχοδονόσορ, οὐδὲ τὸν „Ἀντίοχον τὸν Ἐπιφανῆ, οὐδὲ τὸν Πτωλεμαῖον τὸν Σωτῆρα, οὐδὲ τὸν μέ„γαν Πομπήϊον οὐδὲ τὸν Κρᾶσσον, οὐδὲ τὴν βασιλίδα Κλεοπάτραν, οὐδὲ τὸν „Αὐτοκράτορα Τίτον οἱ Ἄγγελοι ἐράβδισαν, καὶ πάντες ὅτοι ἔλαβον „μέρος τῶν τοῦ ναοῦ χρημάτων.

Τὸ λέγειν λίαν ἄπρεπον τὸ σπανίως συμβαῖνον θαῦμα, ἐςὶ τῆς ἀπρεπείας τὸ πλήρωμα· ὁ Θεὸς τρόπῳ θαυμασίῳ ἐπαίδευσε τὸν Ἡλιόδωρον, ἵνα πείσῃ τούς τε Ἰουδαίους καὶ τοὺς ἐθνικοὺς, ὅτι οὐκ ἀδυναμία, ἀλλὰ κρίσει βαθείᾳ τε καὶ δικαίᾳ ἐγκαταλείψει πρὸς ὀλίγον τὸν ναὸν αὐτοῦ βεβηλωθῆναι ὑπὸ τοῦ ἀσεβοῦς Ἀντιόχου· αὕτη δὲ ἡ βεβήλωσις πρὸ τριῶν αἰώνων καὶ ἐπέκεινα προκατηγγέλθη, σημειωθέντος καὶ τοῦ καιροῦ τῆς διαρκείας αὐτῆς, ὁμοίως καὶ τοῦ χαρακτῆρος τοῦ
Δαν. 8. 13, 14 23. 24. 25. Ἡγεμόνος, τοῦ αὐτουργοῦ αὐτῆς ἐσομένου. „Καὶ ἤκουσα, λέγει ὁ Δανιὴλ, „ἑνὸς ἁγίου λαλοῦντος· καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνὶ τῷ λαλοῦντι, ἕως
Ἄλλως πῶς ταῦτα παρὰ τῷ συγγραφεῖ. „πότε ἡ ὅρασις ςήσεται, ἡ θυσία, ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία ἐρημώσεως ἡ „δοθεῖσα, καὶ τὸ ἅγιον, καὶ ἡ δύναμις συμπατηθήσεται; Καὶ εἶπεν αὐ-

τῷ

„τω ἕως ἑσπέρας ☪ πρωΐ ἡμέραι δισχίλιαι καὶ τριακόσιαι, καὶ καθα-
„ρισθήσε☧ τὸ ἅγιον... Πληρωμένων τῶν ἁμαρτιῶν αὐτῶν ἀναςήσε-
„ται Βασιλεὺς ἀναιδὴς προσώπῳ, καὶ συνιῶν προβλήματα, καὶ κρα-
„ταιὰ ἡ ἰσχὺς αὐτῦ, καὶ θαυμαςὰ διαφθερεῖ, καὶ κατευθυνεῖ, καὶ
„ποιήσει, καὶ διαφθερεῖ ἰσχυρὰς, καὶ λαὸν ἅγιον. Καὶ ζυγὸς τῦ
„κλοιῦ αὐτῦ κατευθυνεῖ, δόλ☧ ἐν τῇ χειρὶ αὐτῦ, καὶ ἐν καρδίᾳ
„αὐτῦ μεγαλυνθήσεται, καὶ δόλῳ διαφθερεῖ πολλὰς. καὶ ἐπὶ ἀπω-
„λείας πολλῶν ςήσεται, καὶ ἐπ' ἄρχοντα ἀρχόντων ςήσεται, καὶ ὡς ὰ
„χειρὶ συντρίψει." Κἂν δὲ ὁ Ἀντίοχ☧ ἴχ ὑπέςη παιδείαν, δυναμέ-
νην κωλύσαι τὰ ἐγχειρήματα αὐτῦ, ἔλαβεν ὅμως ἄλλην ἀσυγκρίτως
φοβερωτέραν, ὡς μετ' ὀλίγον ὀψόμεθα.

Τὴν δὲ καταςροφὴν τῦ ναῦ τῦ Σολομῶντ☧ πρὸ πολλῶν ἐ-
τῶν, πρὶν ἢ τὸν Ναβυχοδονόσορ ὄργανον αὐτῆς γενέσθαι, προηγό-
ρευσεν ὁ Ἱερεμίας, ὑπεράνω τῦ ὑπερθύρυ τῦ ναῦ ἑςηκὼς, καὶ ὑψηλῇ
τῇ φωνῇ πρὸς τὰς ἀγεληδὸν εἰσερχομένας Ἰουδαίους, λέγων· „Πορεύ- Ἱερ. 7.12, κτ.
„θητε εἰς τὸν τόπον μυ τὸν ἐν Σηλὼ, ὃ κατεσκήνωσα τὸ ὄνομά μου
„ἐκεῖ ἔμπροσθεν, καὶ ἴδετε ἃ ἐποίησα αὐτῷ ἀπὸ προσώπυ κακίας
„λαῦ μυ Ἰσραήλ. Καὶ νῦν ἀνθ' ὧν ἐποιήσατε πάντα τὰ ἔργα ταῦτα,
„καὶ ἐλάλησα πρὸς ὑμᾶς, καὶ ὐκ ἀπεκρίθητε· Τοίνυν κἀγὼ ποιήσω
„τῷ οἴκῳ, ὃ ἐπικέκληται τὸ ὄνομά μυ ἐπ' αὐτῷ, καὶ τῷ τόπῳ ᾧ ἔ-
„δωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν καθὼς ἐποίησα τῇ Σηλώ.

Ἑξακόσια δὲ ἔτη καὶ ἐπέκεινα πρὶν ἢ τὸν Θεὸν ἐκτελέσαι διὰ
τῆς τῶν Ῥωμαίων χειρὸς τὴν αἰώνιον διαφθορὰν τῦ ναῦ, καὶ τῶν Ἰου-
δαίων εἰς ἐκδίκησιν τῦ θανάτυ τῦ Ἰησῦ Χριςῦ, ὅτινος ἡ ἀποςολὴ ἐ-
χαρακτηρίσθη διὰ τύτυ τῦ μεγάλυ συμβάντος, εἶπεν ὁ Δανιήλ, „Ἐν Δαν. 9.26,27.
„καιρῷ ὡρισμένῳ καὶ πάλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγυ-
„μένῳ τῷ ἐρχομένῳ. Καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων,
„καὶ ἕως τῆς συντελείας καιρὸς συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμω-
„σιν. Βλεπέτωσαν δὲ οἱ ἄπιςοι, πότε ὁ τῶν Ἰουδαίων Θεὸς ἐφάνη μι-
κρότερος, ὅτε παρέδωκε τὸν ναὸν αὐτῦ ταῖς τῦ Ἀντιόχυ βεβηλώσεσι,
καὶ τῷ πυρὶ, ὑφ' ὃ οἱ Ἀσσύριοι, εἶτα οἱ Ῥωμαῖοι αὐτὸν κατέκαυσαν,
ἢ ὅτε προέςη αὐτῦ κατὰ τῆς ἐφόδυ τῦ Ἡλιοδώρυ.

ΑΡΘΡΟΝ Γ'.

Περὶ τῦ τέλυς Ἀντιόχυ τῦ Ἐπιφανῦς.

1. „Ἀλλ' ἰδὺ ἐπαναλαμβάνει ὁ αὐτὸς, ☪ ἄλλοι ἀμφιβολίας λόγοι.
Ἐὰν μετὰ τὸ ἀποδεῖξαι συγγραφέα τινὰ πλασματοποιὸν, ψεύςην,

ς ἀπρεπόλογον, πάλιν λόγυς ἀξιῶμεν τὴν ψιλὴν αὐτῆς ἀμφιβολίαν, ἤτοι μεγάλην δεικνύομεν τὴν πρὸς αὐτὸν συγκατάβασιν, ἢ πολὺ μεγαλύνομεν τὴν μεθοδικὴν ἀμφιβολίαν· „σκεπτέον ὅμως, τίνες εἰσὶν „ἕτοι οἱ λόγοι. Τὸ μὲν πρῶτον τῆς ἱστορίας ταύτης βιβλίον φησὶν, „ὅτι ὁ Ἀντίοχος ἀπέθανεν ἐν τῷ 189. ἐνιαυτῷ τῆς τῶν Σελευκίδων „ἔτους, ὥπερ ἐχρῶντο οἱ Ἰουδαῖοι, ὡς ὑπήκοοι τῶν τῆς Συρίας Βασι„λέων· ὁ δὲ συγγραφεὺς τῆς δευτέρας βιβλίου· ὅπερ ἐστὶν ἐπιστολὴ δο„κοῦσα γεγραμμένη ὑπὸ τῶν ἐν Ἱερουσαλὴμ πρὸς τοὺς ἐν Ἀλεξανδρείᾳ „Ἕλληνισάς· ἐν τῷ 188. ἐνιαυτῷ τῆς τῶν Σελευκίδων ἔτους λαλεῖ περὶ „τοῦ θανάτου τοῦ Ἀντιόχου ἔτος ἓν πρὶν ἢ αὐτὸν συμβῆναι.

Τὸ σύντομον τοῦτο ὕφος, ὅπερ τὸ αὐτό ἐστιν ἐν δυσὶν ἐκδόσεσιν· ὧν ἡ μὲν δωδεκατημορίου, ἡ δὲ ὀκτημορίου μεγέθους· τοσαῦτα περιέχει σφάλματα, ὅσα ς λόγια. Τὸ μὲν πρῶτον τῶν Μακκαβαίων
1 Μακκ. 6. 16. βιβλίον γράφει ἔτος τοῦ θανάτου τοῦ Ἐπιφανοῦς Ἀντιόχου ἀντὶ τοῦ 189, ἀλλὰ τοῦ 149. τὸ δὲ δεύτερον ὁλόλως ἐμφαίνει τὸ ἔτος τοῦ θανάτου αὐτοῦ, ὅτινος μνείαν ποιεῖ ἐν τῷ ἐννάτῳ κεφαλαίῳ· ς ἡ μὲν ἐπιστο-
2. Μακκ. 11. λὴ Ἀντιόχου τοῦ Εὐπάτορος, ἡ πρὸς τοὺς Ἰουδαίους πεμφθεῖσα, ς τοῦ τοιούτου θανάτου μνημονεύουσα, ἐκδεδομένη ἐστὶ τῇ 15 τοῦ ξανθικοῦ μη-
γράφε 148. νὸς τοῦ 146 ἔτους· ἡ δὲ τοῦ 188 ἔτους ἔκδοσις, ἡ ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν Μακκαβαίων, ἐν κεφαλαίῳ πρώτῳ, ἐδαφίῳ δεκάτῳ σημειωθεῖσα, ὀδεμίαν σχέσιν ἔχουσα πρὸς τὸν θάνατον Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ἀνήκει τῇ δευτέρᾳ ἐπιστολῇ, τῇ πολλῷ ὕστερον τοῦ θανάτου τοῦ Ἀντιόχου πεμφθείσῃ ὑπὸ τῶν ἐν Ἱερουσαλὴμ πρὸς τοὺς ἐν Αἰγύπτῳ Ἰουδαίους.

Οὐκ ἀληθὲς δὲ τὸ, ὅτι τὸ δεύτερον βιβλίον τῶν Μακκαβαίων ὅδεν ἕτερον ἐστὶν, εἰ μὴ αὕτη ἡ ἐπιστολή. αὐτὸ ἄρχεται μὲν ἀπὸ τῆς τῶν ἐν Ἱερουσαλὴμ Ἰουδαίων πρὸς τοὺς ἐν Αἰγύπτῳ ἐπιστολῆς, τῆς μὴ δηλώσης τὸν τῆς ἐκδόσεως αὐτῆς χρόνον, λήγει δὲ ἐν τῷ ἐννάτῳ ἐδαφίῳ τοῦ πρώτου κεφαλαίου. μετ' αὐτὴν ἔπεται ἐν τῷ δεκάτῳ ἐδαφίῳ ἡ ἐπιστολὴ τῶν ἐν Ἱεροσολύμοις Ἰουδαίων πρὸς τὸν Ἀριστόβουλον, ἐκδοθεῖσα ἔτει 188, ἥτις πληροῖ ὅλον τὸ λοιπὸν μέρος τοῦ κεφαλαίου, ἔτι δὲ
Τῷ 23. ἐν τῇ Ἑλλην. ἐκδ. καὶ τὸ ἑξῆς ἄχρι τοῦ εἰκοστοῦ ἐδαφίου· ἀπὸ δὲ τοῦ ἐδαφίου τούτου ἄρχεται τὸ προοίμιον τοῦ ἐπιτεμόντος τὰ πέντε βιβλία τοῦ Ἰάσωνος τοῦ Κυρηναίου. αὕτη δὲ ἡ ἐπιτομὴ πληροῖ ὅλον τὸ λοιπὸν τοῦ βιβλίου μέρος.

Προϊόμεν νῦν ἐπὶ τὴν δυσκολίαν τὴν προκύπτουσαν ἀπὸ τῆς ἐκδόσεως τῆς ἐπιστολῆς Ἀντιόχου τοῦ Εὐπάτορος, παραβληθείσης τῇ ἐκδόσει τοῦ θανάτου Ἀντιόχου τοῦ Ἐπιφανοῦς, τῇ ἐν τῷ πρώτῳ βιβλίῳ τῶν Μακκαβαίων· τὴν δυσκολίαν ταύτην ὁ κριτικὸς ἀπίστως ἐπίσης τε καὶ ἀμαθῶς ἐκτιθέμενος, συμπεραίνει, ὅτι ὁ συγγραφεὺς τοῦ δευτέ-

ρου

„ρυ βιβλίυ τῶν Μακκαβαίων λαλεῖ περὶ τὸ θανάτυ τῦ Αντιόχυ ἓν ἔτος πρὶν ἢ αὐτὸν συμβῆναι. Αλλὰ τῦτο ταυτόν ἐςι τῷ, ὥσπερ ἂν εἰ ἐπήγαγεν, ὅτι ξένος τις συγγραφεὺς, τῷ νέῳ ἔτει ἑπόμενος, διηγύμενός τε ἓν τῶν ἐν τῇ Γαλλίᾳ συμβάντων, καὶ γράφων συμβῆναι τῦτο ἔτει 1778. κἂν ἡμεῖς γράφωμεν 1779, ἐλάλει περὶ τύτυ ἓν ἔτος πρὶν ἢ γενέσθαι. διότι οἱ μὲν ἐν Ιερυσαλὴμ Ιυδαῖοι, οἱ ἐναρχόμενοι τῦ ἔτυς αὐτῶν ἐν τῷ μηνὶ Νισὰν, ἐν ᾧ πάντοτε ἡ τῦ ἔαρος ἰσημερία συνέβαινεν, ἀπὸ τύτυ τῦ μηνὸς ἠρίθμυν τὸν ἀνακαινισμὸν τῶν ἐτῶν αὐτῶν, καθ' ὃν καιρὸν ο Αντίοχος ὁ Εὐπάτωρ, καὶ οἱ ἐν Αντιοχείᾳ Ελληνες, καὶ πάντες οἱ τὴν Αλεξάνδρειαν καὶ Κυρήνην οἰκῦντες, ἀκμὴν ὀκ ἠρίθμυν εἰ μὴ τὸ 148 ἔτος· διότι ἡ ἐπιςολὴ τῦ Εὐπάτορος ἐξεδόθη κατὰ τὴν δεκάτην πέμπτην ἡμέραν τῦ ξανθικῦ μηνὸς, τῦ ἀρχομένυ σὺν τῇ πρώτῃ τῦ ἔαρος νεομηνίᾳ· ὁ δὲ τύτου πατὴρ Αντίοχος ὁ Επιφανὴς ἀπέθανεν ὀλίγας ἡμέρας πρὸ τῆς τῦ ἔαρος ἰσημερίας, ὅτε οἱ ἐν Ιερυσαλὴμ Ιυδαῖοι ἠρίθμυν ἤδη τὸ 149 ἔτος. Τῦτο δὲ μαθὼν Αντίοχος ὁ Εὐπάτωρ ἀπέςειλε τοῖς Ιυδαίοις 2Μακκ.11.15
τὴν ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν Μακκαβαίων προτεινομένην ἐπιςολήν.

2. „Ἐν τῷ πρώτῳ τῶν Μακκαβαίων βιβλίῳ (ὁ αὐτὸς λαλεῖ) „ἐῤῥέθη, ὅτι ὁ Βασιλεὺς ἠξιώθη ὀφετερίσασθαι τὰς χρυσᾶς θώ„ρακας, τὰς ὑπὸ τῦ μεγάλυ Αλεξάνδρυ καταλειφθέντας ἐν τῇ πό„λει Ελυμαΐδι, τῇ κειμένῃ κατὰ τὴν ὁδὸν, τὴν εἰς τὴν Εχβατάνην „φέρυσαν, ἥτις ἡ αὐτή ἐςι τῇ Ράγᾳ· μαθὼν δὲ, ὅτι οἱ Μακκαβαῖοι „ἐν τῇ Ιυδαίᾳ ἀντέςησαν τῷ ςρατῷ αὐτῦ, λύπῃ συσχεθεὶς, ἐτε„λεύτησεν ἐκεῖ.

Εν τῷ πρώτῳ βιβλίῳ τῶν Μακκαβαίων ὐδαμῦ εὑρίσκεις τὴν πόλιν τῆς Περσίας Ελὰμ, κειμένην κατὰ τὴν ὁδὸν, τὴν εἰς τὴν Εχβατάνην φέρυσαν, ἀλλ' ὐδὲ τὸν Αντίοχον λύπῃ συσχεθέντα, & ἐκεῖ ἀποθανόντα. Βλέπεις δὲ αὐτὸν ἐπισρέφοντα διὰ τῆς Ελυμαΐδ@ εἰς 1Μακκ.6.8.9.
τὴν Βαβυλῶνα, & καθ' ὁδὸν ἀπαντῶντα τὸν ταχυδρόμον, τὸν ἀναγελλοντα αὐτῷ τὴν ἐν τῇ Ιυδαίᾳ καταςροφὴν τῦ ςρατοπέδυ αὐτῦ, λυπηθέντα δὲ & εἰς ἀῤῥωςίαν ἐμπεσόντα, ἥτις πολλὰς ἡμέρας διήρκεσε, & αὐτὸν ἠνάγκασεν ἐπὶ κλίνης κατακεῖσθαι.

3. „Τὸ δεύτερον, φησὶν ὁ αὐτὸς, τῶν Μακκαβαίων βιβλίον λέγει· „Πεσὼν ἀπὸ τῆς ἁμάξης ὁ Βασιλεὺς, τοσῦτον τῇ πτώσει „συνετρίβη, ὥςε σκωλήκων τὸ σῶμα αὐτῦ πληρωθῆναι· τότε ὃν ὃ„τ@ ὁ Βασιλεὺς τῆς Συρίας ἐζήτησε παρὰ τῦ Θεῦ τῶν Ιυδαίων 2.Μακκ.9.13.
„συγχώρησιν, ἐντεῦθεν τὸ ἐδάφιον τῦτο γέγονε τοσῦτον γνωςὸν & „εὔχρηςον· ὁ πονηρὸς αἰτεῖ τῦ Θεῦ τὸ ἔλε@, ὅτιν@ τυχεῖν ὐκ

„ην

„ἦν πρέπον. προσίθησι δὲ ὁ συγγραφεὺς τὸ, ὅτι ὁ Ἀντίοχος ὑπε-
„σχέθη τῷ Θεῷ γενέσθαι Ἰουδαῖος· αὕτη ἡ ἐσχάτη νύξις ἀρκεῖ. Τὸ-
„το τὰυτόν ἐςι τῷ ὥσπερ ἄν εἰ ὁ Κάρολος ὁ πέμπτος ὑπέσχετο
„γενέσθαι Τοῦρκος.

Συχνάκις οἱ ἀναιδέςατοι ἀσεβεῖς τῇ αἰωνίῳ ζωῇ πλησιά-ζοντες, μεταβάλλουσι καὶ τὸν τόνον τοῦ συλλογίζεσθαι καὶ τὸν τρό-πον. Οὐχ ἡμεῖς αὐτοὶ ἑωράκαμεν ἀνθρώπους ἀνευλαβέςατα μὲν δια-νύσαντας πᾶσαν τὴν τοῦ βίου αὐτῶν περίοδον, εἶτα ἰδίᾳ θελήσει κα-τακλέξαντας ἑαυτοὺς τοῖς πλημμελήσασι, καὶ ἐπὶ τὴν καταδίκην ἑλκομέ-νοις, ἵνα τιμήσωσι τὰ μυςήρια, τὰ ὐχ ἅπαξ ὑπ' αὐτῶν περιπαιχθέν-τα; οἱ ἄπιςοι καὶ οἱ ἄνομοι ἀποθνήσκουσιν ὡς ἐπὶ τὸ πλεῖςον ἤτοι ἐπιδεικνύντες ψευδομετάνοιαν, ὡς ὁ Ἀντίοχος, ἢ ἐκπνέοντες ἐν ταῖς βλασφημίαις, καὶ ἐκφοραῖς, καὶ τῇ ὀργῇ, καὶ τῷ ἀπελπισμῷ. γνωςὸν δέ ἐςιν ὁποῖον ἔσχε τέλος ὁ ὑπ' ἐμοῦ ἀνασκευαζόμενος (37).

Οὐδεμία δὲ ἀληθὴς ἐναντιότης ἐςὶ μεταξὺ τοῦ συγγραφέως τοῦ πρώτου βιβλίου τῶν Μακκαβαίων, τοῦ δύω μόνας λέξεις εἰπόντος περὶ τῆς τοῦ Ἀντιόχου τελευτῆς, καὶ τοῦ συγγραφέως τοῦ δευτέρου βι-βλίου, τοῦ τὰς περιςάσεις αὐτῆς λεπτομερῶς διηγουμένου· ἑκάτεροι πα-ριςῶσι τὸν Ἀντίοχον μανιωδέςερον γενόμενον διὰ τὴν κακὴν τῶν ὅπ-λων αὐτοῦ ἔκβασιν, καὶ κατεπείγοντα μὲν τὴν ὁδοιπορίαν, ἵνα εἰς τὴν Βαβυλῶνα φθάσας ἐπιςρέψῃ εἰς τὴν Συρίαν, κωλυθέντα δὲ ἐν τῇ ὁδῷ ὑπό τινος ὀχληρᾶς ἀσθενείας, ἧς τὰς περιςάσεις καὶ προόδους, ὅσας ὁ τοῦ πρώτου βιβλίου συγγραφεὺς ἐσιώπησε, δηλοποιεῖ ὁ τοῦ δευ-τέρου· τούτοις δὲ σύμφωνός ἐςιν ὁ Πολύβιος κατὰ τὴν ἀξιόλογον τῆς τελευτῆς τοῦ ἀθλίου τούτου Ηγεμόνος περίςασιν, λέγων· ὅτι πρὸ τοῦ θανάτου αὐτοῦ ἐνέπεσεν εἰς μανίαν τινὰ, ὑπὸ τῶν φόβων καὶ ἐλέγ-χων τῆς συνειδήσεως συνεχῶς ἐκταραττόμενος. (38).

Οὐδεμίαν κατέλιπον τῶν ὑπὸ τοῦ κριτικοῦ προτεινομένων δυσκο-λιῶν ἄνευ ἀπαντήσεως, κἂν πολλαὶ ἐξ αὐτῶν ἦσαν ἀξιοκαταφρόνη-τοι· τὸ αὐτὸ δὲ ποιήσω καὶ κατὰ τῶν ἐνςάσεων αὐτοῦ, τῶν κατὰ τῶν ἄλλων βιβλίων τῆς παλαιᾶς Διαθήκης, τὸ τούτων κῦρος ἐπι-σηρίζων.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆ κύρες τῆ βιβλίε τῆς Σοφίας τῆ Σειρὰχ, ϗ τῆς τῆ Σολομῶντος, καὶ τῶν δύω πρώτων βιβλίων τῆ Ἔσδρα.

ΑΡΘΡΟΝ Α'.

Εν ᾧ αἱ ἀποδείξεις τῆ κύρες τῆς Σοφίας τῆ Σειράχ.

1. Ὁ πρόλογος καὶ τὸ τέλος τῆ βιβλίε τῆς Σοφίας τῆ Σειρὰχ ἀναγγέλλεσιν αὐτὸ πόνημα τῆ Ιησῆ τῆ ὑῆ τῆ Σειρὰχ, τῆ κατοικήντος ἐν Ιερουσαλήμ· ὁ αὐτὸς δὲ πρόλογος δηλάσκει ἡμᾶς, γραφῆναι τὸ βιβλίον κατ' ἀρχὰς ἑβραϊςὶ, εἶτα ἐπὶ τῆς Βασιλείας Πτολεμαίε τῆ Εὐεργέτε μεταφρασθῆναι εἰς τὴν Ἑλληνίδα ὑπὸ τῆ ἐγγόνε τῆ αὐτε συγγραφέως ἐν τῷ τριακοςῷ ὀγδόῳ ἔτει τῆς ἡλικίας αὐτῆ. Τὰ τῶν μεγάλων ἀνδρῶν ἐλλόγεια τῶν ἐν Ιουδαίοις ἀκμασάντων ἄρχονϑ μὲν ἀπὸ τῆ τεσσαρακοςῆ τετάρτε κεφαλαίε τῆ αὐτῆ βιβλίε, τελευτῶσι δὲ ἐν τῷ πεντηκοςῷ δηὰ τῶν ἐγκωμίων τῆ ἀρχιερέως τῶν Ἰουδαίων, τῆ καλυμένε Σίμωνος, ὑῆ τῆ Ονίε· ἐκ τύτε ἔπεϑ, ὅτι τὸ βιβλίον συνεγράφη μὲν μικρόντι μετὰ τὴν ἀρχιερατείαν Σίμωνος τῆ ὑῆ τῆ Ονίε, μετεφράσϑη δὲ εἰς τὴν Ἑλληνίδα ἐπὶ τῆς Βασιλείας Πτολεμαίε, τῆ ἐπονομασϑέντος Εὐεργέτε· δύω δὲ Βασιλεῖς τῆς Αἰγύπτε τύτῳ προσηγορεύοντο τῷ ὀνόματι· ὧν ὁ μὲν πρῶτός ἐςιν ὁ ὑὸς Πτολεμαίε τῆ Φιλαδέλφε, ὁ δηαδεχϑεὶς αὐτὸν ἔτη 245, πρὸ τῆ χριςιανικῆ ἔτες· ὁ δὲ δεύτερος, ὁ ὑὸς Πτολεμαίε τῆ Ἐπιφανῆς, καὶ ἀδελφῆ Πτολεμαίε τῆ Φιλομήτορος, ὃν δηεδέξατο ἔτη 146. πρὸ τῆ αὐτῆ ἔτες· ὡσαύτως ἐν τῷ μεγάλῳ καταλόγῳ τῶν ἀρχιερέων τῶν Ἑβραίων δύω ὁρῶμεν ἀρχιερεῖς ὀνόματι Σίμωνας, ὑὸς τῆ Ονίε· ὧν ὁ μὲν πρῶτος σύγχρονος ἦν Πτολεμαίῳ τῷ ὑῷ τῆ Λάγε, κατὰ τὸν Ἰώσηπον, τὸν καλῆνϗα αὐτὸν, Σίμωνα δίκαιον· ὁ δὲ δεύτερος τῷ πρώτῳ Πτολεμαίῳ τῷ Εὐεργέτῃ, Ϗ Πτολεμαίῳ τῷ Φιλοπάτορι· νομίζω, κἂν ἄνδρες σοφοὶ, οἵοί εἰσιν ὁ Οὐέτος, Ϗ ὁ Δυπῖνος *) ἐναντίας ἦσαν

Πρόλ. ϗ τ. 19 ϗ 52. 3.

Ιωσ. β. 12. κ 2. ἀρχ.

*) Τὸ 2. κεφ. τῆς Σοφίας τῆ Σειράχ λαβὴν παρέχει ποιῆσαι, ὅτι τὸ βιβλίον τῆτο συνεγράφη, ὅτε οἱ Ἰουδαῖοι κατετρύχοντο ὑπὸ τῶν γειτόνων Βασιλέων, ὅπερ ἀνήκει, ὡς φησὶν ὁ Δυπῖνος, τῷ καιρῷ Ονίε τῆ Γ'. ϗ Αντιόχε τῆ Ἐπιφανῆς, ἰδαμῶς δὲ τῷ τῆ Σίμωνος τῆ α'. ὅτός ἐςιν ὁ μέ-

ἦσαν γνώμης, ὅτι ὁ ἐν τῷ βιβλίῳ τῆς Σοφίας τοῦ Σειρὰχ ἐπαινούμενος ἀρχιερεὺς, ἐστὶν ὁ Σίμων, ὁ πρῶτος υἱὸς τοῦ Ονίου, ὁ καλούμενος Σίμων δίκαιος ὑπὸ τοῦ Ιωσήπου, τοῦ περιγράψαντος αὐτὸν ἅμα τῶν αὐτῶν χαρακτήρων, ἀφ' ὧν ὁ συγγραφεὺς τῆς Σοφίας τοῦ Σειρὰχ, ὅσις πάνυ καλῶς τὴν πρὸς τὸν Θεὸν εὐσέβειαν, καὶ τὴν πρὸς τὸν λαὸν ἀγάπην αὐτοῦ ἐξέθετο· ὅθεν δὲ τοιοῦτον λέγει ὁ ἱστορικὸς Ιούδαϊος ὁ Ιώσηπος περὶ τοῦ Σίμωνος τοῦ δευτέρου υἱοῦ τοῦ Ονίου, ὃν οἱ δύο προειρημένοι συγγραφεῖς ἐνόμισαν εἶναι τὸν πολλὰ ὑπὸ τοῦ βιβλίου τῆς Σοφίας τοῦ Σειρὰχ ἐπαινούμενον· ἐκ τούτου συμπεραίνω σὺν τῷ Ἱερωνύμῳ, ὅτι τὸ ῥηθὲν βιβλίον συνεγράφη μὲν ὑπὸ Ιησοῦ υἱοῦ τοῦ Σειρὰχ ἐν τῷ τέλει τῆς Βασιλείας Πτωλεμαίου τοῦ πρώτου, (39) ἢ ἐν τῇ ἀρχῇ τῆς Βασιλείας Πτωλεμαίου τοῦ Φιλαδέλφου. μετηνέχθη δὲ ἔπειτα εἰς τὴν Ἑλληνίδα ὑπὸ τοῦ αὐτοῦ Ιησοῦ ἐπὶ τῆς Βασιλείας Πτωλεμαίου τοῦ Εὐεργέτου, τοῦ Α'.

2. Ὁ Ἱερώνυμος μαρτυρεῖ, ὅτι τοῦ βιβλίου τούτου εἶδεν ἑβραϊκὸν τεῦχος, καὶ πειθανὸν μὲν δοκεῖ, ὅτι ὁ τούτου ποιητὴς γνωσὸς ἦν τοῖς τοῦ Ταλμὺδ συγγραφεῦσιν ἐπ' ὀνόματι τοῦ Βενσιρα, ὅπερ ἐστὶν υἱὸς τοῦ Σίρα. περιελήφθη δὲ πάντως ἐν πᾶσι τοῖς τῶν κανονικῶν βιβλίων καταλόγοις. τοῖς ἐν τῷ τέλει τοῦ τετάρτου αἰῶνος ἐν τοῖς δυτικοῖς πεμφθεῖσι τόποις· καὶ ἐν μὲν τῷ τρίτῳ αἰῶνι ὡς θεία Γραφὴ ἐμνημονεύθη ὑπὸ τοῦ ἐν ἁγίοις Κυπριανοῦ, ἐν δὲ τῷ δευτέρῳ ὑπὸ Κλήμεντος τοῦ Αλεξανδρέως· τὸ δὲ τριακοστὸν ἕκτον ἐδάφιον τοῦ τεσσαρακοστοῦ κεφαλαίου τοῦ αὐτοῦ βιβλίου προβάλλει ἐν τῇ ἐπιστολῇ τοῦ ἁγίου Βαρνάβα· ἔνιοι δὲ τῶν ἀρχαίων μὴ ὁρῶντες τοῦτο ἐν τῷ τῶν Ιουδαίων κανόνι, ἐδίσαζον περὶ τοῦ κύρους αὐτοῦ· ἀλλὰ τοῦτο αὐτὸ τὸ βιβλίον ἀνακαλύπτει τὸν περὶ τούτου λόγον, δηλοποιῶν ἡμῖν, ὅτι καθ' ὃν

Ὁρα τοῦ Ουϊτ. τὴν 4. προτ. τῆς ευαγγελ. ἀποδειξ.

Κυπρ. β. 3. κ. 1 τῶν κατὰ Ἰουδ. μαρτυρ. Κλήμ. β. 1. τρωμ.

νος λόγος, ὃν ὁ Δημήτριος ὑπὲρ τῆς γνώμης αὐτοῦ προτίθησιν· ὁ Ιώσηπος ὅμως (β. 1. κ. 1. περὶ ἀρχ.) φησι, ὅτι ὁ Πτολεμαῖος ὁ πρῶτος πορθήσας τὴν Ιερουσαλὴμ, ὑπερβαλόντως ἐκάκωσε τοὺς Ἰουδαίους· ὁ δὲ σοφὸς Οὐΐλος καὶ οἱ ὀπαδοὶ αὐτοῦ ἐξέλαβον, ὡς ἔοικε, ταῦτα τὰ προλόγου ἅ ῥήματα, ἐν τῷ τριακοστῷ ὀγδόῳ ἔτει, ὡς ἦτος τῆς Βασιλείας τοῦ Εὐεργέτου, ἀλλὰ ταῦτα τὴν τοῦ μεταφραστοῦ ἡλικίαν σημαίνουσι· ὁρῶντες δὲ ὅτοι, ὅτι ὁ μὲν Εὐεργέτης ὁ α'. ἐκ βασίλευσεν εἰμὴ εἰκοσιτέσσαρα ἔτη, ὁ δὲ Εὐεργέτης ὁ β'. ἐπέκεινα τῶν τριάκοντα καὶ ἑκτὼ ἦτε Κυρήνῃ, καὶ ἐν Αἰγύπτῳ, ἐπέφεροι, ὅτι ἡ μετάφρασις αὕτη ἐκ ἐπὶ τῆς Βασιλείας Εὐεργέτου τοῦ α'. ἀλλ' ἐπὶ τῆς τοῦ β'. ἐγένετο.

ὃν καιρὸν αὐτὸ συνεγράφετο, ὁ Κανὼν, εἴτȣν ὁ κατάλογος τῶν ἱερῶν ἑβραϊκῶν βιβλίων τετελεσμένος ἦν· διότι ȣ̓ δι' ἄλλον τινὰ λόγον ἐν τῷ ἐν αὐτῷ ἐπαίνῳ ἐπισυνάπτει εἰς ἓν ὄνομα τȣ̀ς δώδεκα Προφήτας, εἰμὴ καθότι ἐν τῷ εἰρημένῳ καταλόγῳ ἐσημαίνοντο τὰ τȣ́των συγγράμματα τῷ διαληφθέντι τίτλῳ· ⁊ οἱ μὲν Προτεςάνȣ, οἱ ὡς κανονικὸν τὸ βιβλίον μὴ δεχόμενοι, ȣ̓δεμίαν ἀξιόλογον ἔνςασιν κατὰ τȣ̃ κύρȣς αὐτȣ̃ προτείνȣσιν· ὁ δὲ ὑπ' ἐμȣ̃ ἀνασκευαζόμενος ἄπιςος, ȣ̓δεμίαν, ὡς δοκεῖ, εὑρῶν ἐν αὐτῷ ὕλην ταῖς ἑαυτȣ̃ χλεύαις ἁρμοδίαν, ȣ̓δὲν περὶ αὐτȣ̃, ȣ̓χ ἧττον ἢ περὶ τȣ̃ βιβλίȣ τῆς Σοφίας τȣ Σολομῶντος ἐλάλησεν.

Σειρ. 49, 10.

ΑΡΘΡΟΝ. Β'.

Εν ᾧ αἱ ἀποδείξεις τȣ̃ κύρȣς τȣ̃ βιβλίȣ τῆς Σοφίας τȣ̃ Σολομῶντος, ⁊ ἡ τȣ́τȣ διδασκαλία περὶ ἑτέρȣ βίȣ.

1. Οὐδὲν τῶν τῆς παλαιᾶς Διαθήκης βιβλίων τῶν μὴ ἀπ' ἀρχῆς κοινῶς, ⁊ συμφώνως δεκτῶν ἔχει τοσαύτας ὑπὲρ αὐτȣ̃ μαρτυρίας ἀπ' αὐτῶν τῶν πρώτων τȣ̃ χριςιανισμȣ̃ αἰώνων, ὅσα τὸ τῆς Σοφίας τοῦ Σολομῶντος βιβλίον· τȣ̃το κεῖȣ μὲν ἐν τοῖς κανονικοῖς καταλόγοις, τοῖς ἐν τῇ περιόδῳ τȣ̃ τετάρτȣ αἰῶνος πρὸς τὰ δυτικὰ μέρη πεμφθεῖσιν· ἐμνημονεύθη δὲ ὑπὸ τῆς ἐν Σαρδικῇ Συνόδȣ ἐν τῇ συνοδικῇ ἐπιςολῇ, τῇ ὑπὸ τȣ̃ Θεοδωρίτȣ προβαλλομένῃ· ὡσαύτως ἐν μὲν τῷ τρίτῳ αἰῶνι ὑπότε τȣ̃ ἐν ἁγίοις Κυπριανȣ̃, ⁊ τȣ̃ Τερτȣλλιανȣ, ⁊ τȣ̃ Ὠριγένȣς, ὅςις θείαν Γραφὴν αὐτὸ καλεῖ. (40) ἐν δὲ τῷ δευτέρῳ, ὑπὸ Κλήμεντος τȣ̃ Αλεξανδρέως ἐν τοῖς ςρώμασιν, ὡς σημειοῖ ὁ Εὐσέβιος, προσθεὶς τὸ ὅτι ⁊ ὁ Ηγήσιππος, ⁊ ὁ ἅγιος Εἰρηναῖος, καὶ καθολικῶς πάντες οἱ ἀρχαῖοι συμφώνως τῷ Σολομῶντι αὐτὸ ἐπέγραφον (41) τελευταῖον δὲ ἐν τῷ πρώτῳ αἰῶνι προτείνεȣ ὑπὸ τȣ̃ ἁγίȣ Κλήμεντος Ῥώμης ἐν τῇ πρὸς Κορινθίȣς πρώτῃ ἐπιςολῇ αὐτȣ̃· οἱ δὲ Ραββῖνοι, ὅ,τε Μωϋσῆς ὁ ὡὸς τȣ̃ Μαχȣσὰν ⁊ ὁ Αζαρίας πολύτιμον αὐτὸ λογίζονȣ, κἂν ἐν τῷ κανόνι αὐτῶν μὴ περιέχηȣ· ὁ προσεκτικῶς ἀναγινώσκων τὰ πρῶτα δέκα κεφάλαια τȣ́τȣ τȣ̃ βιβλίȣ ȣ̓δόλως ἀμφιγνοήσει περὶ τȣ̃ ὅτι ταῦτα συνεκροτήθησαν ἐκ διαφόρων λόγων τȣ̃ Σολομῶντος, ληφθέντων ἐκ τῶν πολλῶν αὐτȣ̃ βιβλίων, περὶ ὧν αἱ μὲν τῶν Βασιλειῶν βίβλοι λαλȣ̃σιν, ἡμεῖς δὲ τȣ́των ςερȣ́μεθα· ὁ τόνος, δι' ȣ̃ ἐξ ἀρχῆς λαλεῖ ὁ συγγραφεὺς *) διδάσκων τȣ̀ς

Θεοδ. λ. 2. κ. 6. ἱστορ. Κυπρ. περὶ θνητότ. ⁊ ἀλλαχȣ. Τερτ. περὶ προσευχ. καὶ ἀλλαχȣ̃ παραφρασ. Ὠριγ. β. 3. κατὰ Κέλσ. ⁊ ὁμιλ. 8. εἰς τὴν Ἐξοδ. Εὐσ. β. 6. κ. 11 μεταφρ. Ρȣφίνȣ.

*) Ὅρα τῶν Οὐετὸν ἐν τῇ 9. προτάσει τῆς Εὐαγγελικῆς ἀποδείξεως,

τὸς Βασιλεῖς, ὁ χαρακτὴρ τῦ Βασιλέως τῦ Λαῦ τῦ Θεῦ, Ϛ τῦ κτίτορος τῦ ναῦ αὐτῦ, ὃν ἑαυτῷ ἀπονέμει ἐν τῷ 7 καὶ 9. κεφαλαίῳ ἡ ὁμοιότης ἣν ἔχυσι τὰ γνωμικὰ τοῖς ἐν τῷ βιβλίῳ τῶν Παροιμιῶν, ἀποδεικνύυσιν, ὅτι τὰ πρῶτα δέκα κεφάλαια συλλογὴ εἰσι τῶν γνωμικῶν αὐτῦ, ἐν ᾗ προσετέθησαν ὑπὸ τῦ ποιητῦ αὐτῆς τὰ ἐφεξῆς ἑνδέκα.

2. Ἐν τῷ βιβλίῳ τύτῳ, καθ' ὃ ὁ τῆς τελευταῖον ἑρμηνευθείσης Διαθήκης συγγραφεὺς ὑκ ἐπεχείρησε, ἐπιφαίνε) σαφῶς ψευδὲς τὸ ὑπ' αὐτῦ βεβαιύμενον, „εἶτυν τὸ ὅτι πρῶτον ἐν τῷ δευτέρῳ „βιβλίῳ τῶν Μακκαβαίων εὑρίσκεται ἱς καθαρὰ γνῶσις τῆς αἰωνίυ ζωῆς Ϛ τῆς ανας άσεως.

Τὸ βιβλίον τῆς Σοφίας τῦ Σολομῶντος ἐςὶν ἀρχαιότερον τῶν βίβλων τῶν Μακκαβαίων τὰλάχιςον ἔτη ἑκατόν. ἑτότι Ϛ αὐτῆς τῆς τῦ Σειρὰχ Σοφίας ἀρχαιότερόν ἐςιν. Ἰδοὺ τὰ ἀναγινωσκόμενα ἐν τῷ τρίτῳ αυτῦ κεφαλαίῳ· „ψυχαὶ δικαίων ἐν χειρὶ Θεοῦ, Ϛ ὰ μὴ ἅ„ψῃ) αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι· ἐ„λογίσθη ἡ κακωσις αὐτῶν ταλαιπωρία, ἡ δὲ ἀφ' ἡμῶν πορεία σύν„τριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ· Ϛ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασ„θῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· Ϛ ὀλίγα παιδευθέντες, „μεγάλα εὐεργετηθήσον)· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν „αὐτὸς ἀξίυς ἑαυτῦ.... Κρινῦσι λαὸς, Ϛ κυριεύσυσιν ἐθνῶν· ὁ δὲ Κύ„ριος βασιλεύσει αὐτῶν εἰς τὸν αἰῶνα. Ἰδοὺ ἡ μακαρία τῶν δικαίων ἀθανασία, καὶ ἡ προσδοκία τῆς ἐνδόξυ ἀναςάσεως πάνυ καλῶς δηλυμένη· ἔχ ἧττον δὲ εὐκρινῶς ἐκπεφρασμένη ἐςὶν ἐν τῷ πέμπτῳ κεφαλαίῳ ἡ ἐν τῷ μέλλοντι βίῳ τῶν ἀσεβῶν παιδεία. „Τότε, λέγει, „ςήσε) ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαι) κατὰ πρόσωπον τῶν θλιψάν„των αὐτὸν, καὶ τῶν ἀθετύντων τὸς πόνυς αὐτῦ· ἰδόντες ταράχθή„σονται φόβῳ δεινῷ καὶ ἐκςήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας. „ἐρῦσιν ἑαυτοῖς μετανοοῦντες, καὶ διὰ στενοχωρίαν πνεύματος στενά„ζοντες. ὗτος ἦν, ὃν ἔσχομέν ποτε εἰς γέλωτα, καὶ εἰς παραβολὴν „ονειδισμῦ· οἱ ἄφρονες τὸν βίον αὐτῦ ἐλογισάμεθα μανίαν, καὶ τὴν „τελευτὴν αυτῦ ἄτιμον· πῶς κατελογίσθη ἐν υἱοῖς Θεῦ, καὶ ἐν ἁγί„οις ὁ κλῆρος αὐτῦ ἐςίν: ἄρα ἐπλανήθημεν ἀπὸ ὁδῦ ἀληθείας, Ϛ τὸ „τῆς

τὸν Οὐβιγάντιν ἐν Τόμ. 2. τῷ εἰς τὸ βιβλίον τῆς Σοφίας τῦ Σολομῶντος, ἢ τῦ Σειράχ, ὅπυ πάνυ καλῶς ἀνασκευάζει ἀποφάνσεις τινὰς αὐθαδεῖς, τὰς ἢ ὑπὸ τῦ Καλμέτυ ἀνασκευαθείσας.

„τῆς δικαιοσύνης φῶς οὐκ ἔλαμψεν ἡμῖν, καὶ ὁ ἥλιος αὐτοῖς οὐκ ἀνέ-
„τειλεν ἡμῖν; ἀνομίας ἐνεπλήσθημεν τρίβοις καὶ ἀπωλείας, καὶ δι-
„δεύσαμεν τρίβους ἀβάτους, τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἐγνώμεν. τί ὠφέ-
„λησεν ἡμᾶς ἡ ὑπερηφανία; καὶ τί πλοῦτος μετὰ ἀλαζωνείας συμ-
„βέβληκεν ἡμῖν; παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ, καὶ ὡς ἀγγελία
„παρατρέχουσα· ταῦτα ἐροῦσιν οἱ ἁμαρτωλοὶ ἐν τῷ ᾅδῃ. Κἂν ὃν δῶ-
, μεν, τὰ ῥητὰ ταῦτα μὴ εἶναι τοῦ Σολομῶντος, ἀλλὰ τοῦ συλλέξαν-
τος πολλὰ τῶν γνωμικῶν αὐτοῦ, ἔχομεν ὅμως Ἰουδαῖόν τινα, πρὸ τῶν
Μακκαβαίων ἔτη ἑκατὸν καὶ ἐπέκεινα, συγγράψαντα καθαρᾷ ἐκ-
φράσει τὴν ἐν τῷ μέλλοντι βίῳ τῶν δικαίων μακαριότητα, καὶ τὸν
ἀπελπισμὸν τῶν πονηρῶν ἀνθρώπων.

ΑΡΘΡΟΝ Γ'.

Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τῶν βιβλίων τοῦ Ἔσδρα καὶ Νεεμίου.

1. Τὰ τοῦ Ἔσδρα καὶ Νεεμίου βιβλία, τὰ ἐκ τοῦ κανόνος τῶν Ἰουδαίων εἰς τὸν τῶν χριστιανῶν μεταβάντα γνωρίζονται ὑπὸ πάντων καθολικῶς ὡς πονήματα τοῦ ποιητοῦ, ὅτινος τῷ ὀνόματι ἐπεγράφησαν· ὁ Ἔσδρας ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ βιβλίου αὐτοῦ λαλεῖ ἐν προσώπῳ πρώτου· μετὰ τὸ μνησθῆναι τοῦ θεσπίσματος, ὅπερ ἔλαβε παρὰ τοῦ Ἀρταξέρξου ἐν τῷ ἑβδόμῳ ἔτει τῆς Βασιλείας αὐτοῦ, „Εὐλογητὸς Εσδρ. 7. 27.
„λέγει, Κύριος ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὃς ἔδωκεν ἐν καρδίᾳ τοῦ
„Βασιλέως ὥστε τοῦ δοξάσαι τὸν οἶκον Κυρίου τὸν ἐν Ἱερουσαλὴμ, καὶ
„ἐπ' ἐμὲ ἔκλινεν ἔλεος ἐν ὀφθαλμοῖς τοῦ Βασιλέως καὶ τῶν συμβούλων
„αὐτοῦ, κτ. Ἐν δὲ τῷ ἐφεξῆς κεφαλαίῳ φησί. Καὶ ἧσαν οἱ ἄρχοντες
„πατριῶν αὐτῶν οἱ ὁδηγοὶ ἀναβαίνοντες μετ' ἐμοῦ ἐν βασιλείᾳ Ἀρτα-
„σασθὰ τοῦ Βασιλέως Βαβυλῶνος. Τοιουτοτρόπως δὲ λαλεῖ ἔντε τῷ
λοιπῷ μέρει τούτου τοῦ κεφαλαίου, κἂν τῷ ἐννάτῳ,

2. Ὁ εὐκλεὴς Οὐέτος ἀδόλως ἀμφιβάλλει περὶ τοῦ ὅτι τὰ τέσ-
σαρα ἔσχατα κεφάλαια τούτου τοῦ βιβλίου ἐγράφησαν ὑπὸ τοῦ Ἔσδρα,
ἀλλ' ὁ τὸ αὐτὸ φρονεῖ καὶ περὶ τῶν ἓξ πρώτων· ταῦτα, φησὶν, εἰ-
σί τινος ἐν Ἱερουσαλὴμ διατρίβοντος, ὅτε ἐν τῇ ἀρχῇ τῆς Βασιλείας
Δαρείου τοῦ υἱοῦ τοῦ Ὑστάσπεως ἦλθον οἱ ὑπουργοὶ αὐτοῦ ἐρωτῆσαι τοὺς
Ἰουδαίους, τίς ἔδωκεν αὐτοῖς ἐξουσίαν ἀνακτίσαι τὸν ναὸν αὐτῶν.
Ἡμεῖς ἀπεκρίθημεν αὐτοῖς, λέγει ὁ συγγραφεὺς, δηλώσαντες τὰ ὀ- Εσδρ. 4. 4.
νόματα τῶν ἀρχηγῶν τούτου τοῦ ἐγχειρήματος. ἀλλ' ὁ Ἔσδρας, ἐπαναλαμβάνει πάλιν ὁ Οὐέτος, τότε μὲν οὐκ ἦν ἐν Ἱερουσαλὴμ, ἦλθε δὲ πολλῷ ὕστερον ἐπὶ τῆς Βασιλείας Ἀρταξέρξου. (42)

Ἀλλὰ τὶς οὐχ ὁρᾷ, ὅτι ἐν τῷ ῥητῷ τούτῳ ὁ συγγραφεὺς λαλεῖ ὡς ἐκ στόματος τῶν πρώτων τοῦ γένους; ἐὰν ἔντινι συγγράμματι Γάλλου συγγραφέως ἀνεγινώσκομεν τὰ δε. Ἡμεῖς ἐν τῷ Φοντενοῖ (43) ἐνικήσαμεν .... ἡμεῖς γεγόναμεν κύριοι τοῦ Μαὼν .... ἡμεῖς κατηλάγημεν ἀφέντες τὴν Κάναδαν· πρέπον ἦν ἀρά γε συμπεράναι, ὅτι ὁ συγγραφεὺς ἦτος παρῆν μὲν ἐν ταύταις ταῖς δυσὶν ἐκστρατείαις, πληρεξούσιος δὲ ἦν ἐν τῇ ἐσχάτῃ τῆς εἰρήνης συνθήκῃ;

3. Ὁ Νεεμίας ἐν ὅλῳ τῷ φερωνύμῳ αὐτοῦ βιβλίῳ λαλεῖ πανταχοῦ ἐνικῶς, καὶ ἐν πρώτῳ προσώπῳ, ἐξαιρουμένων τῶν πρώτων εἴκοσι ἓξ ἐδαφίων τοῦ δωδεκάτου κεφαλαίου. ἀμφιβάλλειν δὲ δυνάμεθα περὶ τοῦ ὅτι ὁ συγγραφεὺς τοῦ βιβλίου τῆς Σοφίας τοῦ Σειρὰχ εἶχε πρὸ ὀφθαλμῶν τὸ τοῦ Νεεμίου, ὅτε ἔλεγε. „Καὶ Νεεμίου ἐπὶ πο- Σιρ. 49. 10.
„λὺ τὸ μνημόσυνον, τοῦ ἐγείραντος ἡμῖν τείχη πεπτωκότα, καὶ σή-
„σαντος πύλας καὶ μοχλοὺς, καὶ ἀνεγείραντος τὰ οἰκόπεδα ἡμῶν. Ταῦ-
„τα δὲ τὰ ῥήματα ἐπίδηλον ἔχουσιν ἀναφορὰν πρὸς τὰ ἀναγινωσκό-
„μενα τρὶς ἐν τῷ ἕκτῳ κεφαλαίῳ τοῦ Νεεμίου. Καὶ τὴν πύλην τὴν ἰχ- Νεμ. 6. 1. 3. 6.
„θυηρὰν ᾠκοδόμησαν υἱοὶ Ἀσανά· αὐτοὶ ἐξέγασαν αὐτὴν, καὶ ἐξέ-
„γασαν τὰς θύρας αὐτῆς, καὶ κλεῖθρα αὐτῆς, καὶ μοχλοὺς αὐτῆς,
ὡσαύτως σχέσιν ἔχουσι καὶ τοῖς ὑπὸ τοῦ Νεεμίου πολλάκις ἐπαναλαμ-
„βανομένοις ῥήμασι· Μνήσθητί μου ὁ Θεὸς εἰς ἀγαθὸν πάντα ὅσα ἐ-
„ποίησα τῷ λαῷ τούτῳ.

4. Ὁ συγγραφεὺς τῆς τελευταίου διερμηνευθείσης Διαθήκης προβαλὼν κατὰ τῶν δύω τούτων βιβλίων τὰς ἐνστάσεις, ἃς μετ' ὀλίγον ἀψόμεθα, οὐκ ἀνεθέρμανε μίαν τῶν τοῦ Σπινόζου, ἥτις ἀξιολογωτέρα τῶν ἑαυτοῦ δοκεῖμοι· ὁ ἄθεος οὗτος διϊσχυρίζετο, ὅτι οὐκ ἐσισύγραμμα τοῦ Νεεμίου τὸ βιβλίον αὐτοῦ, καθότι λαλεῖ. περίτινος Σαναβαλλὰτ, ὃς κατὰ τὸν Ἰώσηπον ἤγαγε στρατόντινα τῷ Ἀλεξάνδρῳ, τὴν Τύρον πολυορκοῦντι· ὁμοίως καὶ περὶ Δαρείου τοῦ Κοδομάνου, τοῦ ἐσχάτου τῶν Περσῶν Βασιλέως, καὶ περὶ τοῦ Ἰεδδοῦα, ὃς κατὰ τὸν Ἰώσηπον Ἀρχιερεὺς ἦν τῶν Ἰουδαίων ἐπὶ Ἀλεξάνδρου τοῦ μεγάλου. τούτους δὲ οὐκ ἦν δυνατὸν συγχρόνους εἶναι τῷ Ἀρταξέρξῃ, καὶ τῷ Νεεμίᾳ.

Ἀλλὰ τότε ἰσχὺν ἕξει ἡ ἔνστασις αὐτὴ, ὅταν ἀποδειχθῇ, ὅτι
Νεμ. 2. 10. ὁ μὲν Σαναβαλλὰτ, περὶ οὗ ὁ Νεεμίας διαλαμβάνει, ἐσὶν αὐτὸς ὁ τῷ
Νεμ. 12. 22. Ἀλεξάνδρῳ ἐν τῇ τῆς Τύρου πολιορκίᾳ συναντήσας· ὁ δὲ Δαρεῖος, περὶ οὗ τὸ τοῦ Νεεμίου βιβλίον λαλεῖ, πλείονα ἔχει σχέσιν πρὸς Δαρεῖον τὸν Κοδομάνον, ἤπερ πρὸς Δαρεῖον τὸν Νόθον· ὁ δὲ Ἰεδδοῦα,
Νεμ. 12. 22. Ἰωσηφ. ἢ Ἰάδδου, ἀρχιεράτευεν, ὅτε ὁ συγγραφεὺς τοῦ βιβλίου τοῦ Νεεμίου

περὶ

περὶ αὐτῦ ἐλάλησε· Ϛ τελευταῖον ὅταν ἀποδειχθῇ ὅτι ἀδύνατον ἦν εὑρεθῆναι τότε ἐν τῇ Συρίᾳ δύω ἀνθρώπυς ζήσαντας ἔτη περίπυ εἴκοσι Ϛ ὀκτὼ πρὸς τοῖς ἑκατόν· μεταξὺ γὰρ τῦ εἰκοσῦ ἔτυς τῦ Ἀρταξέρξυ τῦ Μακρόχειρος, Ϛ τῆς Βασιλείας τῦ ἐσχάτυ Δαρείυ ὃς ἀριθμῦνται εἰμὴ ἑκατὸν καὶ ὀκτὼ ἔτη. Πρὸς τύτοις τὸ μὲν ὑπάρχημα, ὅπερ παρὰ τῷ Βασιλεῖ τῶν Περσῶν ἐπετέλει ὁ Νεεμίας ἐμφαίνει αὐτὸν λίαν νέον ὑπάρχοντα τότε, ὅτε ὁ Βασιλεὺς ἐπέτρεψεν αὐτῷ ἀπελθεῖν εἰς τὴν Ἰουδαίαν· ὁ δὲ Ἰώσηπος μαρτυρεῖ ὅτι ὁ Σαναβαλλὰτ λίαν προβεβηκὼς ὢν τὴν ἡλικίαν, ὅτε ὁ Ἀλέξανδρος ἐπολιόρκει τὴν Τύρον, ἀπέθανε κατ' αὐτὸ τὸ ἔτος, ἐν ᾧ ἡ πολιορκία ἐγίνετο. Ἀλλὰ καὶ ἐὰν ταῦτα πάντα τοσῦτον βέβαια ὑποτεθῇ, ὅσον εἰσὶν ἤτοι ψευδῆ, ἢ ἀμφίβολα, πάλιν ὃκ εὔλογον συμπεράναι κατὰ τῆς μαρτυρίας τοσύτων αἰώνων, ὅτι τὸ τῦ Νεεμίυ βιβλίον ἐςὶν ὑποθετικὸν, μόνον δὲ ἐπιφέρειν ἔξεσιν, ὅτι ὁ τῶν Ἱερέων καὶ Λευιτῶν κατάλογος, ὁ ἐν τοῖς πρώτοις εἰκοσιἓξ ἐδαφίοις τῦ δωδεκάτυ κεφαλαίυ περιεχόμενος, προσετέθη τύτῳ τῷ βιβλίῳ μετὰ τὸν τῦ συγγραφέως αὐτῦ θάνατον· τῷ ὄντι δὲ ὁ κατάλογος ὗτος ὃκ ἔχει σχέσιν ὐδὲ τοῖς πρὸ αὐτῦ, ὐδὲ τοῖς μετ' αὐτόν· μέμνηται δὲ τῦ Νεεμίυ ἐν προσώπῳ τρίτῳ, κἂν ἐν ὅλῳ τῷ λοιπῷ μέρει τῦ βιβλίυ, τῶ τε πρὸ τῦ καταλόγυ, καὶ τῷ μετ' αὐτὸν, ὁ Νεεμίας, ὁ τῦ Ἰουδαικῦ λαῦ πρόεδρος, λαλεῖ κατὰ συνέχειαν ἐν προσώπῳ πρώτῳ. Ιωσ. β. ΙΙ. κ. 8 αρχ.

5. Ἀλλὰ προβῶμεν εἰς αὐτὰς, τὰς ὑπὸ τῦ κριτικῦ φιλοσόφυ κατὰ τῶν δύω τῦ Ἔσδρα βιβλίων προτεινομένας ἐνςάσεις. „Ἐὰν ἡ„μεῖς, φησὶ, πιςεύωμεν πάσῃ τῇ τῶν Ἑλληνικῶν Ἐκκλησίᾳ, μητρὶ ὐ„σῃ ἀναντιῤῥήτως τῆς Λατινικῆς κατ' αὐτὴν ὁ Ἔσδρας ἐν ἡμέραις τεσ„σαράκοντα Ϛ νυξὶ τεσσαράκοντα κατὰ συνέχειαν ὑπηγόρευσε πέντε „ἀσηκρίταις πάντα τὰ ἅγια βιβλία, οἵτινες ἀδιαλείπτως ἔγραφον „τὰ ὑπ' αὐτῦ λεγόμενα, ὡς σεσημείωται ἐν τῷ τετάρτῳ τῦ Ἔσδρα „βιβλίῳ τῷ δεκτῷ τῇ τῶν Ἑλληνικῶν Ἐκκλησίᾳ.., Ἀλλὰ κἂν πεφω„τισμένος ἦν ὁ λαλῶν Ἔσδρας, ὐχ ὅμως πεφωτισμένοι ἦσαν Ϛ πάν„τες οἱ γράφοντες ἀσηκρῖται. Τὸ πρῶτον βιβλίον λέγει ὅτι τὸ πλῆ„θος τῶν Ἰουδαίων, τῶν ἐπισρεψάντων εἰς τὴν γῆν τῆς ἐπαγγελίας „προέβαινεν εἰς τεσσαράκοντα Ϛ δύω χιλιάδας Ϛ τριακοσίας Ϛ ἑξή„κοντα ψυχάς· εἰς τὸ ἀκριβὲς δὲ ἀφορῶν ἐπαριθμεῖ πάσας τὰς πα„τριὰς, Ϛ τὸν ἐν ἑκάσῃ οἰκίᾳ ἀριθμόν· Ϛ ὅμως ὅταν συναφθῇ τὸ „ὅλον, ὐχ εὑρίσκονται εἰμὴ εἴκοσι Ϛ ἐννέα χιλιάδες, Ϛ ὀκτακόσιαι Ϛ „ὀκτωκαίδεκα ψυχαί.

„Ἐὰν πιςεύωμεν, πᾶσα ἡ τῶν Ἑλληνικῶν Ἐκκλησία."

Ἀρά-

Ἀρά γε δύω, ἢ τρεῖς Γραικοὶ πατέρες, εἰσὶ πᾶσα ἡ τῶν Γραικῶν Ἐκκλησία; τοσοῦτοι συμποσοῦσθαι οἱ εἰπόντες. ὅτι πάντα τὰ παλαιὰ βιβλία ἀπώλοντο ἐν τῇ Αἰχμαλωσίᾳ, ὁ δὲ Ἔσδρας ἀπὸ μνήμης αὐτὰ ὑπηγόρευσε (44). Ταύτην δὲ τὴν ὑπόθεσιν πολυπραγμονήσομεν, ὅταν περὶ τῶν τοῦ Μωϋσέως βιβλίων διαλάβωμεν.

„Ἡ τῶν Γραικῶν Ἐκκλησία μήτηρ ἀναντιῤῥήτως τῆς Λατινικῆς.

Οἱ τὴν λατινικὴν Ἐκκλησίαν θεμελιώσαντες εἰσὶν οἱ δύω ἅγιοι Πέτρος & Παῦλος, ὁ μὲν ἐν τῇ Γαλιλαίᾳ, ὁ δὲ ἐν Ταρσῷ τῆς Κιλικίας γεννηθείς, ἑκάτερος ὅμως ἐκ πατέρων Ἰουδαίων· ὁ δεύτερος διάδοχος τοῦ ἁγίου Πέτρου, ὁ Κλήμης ὢν ἦν Γραικός· τὸ τούτου ὄνομα ἐστὶ Λατινικόν. (45)

„Τὸ τέταρτον βιβλίον τοῦ Ἔσδρα δεκτόν ἐστι τῇ τῶν Γραικῶν Ἐκκλησίᾳ.

Ἰοὺ ἀλλόκοτον ψεῦδος. τὸ μὲν τρίτον βιβλίον τοῦ Ἔσδρα δεκτόν ἐστι τῇ τῶν Γραικῶν Ἐκκλησίᾳ (46), τοῖς ἱεροῖς τε βιβλίοις συναριθμούμενον, & ἐν τοῖς τῆς παλαιᾶς Διαθήκης βιβλίοις τοῖς ἐν χρήσει κειμένοις· τὸ δὲ τέταρτον, τὸ τὴν ἱστορίαν περιέχον τῶν πέντε ἀσηκριτῶν, οἷς ὁ Ἔσδρας ἡμέρας τεσσαράκοντα ὑπηγόρευεν, ὃ μόνον ἀπαράδεκτον τοῖς Γραικοῖς, ἀλλὰ & τοσοῦτον παρημελημένον, ὥστε μηδὲ κεῖσθαι ἔτι ἐν τοῖς τῆς διαλέκτου αὐτῶν τεύχεσιν.

„Οἱ τοῦ Ἔσδρα ἀσηκρῖται ὅτε ἔγραφον, οὐκ ἦσαν πεφωτισμένοι.

Ἐπειδὴ αὐτὸς ἀναγκασθεὶς ἐγνώρισεν, ὅτι ὁ γραφεὺς ἔσφαλεν ἐν τῷ ἀριθμῷ τῷ ἐν τῷ πρώτῳ & δευτέρῳ βιβλίῳ τοῦ Ἔσδρα, διατὶ ἀπονέμει τὸ σφάλμα τοῖς λεγομένοις πέντε Ἀσηκρίταις τοῦ Ἔσδρα, & ὃ πολλῷ μᾶλλον τῷ πλήθει τῶν μεταγραφέων, τῶν τὸ βιβλίον αὐτοῦ αἰῶνας εἴκοσι μεταγραφόντων; ὁ μεταγραφεὺς, ὁ κινούμενος ὥσπερ μηχανικὸν ὄργανον, ὑπόκειται σφάλμασι, μάλιστα ἐν τοῖς τῶν ἀριθμῶν χαρακτῆρσι· τὸ δὲ σφάλμα ὑπὸ ἑτέρων μεταγραφέων, δύναται τελευταῖον. ὅτι οὐκ ἔστιν ὑσιῶδες, γενέσθαι καθολικὸν (47). Ὅτι δὲ συγγραφεὺς ὑπαγορεύων, & πέντε ἀσηκρῖται γράφοντες οὐκ αἰσθάνονται τοῦ, ὅτι οἱ συναπτόμενοι ἀριθμοὶ, & συγκροτοῦντες εἴκοσι καὶ ἐννέα χιλιάδας & ὀκτακόσια καὶ ὀκτωκαίδεκα ὃ δύνανται συγκροτῆσαι τεσσαράκοντα καὶ δύω χιλιάδας καὶ τριακόσια καὶ ἑξήκοντα, ὑποτίθεται μὲν ὁ κριτικὸς, ὐδεὶς δὲ εὐαίσθητος αὐτῷ συνάδει.

6. Εἰς ἀπαρτισμὸν τοῦ λόγου προσίθησιν ὁ αὐτὸς τάδε· „ὅλη ἡ „ἐν τῷ Νεεμίᾳ ἐπαρίθμησις περιέχει σφάλματα· τοιαύτη δὲ ἀπάτη „μετὰ τὸν λεπτομερῆ ἀναλογισμὸν τοῦ ἀριθμοῦ τῶν οἰκιῶν ἐστὶ πρᾶγμα ἀσύνηθες.

Τοῦτο

Τȣ̃το νέα ἀπόδειξις τȣ̃, ὅτι τὰ τοιαῦτα σφάλματα ȣ̓ τοῖς συγγραφεῦσιν ἀπονεμητέα, ἀλλὰ τοῖς μὴ προσέχȣσι μεταγραφεῦσιν.

Ἄ Ρ Θ Ρ Ο Ν Δ'.

Περὶ τȣ̃ ὁποίαν γνῶσιν ἠδύνατο ἔχειν ὁ Κύρος περὶ τȣ̃ Θεȣ̃ τῶν Ιȣδαίων.

1. „Ἰδȣ̀ ὑπόθεσις ἐμβριθεςέρα. Οὐδέποτε ὁ Περσῶν Βασιλεὺς ἠδύ„νατο εἰπεῖν· Ἀδωναΐ, ὁ Θεὸς τȣ̃ ȣ̓ρανȣ̃ ἔδωκέ μοι πάσας τὰς Βασι„λείας τῆς γῆς, καὶ ἐνετείλατό μοι οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν Ιερȣσαλήμ· „διότι τȣ̃το ταυτόν ἐςι τῷ, ὥσπερ ἐὰν ὁ τῶν Τȣ́ρκων Βασιλεὺς ἔλεγεν· „οἱ ἅγιοι Πέτρος ⲥ̀ Παῦλος προσέταξάν μοι οἰκοδομῆσαι αὐτοῖς Εκ„κλησίαν ἐν ταῖς Ἀθήναις.

Ναὶ ταὐτόν ἐςιν. οἱ ἅγιοι Πέτρος καὶ Παῦλος παρὰ τοῖς χριςιανοῖς καὶ τῷ Βασιλεῖ τῶν Τȣ́ρκων τὸ αὐτό εἰσιν ὅπερ ἦν ὁ Θεὸς τȣ̃ Οὐρανȣ̃ παρὰ τοῖς Ιȣδαίοις, καὶ τῷ Βασιλεῖ τῶν Περσῶν. Ὅμως εἴπερ ἀναντίῤῥητόν ἐςιν, ὡς ἀλλοθίπȣ αὐτὸς εἶπεν, ὅτι οἱ μὲν Ρωμαῖοι καὶ οἱ Ελληνες ἐλάτρευον ἑνὶ ὑψίςῳ Θεῷ, ὃν καὶ μόνον ὠνόμαζον μέγιςον καὶ ἀγαθώτατον· ἀπὸ δὲ τῆς Ιταλίας μέχρι τῆς Ινδίας καὶ Σίνας λατρεύεται εἷς ὕψιςος Θεός· εἴπερ, λέγω, τȣ̃το τοσȣ̃τον ἀληθές ἐςιν, ὅσον αὐτὸς νομίζει, διατὶ ἀφαιρεῖ ἀπὸ μόνȣ τȣ̃ Κύρȣ τὴν γνῶσιν καὶ τὸν φόβον τȣ́τȣ τȣ̃ Θεȣ̃ τȣ̃ ȣ̓ρανȣ̃, καὶ ὑψίςȣ Κυρίȣ, τȣ̃ μόνȣ ὑπὸ τῶν Ιȣδαίων λατρευομένȣ; Επίςευεν ἄράγε αὐτὸς, ὅτι ἡ τῶν Περσῶν θρησκεία παχυλωτέρα ἦν καὶ δεισιδαιμονεςέρα τῆς τῶν Ελλήνων καὶ Ρωμαίων, καὶ μύθων, μικροπρεπειῶν, καὶ ἀταξιῶν ὑπὲρ ταύτην πλήρης; ἄρά γε ἡ λατρεία, ἣν προσέφερον τοῖς τȣ̃ ὑψίςȣ ὄντος συμβόλοις, εἴτȣν τοῖς ἄςροις καὶ τῷ πυρὶ, ἀφίςη ἀπὸ τῆς γνώσεως αὐτȣ̃ τȣ́τȣς τȣ̀ς ἀνατολικȣ̀ς ἀνθρώπȣς μᾶλλον ἢ τȣ̀ς ἡμετέρȣς δυτικȣ̀ς ἡ ἀσέβεια, καὶ ἡ ἀναίσθητος θρησκεία, ἀφ' ἧς ȣ̓κ ἀπηλλάγησαν, εἰ μὴ διὰ τȣ̃ εὐαγγελικȣ̃ κηρύγματος; διατὶ ἀποκλείει τὴν Περσίαν ἀπὸ τῆς ὠφελείας, ἣν ἀπένειμε πᾶσι τοῖς ἔθνεσι, τοῖς ἀπὸ τῆς Ιταλίας ἄχρι τῶν Σινῶν;

Ἀλλ' ἀφέντες τὰ ὑπὸ τȣ̃ ἀπίςȣ τȣ́τȣ αὐθαδῶς ὡς βέβαια λεγόμενα, καταλιπόντες δὲ καὶ τὸ εἰρημένον ὑπό τινων σοφῶν πρὸς χάριν τῆς τῶν παλαιῶν Περσῶν θρησκείας, δείξομεν κατ' εὐθεῖαν διὰ τίνος ἐγνώρισεν ὁ Κύρος τὸν Θεὸν τȣ̃ Οὐρανȣ̃, τὸν ὑπὸ τῶν Ιȣδαίων λατρευόμενον, καὶ ἐν Ιερȣσαλὴμ θεραπευόμενον. ἀκȣ́σατε δὲ τȣ̃το ὑμεῖς οἱ εἰδότες τȣ̀ς Προφήτας διὰ μόνων τῶν μὴ ἀξιοπίςων σχε-

Ἐν κ. 50. τῆς περὶ τὴν ἱστορ. Φιλοσοφ.

σχεδίων, τῶν σχεδιασθέντων ὑμῖν ὑπὸ τῆ ὑμετέρᾳ τῆς ἀσεβείας διδασκάλᾳ· Ἐγὼ Κύριος ὁ συντελῶν πάντα, ἐξέτεινα τὸν Οὐρανὸν „μόνος, καὶ ἐστερέωσα τὴν γῆν· τὶς ἕτερος διασκεδάσει σημεῖα ἐγγα„στριμύθων, καὶ μαντείας ἀπὸ καρδίας; ἀποστρέφων Φρονίμους εἰς τὰ „ὀπίσω, καὶ τὴν βουλὴν αὐτῶν μωραίνων, καὶ ἱστῶν ῥῆμα παιδὸς αὐ„τῆ, καὶ τὴν βουλὴν τῶν Ἀγγέλων αὐτῆ ἀληθεύων· ὁ λέγων τῇ „Ἱερουσαλὴμ, κατοικηθήσῃ καὶ ταῖς πόλεσι τῆς Ἰδουμαίας, οἰκοδομη„θήσεσθε, καὶ τὰ ἐρημα αὐτῆς ἀνατελεῖ· ὁ λέγων τῇ ἀβύσσῳ ἐρη„μωθήσῃ, καὶ τὰς ποταμούς σου ξηρανῶ· ὁ λέγων Κύρῳ Φρονεῖν, καὶ „πάντα τὰ θελήματά μου ποιήσει· ὁ λέγων Ἱερουσαλὴμ οἰκοδομηθή„σῃ, καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω· ὅτω λέγει Κύριος ὁ „Θεὸς τῷ Χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι ἔμ„προσθεν αὐτοῦ ἐθνη, καὶ ἰσχὺν Βασιλέων διαῤῥήξω, ἀνοίξω ἔμπρο„σθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλεισθήσονται. ἐγὼ ἔμπροσθέν „σου πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ, θύρας χαλκᾶς συντρίψω, καὶ μο„χλοὺς σιδηροῦς συγκλάσω. καὶ δώσω σοι θησαυροὺς σκοτεινούς, ἀπο„κρύφους, ἀοράτους ἀνοίξω σοι, ἵνα γνῷς, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς, „ὁ καλῶν τὸ ὄνομά σου, ὁ Θεὸς Ισραήλ. Οὕτως ἐλάλει ὁ Ησαίας δύω αἰῶνας καὶ ἐπέκεινα πρὶν τῆς τοῦ Κύρου ὑπάρξεως, ὡς δείξω, ὅταν περὶ τοῦ κύρους τῶν συγγραμμάτων τούτου τοῦ Προφήτου διαλάβω· δύναται δὲ ἀράγε ὁ ἀντίπαλος βεβαιῶσαι μὲν, ὅτι ὁ Κύρος ὐδέποτε ἔγνω τὴν πρόῤῥησιν ταύτην, ἀντισῆναι δὲ τῇ εἰδικῇ μαρτυρίᾳ τοῦ Ἰωσήπου, εἰπόντος, ὅτι ἀναγνοὺς αὐτὴν ὁ Κύρος, ἐπείσθη ἐκθύναι τὸ περὶ τῆς ἐπιστροφῆς τῶν Ἰουδαίων θέσπισμα; ἀλλὰ τίνα ποτὲ πείσῃ, ὅτι οἵτε περὶ τὴν Βαβυλῶνα διεσπαρμένοι Ἰουδαῖοι, ὅτε ὁ Φιλοκτήτωρ Κύρος αὐτὴν ἐπολιόρκει, καὶ οἱ ἐντὸς αὐτῆς ἐγκεκλεισμένοι, ὅτε αὐτὸς ἐκεῖ εἰσέβη, οὐκ ἐδηλοποίησαν αὐτῷ τοιαύτην πολύτιμον πρόῤῥησιν, πρὸ πολλοῦ ἐν τοῖς ἱεροῖς αὐτῶν βιβλίοις περιεχομένην, καὶ μάλιστα ὅτε εἶδον αὐτὸν ἐκπληρουμένην αὐτὴν κατὰ τὸ γράμμα, ὅπερ ἐστὶν ἐπιστρέφοντα τοῦ Εὐφράτου τὰ ὕδατα, καὶ ξηραίνοντα τὸν αὐτὸν ποτα„μὸν, τὸν διὰ τῆς Βαβυλῶνος διόντα, καὶ διὰ τῶν χαλκῶν πυλῶν, τῶν κατὰ τὰς ἐθνικὰς ἱστορικὰς ἐμφρατευσῶν ταύτης τῆς μεγαλοπόλεως τὰ ὀχυρώματα;

Ησ. 44. 24—28.

Γεν. β. 11. κ. 1. Αρχ.

Ηρόδ. β. 13. Ξενοφ. Κυρ. β. 7. Διόδ. Σικ. β. 2.

2. „Ἔστιν ἀράγε πιστευτὸν, ὁ αὐτὸς κραυγάζει, τὸ ὅτι ὁ Φιλοκ„τήμων Κύρος ἐγνώριζε τὸ ὄνομα τοῦ Ἰσραὴλ;

Φιλοσοφ. περὶ ἱστορ. κ. 49.

„Ἠμνημόνησεν ἀράγε ὅπερ ἔγραψεν ἐν τῇ ἑαυτοῦ περὶ τῆς Ἱ„στορίας Φιλοσοφίᾳ, τυτέστι τὸ ὅτι Ἰσραὴλ ἐστὶ λέξις χαλδαϊκὴ, ἣν οἱ „Ἰουδαῖοι οὐκ ἀπένειμον τῷ Ἰακὼβ, οὐδὲ ὠνόμασαν ἑαυτοὺς Ἰσραηλίτας,

εἰμὴ

εἰμὴ ὅτε ἦσαν αἰχμάλωτοι ἐν τῇ χαλδαίων γῇ; ἀλλοθίπω ἀπέδειξα (18) ταύτης τῆς ὑποθέσεως τὸ ψεῦδος· ἀλλὰ ταύτης πρὸς ὀλίγον δοθείσης, ἔσιν ἄραγε ἀπίσευτον, ὅτι τὸ χαλδαϊκὸν ὄνομα, τὸ ληφθὲν ὑπὸ τῶ μετενεχθέντος ἐν τῇ Χαλδαίᾳ λαῶ, ἦν γνωσὸν τῶ τὴν Βαβυλῶνα ὑποτάξαντι;

ΆΡΘΡΟΝ, Ε'.

Περὶ τῶ πῶς τὸ τῶ Κύρω θέσπισμα εὑρέθη ἐν Ἐκβατάνοις, καὶ περὶ τῶν ἐν αὐτῷ περιεχομένων.

1. „Ἀλλ' ἰδὼ, ἐπαναλαμβάνει ὁ αὐτὸς, ὑπόθεσις βαρυτέρα· τὸ „πρῶτον βιβλίον τῶ Ἔσδρα λαλαμβάνει, ὅτι εὑρέθη ἐν Ἐκβατάνοις „ὑπόμνημα, ἐν ᾧ γεγραμμένα ἦσαν τὰ ῥήματα ταῦτα. Ἐν ἔτει πρώ„τω Κύρω Βασιλέως, Κύρος ὁ Βασιλεὺς ἔθηκε γνώμην περὶ οἴκω ἱε„ρῶ Θεῶ τῶ ἐν Ἱερωσαλὴμ· οἶκος οἰκοδομηθήτω, καὶ τόπος, ὃ θυσιά„ζωσι τὰ θυσιάσματα, ἔχων τρεῖς σειρὰς λίθων ἀσχήμων, καὶ τρεῖς ξύλων. Ἐὰν οἱ Ἰωδαῖοι εἶχον τὸ δίπλωμα, τὸ ὑπὸ τῶ Κύρω δοθὲν ἐν Βαβυλῶνι, ὅλατι ἐζήτων ἄλλο ἐν Ἐκβατάνοις; 1. Ἔσδρ. 6. 23. 24. Ἔσδρ. 6. 3. 4.

Ἰδὼ ὅλαξις τῶ ὄντι κραταιά· ἀλλ' ὃκ εἶχον ἄραγε οἱ Ἰωδαῖοι λόγως πειθοντας κατέχειν τὸ τῶ θεσπίσματος πρωτότυπον, τὸ δοθὲν τῶ Ζοροβάβελ, ἐν οἷς ἐξόχως ἦν ὁ λόγος ὁ πείθων αὐτὸς μὴ ἐμπιεσευθῆναι αὐτὸ τοῖς ἀγωγὴν κατ' αὐτῶν κινῶσιν ἐν τῇ τῶν Περσῶν βασιλεικῇ αὐλῇ; ἀλλὰ ὅλατι ἐζήτων ἄλλο ἐν Ἐκβατάνοις; ὅλότι ἐν τοῖς χρόνοις Δαρείω τῶ ὑὸ Ὑσάσπεως τὰ γαζοφυλάκια τῶν Βασιλέων τῆς Περσίας καὶ Μηδίας ἐφυλάττοντο ἐν Ἐκβατάνοις, ὅσι τῆς Μηδίας μητροπόλει, ὅπω μετηνέχθησαν ὅτε οἱ Βασιλεῖς ἐκεῖ ἐλθόντες ἔσησαν τὸν θρόνον αὐτῶν· ἠγνόει δὲ ἄρα ὁ κριτικὸς, ὅτι ἐν τῇ ἀρχῇ τῆς Βασιλείας τῶ Δαρείω, ἡ Βαβυλὼν ἐπανέση, ὡς φησιν ὁ Ἡρόδοτος, καθ' ἧς αὐτὸς παρεμβαλὼν, κατέσρεψεν αὐτὴν; εὐλογοφανῶς δὲ οἱ τῆς Περσίας Βασιλεῖς ἑαυτούς τε καὶ τὰ γαζοφυλάκια αὐτῶν ὃκ ἐνεπιεσεύοντο τοῖς ὕτω κακῶς ὁλικειμένοις ὑπηκόοις, οἵτινες ὡς ὁ αὐτὸς Ἡρόδοτος μαρτυρεῖ, καὶ σασιάζειν ἤρξαντο κατὰ τὸν καιρὸν τῶ σφετερισμῶ τῶ μάγω, ὃν ὅλεθέξατο ὁ Δαρεῖος· ὁ δὲ θησαυρὸς καὶ οἱ κατάλογοι μετηνέχθησαν τυχὸν ἀπὸ τῆς Βαβυλῶνος ἐν Ἐκβατάνοις μετὰ τὸ τέλος τῆς τῶ Κύρω Βασιλείας. ὅσις ἐκεῖ ὅλέτριβεν, ὡς φησιν ὁ Ξενοφὼν, δύω μῆνας καθ' ἑκασον ἔτος. τὸ τῶ Ἔσδρα πρῶτον βιβλίον μαρτυρεῖ, ὅτι ὁ κατάλογος ὁ περιέχων τὸ περὶ τῆς ἀνα- Ἡρόδ. β. 3. Ξεν. β. 8. τῆ Κύρου.

καὶ-

καινήσεως τȣ̃ ἐν Ἱερȣσαλὴμ ναȣ̃ θέσπισμα, ⲥ̀ ἐν Βαβυλῶνι πρότερον ὤν, εὑρέθη ἐν Ἐκβατάνοις. (49)

2. „Τὶ δηλοῖ, ἐρωτᾷ ὁ αὐτὸς, τὸ, ἔτȣς πρώτȣ Κύρȣ Βασιλέως; „ὁ Κύρος ἐβασίλευσεν ἐν Ἐκβατάνοις πρὶν ἢ ὑποτάξαι τὴν Βαβυ„λῶνα, ȣ̓δὲν δὲ κελεῦσαι ἠδύνατο περὶ τῶν ἐν Βαβυλῶνι Ἰȣδαίων, „ὅτε μόνον τῶν Μηδῶν ἐβασίλευεν· ὧδε ȣ̓ν ψηλαφητή ἐςιν ἡ ἀντί„φασις.

Ὧδε ȣ̓δὲν ἕτερον ψηλαφητὸν ἐλάττωμά ἐςιν, εἰμὴ ἡ τȣ̃ φιλοσόφȣ ἀμάθεια ⲥ̀ ἡ κακοπιςία· τὸ πρῶτον ἔτος τῆς ἐν Βαβυλῶνι τȣ̃ Κύρȣ Βασιλείας ἐςὶν, ὥς φασι πάντες οἱ συγγραφεῖς, τὸ εἰκοςὸν πρῶτον ἔτος τῆς ἐν Περσίᾳ Βασιλείας αὐτȣ̃· ὁ δὲ Ἔσδρας, ⲥ̀ ὁ Ξενοφῶν, καὶ ὁ κανὼν τȣ̃ Πτολεμαίȣ χρονολογȣ̃σιν ἀπὸ τῆς ἐν Βαβυλῶνι τȣ̃ Κύρȣ Βασιλείας· καὶ τὸ μὲν πρὸς εὐεργεσίαν τῶν Ἰȣδαίων θέσπισμα ἐδόθη ἐν Βαβυλῶνι, εἷς δὲ κατάλογος, ὁ τȣ̃ θεσπίσματος τȣ́τȣ μνημονεύων εὑρέθη μετὰ εἴκοσιν ἔτη ἐν Ἐκβατάνοις, ὅπȣ τὰ γαζοφυλάκια μετηνέχθησαν· ἐν τȣ́τῳ δὲ ȣ̓κ ἀντίφασις αἰσθητὴ, ἀλλ' ȣ̓δὲ ἴχνος δυσκολίας ἐςί.

3. „Πρὸς τȣ́τοις, ὁ αὐτὸς λαλεῖ, ὅςις βασιλεύς ἐςιν, ȣ̓κ ἐμ„βάλλει ἑαυτὸν εἰς φροντίδας περὶ τȣ̃ οἰκοδομηθῆναι Ἰȣδαικὸν ναὸν, „ἔχοντα τρεῖς σειρὰς λίθων λαξευτῶν, ἢ ἀσχήμων, ἐπάνω δὲ αὐτȣ̃ „τρεῖς σειρὰς σανίδων· τοιȣ̃τον δὲ οἰκοδόμημα ȣ̓κ ἔςι ναὸς, ἀλλὰ πτω„χικὴ καὶ εὐτελὴς ἅλων.

Παρατήρησον εὐθὺς, ὅτι αἱ σανίδες ἐφεύρεμά εἰσι τȣ̃ ἀπίςȣ· περὶ δὲ τῶν ἀσχήμων λίθων πρὸ δύω ἐτῶν ἐδήλωσα αὐτῷ, ὅτι ἐὰν ἔβλεπε τὸ τȣ̃ Ἔσδρα ὕφος, ἢ μόνην τὴν ἑλληνικὴν μετάφρασιν, εὕρισκεν ἀντὶ τῶν ἀσχήμων λίθων τῆς Βȣλγάτης, τρεῖς δόμȣς λιθίνȣς „κραταιȣ̀ς, ⲥ̀ δόμον ξύλινον ἕναν· ταῦτα δὲ ἐμφαίνȣσι σχῆμα οἰκοδομήματος λιθίνȣ, ξύλινον ἔχοντος τὸ ἄνω μέρος· ἐὰν δὲ τὸ τοιȣ̃τον ἅλων ᾖ, σχεδὸν πᾶν οἰκοδόμημα ἅλων ἐςί· κατὰ δὲ τȣ̃ ȣ̓τω συλλογιζομένȣ ἐξὸν ἦν καταπαῦσαι τὸν λόγον, ἀκȣςέον ὅμως αὐτȣ̃ ἕως τέλȣς.

Κ.4. Ἀρθρ.5. Τ' περασπ. τῆς καλ. Διαθ.

Ἐνδρ. 6. 4.

4. „Τοιαύτη, λέγει, παχυλὴ ἀχρειότης ἀσύμφωνός ἐςι ταῖς „πέντε χιλιάσι καὶ τετρακοσίοις χρυσοῖς σκέυεσι, τοῖς ὑπὸ τȣ̃ Περ„σῶν Βασιλέως Κύρȣ ἐπιςραφεῖσι τοῖς Ἰȣδαίοις, ὡς δαλαμβάνει τὸ „πρῶτον κεφάλαιον.

Αἱ πέντε χιλιάδες καὶ τετρακόσια ἦσαν σκέυη τȣ̃ πρώτȣ ναȣ̃, ἀφαιρεθέντα μὲν ὑπὸ τȣ̃ Ναβȣχοδονόσορ, καὶ τεθέντα ἑνὶ τῶν ἐν Βαβυλῶνι Βωμῶν, ἐπιςραφέντα δὲ τῇ τȣ̃ Κύρȣ ἐπιταγῇ· τὶ ȣ̓ν βȣ-

λεθ

λεῖ ἐνταῦθα ἡ νομιζομένη παχυλὴ ἀχρειότης τῦ δευτέρυ ναῦ; ὃ δύναν] ἆρα τὰ ἀπὸ της πυρκαϊᾶς σβασθέντα πολύτιμα πράγματα παλατίυ τινὸς ἐνδόξυ, τεθῆναι ἐν ἄλλῳ μικροπρεπεςέρῳ οἰκοδομήματι, ἐν τῷ τῦ πρώτυ τόπῳ ἀντικαταςαθέντι;

5. „Ὁ Ἔσδρας, προσέθησιν ὁ αὐτὸς, ἐμφαίνει τὸν Κύρον ἐπι-„σρέφοντα τύτοις τοῖς δυσχέσι πέντε χιλιάδας καὶ τετρακόσια σκεύη „χρυσᾶ καὶ ἀργυρᾶ· μετὰ δὲ χρόνυς τιγμὴν ὁ δὺς αὐτὰ ἐςὶν ὁ Ἀρ-„ταξέρξης· μεταξὺ δὲ τῆς ἀρχῆς τῆς Βασιλείας τῦ Κύρυ ἐν Ἐκβα-„τάνοις, καὶ τῆς τῦ Ἀρταξέρξυ ἐν Βαβυλῶνι ἀριθμῦ ἔτη σχεδὸν „εἴκοσι πρὸς τοῖς ἑκατόν· συλλογίσθητε οἱ ἀναγινώσκοντες, καὶ κρί-„νατε.

Παρατηρήσατε, ἐὰν ὁ Ἀρταξέρξης ἔδωκε τοῖς Ἰουδαίοις πέντε χιλιάδας καὶ τετρακόσια σκεύη χρυσᾶ καὶ ἀργυρᾶ· ἰδὲ τὶ ἀναγινώσκομεν ἐν τῷ τῦ Ἀρταξέρξυ θεσπίσματι. „Καὶ τὰ σκεύη τὰ δεδομενά „σοι εἰς λειτυργίαν οἴκυ Θεῦ παράδος ἐνώπιον τῦ Θεῦ ἐν Ἱερυσαλήμ. Ἔσδρ. 7. 19.
Εὑρίσκομεν δὲ τὴν τῦ θεσπίσματος τύτυ ἐκπλήρωσιν προφερομένην ὑπὸ τῦ Ἔσδρα δηλ τῶνδε τῶν ῥημάτων. „Καὶ ἔςησα ἐπὶ χεῖρας αὐ-„τῶν σκεύη ἀργυρᾶ ἑκατὸν, καὶ κρατῆρας χρυσᾶς εἴκοσι, καὶ σκεύη „χαλκᾶ σίλβοντος ἀγαθᾶ δύω. (50) Τὰ δν ἀπὸ τῆς Βαβυλῶνος κατ' ἐπιταγὴν τῦ Ἀρταξέρξυ μετενεχθέντα σκεύη εἰσὶν εἴκοσι ἓξ δύω πρὸς τοῖς ἑκατὸν, ἅτινα ἦσαν ἀφιερώματα τῶν ἐν Βαβυλῶνι Ἰουδαίων, τὰ δὲ ὑπὸ τῦ Ζοροβάβελ μετενεχθέντα εἰσὶ πέντε χιλιάδες καὶ τετρακόσια, λαφυραγωγηθέντα μὲν ἐν τῷ πρώτῳ ναῷ, ἐπισραφέντα δὲ ὑπὸ Κύρυ. συλλογίσθητε δν οἱ ἀναγινώσκοντες, εἴπερ τὰ αὐτὰ σκεύη εἰσίν.

Ἀναλογισθῶμεν προσέτι, καὶ ἴδωμεν, ἐὰν δηλθον ἔτη ἑκατὸν καὶ εἴκοσι ἐν τῷ μεταξὺ τῦ καιρῦ, καθ' ὃν ὁ Κύρος ἤρξατο βασιλεύειν ἐν Ἐκβατάνοις, καὶ ὁ Ἀρταξέρξης ἐν Βαβυλῶνι. Ἡ ἐπὶ τὺς Μήδας βασιλεία τῦ Κύρυ ἤρξατο πεντακόσια καὶ ἑξήκοντα ἔτη πρὸ τυ χρισιανικῦ ἔτυς, ὡς πάντες μαρτυροῦσιν ἀρχαῖοί τε καὶ νεώτεροι· τὸ δὲ πρῶτον ἔτος τῆς βασιλείας τῦ Ἀρταξέρξυ, ἐν ᾧ ἐξαπέςειλε τὸν Ἔσδραν, ἀναλογισ. ἐν ἀπὸ τῦ θανάτυ τῦ Ξέρξυ, συμπίπτει ἐν τῷ τετρακοσιοςῷ ἑξηκοςῷ πέμπτῳ ἔτει πρὸ τῦ χρισιανικῦ ἔτυς· δηλ τὸ μεταξὺ τῦ καιρῦ δηλάσημα, τὸ ἀπὸ τῆς ἀρχῆς τῆ βασιλείας τῦ Κύρυ ἐν τῇ Μηδίᾳ, καὶ τῆς τῦ Ἀρταξέρξυ, εἰσὶν ἔτη οχὶ εἴκοσι πρὸς τοῖς ἑκατὸν, ἀλλὰ πέντε πρὸς τοῖς ἐννενήκοντα· ἐπειδὴ δὲ τὰ τυ ναῦ σκεύη οκ ἐδόθησαν, εἰμὴ ὅτε ὁ Κύρος ἐγένετο κύριος τῆς Βαβυλῶνος, ἧς ἐκυρίευσε τῷ εἰκοςῷ πρώτῳ ἔτει της ἐπὶ τὺς Μήδας βασιλεί-

ας αὐτȣ̃, τὸ μεταξὺ ἄρα τῆς ἀποδόσεως τῶν σκευῶν τȣ̃ ναȣ̃, τῆς ὑπὸ τȣ̃ Κύρȣ δορισθείσης, καὶ τῆς ὑπὸ τȣ̃ Ἀρταξέρξȣ τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτȣ̃ δοθείσης ἀδείας τȣ̃ μετακομισθῆναι ἐν τῷ ναῷ τὰ ἀφιερώματα τῶν ἐν χαλδαίᾳ Ἰουδαίων, ȣ̓κ ἀριθμȣ̃νται εἰμὴ ἔτη δύω πρὸς τοῖς ὀγδοήκοντα.

„Ἀλλὰ βασιλεὺς ἐμβάλλει ἑαυτὸν εἰς τοιαύτας φροντίδας περὶ „τȣ̃ οἰκοδομηθῆναι Ἰȣδαϊκὸν ναὸν διὰ τριῶν σειρῶν λίθων λαξευ„τῶν, ὥςε καὶ διὰ θεσπίσματος περὶ τȣ́τȣ διατάσσειν;

Ὁ Βασιλεὺς ἐμβάλλει ἑαυτὸν εἰς φροντίδας, ἵνα μὴ ὁ ὑποκείμενος αὐτῷ λαὸς, ἐπὶ προφάσει τȣ̃ οἰκοδομῆσαι ναὸν, ἀνεγείρῃ φρȣ́ριον· ἑπόμενον ȣ̓ν ἦν, τὸν Βασιλέα φόβῳ τῆς καταχρήσεως ὁρίσαι τὰ περὶ τῆς οἰκοδομῆς τȣ̃ ναȣ̃, ὃν οἰκοδομηθῆναι ἐπέτρεπε.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Περὶ τȣ̃ τῆς Ἐσθὴρ βιβλίȣ.

Ἄ Ρ Θ Ρ Ο Ν Α.

Ἐν ᾧ αἱ ἀποδείξεις τȣ̃ Κύρȣς τῆς βίβλȣ τῆς Ἐσθήρ.

1. Ἐὰν τῷ ἀντιπάλῳ πιςεύσωμεν, ἡ τῆς Ἐσθὴρ βίβλος πλάσμα ἐςὶν ἀπείθανον· ἐὰν δὲ λόγȣ τινὸς ἀξίαν νομίζωμεν τὴν ὁμόφωνον τῶν Ἰȣδαίωντε καὶ χριςιανῶν συμφωνίαν, ἱςορία ἐςὶν ἀληθὴς, ἐν ἑνὶ τῶν κανονικῶν βιβλίων περιεχομένη· τῷ ὄντι δὲ ἡ τῆς Ἐσθὴρ βίβλος συντεταγμένη ἐςὶ ταῖς Ἰȣδαϊκαῖς Διαθήκαις· διότι οἱ Ἰȣδαῖοι συνέταξαν αὐτὴν ἐν τῷ καταλόγῳ τῶν ἱερῶν αὐτῶν βιβλίων, τῷ συγκειμένῳ κατὰ τὸν Ἰώσηπον ἐκ βιβλίων εἴκοσι καὶ δύω· ὁ Ὠριγένης, ἡ ἐν Λαοδικεία Σύνοδος, καὶ ὁ Ἱερώνυμος συντάττȣσιν αὐτὴν ἐν τοῖς εἴκοσι καὶ δύω τοῖς δεκτοῖς παρὰ τοῖς Ἰȣδαίοις. μνημονεύȣσι δὲ ταύτης, ὅ,τε Κλήμης ὁ Ῥώμης, καὶ Κλήμης ὁ Ἀλεξανδρεύς· ὁ δὲ Ἰώσηπος ἐν τῷ σημειωθέντι βιβλίῳ λέγει ῥητῶς, ὅτι ὁ κανὼν ȣ̓τος ȣ̓ περιεῖχεν εἰμὴ τὰ βιβλία τὰ ἀπὸ Μωϋσέως μέχρις Ἀρταξέρξȣ τȣ̃ μετὰ Ξέρξην Περσῶν Βασιλέως γεγραμμένα. Τὰ δὲ μετὰ τὸν „Ἀρταξέρξην πίςεως ȣ̓χ ὁμοίας ἠξίωθ διὰ τὸ μὴ γενέσθαι τὴν τῶν „Προφητῶν ἀκριβὴ διαδοχήν.

Ἰωσ. β. 1. καὶ τὰ ἀπίων. Ὠριγ. παρ' Εὐσ. β. 6. κι 5. ἱςορ. Ἱερώμ. ἐν τοῖς προλ. τῆς πρὸς Γκλατ. ἔτις. Κλήμ. ὁ Ῥωμ. ἐν τῇ πρὸς κορινθ. ἐπις. Κλήμ. ὁ Ἀλεξ. ἐν ςρώμ. 1. ϗ 4 ϗ ἐν τῷ 3. β. τȣ̃ παιδαγ.

2. Ὁ Δȣπῖνος διϊσχυρίζεθ, ὅτι τὸ ὑπὸ τȣ̃ Ἰωσήπȣ ὧδε λεγόμενον περὶ τῆς Βασιλείας τȣ̃ Ἀρταξέρξȣ ἐμπεριλαμβάνει καὶ αὐτὴν τὴν τȣ̃ Ἀρταξέρξȣ βασιλείαν· διότι ὁ αὐτὸς ἱςορικὸς Ἰώσηπος λέ-

γει

γει, ὅτι τὰ βιβλία τὰ ἐπὶ τῆς Ἀρταξέρξου βασιλείας γεγραμμένα, καὶ τὰ μετὰ ταῦτα οὐχ ὁμοίας ἠξίωθ πίστεως τοῖς πρότερον γεγραμμένοις· ἀλλὰ τὰ ῥήματα ταῦτα, ἐπὶ τῆς βασιλείας τοῦ Ἀρταξέρξου, οὐκ εἰσὶ τοῦ Ἰωσήπου, ἀλλὰ τοῦ Δουπίνου, ἀντίκειν θ δὲ καὶ αὐτῇ τῇ σειρᾷ τῆς ἐννοίας τοῦ ἱστορικοῦ· διότι ἡ διαδοχὴ τῶν προφητῶν Ζαχαρίου, Ἀγγαίου, Μαλαχίου, καὶ ἡ τοῦ Νεεμίου, τῶν ἐν τῷ ἑβραϊκῷ κανόνι περιεχομένων, ἐφαπλοῦται καὶ ἐπ' αὐτῆς τῆς τοῦ Ἀρταξέρξου βασιλείας.

3. Οὗτος δὲ ὁ κανὼν ὑπῆρχε πρὸ τοῦ βιβλίου τῆς Σοφίας τοῦ Σειράχ. διότι ὁ συγγραφεὺς αὐτοῦ ἐπιμνησθεὶς τῶν Προφητῶν Ησαίου, Ιερεμίου, καὶ Ιεζεκιὴλ κατὰ τὴν τάξιν, ἣν ἔτι σώζουσι τὰ τούτων βιβλία ἐν τοῖς ἑβραϊκοῖς καταλόγοις, προστίθησι τοὺς δώδεκα Προφήτας ἑνὶ κοινῷ ὀνόματι, διὰ τὸ τὰς τούτων προφητείας ἐν ἑνὶ τεύχει συμπεριέχεσθαι ἐν τῷ εἰρημένῳ κανόνι. ἀπέδειξα δὲ, ὅτι ὁ συγγραφεὺς τῆς Σοφίας τοῦ Σειράχ ἤκμαζεν ἐπὶ Πτολεμαίου ἡ τοῦ τοῦ Λάγου· πρὸς τούτοις αὐτὸ τὸ τοῦ βιβλίου τῆς Εσθὴρ ὕφος μαρτυρεῖ ἀναμφιβόλως, ὅτι ὁ ἀνὴρ αὐτῆς ἦν Βασιλεὺς τῆς Περσίας· ἐνδεχομένως δὲ τὸ φερώνυμον αὐτῇ βιβλίον, ἔτι ζώσης αὐτῆς, τοῖς ἱεροῖς συνετάγη βιβλίοις· τίνα οὖν ποτε πείσῃ ὁ κριτικὸς φιλόσοφος, ὅτι ὁλόκληρος λαὸς ἐδέχθη ἱστορίαν, κατ' ἀρέσκειαν κατασκευασθεῖσαν, καὶ ἀλληγορίαν πεπλασμένην, ὡς ὑπόμνημα ἱστορικὸν, καὶ ὡς βιβλίον δι' ἐπιστασίας Θεοῦ γεγγραμμένον, καὶ ταῦτα κατ' αὐτὸν τὸν καιρὸν καθ' ὃν αὐτὸ τὸ ψευδὲς τεχνούργημα διεμηχανᾶτο;

Ἐν κ. 2. ἄρθρ. 1. ἀριθ. 1.

Ἐσθ. 2. 17.

4. Ἀλλὰ τοῦτο οὐκ ἔστι τὸ ὅλον τοῦ λόγου· διότι ὁρῶμεν ἐν τῷ ἐννάτῳ κεφαλαίῳ τοῦ βιβλίου τῆς Ἐσθὴρ τοὺς Ἰουδαίους συμφώνως αὐτῇ τε καὶ τῷ Μαρδοχαίῳ ὁρίσαντας εἰς ἀνάμνησιν τῆς ἐλευθερίας αὐτῶν ἑορτὴν κατὰ τὴν τετάρτην τοῦ μηνὸς Ἀδάρ· αὕτη δὲ ἡ ἑορτὴ, ἥτις ἄχρι τοῦ νῦν ὁρᾶται σεσημειωμένη ἐν τοῖς Ἰουδαϊκοῖς Καλανδαρίοις, ἐτελεῖτο οὐ μόνον ἐν τοῖς χρόνοις τοῦ μεγάλου Θεοδοσίου, τοῦ ποιήσαντος περὶ αὐτῆς τὸν ἐν τῷ κώδικι αὐτοῦ νόμον, καὶ ἐν τοῖς τοῦ Ἰωσήπου, τοῦ ἀνάγοντος τὸν καιρὸν τοῦ διορισμοῦ αὐτῆς ἐπὶ τὴν Ἐσθὴρ καὶ τὸν Μαρδοχαῖον, ἀλλὰ καὶ ἐν τοῖς τοῦ Μακκαβαίου Ἰούδα, ὡς μαρτυρεῖ ῥητῶς ὁ σύγχρονος αὐτῷ συγγραφεὺς, ὁ συγγράψας τὰ κατορθώματα αὐτοῦ, καὶ τέλος ἐπιθεὶς τῷ βιβλίῳ αὐτοῦ διὰ τῆς καταστροφῆς τοῦ Νικάνορος· τελευταῖον δὲ ἡ ἐπιστολὴ, ἡ καλουμένη Φρουραὶ, ὡς διατάσσουσα τὴν ἑορτὴν τῶν Κλήρων, ἢ τοῦ Μαρδοχαίου, μετηνέχθη μὲν ἐν Αἰγύπτῳ ἐν τοῖς χρόνοις ἑνὸς τῶν Πτολεμαίων, εἴτουν τοῦ Φιλομήτορος, ὡς βεβαιοῖ ὁ Ἰώσηπος (51), τοῦ βασιλεύειν ἀρξαμένου ὀλίγα

Ἰωσ. β. 12. κ. 5. ἀρχ. 2. Μακκ. 15. 36.

Ἐσθ. 9. 26. § 10. 3.

ἔτη

ἔτη πρὸ τῦ Ἐπιφανῦς Ἀντιόχυ, μετεφράσθη δὲ εἰς τὴν Ἑλληνίδα ἐν Ἱερυσαλὴμ ὑπὸ Λυσιμάχυ. ἡ δὲ ἑορτὴ τῶν Κλήρων ὡρισμένη ἦν ἐν Ἱερυσαλὴμ πρὸ τῶν Μακκαβαίων· δύναῖ δὲ ἄρα ἀνθρώπυ συνετῦ νῦς χωρῆσαι τὸ, ὅτι ἡ ἑορτὴ, ἡ γενικῶς φυλαττομένη ὑπὸ πάντων τῶν Ἰυδαίων πρὶν ἢ παρελθεῖν δύω αἰῶνας ἐξότυ τὸ ἔργον γέγονε, δι' ὅπερ ὡρίσθη, οὐδὲν ἕτερον θεμέλιον εἶχεν, εἰ μὴ ἀλληγορικόν τι πλάσμα ἐπ' ὀνόματι δύω ἀνθρώπων φαντασιωδῶν;

5. Περιττὸν μέν ἐςι τὸ παρατείνειν τὴν μάχην κατὰ τῆς πάντη παραλόγυ ἰδέας, ἣν ὁ κριτικὸς ὑπὸ τῶν Ἀναβαπτιςῶν (52) ἐρανίσθη, τῶν ἀλλοκοτωτέρων τε & ἐπιμανεςέρων πάντων τῶν ποτὲ τῆς Ἐκκλησίας ἐκκοπέντων, ἀπαντητέον ὅμως ταῖς αὐτῦ ἐνςάσεσιν.

Α΄ ΡΘΡΟΝ Β΄.

Περὶ τῦ πότυ τῦ Ἀρταξέρξυ, & τῆς Ἀπολύσεως τῆς Ἀσίν.

1. „Ἰδὺ ἡ πρώτη ἔνςασις· Οὐκ οἴδαμεν τίς ἐςιν ἔτος ὁ Ἀρταξέρξης, „ὁ ἀνὴρ τῆς Ἐσθήρ.

Τἀλάχςον οἴδαμεν, ὅτι αὐτὸς μὲν ἦν Βασιλεὺς τῆς Περσίας, δέκα ἔτη & ἐπέκεινα βασιλεύσας. ἡ δὲ ἐπικράτεια αὐτῦ ἐπεκτείνετο
Ε σ3.8. 13. ἀπὸ τῆς Ἰνδίας ἄχρι τῆς Αἰθιοπίας· ἡ δὲ τῶν Περσῶν Αὐτοκρατορία ἀπὸ τῦ Κύρυ μέχρι τῦ Ἀλεξάνδρυ, ἐφ' ὃ τέλος ἔσχεν, ὠ διήρκεσεν εἰ μὴ ἔτη διακόσια· ταῦτα ἀναμφίβολα ὄντα, ὁδηγῦσι τὺς βέλοντας γνῶναι, τίς τῶν τῆς Περσίας Βασιλέων ἦν ὁ ἀνὴρ τῆς Ἐσθήρ.

2. „Αὐτὸς ἐποίησε πότον, παραθέντα ἡμέρας ἑκατὸν & ὀγ„δοήκονθα· πότος δὲ ἡμερῶν ὀγδοήκονθα πρὸς τοῖς ἑκατὸν δοκεῖ λίαν „διεξοδικός.

Λίαν διεξοδικὸς, ἐὰν κατὰ συνέχειαν ἐκάθηντο ἐν τῇ τραπέζῃ. Ἀλλ' ἔςιν ἁρά γε παράδοξον, τὸν τῆς Περσίας Βασιλέα ἀνοῖξαι μὲν τὸ παλάτιον αὐτῦ μῆνας ἓξ πρὸς ὑποδοχὴν πάντων τῶν μεγιςάνων τῆς μεγάλης αὐτῦ ἐπικρατείας, τῶν ἐρχομένων συγχαρῆναι αὐτῷ διὰ τὴν εἰς τὸν θρόνον ἀνάβασιν, ἐν δὲ τῷ μεταξὺ τύτυ τῦ καιρῦ μεγαλοπρεπῶς δεξιῶσθαι ἕκαςον αὐτῶν, καθ' ὃν καιρὸν ἐκεῖ ἤρχετο; τυτό ἐςι τὸ τῦ ὕφυς νόημα, καθ' ὃ ὁ ἄπιςος ἀντιφέρεται.

3. „Αἱ κυάνεαι σκηναὶ, & αἱ χρυσαῖ κλίναι, & τὸ ἐκ σμαραγ„δίτυ λίθυ λιθόςρωτον δοκῶσιν ἄξια τῦ αλέκτορος τῦ Ἀβουλκασ„σίνου (53.)

Ὁ συγγραφεὺς ὁ καυχώμενος περὶ τῦ ὅτι τελευταῖον ἠξήγησε τὴν Διαθήκην ὐκ ἐνέμεινε παρατηρῶν μόνας τὰς μεταφράσεις, ἀλλὰ καὶ

ἐπὶ τὰς πηγὰς ἀναμφιβόλως προσέδραμε· τὸ δὲ ὕφος ἀδόλως λαλεῖ περὶ λιθοσρώτου σμαραγδίτου λίθου (54) ἀλλὰ περὶ μαρμάρου ποικίλου, ἐ μαρμάρου λευκοῦ. ἐ αὐτὸς μὲν ὁ δύναται πιςεῦσαι, ὅτι ὁ τοῦ Κύρου διάδοχος, δεσπότης ὢν ἀμέτρου γῆς, ἐν τῷ πλησιωτάτῳ ἐ πολυανθρωποτάτῳ μέρει τοῦ κόσμου κειμένης, καὶ μέγας Βασιλεὺς ὑπὸ πάντων τῶν τοῦ καιροῦ ἐκείνου συγγραφέων ὀνομαζόμενος, ἐδυνήθη ςῆσαι ἐν τῷ παλατίῳ αὐτοῦ σκηνὰς κυανᾶς, καὶ διὰ κεχρυσωμένων καὶ περιηργυρωμένων κλινῶν κατακοσμῆσαι αὐτάς· ἡμεῖς ὅμως βλέπομεν Ἡγεμόνας κεκτημένους ξενοχώρους ἐπικρατείας ἐν τῇ Εὐρώπῃ, δύο καὶ τρεῖς χιλιάδας λέγας (55) ἀπεχούσας ἀπὸ τῆς γῆς, τῆς τὰ πολύτιμα μέταλλα, καὶ τὰς ὡραίας βαφὰς ἀποσθέσης, βλέπομεν, λέγω, αὐτοὺς, ἔχοντας πολυτίμους τάπητας, καὶ κλινίδια περιπροσκεφαλαιωμένα (σοφᾶ) καὶ καθέδρας ἀργυρόχειρας καὶ ἀργυρόποδας. καὶ ἀργυρᾶς ἁμάξας. οὐδὲν ὃν ἕτερον ἐναπολείπεται, εἰ μὴ τὸ λογίζεσθαι μύθους πάντα ὅσα ὁ τοσοῦτον ἀκριβὴς καὶ Φιλαλήθης περιηγητὴς ὁ Θεζενότος, καὶ τοσοῦτοι ἄλλοι διηγοῦνται περὶ τοῦ ἀμέτρου πλούτου, ὃν εἶδον ἐν τοῖς παλατίοις τοῦ Μογὸλ, καὶ ἄλλων τῆς Ινδίας ἀρχόντων. καταλληλότερον δὲ ἦν αὐτῷ τέρπειν τοὺς κόφους καὶ ἀργοὺς ἀνθρώπους διὰ διηγημάτων ἀξίων τοῦ ἀλέκτορος τοῦ Ἀβυλκασσίνου, ἢπερ διαλαμβάνειν περὶ σεμνῶν ὑποθέσεων, καὶ ἐκτείνειν τὰς βεβήλους αὐτοῦ χεῖρας ἐπὶ τὰ ὑπὸ τῆς παλαιᾶς ἀρχαιότητος παρεσκάμενα σεβασμιώτατα πράγματα.

4. Μετὰ ταῦτα ἀκολουθεῖ ἡ κατὰ πάντα ἀξία τοῦ προσώπου αὐτοῦ παρατήρησις. „Δύναταί τις, λέγει, παρατηρῆσαι, ὅτι καθ' ὃν „καιρὸν ὁ Βασιλεὺς ἐτέλει πότον τοῖς ἄρχουσιν, ἡμέρας ἑκατὸν καὶ „ὀγδοήκοντα, κατὰ τὸν αὐτὸν καιρὸν καὶ ἡ Βασιλίσσα Ἀσὶν ἰσόχρο„νον ἐτέλει πότον ταῖς τῆς Βαβυλῶνος Δεσποτίσιν.

Οὗτος δὲ αὐτὸ ἀνέγνω τὸ ὕφος, τὸ ὑπ' αὐτοῦ ἐξηγηθὲν, ὡς ἐνισχυρίζεται, τὸ κατὰ πάσας τὰς ἐκδόσεις ἐμφαῖνον, ὅτι ἡ τοιαύτη πανήγυρις ἐγένετο οὐκ ἐν Βαβυλῶνι, ἀλλ' ἐν Σούσοις· ἠγνόει δὲ προσέτι, ὅτι ἡ μὲν Βαβυλὼν, ἡ ἐπὶ πολλῷ τῷ χρόνῳ τῶν Χαλδαίων βασιλεύσασα, πρῶτον μὲν ἠμελήθη, εἶτα διεφθάρη ὑπὸ τῶν Βασιλέων τῶν Περσῶν· ὁ δὲ Δαρεῖος, ὁ υἱὸς τοῦ Ὑςάσπεως καὶ δεύτερος τοῦ Κύρου διάδοχος ὀργισθεὶς διὰ τὴν ἐπανάςασιν τῶν ἐν αὐτῇ οἰκούντων, μῆνας δὲ εἴκοσι ἀντιςαθέντων τῇ πολιορκίᾳ, κατηδάφισε τὰ τείχη αὐτῆς· ἥτις οὐδέποτε ἐκ τῆς πτώσεως αὐτῆς ἀνηγέρθη· διὸ τοσοῦτον ὀρθόνεσι τὸ συμπέρασμα, ὅπερ ἐκ τῆς παρατηρήσεως αὐτοῦ συνάγει, ὅσον σοφίζεσι καὶ ἡ αὐτοῦ παρατήρησις.

5. „Ὁ Ἰώσηπος ὁ Φλάβιος σημειοῖ, ὡς ὁ αὐτὸς φησιν, ὅτι οὐκ „ἦν συνήθεια ἐν τῇ Περσίᾳ τὰς γυναῖκας συνεσθίειν τοῖς ἀνδράσιν, ὁ„μοίως οὐκ ἐξῆν αὐταῖς ὁρᾶσθαι ὑπὸ τῶν ξένων. (56.). Χρήσιμον δὲ
Ἡρόδ. β. 1. σ. 83. τὸ σημείωμα τοῦτο εἰς ἀναίρεσιν τοῦ μὴ πιστευτοῦ μύθου τοῦ Ἡροδότου, „εἰπόντος. ὅτι αἱ ἐν τῇ Βαβυλῶνι γυναῖκες ὤφειλον ἐκπορνευθῆναι „ἅπαξ ἐν τῇ ζωῇ αὐτῶν ἐν τῷ τῆς Μυλίττης (εἴτουν Ἀφροδίτης) ναῷ „ὑπὸ τῶν ξένων.

Ἵνα ὁ συλλογισμὸς οὗτος ἀναφανῇ τῷ ὄντι ἰσχυρὸς, προφέρομεν αὐτὸν μεθ' ὅσης ἀκριβείας ἐστὶν ἐπιδεκτικός. Ἡ τῆς Περσίδος Βασιλὶς Ἀσὶν ἤσθιεν ἐν Σούσοις κατ' ἰδίαν μετὰ τῶν τῆς αὐλῆς Δεσποτίδων καθ' ὃν καιρὸν ὁ Ἀρταξέρξης ἐξένιζε τοὺς ἄρχοντας· ὁ δὲ Ἰώσηπος ἐπὶ τῷ συμβάντι τούτῳ σημειοῖ, ὅτι οὐκ ἐξῆν ταῖς τῶν Περσῶν γυναιξὶν ὁρᾶσθαι ὑπὸ τῶν ξένων. ἄρα παρὰ τοῖς Βαβυλωνίοις, ὧν τὴν Βασιλείαν ἐξηφάνισαν οἱ Πέρσαι, αἱ γυναῖκες οὐκ ἐξεπορνεύοντο ὑπὸ τῶν ξένων ἐν τῷ τῆς Μυλίττης ναῷ. περὶ τούτου τοῦ νομιζομένου τοῦ Ἡροδότου μύθου, ὃν ὁ διαλεκτικὸς οὗτος ἐν τῇ περὶ τὴν ἱστορίαν
Ἔνσ. 85. τοῦ κεφαλ. τῆς περὶ τὴν ἱστορ. Φιλοσ. φιλοτοφίᾳ αὐτοῦ ὡς ψευδῆ κατέκρινεν, ἔνεστιν ἰδεῖν τὸ πρὸ δέκα ετῶν εἰρημένον ὑπὸ τοῦ κυρίου Ἀρχερ (57) ἐν τῇ κατὰ τούτου τοῦ Φαύλου πονήματος ὑπ' αὐτοῦ γενομένῃ ἐπικρίσει.

6. „Ἰδοὺ καὶ ἄλλη ἔνστασις. Οὐδὲ εἷς ἀραβικὸς ἵππος ἐστὶν ἐν „ταῖς τοῦ Σουλτάνου φάτναις, ὅτινος τὴν γενεαλογίαν ὁ κατέχει ἐν „ταῖς χερσὶν αὐτοῦ ὁ μέγας Ἱπποκόμος. Πῶς οὖν ὁ Ἀρταξέρξης ἠ„γνόει καὶ τὴν πατρίδα, καὶ τὴν πατριὰν, καὶ τὴν θρησκείαν τῆς γυ„ναικὸς τῆς ὑπ' αὐτοῦ ἀνακηρυχθείσης Βασιλίδος;

Διελογίσατο ἆρά γε οὗτος, ὅτι αὐτὸς προέτεινε τὴν ἀπάντησιν τῆς ἐνστάσεως ταύτης, παρατηρήσας, ὅτι οἱ τῆς Ἀσίας Ἡγεμόνες παλλακίδας μόνον ἔχοντες, ἀνεκήρυττον ἡγεμονίδα μίαν τῶν αἰχμαλώ-
Σημ. 6. εἰς τὴν Ἐσθ. των, τὴν ὑπὲρ τὰς ἄλλας ἀρέσκουσαν αὐτοῖς; ἡ πατριὰ καὶ ἡ θρησκεία εἰσὶ πράγματα ἀδιάφορα τῷ μόνῃ τῇ ἡδονῇ ἑπομένῳ καὶ τῷ πάθει· ἡ ὡραιότης καὶ ἡ ἀρέσκεια ἐκτελοῦσι τὸ πᾶν· οὐδὲν οὖν παράδοξον, ἐὰν οὐκ ἐφύλαττον ἐν τῇ τοῦ Ἀρταξέρξου γυναικωνίτιδι τὰς συνηθείας, τὰς ἐν ταῖς τοῦ Σουλτάνου φάτναις.

Ἄρθρον Γ'.

Περὶ τοῦ διατὶ ὁ Μαρδοχαῖος οὐκ ἔστερξε προσπεσεῖν ἐνώπιον τοῦ Ἀμάν.

1. „Συνήθειά ἐστι, προστίθησιν ὁ αὐτὸς, παλαιοτάτη ἐν τῇ Ἀσίᾳ „προσπίπτειν ἐνώπιον τῶν Βασιλέων, ὁμοίως καὶ ἐνώπιον τῶν λογάδων „Σατραπῶν αὐτῶν.... Τὰ δυτικὰ γένη πάνυ κακῶς εἰδότα τὰς τῆς „Ἀνατολῆς συνηθείας, ἐφαντάσθησαν τὸ, ὅτι χαιρετίζουσι τὸν Βα„σιλέα τῆς Περσίας ὥσπερ λατρεύουσι τῇ θεότητι. τὸν Μαρδοχαῖον „οὖν γέννημα ὄντα καὶ θρέμμα τῆς Ἀνατολῆς μηδὲ ἀπατηθῆναι ἔδει, „μηδὲ ἀποποιηθῆναι τὴν τοῦ Σατράπου Ἀμὰν συνήθη τῷ τόπῳ προ„σκύνησιν.

Πρὸς τὴν ἔνστασιν ταύτην, τὴν ὑπὸ τοῦ Κλὲρκ προτεθεῖσαν, ἰδοὺ τὶ ἀποκρίνεται κριτικός τις, „ἄλλης πάντη καταστάσεως τῆς τοῦ ἡμέτε„ρου φιλοσόφου. Ἐξερευνήσας, λέγει, πάντα τὰ παραδείγματα, ὅ„σα ὁ Κλὲρκ συνέλεξε πρὸς δικαίωσιν τῆς ὑπὸ τοῦ Ἀμὰν ζητουμένης „τιμῆς, οὐδὲν εὗρον τὸ ἐπιστηρίζον ὅπερ αὐτὸς δεῖξαι προτέθεικεν· ἐν „πᾶσι μὲν τοῖς ὑπ' αὐτοῦ προβαλλομένοις παραδείγμασι κεῖται ἡ λέ„ξις, ιςαχαβαχ, ἥτις δηλοῖ τὸ, κλίνειν, ἐπικυρτοῦσθαι, ἐν οὐδε„δενὶ δὲ ἡ λέξις, καραχ, ἡ σημαίνουσα τὸ κλίνειν γόνυ, τιθέναι „γόνυ ἐπὶ τῆς γῆς· οὐκ ἐν τούτῳ δὲ ἐνέμεινα, ἀλλὰ διὰ τῶν ἑβραϊ„κῶν συμφωνιῶν δῆλθον πάντα τὰ τῆς θείας Γραφῆς ῥητὰ, ἐν οἷς „κεῖται ἡ λέξις καραχ, ἐν οὐδενὶ δὲ εὗρον τὴν χρῆσιν ταύτης δηλοῦ„σαν χαιρετισμὸν Ἡγεμόνος, ἢ Μονάρχου, τοὐναντίον δὲ, πολλὰ ῥη„τὰ εὗρον μετερχόμενα τὴν λέξιν, ταύτην πρὸς δήλωσιν τῆς καθη„κούσης τῷ πρώτῳ ὄντι λατρείας.... Ἐπειδὴ δὲ οἱ Πέρσαι, κατὰ τὸ „ὕψος τῆς Ἐσθὴρ, οὐκ εἶχον ὅρον τὸ ἄχρι τῆς γῆς προσκύνημα, μι„ςαχαβιμ, ἀλλὰ περὶ πλέον ἐτίθεσαν τὸ γόνυ ἐπὶ γῆς, κερα„χιμ, εὐκόλως κατανοοῦμεν τὸ διατὶ ὁ Μαρδοχαῖος οὐκ ἠθέλησεν ἀ„ποδοῦναι τῷ Ἀμὰν τὴν τιμὴν, τὴν ὑπὸ τῶν Ἰουδαίων μὴ ἀποδιδομέ„νην εἰμὴ τῷ Θεῷ. Τῷ ὄντι δὲ οὗτός ἐστιν ὁ λόγος, ὁ ὑπὸ τοῦ Μαρδοχαίου ἀποδιδόμενος ὑπὲρ τῆς ἀποποιήσεως αὐτοῦ. Σὺ οἶδας Κύριε, ὅτι οὐκ ἐν ὕβρει, „οὐδὲ ἐν ὑπεριφανίᾳ οὐδὲ ἐν φιλοδοξίᾳ ἐποίησα τοῦτο, τὸ μὴ προσκυνεῖν „τὸν ὑπερήφανον Ἀμάν· ὅτι ἠυδόκουν φιλεῖν πέλματα ποδῶν αὐτοῦ „πρὸς σωτηρίαν Ἰσραήλ· ἀλλ' ἐποίησα τοῦτο, ἵνα μὴ θῶ δόξαν ἀν„θρώπου ὑπεράνω δόξης Θεοῦ. αὕτη ἡ διαστολὴ ἡ μεταξὺ τῆς ἐδαφιαί„ας προσκυνήσεως καὶ τῆς γονυκλησίας σώζεται, ὡς δοκεῖ, παρὰ τοῖς ἀ-

Οὐβιγάντης ἐν τῇ εἰς τὸ ϛ κεφ. τῆς Ἐσθ. σημ.

Ἐσθ. 4. 17.

νατο-

νατολικοῖς· διότι βλέπομεν ἐν τῷ πίνακι, τῷ ὑπὸ τῦ Θεβνότυ τυποθέντι, Ϛ ἐμφαίνοντι ἐπίσημόν τινα προπομπὴν τῦ Σελτάνυ, τὰς θεατὰς κεκλιμένυς μὲν ἕως ἐδάφυς ἐνώπιον αὐτῦ, ὐχ ὅμως γονυπετῦντας.

Ἄ Ρ Θ Ρ Ο Ν Δ'.

Περὶ τῦ χαρακτῆρος τῦ Ἀμάν.

1. „Περὶ τῦ Ἀμὰν, φησὶν ὁ αὐτὸς, τῦ θέλοντος κρεμάσαι ὁλό„κληρον ἔθνος, διὰ τὸ πτωχόντινα τῦ αὐτῦ ἔθνυς μὴ προσκυνῆσαι „αὐτῷ, ὁμολογῦμεν, ὅτι τοιαύτη γελοιώδης καὶ φοβερὰ μανία εἰς „ἀνθρώπυ κεφαλὴν ὐδέποτε εἰσέβη.

Ἀλλ' ἔσιν ἀρά γε γελοιωδεςέρα καὶ φοβερωτέρα τῆς τῦ Νέρωνος, τῦ θέντος πῦρ ἐπὶ τὰ τέσσαρα τῆς Ῥώμης μέρη, ἵνα βλέπων τὴν εἰκόνα τῦ Ἰορύβυ τῆς Τρωάδος, ἐντρυφήσητε Ϛ ἄσῃ διὰ τῆς λύρας τὸ δεύτερον τῆς Αἰνειάδ☞ βιβλίον; ὁποῖόν ἐςι τὸ ἔργον, ὅπερ ὐχ ἅπαξ ἐν τῷ Μαρόκῳ, καὶ ἀλλαχῦ ἔπραξάν τινες, ῥίπτοντες ἐν τῷ ἀέρι τὰς τεμνομένας τῶν πολλῶν θεατῶν κεφαλὰς εἰς τιμὴν τῆς πομπῆς τινὸς Ἡγεμόνος μετὰ θριάμβυ, εἰσερχομένυ, ἢ τῆς πρέσβεώς τινος εἰσόδυ; ἀλλ' ἆρά γε ἐμφαίνει ἑαυτὸν ὁ συγγραφεὺς ὄντος πάνη αἰσθητικὸν, προτείνων τοιῦτυς διαλογισμὺς κατὰ τῦ τοσῦτον ἀναμφιβόλυ ἔργυ, ὅσον ἐςὶ τὸ τῦ Ἀμὰν κατὰ τῶν Ἰυδαίων μῖσος; ἢ ἀκαμπτος τῦ Μαρδοχαίυ ραθεροτης ἐξήγειρε τὴν κατὰ τῶν Ἰυδαίων κακὴν διάθεσιν τῦ Ϛατράπυ Ἀμάν· ἔβλεπε μὲν ὄντος, ὅτι ἡ ὑφίςασις τότυ τῦ γένυς ἦν κώλυμα αἰώνιον τῶν φιλοδόξων σκοπῶν αὐτῦ, ἐγνώρισε δὲ πόσον φοβερὰ γέγονε τοῖς προδόταις ἡ τῦ Μαρδοχαίυ πιςότης, προξενήσασα τὸν θάνατον τοῖς δυσὶ συνωμόταις, τοῖς ὑπ' αὐτῦ προσατευομένοις. Αἱ προσθῆκαι αἱ ἐν τῷ τῆς Ἐσθὴρ βιβλίῳ (58) „περιέχυσι τοῦτο ῥητῶς. „Καὶ ἦν Ἀμὰν Ἀμαδάθυ Βυ„γαῖος ἔνδοξος ἐνώπιον τῦ Βασιλέως, καὶ ἐζήτει ὁ Ἀμὰν κακοποιῆ„σαι τὸν Μαρδοχαῖον καὶ πάντα τὸν λαὸν αὐτῦ ὑπὲρ τῦ λελαληκέ„ναι αὐτὸν τῷ Βασιλεῖ περὶ τῶν εὐνύχων, διότι ἀνῃρέθησαν, μετὰ τὸ ἀνακαλύψαι τὸν Μαρδοχαῖον τὴν τότων συνωμοσίαν· τὸ κατὰ τῶν Ἰυδαίων τῦ Ἀμὰν μελέτημα ὐκ ἦν ἁπλῦν ἀποτέλεσμα ἐφόδυ μανίας, ἀλλὰ καρπὸς πεπαλαιωμένυ μίσυς, καὶ ἀμέτρυ φιλοδοξίας· ὅταν δὲ τὰ πάθη ταῦτα ὑπό τινων αἰφνιδίων περιςάσεων ἐξεγείρωνται, ταράττυσι τῦ ὑπ' αὐτῶν κυριευθέντος τὰς αἰσθήσεις, καὶ ἀφαιρῦσι τῆς προβλέψεως τὴν δύναμιν.

Εσθ. 1. 1.

2. Ὁ

2. Ὁ αὐτὸς τῷ αὐτῷ τόνῳ ἀκολουθῶν, λέγει. „Λίαν ἀσθενῆ λογίζονῃ τὸν Ἀμὰν οἱ κριτικοὶ, ὁρῶντες αὐτὸν ἐκτιθέμενον καὶ κοινο-
„λογοῦντα καθ' ὅλην τὴν ἐπικράτειαν τὸν μῆνα καὶ τὴν ἡμέραν, καθ'
„ἣν ἀποκτανθῆναι ἔμελλον πάντες οἱ Ἰουδαῖοι· διότι δηλοποιήσας αὐ-
„τοῖς τὸ γενησόμενον, ἱκανὸν αὐτοῖς παρέσχε καιρὸν φυγῆς, ὡσαύ-
„τως καὶ ἐκδικήσεως.

Ἀληθῶς ἐὰν ὁ Ἀμὰν οὐδὲν ἕτερον ἦκεν, εἰμὴ τὴν μέλαιναν πολιτικὴν αὐτοῦ, οὐδόλως ἀνέβαλλε τὸν καιρὸν εἰς τὸ ἀπαλλαγῆναι ἀπὸ τῶν Ἰουδαίων· ἀλλὰ καὶ αὐτοὶ οἱ χείριστοι ἄνθρωποι οὐκ εἰσὶν ἀνώτεροι τῆς προκαταλήψεως καὶ δεισιδαιμονίας· οἱ κλῆροι ἦσαν παρὰ τοῖς ἀνατολικοῖς τοῦτο αὐτὸ ὅπερ παρὰ τοῖς Ρωμαίοις αἱ μαντεῖαι, καὶ
οἱ οἰωνισμοί· ὁ Ἀμὰν ἔπραξέ τι κατὰ τῶν Ἰουδαίων ὅμοιον τῷ ὑπὸ Ι Ἐσδ. 21. 21
τοῦ Ναβυχοδονόσορ πραχθέντι πρὸς τὸ διορίσαι κατὰ τίνος ἔθνος πρῶτον συμφέρει ῥίψαι τὰ βέλη ἔχομεν εἴκοσι παραδείγματα τούτων τῶν διὰ κλήρου μαντειῶν παρὰ τοῖς Σκύθαις, τοῖς Ἀραψὶ, τοῖς Γερμανοῖς,
καὶ ἐξόχως παρὰ τοῖς Πέρσαις· ποῖον δὲ παραδοξότερον, τὸ ὁρᾶν Ἐσθ. 3. 7.
τὸν Ἀμὰν ἀφρόνως διὰ τῶν κλήρων ἀποφαινόμενον, ἢ τοὺς ὑπάτους καὶ στρατηγοὺς τῶν Ῥωμαίων διὰ τῶν ἱερῶν πετεινῶν διατάσσοντας τὰ μέγιστα αὐτῶν ἐγχειρήματα; πρὸς τούτοις ὁ Ἀμὰν μεμεθυσμένος ὢν τῇ μεγάλῃ χάριτι ἧς ἀπελάμβανεν, ἐνόμιζε τοὺς δυσχεῖς Ἰουδαίους, τοὺς διεσπαρμένους ἐν τῇ μεγάλῃ ἐπικρατείᾳ, τῇ ὑπ' αὐτοῦ κατὰ τὴν ἑαυτοῦ θρῆσκειαν διοικουμένῃ, λάφυρον μὴ δυνάμενον ἐκφυγεῖν τὰς αὐτοῦ χεῖρας· τελευταῖον, οὐκ ἔστιν ἁρά γε πιστευτὸν, τὸ ὅτι ὁ Ἀμὰν οὐκ ἐλυπεῖτο, ἐὰν τὸ πλεῖστον μέρος τῶν Ἰουδαίων ἔφευγον αὐτοθελήτως ἀπὸ τῆς Περσίας; τοῦτο ἐπιεικέστερος μὲν τρόπος ἦν, οὐχ ἧττον δὲ δραστικώτερος πρὸς τὸ ἀπαλλαγῆναι ἀπ' αὐτῶν.

3. „Πόθεν ὁ ποιητὴς τούτου τοῦ πλάσματος, ὁ ἄπιστος λαλεῖ, πα-
„ρέλαβε τὸ ὅτι ἔτεμνον τὴν κεφαλὴν πάσης γυναικὸς, ἢ παλλακίδος
„τοῦ Βασιλέως, τῆς ἀκλητὶ πρὸς αὐτὸν εἰσερχομένης;

Ἐπιθυμῶ μαθεῖν, πόθεν αὐτὸς παρέλαβε τὸ ἐναντίον τούτου· ἁρμόζει ἁρά γε αὐτῷ ἐν τῷ δεκάτῳ ἑβδόμῳ αἰῶνι τοῦ χριστιανικοῦ ἔτους ἀντιλέγειν, περὶ τοῦ πρὸ δύω χιλιάδων ἐτῶν συμβάντος, συγγραφεῖ συγχρόνῳ μὲν ὄντι αὐτῷ τῷ συμβάντι, καὶ προτείνοντι τὰ τῶν Περσῶν καὶ Μήδων γαζοφυλάκια, πιστευθέντι δὲ ὑπὸ πάντων τῶν ἐν τοῖς εἰρημένοις αἰῶσιν ἀνθρώπων; ἀπιστεῖ ὁ χαρακτὴρ τῆς ὑπερηφανείας, καὶ ἀπιστίας, καὶ βαρβαρικῆς ὠμότητος τῶν δεσποτῶν τῆς Ἀσίας; οὐκ οἶδεν ἁρά γε αὐτὸς, ὅτι ἐν ταῖς τούτων αὐλαῖς ἐπαίδευον θα-

νασίμως τὰς ἀδιακρισίας καὶ ἀπροσεξίας *), τὰς παρ' ἡμῖν ὐκ ἄλλως παιδευομένας, εἰμὴ ψυχρᾷ τινι ὑποδοχῇ, ἢ χλεύῃ, ἢ τῷ τούτων μείζονι, τῇ ἀπαγορεύσει τῆς εἰς τὴν αὐλὴν εἰσόδου;

ΑΡΘΡΟΝ Ε'.

Περὶ τῆς τῶν Ἰουδαίων ἐκδικήσεως κατὰ τῶν ἐχθρῶν αὐτῶν.

1. „Ἀλλ' ἰδού, λέγει ὁ αὐτὸς, τὸ τοῦ ὕφους ἐπίσημον· ὁ μὲν Βασι-„λεὺς εἶπε τῇ Βασιλίσσῃ Ἐσθήρ, οἱ σοὶ Ἰουδαῖοι ἀπέκτειναν σήμερον „πεντακοσίους ἄνδρας ἐν Σούσοις, πόσους ἔτι ἀξιοῖς ὑπ' αὐτῶν ἀποκ-„τανθῆναι; ἡ δὲ Βασιλὶς ἀπεκρίθη, εἰ ἀρεσόν ἐστι τῷ Βασιλεῖ το-„σοῦτοι ἀποκτανθήτωσαν ἄυριον, ὅσοι καὶ σήμερον .... Συγχωρητέοι „εἰσὶν οἱ κριτικοὶ, οἱ ἐκφράσαντες πᾶσαν τὴν ὑπὸ τῆς ἐπαράτου ὠμό-„τητος τῆς γλυκείας Ἐσθὴρ διεγερθεῖσαν ἐν αὐτοῖς φρίκην, ἅμα δὲ „καὶ τὴν περιφρόνησιν ταύτης τῆς διηγήσεως, τῆς τῇ κοινῇ ἐννοίᾳ „καὶ αἰσθήσει ἀντικειμένης.

Σημείωσαι, ὅτι ἐξαλλοιοῖ τὸ ὕφος, λεγων· ἡ Ἐσθὴρ εἶπεν, „εἰ „ἀρεσόν ἐστι τῷ Βασιλεῖ, τοσοῦτοι ἀποκτανθήτωσαν ἄυριον, ὅσοι καὶ „σήμερον· ἰδοὺ τὸ ὕφος. Δοθήτω τοῖς Ἰουδαίοις ποιῆσαι τὴν ἄυριον ἐν „Σούσοις, ὅπερ ἐποίησαν τὴν σήμερον. (59) ... οἱ Ἰουδαῖοι συνήχθη-„σαν ἔτι τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς ἀδὰρ, καὶ ἀπέκτειναν ἄν-„δρας τριακοσίους ἐν Σούσοις. Ἡ Ἐσθὴρ ἆρα ὐκ ἐζήτησεν, ἵνα τοσοῦ-τοι ἀποκτανθῶσι τὴν ἄυριον, ὅσοι καὶ τὴν σήμερον, ἀλλ' ἵνα δοθῇ αὐτοῖς ἄδεια ἀποκτεῖναι τὴν ἄυριον τοὺς ἐναπολειφθέντας ἀπὸ τῶν συ-νωμοσάντων τὴν τῶν Ἰουδαίων ἀπώλειαν· τῇ τρισκαιδεκάτῃ τοῦ ἀδὰρ ἐφονεύθησαν πεντακόσιοι, τῇ δὲ ἐπαύριον τριακόσιοι· ὁμως μέντοι προϊώμεν ἐπὶ τὸ βάθος τῆς ἐνςάσεως. Οἱ Ἰουδαῖοι ἀπέκτειναν πέντε καὶ ἑβδομήκοντα χιλιάδας ἀνθρώπων (60) ἑτοιμασθέντων ἀποκτεῖναι πλέον ἢ δύω μιλλιόνια Ἰουδαίων, διεσπαρμένων τότε κατὰ πᾶσαν τὴν τῶν Περσῶν ἐπικράτειαν, καὶ ἐξαφανίσαι τὸ γένος αὐτῶν· καὶ ἡ μὲν Ἐσθὴρ ἐζήτησε τὴν θυσίαν ταύτην ὑπὲρ τῆς ἀσφαλείας ὁλοκλήρου λαοῦ, κινδυνεύσαντος μὲν τότε τὴν τελείαν αὐτοῦ ἐξολόθρευσιν, ἐνδε-χομένως δὲ καὶ μετὰ ταῦτα κινδυνεύσειν μέλλοντος. ὁ δὲ Βασιλεὺς συγ-

*) Βλέπε τὸν Ἡρόδοτ. ἐν β. 1. τὸν Ξενοφ. ἐν β. 2. τῆς Κυροπ. τὸν πλου-ταρ. ἐν τῷ τοῦ Ἀρταξ. βίῳ. τὸν Ἀρι-στοτ. τὸν Ἀθήν· τὸν Αἰλιανὸν· τὸν Μαρ-κελλῖν· ἐν β. 14. ὃς πάντας τοὺς νεω-τέρους περιηγητάς.

συγκατετέθη, σκεψάμενος ὃ μόνον τὴν σωτηρίαν δύω μιλλιονίων ἀθρώων ἀνθρώπων, ἀλλὰ καὶ τὴν ἰδίαν, καὶ τὴν τῦ θρόνυ αὐτῦ ἀσφάλειαν, ὡς αὐτὸς ἐν τῷ ἰδίῳ αὐτῦ θεσπίσματι ἐσημείωσεν· ἰδὲ ποῖόν ἐστιν, ὅπερ ὁ κριτικὸς καλεῖ ἐπάρατον ὠμότητα, καὶ διήγησιν τῇ κοινῇ ἀντικειμένην αἰσθήσει.

Παρατήρησον προσέτι, ὅτι οἱ ἀποκτανθέντες ἐχθροὶ τῶν Ἰουδαίων ὐκ ἦσαν Πέρσαι, γένος εὐμενὲς, καὶ διαπαντὸς αὐτοῖς συνδεδεμένον, ἀλλὰ Χεταῖοι ἦσαν, ὡς πάνυ πειθανὸν ἔοικεν, ἢ Βαβυλώνιοι, οἱ καταθλίψαντες αὐτὺς, ὅτε ἤκμαζε τῆς Βαβυλῶνος ἡ Ἐπικράτεια, καὶ Ἀμαληκῖ), ἐξ ὧν εἷς ἦν καὶ ὁ Ἀμὰν, περὶ ὃ τὸ τῆς Γραφῆς ὖφος διαλαμβάνει, ὅτι ἦν ἐκ τῆς φυλῆς Ἀγάγ. (61) τῦτο δὲ ἐστὶ τὸ ὄνομα ἀρχαίυ τινὸς Βασιλέως τῦ Ἀμαλήκ. ὁ δὲ Ἰώσηπος λέγει ῥητῶς, ὅτι ὁ Ἀμὰν ἦν Ἀμαληκίτης τὸ γένος· ὅτοι δὲ οἱ Βαβυλώνιοι, ὧν τὴν Βασιλείαν ὁ Κύρος κατέσρεψε, καὶ οἱ πρὸς αὐτὺς καταφυγόντες Ἀμαληκῖ), καὶ μετὰ τῶν Χεταίων πρὸ πολλῦ συμμιχθέντες, ἦσαν φύσει ἐχθροὶ τῶν Περσῶν· διὸ καὶ παῤῥησίαν ἐπαναλάβαντες κατὰ τῦ Δαρείυ τῦ υἱῦ τῦ Ὑστάσπεως, συνωμοσίας συνεκρότησαν ἐπὶ τῆς Βασιλείας τῦ Ἀρταξέρξυ· τὸ δὲ, ὅτι ὁ Βασιλεὺς ὅτος μαθὼν τὰς τῦ Ἀμὰν, καὶ τῶν συνεργῶν αὐτῦ μηχανορρίας, ἀπέκτεινον ἑβδομήκοντα χιλιάδας τῶν συμφατριασάντων αὐτοῖς μακρὰν μὲν ἀπέχει διηγήσεως ἀμοίρυ τῆς κοινῆς αἰσθήσεως· ἔστι δὲ ἔργον, ὅπερ, ὡς πρὸς τὰ ἤθη τῦ καιρῦ ἐκείνυ καὶ τῦ γένυς, πάνυ πειθανὸν δοκεῖ, κἂν μὴ ἦν ἱκανῶς μεμαρτυρημένον.

Ἰωσ. β. 11. κ. 6. ἀρχ.

ΑΡΘΡΟΝ ς'.

Ἐν ᾧ ἡ εἰκασία περὶ τῦ λαῦ, εἰς ὃν ὁ Ἀμὰν μετενεγκεῖν ἤθελε τὴν τῶν Περσῶν Βασιλείαν.

1. Μεταβαίνω εἰς δυσκολίαν τινὰ ὑπὸ τῦ κριτικῦ ἐγκαταλειφθεῖσαν, καίπερ ἰσχυροτέραν, ὡς δοκεῖμοι, τῶν προτεθεισῶν. Ἐν τῷ τῦ Ἀρταξέρξυ θεσπίσματι, τῷ περιεχομένῳ ἐν τῷ ἑξκαιδεκάτῳ κεφαλαίῳ τῆς Βυλγάτης, μὴ κειμένῳ δὲ ἐν τῷ ἑβραικῷ ὖφει, ὁ Ἀμὰν ὀνομάζεται μὲν Μακεδὼν τὸ γένος καὶ τὴν διάθεσιν, ἐγκαλεῖται δὲ ὡς θελήσας μετενεγκεῖν τὴν τῶν Περσῶν Βασιλείαν εἰς τὺς Μακεδόνας. καταγνῶναι δὲ ὐ δυνάμεθα ὐδὲ τὸ πῶς ὁ ἐκ τῆς φυλῆς τῦ Ἀγὰγ (Ἀμαλὴκ κατάγει) ἐκ τῶν Μακεδόνων, ὐδὲ τὸ πῶς οἱ Μακεδόνες πρὸ τῆς Βασιλείας τῦ Φιλίππυ (Ἀλεξάνδρυ ἐτάραττον τὺς τῆς Περσίας Βασιλεῖς. Οὐκ ἀγνοῶ τὰς ἀποκρίσεις τῶν ἡμετέρων ἀμφισβητητῶν

Ἐσθ. 8. 13.

τῶν, τὰς ἀντιπροτεθείσας τοῖς Προτεςάνταις, τοῖς μὴ δεχομένοις τὰ ἑπτὰ ἔσχατα τȣ̃ τῆς Ἐσθὴρ βιβλίȣ κεφάλαια, τὰ ⲥ̀ ἐν τοῖς ἑλληνικοῖς τεύχεσι, καὶ ἐν τῇ ἡμετέρα Βȣλγάτῃ κείμενα, ὁμοίως ȣ̓δὲ τὰς τȣ̃ πατρὸς Τȣρνεμίνȣ ὑποθέσεις, ἐφ' ὧν ἠγωνίσατο ςηρίξαι τὰς ἑαυτȣ̃ ἀποκρίσεις. κἂν δὲ ȣ̓δὲν ȣ̓δὲ ἀδύνατον, ȣ̓δὲ ἄτοπον αἱ τοιαῦται περιέχωσιν ὑποθέσεις, ὁμολογῶ ὅμως, ὅτι ȣ̓δόλως ταύταις ἀρκȣ̃μαι· ἐρῶ ȣ̓ν συντόμως τὴν περὶ τȣ́τȣ εἰκασίαν μȣ.

2. Νομίζω, ὅτι ἡ δυσκολία παράγεϑ μόνον ἐκ τῆς παραδρομῆς τȣ̃ εἰς τὴν ἑλληνικὴν διάλεκτον μεταφράσαντος τὸ τȣ̃ Ἀρταξέρξου
Ἐσθ. 10. 3. Ἐσθ. 8. 13. θέσπισμα. ἡ ἐπιςολὴ Φρȣραὶ, ἢ τῶν Κλήρων, ἡ τὸ θέσπισμα τȣ̃το περιλαμβάνȣσα ἐγράφη πρῶτον ἑβραϊςὶ, εἶτα μετεφράσθη εἰς τὸν Ἕλληνα λόγον ἐν Ἱερȣσαλὴμ, ἐκεῖθεν δὲ ἐπέμφθη εἰς τὴν Αἴγυπτον ἐπὶ τῆς Βασιλείας Πτολεμαίȣ τȣ̃ Φιλομήτορος. κἂν δὲ τὸ ἑβραϊκὸν πρωτότυπον τῆς ἐπιςολῆς ταύτης ἐξέλειπεν, ἡ ἔκθεσις ὅμως τȣ̃ ἑνδεκάτȣ κεφαλαίȣ τῆς Ἐσθὴρ, ȣ̓τινος τὸ ȣ̓σιῶδες ἐξέθηκα, καὶ ἡ τȣ̃
Ἰωσ. β. 11. κ. 6. ἀρχ. Ὠριγ. ἐπις. πρὸς Ἀφρκ. θεσπίσματος χρῆσις, ἡ παρὰ τῷ Ἰωσήπῳ, τῷ μεταγράψαντι αὐτὸ ὁλόκληρον, ⲥ̀ τελευταῖον ἡ τȣ̃ Ὠριγένȣς σαφὴς μαρτυρία, ȣ̓δεμίαν καταλείπȣσιν ἀμφιβολίαν, περὶ τȣ̃ ὅτι ἡ ἐπιςολὴ, ⲥ̀ τὸ ὑπ' αὐτῆς περιεχόμενον θέσπισμα ἦσαν ἑβραϊκά· ὁ μεταφραςὴς ȣ̓ν ἐν τῷ ἀνὰ χεῖρας αὐτȣ̃ ἑβραϊκῷ τεύχει ἀντὶ τῶν λέξεων κȣθι ⲥ̀ κȣθιμ, ἤτοι Κȣθαῖος, ⲥ̀ Κȣθαῖοι, (62) τῶν εἰκότως ἐν τοῖς ὀρθογεγραμμένοις κειμένων τεύχεσιν, ἀνέγνω ἐνδεχομένως τὸ, κηθι, τὸ δηλȣ̃ν Μακεδόνα, ⲥ̀ κηθιμ, τὸ σημαῖνον Μακεδόνας. ἐντεῦθεν μετεμόρφωσεν εἰς Μακεδόνα ἄνθρωπον ⲥ̀ λαὸν, ȣ̓ς ὁ Ἀρταξέρξης ἐν τῷ θεσπίσματι αὐτȣ̃ ὠνόμασε Κȣθαίȣς.

Ὅτι δὲ τὸ ὄνομα Κητὶμ ἐςὶ τὸ ὑπὸ τῶν Ἑβραίων τοῖς Μακεδόσιν ἀπονεμόμενον, ἐπιβεβαιοῖ τὸ δέκατον κεφάλαιον τῆς Γενέσεως,
Γεν. 10. 4. ἐν ᾧ οἱ ἐκ μιᾶς τῶν πατριῶν, τῶν ἐκ τȣ̃ Ἰώνα καταγομένων, οἱ τὰ πλευρὰ τȣ̃ αἰγαίȣ πελάγȣς πολίσαντες, ὀνομάζονϑ Κήτιοι, ὁμοίως ⲥ̀
Ἀριθ. 24. 24. τὸ εἰκοςὸν τέταρτον κεφάλαιον τȣ̃ βιβλίȣ τῶν Ἀριθμῶν, ὅπȣ ὁ Βαλαὰμ προλέγων, ὅτι οἱ Μακεδόνες καθυποτάξȣσι τὴν Ἀσσυρίαν τε ⲥ̀ τὴν Συρίαν, προςίθησιν, ἐξελεύσονϑ ἐκ χειρὸς Κητιαίων· ἐπὶ πᾶσι δὲ τὸ πρῶτον βιβλίον τῶν Μακκαβαίων, εἰπὸν, ὅτι Ἀλέξανδρος
Η ἑλλην ἔκδ. των χεττειειμ. 1. Μακκ. 1. 1. ὁ μέγας ἐξῆλθεν ἐκ τῆς χώρας τῶν Κητὶμ ἀπολέσαι τὴν τῶν Περσῶν Βασιλείαν.

Διερμηνευτέον δὲ νῦν, πῶς ὁ ὁρμώμενος ἐκ τȣ̃ Ἀγὰγ καὶ Ἀμαλὴκ, τῶν ἐκ τȣ̃ Ἡσαῦ καταγομένων, ἐσημάνθη ἐν τῷ τȣ̃ Ἀρταξέρξȣ θεσπίσματι διὰ τȣ̃ ὀνόματος Κȣθαίȣ. Πρὸς τὴν τȣ́τȣ καταανόησιν.

σιν, ἀνάγκη ἐξὶν ἀναμνησθῆναι τὴν θέσιν τῆς πρώτης τῶν Ἀμαληκιτῶν χώρας. ὅτοι κατώκων μὲν τὸ μέρος τῆς Ἀραβίας, τὸ συνορίζον τὴν Παλαισίνην, εἶχον δὲ γείτονας κατά τε τὸ ἀνατολικὸν καὶ δυτικὸν μέρος νομάδας, καταγομένους ἐκ τῆς Χὼς, πατρὸς τῆς Νεβρώδ. Δπ. 10. 7.
καὶ ἐν μὲν τῷ ἀνατολικῷ αὐτῶν μέρει ἥτε Γένεσις καὶ τὸ πρῶτον τῶν Βασιλειῶν βιβλίον δεικνύουσιν ἡμῖν οἰκοῦντα τὸν Εὐιλὰτ, ἕνα τῶν τῆς Χὼς υἱῶν· κατὰ δὲ τὸ δυτικὸν, τὸ βιβλίον τῆς Ἐξόδυ ἐμφαίνει 1. Βασ. 15. 7.
τὴν κατοίκησιν τῆς Ἰωθὼρ, τῆς ἐκ τῆς αὐτῆς Χὼς καταγομένης, ἐν ταῖς Ἐξ 2. 16.
ἀκταῖς τῆς ἐρυθρᾶς θαλάσσης. διότι τὸ ὕφος ὀνομάζει τὴν τότε θυγατέρα, Κασχίτιν. ὁ δὲ Ἀβακὼμ ἐν τῇ ᾠδῇ αὐτῆς συνάπτει τὰ Ἀ Ἐ. 12. 1.
τῶν Χασαίων σκηνώματα τοῖς τῶν Μαδιανιτῶν. πολλαὶ δὲ τῆς θείας Ἀ Β. 3. 7.
Γραφῆς καὶ τῶν θύραθεν συγγραφέων ῥήσεις δηλοῦσι τὰς ἐκ τῆς Χὼς καταγομένας, κατοικήσαντας κατ' ἀρχὰς τὴν Σασιανὴν, τὰ δύω παραθαλάσσια τῆς Περσικῆς κόλπου, καὶ τὴν ἔρημον Ἀραβίαν ἕως τῆς ἐρυθρᾶς θαλάσσης· ὅθεν αἱ τότων ἀποικίαι προεχώρησαν ἔπειτα ἐν τῇ χώρᾳ, τῇ νῦν γνωριζομένῃ διὰ τῆς ὀνόματος τῆς Αἰθιοπίας. σημειώσεως δὲ ἄξιόν ἐστι, τὸ τὴν Βαβυλῶνα κατ' ἀρχὰς θεμελιωθῆναι ὑπὸ Νεβρὼδ τῆς υἱῆς τῆς Χώς. οἱ δὲ Ἀμαληκῖται εὑρέθησαν ἐν τῷ μέσῳ τῶν Χασαίων, ὅτε ὁ Σαοὺλ ἐξηφάνισε τὰ παλαιὰ αὐτῶν σκηνώματα, τότε δὲ τὸ καταλειφθὲν ταύτης τῆς φυλῆς μέρος, τὸ ἐκφυγὸν τὴν τῶν Ἑβραίων ῥομφαίαν, κατέφυγεν ἐπὶ τὰς ἐν τῇ ἐρήμῳ ἀνατολικὰς Χασαίους, καὶ μετ' αὐτῶν συνενωθὲν, κατώκησε τὰ ἄκρα τῆς 1. Βασ. 14. 7.
ποταμοῦ, ἐν ᾧ συμβάλλουσι τὰ τῆς Τίγρεως καὶ Εὐφράτου ὕδατα. διὰ τοῦτον οὖν τὸν λόγον ἐπὶ Ἐσθὴρ εὑρέθησαν ἐν Σούσοις, καὶ ἐν ταῖς περιξ ἐπαρχίαις τοσοῦτοι συνωμόται τοῦ Ἀμαληκίτου Ἀμὰν, τοῦ ἐκ τοῦ Ἀγὰγ ὁρμωμένου.

Οὗτοι οἱ Ἀμαληκῖται μετὰ τῶν Χασαίων, ἢ Βαβυλωνίων μετὰ χαρᾶς εἶδον τὸν Ἰσραὴλ αἰχμάλωτον ἐν τοῖς αὐτοῖς τόποις, ὅπου ἄλλο τε ὑπ' αὐτοῦ καταφυγεῖν ἠναγκάσθησαν. ὅταν δὲ οἱ Πέρσαι ὑπέταξαν τοὺς Βαβυλωνίους, δυσχερῶς καθάπερ καὶ αὐτοὶ οἱ Βαβυλώνιοι ὑπέφερον τὸν ζυγὸν τῶν νέων κυρίων αὐτῶν. ἐπὶ πᾶσι δὲ περιόργως εἶδον τοὺς Ἰουδαίους ὑπ' αὐτῶν προσατευομένους. οἱ μὲν οὖν Βαβυλώνιοι μετὰ τὰς πολλὰς ἀκαταστασίας, τὰς ὑπὸ τοῦ θανάτου τοῦ Καμβύσου προξενηθείσας, φανερῶς ἐπανέστησαν κατὰ τοῦ Δαρείου τοῦ υἱοῦ Υστάσπεως· οἱ δὲ Ἀμαληκῖται συναφθέντες αὐτοῖς δεινὰ κατεσκεύασαν ἐπὶ τῆς Βασιλείας Ἀρταξέρξου μηχανορρήματα· ὅτος οὖν ὁ Βασιλεὺς ταῦτα μαθὼν, ἐπραξε κατὰ τοῦ Ἀμὰν καὶ τοῦ γένους αὐτοῦ τὰ πρέποντα αὐτοῖς, ὀνομάσας αὐτὸν ἐν τῷ θεσπίσματι αὐτοῦ Κυθαῖον, καὶ

ἐξε-

ἐξελέγξας αὐτὸν, ὡς θελήσαντα δοῦναι τὴν Βασιλείαν, τὴν οὖσαν τότε ὑπὸ τὴν τῶν Περσῶν ἐξουσίαν, τοῖς Κουθαίοις, τοῖς παλαιοῖς οἰκήτορσι τῆς χώρας ἐκείνης.

Ῥᾴδιον δὲ κατανοῆσαι, ὅτι ὁ μεταφραστὴς εὑρὼν ἔν τινι τεύχει τὴν λέξιν, Κηθὶμ ἀντὶ τῆς Κουθὶμ, ἔχωντε τὴν φαντασίαν πλήρη τῆς δυνάμεως τῶν Μακεδόνων, τῶν νικητῶν τῶν Περσῶν, ὡς ἐν τῇ ἐπικρατείᾳ αὐτῶν διάγων, οὐδὲν ἕτερον, εἰ μὴ τοὺς Μακεδόνας εἶδεν ἐν τούτῳ τῷ ὕφει, ἐν ᾧ, εἰ μικρόν τι τὰ πράγματα ἐπέκρινεν, ἰδεῖν ἠδύνατο τοὺς ἐκ τοῦ Χοὺς ὁρμωμένους. ἀξιωσημείωτον δὲ τὸ, ὅτι ὁ
Ἐσθ. 8. Ἰώσηπος προθεὶς τὸ αὐτὸ θέσπισμα, τῷ ἐν τῷ ἐσχάτῳ κεφαλαίῳ τοῦ βιβλίου τῆς Ἐσθὴρ, οὐδὲν οὐδόλως λέγει περὶ Μακεδόνων. Ἐν τῷ αὐτῷ δὲ θεσπίσματι, τῷ ὑπ' αὐτοῦ προτιθεμένῳ, ὀνομάζων τὸν Ἀ-
Ἰωσ. β. 11. κ. 6. ἀρχ. μὰν Ἀμαληκίτην, ἐγκαλεῖ αὐτὸν, ὡς θελήσαντα εἰς ἄλλους τὴν ἀρχὴν μετενεγκεῖν.

ΚΕΦΑ'ΛΑΙΟΝ Δ'.

Περὶ τῶν Προφητῶν, τῶν συγγραψάντων μετὰ τὴν καταστροφὴν τοῦ ναοῦ τοῦ Σολομῶντος.

Ἄ Ρ Θ Ρ Ο Ν, Γ'.

Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τῶν Προφητειῶν τοῦ Ἀγγαίου, Ζαχαρίου, καὶ Μαλαχίου.

1. Μεταξὺ τῶν εἰρημένων Προφητῶν τρεῖς, ὁ Ἀγγαῖος, ὁ Ζαχαρίας, καὶ ὁ Μαλαχίας καλοῦν*) Προφῆται τοῦ δευτέρου ναοῦ, ὡς ἀκμάσαντες, ὅτε ὁ Ζοροβάβελ αὐτὸν ἔκτισε. τούτους μνημονεύει μὲν
Σειρ. 49. 10. Ἐν κ. 2. ἀρθρ. 1. ἀριθ. 1. συχνῶς ἡ καινὴ Διαθήκη*), περιλαμβάνει δὲ ὁ εἰς τοὺς δώδεκα Προφήτας ὕμνος, ὁ ἐν τῷ βιβλίῳ τῆς Σοφίας τοῦ Σειράχ. ἀνωτέρω δὲ ἔδειξα, ὅτι ὁ Σειρὰχ ἤκμαζεν ἐπὶ Πτολεμαίου τοῦ πρώτου, ἤγουν ἀμέσως ἐν τῷ αἰῶνι, τῷ μετὰ τούτους τοὺς τρεῖς ἐσχάτους Προφήτας.
Μαλ. 1. 4. Ὁ Μαλαχίας ἐν τῇ ἀρχῇ τῆς Προφητείας αὐτοῦ λαλεῖ περὶ τῆς ἐν τῷ ναῷ γενομένης ὑπουργίας. ἑπομένως δὲ προεφήτευσε τουλάχιστον τῶν

*) Ματθ. 11. 10. ϗ 17. 10. 21. 4. ϗ 26. 31. ϗ 27. 9. Μάρ. 9. 11. ϗ 11. 9. ϗ 14. 27. Λουκ. 7. 27. Ἰωάνν. 12. 15. ϗ 19. 37. Ἐπιστ. πρὸς Ἑβρ. 12.

ὀλίγα τινὰ ἔτη μετὰ τὸν Ἀγγαῖον καὶ Ζαχαρίαν, τὰς διὰ τῆς προτροπῆς αὐτῶν πείσαντας τὰς Ἰουδαίους ἀνακαινίσαι τὸν ναόν· διδάσκει τοῦτο ὁ σύγχρονος αὐτοῖς Ἔσδρας, ὁ τὰς τούτων Προφητείας ῥητῶς προτείνων. ὧν ἑκατέρα ἐξεδόθη τῷ δευτέρῳ ἔτει τῆς τοῦ Δαρείου Βασιλείας. διὸ ἐὰν μόνην τὴν ἱστορικὴν βεβαιότητα λογισθῶμεν, οὐδενὸς τῶν παλαιῶν ὑπομνημάτων τὸ κῦρος βέλτιον τοῦ κύρους τούτων ἐστὶ μεμαρτυρημένον. εἰς τούτων τῶν τριῶν, ὁ Ζαχαρίας διὰ χαρακτηριστικῶν σημείων ἐσήμανε πάντα τὰ τοῖς Ἰουδαίοις συμβάντα μετὰ τὴν ἀπὸ τῆς Βαβυλῶνος ἐπιστροφὴν αὐτῶν ἕως τῆς ἐσχάτης αὐτῶν καταστροφῆς. καὶ οἱ τρεῖς δὲ ἐξηκριβωμένως ὥρισαν τὸν καιρὸν τῆς τοῦ Μεσίου ἐλεύσεως, προειπόντες τάς τε περιστάσεις αὐτῆς, καὶ τὰ ἀποτελέσματα. (63).

1. Εσδρ. 6. 1.

Βλέπετε 2. β. τῶν χαρακτ. τοῦ Μεσίου

2. Κατὰ τῶν συγγραμμάτων τῶν τριῶν τούτων Προφητῶν οὐδὲν εἶπεν ὁ ἀντίπαλος· ἐπελάβετο ὅμως τῶν Προφητειῶν τοῦ Δανιὴλ, τοῦ ἀκμὴν μὲν ζῶντος ὅτε ὁ Κύρος ἐβασίλευσεν ἐν Βαβυλῶνι, τελευτήσαντος δὲ ὀλίγα ἔτη πρὸ τῆς ἀνεγέρσεως τοῦ ναοῦ. „Οἱ κριτικοὶ, „λέγει ὁ ἄπιστος, τολμηρῶς βεβαιοῦσιν, ὅτι τὸ τοῦ Δανιὴλ βιβλίον οὐ „συνεγράφη εἰμὴ κατὰ τοὺς χρόνους Ἀντιόχου τοῦ Ἐπιφανοῦς.

Καλὸν τὸ μαθεῖν, τίνες εἰσὶν οὗτοι οἱ κριτικοί. οὗτοί εἰσιν ὁ Πορφύριος, καὶ ὁ Σπινόζας. οὐχ ἧττον δὲ καλὸν τὸ εἰδέναι, τίνες οἱ τούτων λόγοι. „Ἰδοὺ γὰρ οὗτοι τοιοῦτοι, οἷοι ἀντιχᾶν) ὑπὸ τῆς ἠχοῦ αὐλῶν. „Τὴν ὅρασιν τῶν τεσσάρων ζώων ὡς προσθήκην ὁρῶσιν οἱ ὀφθαλμοὶ „τῶν τολμηρῶν κριτικῶν, οἵτινες διισχυρίζονται, ὅτι ἐγράφη ἐν τοῖς „χρόνοις Ἀντιόχου τοῦ Ἐπιφανοῦς. τῷ ὄντι δὲ ἐπ' αὐτῷ τῷ Ἀντιόχῳ „ἴσαι) ὁ Προφήτης. διότι ὁ τοῦ βιβλίου συγγραφεὺς οὐκ ἠδύνατο προ„φητεύειν εἰμὴ τὸ ὁρώμενον.

Τοιαύτη οὐδεμία προφητεία ἐστὶν ἀληθὴς, οὐδὲ δύναται ὁ Θεὸς ἀποκαλύψαι τὸ μέλλον τοῖς ἀνθρώποις. τοιαύτη ἡ προφητεία τοῦ Δανιὴλ ἐστὶ τοσοῦτον σαφὴς, ὥστε δοκεῖν τὸν συγγραφέα ἰδεῖν τὰ ὑπ' αὐτοῦ προῤῥηθέντα. Σημειοῦται τὴν ὁμολογίαν ταύτην. διότι ἐὰν τὸ βιβλίον τοῦ Δανιὴλ ἀληθῶς ὑπ' αὐτοῦ συνεγράφη, βέβαιον ἔσται τὸ, ὅτι παρὰ τοῖς Ἰουδαίοις ἦσαν ἄνδρες πεφωτισμένοι ὑπὸ Θεοῦ εἰς τὸ προλέγειν τὰ μέλλοντα, ὧν εἷς ἦν ὁ Δανιήλ. ἀπελπισθέντες οὖν οἱ ἄπιστοι ἐκ τοῦ διαδικάζεσθαι περὶ τούτου, ἀντιφέρουσι) κατὰ τοῦ κύρους τῆς βίβλου τοῦ Δανιήλ.

„Ὁ Προφήτης ἥσαται ἐπὶ τῷ Ἀντιόχῳ.

Τοῦτό ἐστι πάντη ψευδές. διότι αὐτὸς προείρηκε τὴν τῶν Ἑλλήνων

Δαν. 8.

νων πτῶσιν, ὁμοίως καὶ τὴν τότων ἀποκατάστασιν. προεῖπε δὲ, ὡς οἱ Ἰουδαῖοι ὁμολογοῦσι, τὴν τῆς Ἱερουσαλὴμ καταστροφήν.

„Οἱ μὲν, φησὶν ὁ κριτικὸς, ἐφαρμόζουσι τὴν περίφημον ταύτην „προφητείαν Ἰούδᾳ τῷ Μακκαβαίῳ, οἱ δὲ, Ονίᾳ τῷ μεγάλῳ ἱερεῖ.

Οἱ ὑπ' αὐτὸ ἐνταῦθα νοούμενοι δύω μόνοι εἰσὶν, ὁ Μαρσὰν, καὶ ὁ Ἀρδυῆνος.

„Οὐδεὶς τῶν διερμηνευτῶν ἐξυνήθη ἐφαρμόσαι τὴν προφητείαν „ταύτην τῷ χρόνῳ, ἐφ' ᾧ σπουδάζει ἁρμόσαι αὐτήν.

Πιστεύω, ὅτι ἀλλαχοῦ ἔδειξα τὸ ἐναντίον. (64.)

ΆΡΘΡΟΝ Β'.

Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τῆς βίβλου τοῦ Δανιὴλ.

1. Προτεινέσθωσαν οἱ μάρτυρες, οἱ ἐπιβεβαιοῦντες τὸ κῦρος τῆς τοῦ Δανιὴλ βίβλου. Πρῶτον τότων ἡ παλαιὰ ἡ νέα Συναγωγὴ, ἥ διαπαντὸς δεχθεῖσα τὴν βίβλον ταύτην, ὡς βίβλον τοῦ φερωνύμου αὐτῇ συγγραφέως.

Γάσ. β. 10. κ. 12. Ἀρχ. Β'. Ὁ ἱστορικὸς Ἰώσηπος, ὅστις μνημονεύσας τῆς ὁράσεως τῶν τεσσάρων ζώων, ἥτις, ὡς ὁ ἄπιος διισχυρίζεται, ἐς τὴν προσδήκην, λέγει· „Καὶ δὴ ταῦτα ἡμῶν συνέβη τὸ ἔθνος παθεῖν ὑπ' Αντιόχου „τοῦ Επιφανοῦς, καθὼς εἶδεν ὁ Δανιὴλος, ἃ πολλοῖς ἔτεσεν ἔμπρο„σθεν ἀνέγραψε τὰ γενησόμενα. τὸν αὐτὸν δὲ χρόνον Δανιὴλος καὶ „περὶ τῶν Ῥωμαίων ἡγεμονίας ἀνέγραψε, καὶ ὅτι ὑπ' αὐτῶν ἐρημω„θήσεται. ταῦτα πάντα ἐκεῖνος Θεοῦ δείξαντος αὐτῷ συγγράψας κα„τέλειψεν, ὥσε τοὺς ἀναγινώσκοντας, καὶ τὰ συμβάντα σκοποῦντας, „θαυμάζειν ἐπὶ τῇ παρὰ Θεοῦ τιμῇ τὸν Δανιὴλον. Ὁ αὐτὸς δὲ ἱστορι-
Γωσ. β. 11. κ. 8. Ἀρχ. κὸς ἀλλαχοῦ φησὶν, ὅτι ὁ Ἰάδδου ὑποδεξάμενος ἐν Ἱερουσαλὴμ τὸν Αλέξανδρον, ὑπέδειξεν αὐτῷ τὴν τοῦ Δανιὴλ βίβλον, δηλοῦσαν, ὅτι εἷς τῶν Ἑλλήνων καταλύσει τὴν Περσῶν ἀρχήν. τοῦτο δὲ ἀναμφιβόλως λίαν κατάλληλόν ἐστι πρὸς βεβαίωσιν τοῦ κύρους, ὅπερ εἶχε τὸ βιβλίον τοῦ Δανιὴλ ἐπὶ τῆς Βασιλείας Αντιόχου. τοῦτο ὃν ἐστὶ τὸ ἐκκαῦσαν τὴν τοῦ ἱστορικοῦ φιλοσόφου ὀργὴν κατὰ τοῦ ἱστορικοῦ Ἰωσήπου. ὅθεν ἐφορμήσας κατὰ τῆς ὑπ' αὐτοῦ ἐκτεθειμένης διηγήσεως, συνέγραψεν ἓν ὁλόκληρον κεφάλαιον περὶ τοῦ ἐπισήμου ψεύδους τοῦ Ἰωσήπου. ἐπειδὴ δὲ τὸ κεφάλαιον τοῦτο ἀλλαχοῦ ὁλοκλήρως ἀνεσκεύασα, περιττὸν ἡγοῦμαι τὸ τὰ αὐτὰ ἐπαναλαβεῖν. (65.).

Γ'. Αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, ὅστις ἀνεμιμνήσκων τὸ ἔννατον τοῦ
Ματθ. 24. 15. Δανιὴλ κεφάλαιον, φησὶ ῥητῶς· „Οταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς

„ἐρη-

„ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τȣ̃ Προφήτȣ, ἑςὸς ἐν τόπῳ ἁ-
„γίῳ· ὁ ἀναγινώσκων νοείτω. Αὕτη ȣ̃ν ἡ προφητεία γνωςὴ ἦν ἐν
τοῖς τȣ̃ Ιησȣ̃ Χριςȣ̃ χρόνοις, ὡς προφητεία τȣ̃ Δανιήλ· ἀλλ' ἀναβῶ-
μεν ἀνωτέρω. διότι ȣ̓ προτεινω ὧδε τὸν Ιησȣ̃ν Χριςὸν ὡς θεάνθρω-
πον, ὑπὸ τȣ̃ Πατρὸς ἀποςαλέντα πρὸς φωτισμὸν τȣ̃ κόσμȣ, ἀλλ'
ὡς ἀνέγκλητον μάρτυρα πράγματος βεβαίȣ ἐν τῷ κατ' αὐτὸν αἰῶνι.

Δ'. Ο συγγραφεὺς τȣ̃ πρώτȣ βιβλίȣ τῶν Μακκαβαίων σύγ- Ἐν κ. 1. τȣ̃ 2. β.
χρονος ἦν Αντιόχῳ τῷ Επιφανεῖ, ὡς εἴδομεν, ὅπερ ϛ ἀποδεδειγμέ-
νον ἐςὶ διὰ τῆς ἑαυτȣ̃ ἱςορίας, τῆς ἐναρχομένης ἀπὸ τȣ̃ διωγμȣ̃, τȣ̃
ὑπὸ τȣ̃ Αντιόχȣ κατὰ τῶν Ιȣδαίων ἐξαφθέντος, καὶ τέλος εἰλη-
φότος ὅτε Σίμων ὁ Μακκαβαῖος ἐτελεύτησεν. ȣ̃τος δὲ ὁ συγγρα- 1. Μακκ. 1. 54.
φεὺς λαλεῖ περὶ τȣ̃ εἰδώλȣ τȣ̃ βδελύγματος τῆς ἐρημώσεως, τȣ̃ ὑ-
πὸ Αντιόχȣ καθιδρυνθέντος, περὶ ȣ̃ μόνος ὁ Δανιὴλ προηγόρευσεν· Δαν. 12. 11.
ὁ αὐτὸς δὲ συγγραφεὺς παρίςησι τὸν Ματαθίαν, λέγοντα· „Ανανίας, 1. Μακκ. 2. 59. 62.
Αζαρίας, Μισαὴλ πιςεύσαντες ἐσώθησαν ἐκ φλογός. Δανιὴλ ἐν τῇ
„ἁπλότητι αὐτȣ̃ ἐῤῥύσθη ἐκ ςόματος λεόντων. Ταῦτα δέ εἰσι δύω
νοήματα ἐν μόνῃ τῇ τȣ̃ Δανιὴλ βίβλῳ κείμενα. ἐὰν δὲ εἴπωμεν, ὅτι
ὁ συγγραφεὺς τȣ̃ τῶν Μακκαβαίων βιβλίȣ ȣ̓κ ἀνέγνω ταῦτα ἐν
τῷ Δανιὴλ, ἀλλ' ἐξήντλησεν ἐξ ἀγνώςȣ τινὸς συγγράμματος, ἢ ἤ-
κȣσεν αὐτὰ περιᾳδόμενα, τȣ̃τό ἐςι ταὐτὸν τῷ μὴ πιςεύειν εἰς τὰς
ἐπισήμȣς εἰδήσεις, ἀλλὰ πείθεσθαι ταῖς ἀπειθάνοις ὑποθέσεσιν. Η
ȣ̃ν βίβλος τȣ̃ Δανιὴλ γνωςὴ ἦν ἀπ' αὐτῆς τῆς ἐνάρξεως τȣ̃ διωγμȣ̃
τȣ̃ ἐπὶ Αντιόχȣ. ȣ̓ κατεσκευάσθη δὲ μετὰ τὴν ὑπὸ τȣ̃ αὐτȣ̃ Αν-
τιόχȣ γενομένην τȣ̃ ναȣ̃ βεβήλωσιν, ȣ̓δὲ μετὰ τὴν τῆς Ιȣδαϊκῆς λα-
τρείας ἀνακαίνησιν, τῆς ὑπὸ Ἰȣ́δα τȣ̃ Μακκαβαίȣ τελεσθείσης, ὡς
ὁ Πορφύριος ϛ ὁ Σπινόζας διϊσχυρίζονϑ.

Ε'. Ἡ μὲν συλλογὴ τῶν κανονικῶν βιβλίων τῶν Ιȣδαίων τέλος
ἔσχε πρὸ τῆς Βασιλείας τȣ̃ Αλεξάνδρȣ· ἡ δὲ βίβλος τῆς Σοφίας
τȣ̃ Σειρὰχ, ἡ ἐν τῷ τέλει τῆς Βασιλείας Πτολεμαίȣ τȣ̃ ϛȣ̃ τȣ̃ Λά- Ἐν Ἀρθ. 1. Ἀ-
γȣ συγγραφεῖσα, ὡς ἀνωτέρω παρετήρησα, ὑποτίθεϑ τὴν συλλογὴν ριθ. 1. τȣ̃ δὶ τȣ̃ κεφ.
ταύτην ȣ̓ μόνον ὑπάρχȣσαν, ἀλλὰ καὶ γνωςὴν τοῖς πᾶσιν. ὁ δὲ Ἰώ-
σηπος ἐν τῷ κατὰ Απίωνος πρώτῳ αὐτȣ̃ βιβλίῳ ςήσας τὴν ἀρχὴν τȣ̃
ἔτȣς αὐτῆς ἐν τοῖς χρόνοις Αρταξέρξȣ τȣ̃ Μακρόχειρος, ἀποφαν-
τικῶς, ὡς δοκεῖ, ἀποδείκνυσιν, ὅτι ȣ̓δὲν τῶν ἑβραϊκῶν βιβλίων, τῶν
ὁμολογȣμένως συγγραφέντων μετὰ τὴν Βασιλείαν τȣ́τȣ τȣ̃ Βασι-
λέως, περιελήφθη ἐν τῇ τῶν κανονικῶν συλλογῇ (66.). Οτι δὲ ἡ
τȣ̃ Δανιὴλ βίβλος περιείχετο διαπαντὸς ἐν τῇ τῶν κανονικῶν συλλο-
γῇ μαρτυρȣ̃σιν ὅ,τε Ιώσηπος, καὶ τὸ Ταλμȣ̀δ, καὶ ἡ ςερεὰ καὶ σύμ-

 φωνος

Ιεζ. 14. 14. 3 28. 3. φωνος πληροφορία τῆς Συναγωγῆς. τελευταῖον δὲ ☪ ὁ Ιεζεκιὴλ ὁ τῷ Δανιὴλ σύγχρονος ἐν δυσὶ κεφαλαίοις λαλεῖ περὶ αὐτῦ· ἐν μὲν τῷ ἑτέρῳ ἐπαινῶν τὴν ἁγιωσύνην αὐτῦ, ☪ παραβάλλων αὐτὴν τῇ τῦ Λῶε, καὶ Ιὼβ, ἐν δὲ τῷ ἑτέρῳ καυχώμενος ἐν τῇ τότε σοφίᾳ, δι' ἧς ☪ τὰ ἀδηλα ☪ κρύφια κατενόει.

Η τῦ Δανιὴλ ἄρα βίβλος ὑπῆρχε τρεῖς αἰῶνας ☪ ἐπέκεινα πρὸ τῦ Αντιόχε τῦ Επιφανῦς· διότι ὁ σύγχρονος αὐτῷ Προφήτης Ιεζεκιὴλ, ὁ ἐπαινῶν τὴν σοφίαν τῦ συγγράψαντος αὐτὴν, δι' ἧς κατενόει τὰ τοῖς λοιποῖς ἀκατάληπτα, ἔγραφε προτῦ τὸν Κύρον ἐξαφανίσαι τὴν τῶν Βαβυλωνίων Βασιλείαν, τὰ δὲ συμβάντα ἐν τῇ Βασιλείᾳ Αντιόχε τῦ Επιφανῦς σεσημασμένα εἰσὶ σαφῶς ἐν τῇ τῦ Δανιὴλ βιβλῳ κατὰ τὴν ὁμολογίαν ☪ αὐτῦ τῦ Πορφυρίε ☪ Σπινόζε, ☪ τῦ κριτικῦ· ἀποδέδειχ) ἄρα τῆς βιβλε ταύτης ἡ ἁγιότης.

Ο βλάσφημος ὅμως κριτικὸς παρίςησι τὸς συναδελφὸς αὐτῦ λέγοντας, „ὅτι ὅλη ἡ τῦ Δανιὴλ ἱςορία οὐδὲν ἕτερόν ἐςιν, εἰμὴ πλάσμα. Κατ' αὐτὸς ἄρα ὁ ἄνθρωπος, ὁ τελευτήσας ἐπὶ τῆς Βασιλείας Κύρε, ☪ πρὸ τῆς τότε βασιλείας ἐπαινεθεὶς μὲν ὑπὸ τῦ ὁμογενῦς ☪ συγχρόνε ☪ συμπολίτε αὐτῷ συγγραφέως, περιφόμενος δὲ ἐν τοῖς μετέπειτα χρόνοις ἕως αὐτῦ τῦ καθ' ἡμᾶς αἰῶνος, ἔσε) πλάσμα. ἀλλὰ δύνα) ἀρά γε τῦ ἀτόπε τότε περαιτέρω προβῆναι τὸ ἄτοπον;

Λ" Ρ Θ Ρ Ο Ν Γ'.

Περὶ τῶν ἐυτελῶν τῦ κριτικῦ ἐνςάσεων κατὰ τῦ Δανιήλ.

1. Ιδὲ οἱ τῦ κριτικῦ λόγοι, οἵτινες κατ' αὐτὸν ἐπὶ τῷ τῆς φύσεως φωτὶ εἰσὶ τεθεμελιωμένοι. Α'. „Ερρέθη, ὅτι ὁ Δανιὴλ νήπιος ὢν, ἠχ„θη αἰχμάλωτος εἰς τὴν Βαβιλῶνα μετὰ Σεδρὰχ, Μισὰχ, καὶ „Αβδεναγῶ, ἐυνυχισθεὶς δὲ σὺν τοῖς ἑταίροις αὐτῦ, ἀνετρέφετο με„τὰ τῶν εὐνύχων. τῦτο δὲ ἐποίει αὐτὸν τῦ προφητικῦ χαρίσματος „ἀνεπίδεκτον.

Η τότε ἀπόδειξις τῷ ὄντι πάνυ καλῶς ἐπὶ τῷ τῆς φύσεως φωτὶ ἐςὶ τεθεμελιωμένη· ἔμως ὁ μὲν πατὴρ αὐτῆς προτείνει κατ' αὐτῆς ἀπάντησιν, (67) ἀφ' ἧς ἠδύνατο παραιτήσασθαι ἑαυτόν· ἐγὼ δὲ νομίζω, ὅτι ☪ οἱ ἀναγινώσκοντες παραιτήσονταί με τῦ χρέες πάσης ἀπαντήσεως.

„Β'. Ο Δανιὴλ ἄρχε) ὲ μόνον ἀπὸ τῆς ἐξηγήσεως τῦ ἐνυπνίε, „ἀλλὰ ☪ ἀπὸ τῦ μαντεύειν, ποῖον ἦν τὸ τῦ Βασιλέως ἐνύπνιον· τὸ „ῦφος διαλαμβάνει, ὅτι ὁ Βασιλεὺς Ναβυχοδονόσορ ἐφοβήθη ἰδὼν

„τὸ

„τὸ ἐνύπνιον, εἶτα τότε παντελῶς ἐπιλαθόμενος, προσεκαλέσατο πάν-
„τας τοὺς μάγους, ⸗ εἶπεν αὐτοῖς· ἐὰν μὴ ἀπαγγείλητέ μοι τὸ ἐνύ-
„πνιόν μου, κελεύσω κρεμασθῆναι πάντας ὑμᾶς. ⸗ αὐτοὶ μὲν ἐνέφη-
„ναν αὐτῷ, ὅτι ἐπιτάσσει τὰ ἀδύνατα· ὁ δὲ εὐθὺς ἐκέλευσε κρεμα-
„σθῆναι αὐτούς· ἔμελλον δὲ ὅ,τε Δανιὴλ, ⸗ οἱ μετ' αὐτοῦ κρεμασθή-
„ναι· ἀλλ' ὁ Δανιὴλ διεφύλαξε τὴν ζωὴν αὐτῶν, μαντεύσας, ποῖον
„ἦν τὸ ἐνύπνιον. Οἱ δὲ κριτικοὶ τολμῶσι λέγειν, ὅτι ἡ διήγησις αὕτη
„γελοιώδης ἐστὶ ⸗ παιδαριώδης.

Γελοιώδης ἄρα ἐστὶν ἡ διήγησις, ὡς διαλαμβάνουσα περὶ τῆς ὑπερβολικῆς μανίας τοῦ Βασιλέως, ὅτινος τὰς φρένας κατετάραξεν ὁ φόβος; ἀλλ' αἱ ἱστορίαι πολλὰ προτείνουσι τῶν μεγίστων Μοναρχῶν παραδείγματα ἐπίσης βάρβαρα, ⸗ μανιώδη, καὶ παράλογα· οἷον τὸ τοῦ Καμβύσου ἐν Αἰγύπτῳ τὸ τοῦ Ἀλεξάνδρου ἐν Περσεπόλει, τὸ τοῦ Ἡρώδου ἐν Ἱεριχὼ, τὸ τοῦ Νέρωνος ἐν Ῥώμῃ, κτ. κτ. ὁ θόρυβος ὁ τὸν Ναβυχοδονόσορ ἐκταράττων, ἐκώλυεν αὐτὸν ἀναμνησθῆναι τὰς τοῦ φοβεροῦ ἐνυπνίου συμπεπλεγμένας περιστάσεις. πᾶς Βασιλεὺς ἐθισθεὶς, ὥσπερ αὐτὸς, ὡς δεῖν λογίζεσθαι τὴν τῶν ἀνθρώπων ζωὴν, δεκτικός ἐστι πάσης καθ' ὑπερβολὴν ἀλόγου πράξεως· πρὸς τούτοις δὲ ἀπέδειξα ἀλλαχοῦ, (68) ὅτι τὸ ἐνύπνιον τοῦτο, τὸ τοσοῦτον ἀπρεπῶς τε καὶ ἀυθαδῶς ὑπὸ τοῦ ἀπίστου ἐκπεφρασμένον περιέχει τὰς ἐκβάσεις τῶν τεσσάρων ἰσχυροτέρων πασῶν τῶν ἐν τῇ οἰκουμένῃ Βασιλειῶν· τοῦτο δὲ ἐσκόπει ὁ Ἰεζεκιὴλ, ὅτε ἐλάλει περὶ τῶν ἀποκαλυφθέντων τῷ Δανιὴλ ὑψηλῶν μυστηρίων. (69) ὁμοίως καὶ ὁ Ἰώσηπος, ὅτε ἔλεγεν, ὅτι ὁ αὐτὸς Προφήτης ἀνέγραψε τὰ περὶ τῆς ἡγεμονίας τῶν Ρωμαίων. Γεν. 28. 3. Γαλ. β. 10. κ. 12. ἀρχ.

„Γ. Ἐπεῖται, φησὶν ⸗ αὐτὸς, ἡ τῆς καινοῦσης καμίνου ἱστορία, ἐν
„ᾗ ἔψαλλον ὁ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ· ἀλλ' οὐδὲ τοῦτο τὸ
„συμβὰν μᾶλλον ἢ τὸ προλαβὸν οἱ κριτικοὶ εὐλαβοῦνται.

Παρ' αὐτοῖς τὸ θαῦμα λογίζεται συμβὰν, καὶ τὸ εὐχαριστήριον ᾆσμα, οὗ ⸗ πάντα τὰ κτίσματα προσκαλοῦνται εἰς αἴνεσιν τοῦ ποιητοῦ αὐτῶν ἐστι ψάλμα· ἀλλὰ τὸ συμβὰν τοῦτο τοσοῦτον περίφημον ἦν, ὥστε τὸν ἡρωϊκὸν τὴν ψυχὴν Μαθθίαν, τὸν ὑπὸ τοῦ παντοδυνάμου διεγερθέντα εἰς ἐκδίκησιν τῶν δικαιωμάτων αὐτοῦ, προθεῖναι αὐτὸ, ὡς εἶδομεν, τοῖς υἱοῖς αὐτοῦ ὡς πρᾶγμα γνωσὸν, καὶ ἁρμοδιώτατον πρὸς τὸ ἐξεγεῖραι τὴν ἐλπίδα αὐτῶν. Ἄρθρ. 2. ἀριθ. 3.

ΆΡΘΡΟΝ Δ.

Περὶ τῆς τῦ Ναβυχοδονόσορ μεταβολῆς εἰς βῦν.

1. „Εἶτα, λέγει ὁ αὐτὸς, ὁ Ναβυχοδονόσορ μεταβάλλει εἰς βῦν, „καὶ τρώγει ἄχυρα ἔτη ἑπτά· μετὰ δὲ ταῦτα ἀποκαταςαθεὶς ἄν„θρωπος, ἀναλαμβάνει τὸ σέφος.

Ἐὰν ἀνοίξωμεν τῦ Δανιὴλ τὴν βίβλον, ἀναγινώσκομεν ἐν αὐτῇ τὸ, ὅτι ὁ Ναβυχοδονόσορ εἰς ποινὴν τῆς ὑπερηφανείας αὐτῦ ἐπλήγη ἀσθενείᾳ, ἥτις τοσῦτον περιέσρεψε τὰς φρένας αὐτῦ, ὥςε μηκέτι ἔχειν ἀνθρώπυ φρονήματα. „Ἡ καρδία αὐτῦ ἀπὸ τῶν ἀνθρώπων ἀλ„λοιωθήσε). μηδὲ αἰσθάνεσθαι ἄλλυ τινὸς, εἰμὴ ἐπιθυμιῶν θηρίυ· „Καὶ καρδία θηρίυ δοθήσε) αὐτῷ· Ἠναγκάσθησαν ὑν ἀποχωρῆσαι αὐτὸν ἀπὸ τῆς ὁμηγύρεως τῶν ἀνθρώπων. „Καὶ ἀπὸ τῶν ἀνθρώ„πων ἐκδιώξυσι· Καὶ ἀφῆκαν αὐτὸν βόσκειν ἐν τῇ φάτνῃ ω„σπερ βοῦν· Καὶ χόρτον ὡς βοῦν ψωμιῦσί σε. Αἱ τρίχες αὐτοῦ ὡμοιώθησαν ταῖς τῶν λεόντων. „Αἱ τρίχες αὐτῦ ὡς λεόντων ἐμεγα„λύνθησαν. Καὶ οἱ ὄνυχες αὐτῦ τοῖς ὄνυξι τῶν ὀρνέων. Καὶ οἱ ὄνυ-χες αὐτῦ ὡς ὀρνέων. Οὗτος ὑν ὁ Βασιλεὺς ὐδὲ εἰς βῦν μετεβλήθη, ὐδὲ εἰς ἀετὸν, ὐδὲ εἰς ἄλλο ἁρπακτικὸν πετεινόν. ἀλλ' ἡ μεταμόρφω-σις γέγονεν ἐν μόνῃ τῇ φαντασίᾳ αὐτῦ· ἀπεκατεςάθη δὲ εἰς τὴν προτέραν αὐτῦ κατάςασιν, ὅτε ἀνέλαβε τὰς φρένας αὐτῦ. „Καὶ αἱ „Φρένες μυ ἐπ' ἐμὲ ἐπεςράφησαν.

Ἐχομεν εἴκοσι παραδείγματα ἀνθρώπων, πεισθέντων ὑπὸ τῆς πληχθείσης αὐτῶν φαντασίας, ὅτι γεγόνασι λύκοι, κύνες, βόες. ὅθεν τὰ δεσμὰ αὐτῶν συντρίψαντες, ἔφυγον τὺς φυλάσσονλας αὐτὺς, ἵνα ἀπελθόντες εἰς τὺς ἀγρὺς ἐσθίωσι χόρτον, διὰ τότυ δὲ ὐ μόνον ἐτράφησαν, ἀλλὰ καὶ ἐπαχύνθησαν. τῦτο πρὸς τοῖς ἄλλοις πέπονθε καὶ Ηράκλειτος ὁ φιλόσοφος, ὡς ἄλλος τις διηγεῖ) φιλόσο-φος. (70) διατὶ ὑν οἱ ἐν τῇ φιλοσοφίᾳ καυχώμενοι, ἀρνῦν) τῇ αὐ-τῇ μανίᾳ περισχεθῆναι τὸν Ναβυχοδονόσορ; μετ' ὀλίγον ὀψόμεθα, ὅτι ὁ Μεγασθένης, ὁ ὑπὸ τῦ Αβυδηνῦ (τὸ τότυ ἀπόσπασμα διέσω-σεν ὁ Εὐσέβιος) μνημονευόμενος, τῦτο τὸ συμβὰν, ὡς δοκεῖ, ἐσκό-πει, τὰ περὶ τῆς ἀπυσίας τῦ Ναβυχοδονόσορ διηγύμενος.

Διογ. ὁ Λαίρτ.

Κατωτέρ. ἄρθρ. 7.

2. „Οἱ κριτικοὶ, φησὶν ὁ αὐτὸς, μετὰ τῆς αὐτῆς λαλῦσιν αὐ„θαδείας περὶ τῦ Βαλτάσαρ, καὶ τῆς χειρὸς τῆς γραψάσης τὰς τρεῖς „λέξεις ὑ' ἀγνώσων χαρακτήρων.

Πρέπον ἦν συνάψαι τότοις καὶ τὸ, διὰ χαλδαϊκῶν· διότι ὁ Δα-

Δανιὴλ ἐγνώρισεν εὐθὺς, ὅτι ἦσαν τρία λόγια ἑβραϊκὰ, γεγραμμένα διὰ τῶν τοῖς Εβραίοις πρὸ τῆς αἰχμαλωσίας συνήθων χαρακτήρων.

3. „Ὁ Ναβȣχοδονόσορ, ὁ αὐτὸς λαλεῖ, ȣ̓κ εἶχεν ἄλλον υἱὸν, εἰ„μὴ τὸν Εβιλμεροδάχ. Πόθεν τȣ̃το αὐτὸς οἶδε; τὸν Βαλτάσαρ, „προςίθησιν, ȣ̓δεὶς τῶν ἱςορικῶν γινώσκει.

Ἀλλὰ πλὴν τȣ̃ Δανιὴλ, καὶ τȣ̃ Βαρȣ̀χ, τῶν τῷ Ναβȣχοδονόσορ συγχρόνων, γνωρίζει ἆρά γε αὐτὸς ἄλλȣς συγγραφεῖς πλησιεςέρȣς τȣ̃ καιρȣ̃ ἐκείνȣ; Ἐὰν δὲ ὁ υἱὸς τȣ̃ Ναβȣχοδονόσορ ἦν πολυώνυμος, καὶ ὁ παρὰ τῷ Δανιὴλ Βαλτάσαρ ἦν ὁ αὐτὸς τῷ Εβιλμεροδὰχ, τῷ ἐν τῷ τετάρτῳ τῶν Βασιλειῶν βιβλίῳ. ἢ ἐὰν ὁ Βαλτάσαρ ὁ αὐτὸς ἦν τῷ Νηριγλισὰρ, τῷ τȣ̃ Ναβȣχοδονόσορ γαμβρῷ, τῷ τὴν αὐτȣ̃ θυγατέρα γήμαντι. ἢ ἐὰν, τελευταῖον, ὁ Βαλτάσαρ, ὁ αὐτὸς ἦν τῷ Ναβοανδήλῳ, ὥς φησιν ὁ Ἰώσηπος, τότε πȣ̃ ἵςαται ἡ τȣ̃ ἀπίςȣ κριτικὴ ἐπιςήμη; διατὶ αὐτὸς πρὸ τȣ̃ κινῆσαι λόγον περὶ τῶν πολιτικῶν ἱςορικῶν, ȣ̓κ ἀνέδειξε πρῶτον συμφώνȣς τὸν Ηρόδοτον ⊂ τὸν Βερόσην τῷ Ξενοφῶντι· ἢ ἐὰν τȣ̃το ἐφάνη αὐτῷ ἀδύνατον, διατὶ ȣ̓κ ἐγκατέλειπε τὸν Βερόσην, ἵνα ἀκολȣθήσῃ τῷ Ξενοφῶντι, ȣ̓τινος ἡ διήγησις τῇ θείᾳ συνᾴδει Γραφῇ; (71).

Μαρωδὰχ Βαλαδάν. 4. Βασ. 20. 12.

Ἰώσ. β, 10. κ. 12. ἀρχ.

Ἄ Ρ Θ Ρ Ο Ν Ε'.

Περὶ Δαρείȣ τȣ̃ Μήδȣ.

1. „Ὁ Ἰȣδαῖος συγγραφεὺς, προςίθησιν ὁ αὐτὸς, χειροτονεῖ διά„δοχον τȣ̃ Βαλτάσαρ Δαρεῖον τὸν Μῆδον. ἀλλ' ȣ̓δὲ Δαρεῖος ὁ Μῆδος, „ȣ̓δὲ ὁ Βαλτάσαρ ὑπῆρξέ ποτε. ὁ Κυαξάρης δὲ, ὁ τȣ̃ Κύρȣ θεῖος „μετεσχηματίσθη ὑπὸ τοῦ εἰρημένȣ συγγραφέως εἰς Δαρεῖον τὸν „Μῆδον.

Εςιν ἆράγε ἔνςασις ταύτης τῆς ὑπὸ τȣ̃ ἀπίςȣ προτεινομένης γελοιωδεςέρα; ȣ̓τος βεβιασμένος ὁμολογῆσαι, ὅτι εἷς Βασιλεὺς Μῆδος, υἱὸς τȣ̃ Αςυάγȣς, ⊂ θεῖος τȣ̃ Κύρȣ ἐβασίλευσε πρὸ τȣ̃ Κύρȣ ἐν Βαβυλῶνι, καθὼς ὅ,τε Δανιὴλ ⊂ ὁ Ξενοφὼν συμφώνως μαρτυρȣ̃σι, τὶ ποιεῖ; ἐπειδὴ ὁ Ξενοφὼν ὀνομάζει Κυαξάρην τὸν αὐτὸν Βασιλέα, ὃν ὁ Δανιὴλ καλεῖ Δαρεῖον Μῆδον, ἀντὶ τȣ̃ συμπεράναι κατὰ τȣ̀ς τῆς ἐπικρίσεως κανόνας, ὅτι ὁ Βασιλεὺς ȣ̓τος ἦν δυώνυμος, ὅπερ λίαν σύνηθες τοῖς ἀνατολικοῖς, ἐπιφέρει ἀνυπαρξίαν ἐκείνȣ, περὶ ȣ̓ ὁ σύγχρονος αὐτῷ συγγραφεὺς τετράκις λαλεῖ ἐν τῷ αὐτȣ̃ φιλοπονήματι. ἀλλ' ȣ̓δ' ὁ Ἰȣδαῖος ὁ συγγραφεὺς μετεσχημάτισε τὸν Κυαξάρην εἰς Δαρεῖον, ȣ̓δ' ὁ συγγραφεὺς ὁ Ἕλλην, ὁ τȣ̃ Ἰȣδαίȣ μεταγενέςερος ἔτη

Ξεν. ἐν Κυροπ.

Δαν. 5. 31.

ἑκα-

ἑκατὸν καὶ ἑπέκεινα, Δαρεῖον τὸν Μῆδον εἰς Κυαξάρην· ἀλλ' ὁ μὲν πρῶτος ὠνόμασεν αὐτὸν τῷ τοῖς Βαβυλωνίοις καὶ Ἰουδαίοις γνωστῷ ὀνόματι, ὁ δὲ δεύτερος, τῷ μᾶλλον ἴσως γνωστῷ τοῖς Πέρσαις & Ἕλλησι. Πάνυ δὲ καλῶς ὁ Ἰώσηπος παρετήρησεν, ὅτι ὁ Δαρεῖος, ὁ τοῦ Ἀσυάγεως υἱὸς ἑτέρῳ ἐκαλεῖτο παρὰ τοῖς Ἕλλησιν ὀνόματι.

Γών. β. 10. κ. 12. ἀρχ.

2. „Ὁ μὲν συγγραφεὺς, ὁ αὐτὸς λαλεῖ, διηγεῖται, ὅτι ὁ Δα„ρεῖος ὅτος ἐκέλευσε, μηδενὶ τῶν Θεῶν εὐχηθῆναι ἐν πάσῃ τῇ Βασι„λείᾳ αὐτοῦ ἡμέρας τριάκοντα. ὁ δὲ Δανιὴλ εὐξάμενος τῷ τῶν Ἰου„δαίων Θεῷ, ἐρρίφη εἰς τὸν λάκκον τῶν λεόντων.

Οὗτος διαπαντὸς ἄπιστος ὢν, τέμνει τὴν τοῦ Προφήτου διήγησιν, ἵνα, εἴπερ δυνατὸν, καταιδέσῃ αὐτὴν ἀπειθανωτέραν. σιωπεῖ μὲν τὸ, ὅτι οἱ τῆς Βασιλείας Μεγισάνες φθονοῦντες τῷ Δανιὴλ ἧς ἀπελάμβανε βασιλικῆς εὐνοίας, προκατέλαβον τὸν Βασιλέα, ὡς τάχα δηλοῦντες αὐτῷ τὸ σέβας αὐτῶν· ἀλλοιοῖ δὲ τὸ θέσπισμα, τὸ διαλαμβάνον ῥητῶς. Ἐν ἡμέραις τριάκοντα ὃς μὴ αἰτήσῃ τις αἴτημα παρὰ

Δαν. 6. 7.

„παντὸς Θεοῦ & ἀνθρώπου, ἀλλ' ἢ παρὰ τοῦ Βασιλέως. Τελευταῖον παραβλέπει τὴν ξενοχωρίαν, ἣν ἐδοκίμασεν ὁ Βασιλεὺς διά τὸ συγκαταθῆναι τούτῳ τῷ θεσπίσματι, τῷ κατὰ τὸς τῶν Περσῶν καὶ Μήδων νόμους ἀναφαιρέτῳ, ὡς δεδογμένῳ τῷ τοῦ γένους βασιλευτηρίῳ, ὅτε κατενόησε τὸν σκοπὸν τῶν ἐξελκυσάντων αὐτὸ ἐκ τῶν χειρῶν αὐτοῦ. ἦν δ' ἄρα ἀνάξιον ἔργον τοῦ ἀληθινοῦ Θεοῦ ἡ διὰ θαύματος σωτηρία τοῦ δικαίου, τοῦ παραδόντος ἑαυτὸν εἰς θάνατον, ἵνα ἀποδῷ αὐτῷ τὴν αὐτῷ μόνῳ πρέπουσαν προσκύνησιν; ἦν ἄρα ἀνάξιον τοῦ Βασιλέως, τοῦ γινώσκοντος τὴν εὐθύτητα καὶ ἀρετὴν τοῦ ὑπάργου αὐτοῦ Δανιὴλ, ἐπισωρεῦσαι τὴν ἡτοιμασμένην αὐτῷ συμφορὰν ἐπὶ τὸς ἐχθρὸς αὐτοῦ, ὅτε εἶδεν, ὅτι ὁ μὲν Θεὸς ἐφάνη ὑπερασπιστὴς αὐτοῦ, ὁ δὲ λαὸς τῇ τοῦ θαύματος ἐκπλήξει ὐδένα παρεῖχε φόβον ἐπανασάσεως;

ΑΡΘΡΟΝ ε.

Περὶ τοῦ κύρους τῆς ἱστορίας, τῆς περὶ τὴν Σωσάννην & τῶν ἑξῆς.

1. „Οὐδὲν ἕτερον, λέγει ὁ αὐτὸς, λογίζεται ὁ ἅγιος Ἱερώνυμος τὴν „περὶ τῆς Σωσάννης ἱστορίαν, εἰ μὴ ῥαβδινικόν τινα μῦθον... „Ὡσαύ„τως & τὴν περὶ τοῦ δράκοντος, τοῦ ἐν τῷ ναῷ τοῦ Βὴλ τρεφομένου. „.. Ἐπὶ πᾶσι δὲ μῦθον νομίζει τὸν τοῦ Ἀββακὰμ ζωμόν... Καὶ αὖ„τὸν τὸν Ἄγγελον, τὸν διὰ τῶν τριχῶν ἐπιλαμβάνοντα αὐτὸν, & διὰ

„τοῦ

„τȣ̃ ἀέρος μετακομίζοντα εἰς τὴν Βαβυλῶνα. . . Αποδείκνυσι δὲ ὅτι „ταῦτα τὰ συμβάντα ἀντίκεινται τῇ χρονολογίᾳ.

Τὶς ἀκȣ́ων ταῦτα, ȣ̓κ ἂν πιςεύσῃ, ὅτι ὁ ἅγιος Ιερώνυμος ἀποφαντικῶς ἐλάλησε περὶ τῶν προκειμένων; ⲥ̀ ὅμως ȣ̓τος ὁ πατὴρ ἐν τῇ κατὰ τȣ̃ Ρȣφίνȣ ἀπολογίᾳ αὐτȣ̃ κηρύττει, ὅτι παρέθηκεν ἁπλῶς τὰ ὑπὸ τῶν Ιȣδαίων προτεινόμενα κατὰ τῆς Ιςορίας περὶ τῆς Σωσάννης ⲥ̀ τȣ̃ δράκοντος, τὴν δὲ ἰδίαν γνώμην ȣ̓κ ἀνεκάλυψεν, ȣ̓δὲ ἀπήντησε ταῖς ἐνςάσεσιν, ὡς ἁπλȣ̃ν προοίμιον, ⲥ̀ ȣ̓χὶ βιβλίον συγγράφων. Ἱερ. β. 2. ἀπολογ. κατὰ Ρ'ȣφ.

2. Αλλὰ κἂν ὁ ἅγιος Ιερώνυμος, καί τινες ἄλλοι παλαιοὶ συγγραφεῖς ἐδίςαζον περὶ τȣ́των τῶν ἐν τῷ βιβλίῳ τȣ̃ Δανιὴλ δύω ὑποθέσεων, τῶν μὴ περιεχομένων ἐν τοῖς τεύχεσιν, οἷς οἱ Ιȣδαῖοι ἐχρῶντο, ὁ Ωριγένης ὅμως ςαθερῶς ἅματε ⲥ̀ γενναίως ἐπροςάτευσε τοῦ τῆς βιβλȣ ταύτης κύρȣς, δείξας, ὅτι ταῦτα τὰ δύω ἀποτμήματα ἄλλοτε περιείχοντο ἐν τοῖς ἑβραϊκοῖς βιβλίοις, οἱ δὲ Ιȣδαῖοι ἀφεῖλον τὴν τῆς Σωσάννης ἱςορίαν, ὡς τὸ γένος αὐτῶν ἀτιμάζȣσαν. τῷ ὄντι δὲ, πόθεν ἄλλοθεν ὁ Θεοδοτίων Ιȣδαῖος ὢν, ἐξήγαγε ταῦτα τὰ δύω ἄρθρα, τὰ ἐν τῇ ὑπ' αὐτȣ̃ γενομένῃ μεταφράσει σωζόμενα, ὑπὸ δὲ τȣ̃ τῆς Βȣλγάτης συγγραφέως ὡς πρωτότυπα ἐκληφθέντα, εἰμὴ ἐκ τῶν ἑβραϊκῶν, ἢ χαλδαϊκῶν τεύχεων, ἐν οἷς ἀκμὴν ἐν τοῖς χρόνοις αὐτȣ̃ ἔκειντο; Ἡ τῆς Σωσάννης ἱςορία, λέγει ἀλλαχȣ̃ ὁ Ωριγένης, ἐν μὲν τῷ ἑβραϊκῷ ȣ̓ κεῖται, δέχονται ὅμως αὐτὴν αἱ Εκκλησίαι· τȣ̃το δὲ βεβαιȣ̃ται περὶ μὲν τῶν ἐν τῇ Αφρικῇ Εκκλησιῶν τῇ τȣ̃ ἁγίȣ Κυπριανȣ̃, καὶ τȣ̃ Τερτȣλλιανȣ̃ μαρτυρίᾳ, τῶν πολλαχȣ̃ μνημονευσάντων τῆς περὶ τῆς Σωσάννης ⲥ̀ τȣ̃ δράκοντος ἱςορίας, ὡς ἐκ τῆς τȣ̃ Δανιὴλ βίβλȣ ληφθείσης· περὶ δὲ τῶν ἐν ταῖς Γαλλίαις, τῇ τῶν ἁγίων Εἰρηναίȣ, ⲥ̀ Ιλαρίȣ. Περὶ δὲ τῶν ἐν Αἰγύπτῳ ȣ̓ μόνον τῇ τȣ̃ Ωριγένȣς, ἀλλὰ καὶ τῇ τȣ̃ Κλήμεντος τȣ̃ Αλεξανδρέως. Ὠριγ. ἐπιςτ. πρὸς Α'φρικ. Ὠριγ. ὑπομν. εἰς τὸ κατὰ Ματθ. σ. 879. τȣ̃ 3. Τ. τῆς Δελαρ. ἐκδ. Κυπρ. ἐπιςτ. 4. ϗ 56. περὶ κυριακ. προσευ. ϗ προτροπ. εἰς τὸ μαρτυρ. Τερτ. κ. 16. περὶ εἰδωλ. ϗ κ. 7. περὶ νηςτ. Εἰρην. β. 4. κ. 11. ϗ 44. κατὰ Αἱρεσ. Ἱλαρ. ἐν τῷ 52. ψαλ'. Ἱερ. 36. 22, 23

3. Πρὸς τȣ́τοις ὁ Προφήτης Ιερεμίας ὥσπερ ἔχων πρὸ ὀφθαλμῶν τὴν περὶ τῆς Σωσάννης ἱςορίαν, ἔλεγεν ἐν τῇ ἐπιςολῇ αὐτȣ̃, τῇ πρὸς τȣ̀ς μετενεχθέντας εἰς τὴν Βαβυλῶνα Ιȣδαίȣς· „Καὶ λήψονται „ἀπ' αὐτῶν κατάραν ἐν πάσῃ τῇ ἀποικίᾳ Ιȣ́δα ἐν Βαβυλῶνι, λέ„γοντες, ποιῆσαίσε Κύριος, ὡς Σεδεκίαν ἐποίησε, καὶ ὡς Αχὰβ, ȣ̓ς „ἀπετυγάνισε Βασιλεὺς Βαβυλῶνος ἐν πυρὶ, δι' ἣν ἐποίησαν ἀνομίαν „ἐν Ισραὴλ, ⲥ̀ ἐμοιχῶντο τὰς γυναῖκας τῶν πολιτῶν αὐτῶν, ⲥ̀ λό„γον ἐχρημάτισαν ἐν τῷ ὀνόματί μȣ, ὃν ȣ̓ συνέταξα αὐτοῖς· ⲥ̀ ἐγὼ „μάρτυς φησὶ Κύριος. Οὐ χαλεπὸν δὲ δοκεῖμοι κατιδεῖν ἐν τῷ ῥητῷ τȣ́τῳ τὴν ἁμαρτίαν ⲥ̀ συμφορὰν τῶν Κριτῶν. ȣ̓ς ὁ Δανιὴλ νέος ἔτι

Σωσ. ἰδ. 57. ὧν, ἀποτόμως ἐξελέγχων, ἔλεγεν· „Οὕτως ἐποιεῖτε ταῖς θυγατρά-
„σιν Ισραὴλ. κἀκεῖναι φοβούμεναι ὡμίλουν ὑμῖν. Ἀλλ' οὐ θυγάτηρ Ἰού-
„δα ὑπέμεινε τὴν ἀνομίαν ὑμῶν. Ἄλλως τε καὶ ὁ καιρὸς καὶ ὁ τόπος
κατάλληλά εἰσι τῷ πράγματι. διότι ἡ τοῦ Ιερεμίου προφητεία ἐξεδόθη
μὲν ἐν τῷ πρώτῳ ἔτει τῆς τοῦ Σεδεκίου Βασιλείας, προηγόρευσε δὲ τοῖς
ἐν Βαβυλῶνι αἰχμαλώτοις τὴν τραγικὴν σκηνὴν, ἣν μετ' ὀλίγον ἰδεῖν
ἔμελλον· ὁ δὲ Δανιὴλ σχεδὸν εὐθὺς μετὰ τὴν νηπιώδη ἡλικίαν μετα-
κομισθεὶς ὑπὸ τοῦ Ναβουχοδονόσορ εἰς τὴν Βαβυλῶνα, ἐπὶ τῆς πρώ-
της μετοικεσίας, τῆς ἐπὶ τῆς Βασιλείας τοῦ Ιωακεὶμ, ἦν ἐνδεχομένως
εἰκοσαετὴς τὴν ἡλικίαν ἐν τῇ δευτέρᾳ μετοικεσίᾳ, τῇ ἐν τῷ τέλει τῆς
Βασιλείας τοῦ Ιεχονίου, καὶ ἐν τῇ ἀρχῇ τῆς τοῦ Σεδεκίου, ἡ δὲ τῆς Σω-
σάννης ὑπόθεσις μετ' οὐ πολὺ συνέβη. διότι ἡ διήγησις τοῦ συμβάντος
αὐτῇ, ἡ ἐν τῇ ἡμετέρᾳ Βουλγάτῃ τεταγμένη ἐν τῷ τέλει τῆς τοῦ Δα-
νιὴλ βίβλου, ἔκειτο ἐν τῇ ἀρχῇ τῆς αὐτῆς βίβλου ἐν τοῖς Ἑλληνικοῖς
τοῦ Θεοδοτίωνος τεύχεσι· τὸ δὲ ἔσχατον ἐδάφιον τοῦ δεκάτου τρίτου
Βὴλ ἢ Δρακ. ἰδ. 1. κεφαλαίου τῆς βίβλου τοῦ Δανιὴλ, τὸ διαλαμβάνον περὶ τοῦ θανάτου
τοῦ Ἀστυάγεως, ὃν ὁ Κύρος διεδέξατο, οὐδεμίαν ἔχει σχέσιν τῇ περὶ
τῆς Σωσάννης ἱστορίᾳ, ἀνήκει δὲ, ὥς φασι πάντες οἱ κριτικοὶ, ταῖς περὶ
τοῦ Βὴλ καὶ δράκοντος ἱστορίαις, ταῖς περιεχομέναις ἐν τῷ ἑπομένῳ κε-
φαλαίῳ. ἀλλ' οὐδὲ τὸ εἶδος τοῦ θανάτου τῶν δύω κριτῶν δηλοποιεῖ ἡ
Σωσ. ἰδ. 62. τοῦ Δανιὴλ βίβλος, λέγει δὲ μόνον, ὅτι ἀπέκτειναν αὐτοὺς κατὰ τὸν
νόμον Μωϋσέως, καταδικάσαντες αὐτοὺς θανάτῳ, ὥσπερ αὐτοὶ κατε-
δίκασαν τὴν Σωσάνναν· αὕτη δὲ ἡ ἀπόφασις, ἡ ὑπὸ τῶν Ιουδαίων κατ'
αὐτῶν ἐνεχθεῖσα, οὐκ ἠδύνατο ἐκπληρωθῆναι (72) εἰ μὴ τῇ τοῦ Να-
βουχοδονόσορ ἐπιταγῇ, τοῦ καὶ τὸ εἶδος τοῦ θανάτου διορίσαντος, ὃν οὗ-
τοι οἱ δύω ἄτιμοι ἄνθρωποι ὑπέστησαν. περιέχει δὲ τοῦτο ῥητῶς ἡ τοῦ
Ιερ. 36. 22, 23 Ιερεμίου ῥῆσις, ἡ προλέγουσα τὸ μέλλον εὐθὺς συμβῆναι τούτοις τοῖς
δυσὶν ὑποκριταῖς. διὸ οἱ Ραββῖνοι ἐγνώρισαν μὲν τοὺς τῆς Σωσάννης
συκοφάντας διὰ τῶν χαρακτήρων, δι' ὧν χαρακτηρίζει αὐτοὺς ὁ Προ-
φήτης, τὴν δὲ περὶ αὐτῆς ἱστορίαν ὡς ἀληθῆ δέχονται, κἂν οὐ συγ-
καταλέγωσι τοῖς κανονικοῖς τῆς θείας Γραφῆς βιβλίοις.

4. Ἡ δὲ περὶ τῆς μετακομιδῆς τοῦ Ἀββακοὺμ ἱστορία, ἡ τῇ χρο-
νολογίᾳ ἐναντία κατὰ τὸν ἡμέτερον κριτικὸν, τοσοῦτον ὀλίγον ἐναντία
ἐστὶν, ὥστε μηδὲ εἶναι ἀνάγκην, δύω ὁμωνύμους νοῆσαι Προφήτας, ἵνα
Βὴλ ἢ Δρακ. ἰδ. 33. ἡ ἀλήθεια τῆς τοῦ Δανιὴλ διηγήσεως διασωθῇ. ἀληθῶς ἄδηλος μέν
ἐστιν ὁ καιρὸς, καθ' ὃν ἐξεδόθη ἡ σωζομένη τοῦ Ἀββακοὺμ προφητεία.
κἂν δὲ ἐν τῷ πρώτῳ αὐτῆς κεφαλαίῳ ἀναγινώσκωμεν ἔφοδόν τινα Χαλ-
δαίων προλεγομένην, ἀλλὰ τίς ἐστιν ἡ ἔφοδος αὕτη, ἄδηλον. δοκεῖ δέ

μοι

μοι πειθανώτερον τὸ ὅτι αὕτη ἐςὶν, ἀχὶ ἡ πρώτη, ἡ ἐπὶ Ιωακεὶμ, ἀλλ' ἡ ἐν τοῖς χρόνοις τῦ Ιεχονίε συμβᾶσα· „ὁ Ἀββακὰμ φησὶ, Συ- Ἀββακ. 1. 9.
„νάξει ὡς ἄμμον αἰχμαλωσίαν. τῦτο δὲ ἁρμόζει τῇ ἐπὶ Ιεχονίε με-
τοικεσίᾳ, ἐν ᾗ ὐκ ἐγκατελείφθησαν ἐν Ιερυσαλὴμ, εἰμὶ οἱ πτωχοὶ
καὶ ἀσθενεῖς, μᾶλλον ἢ τῇ ἐπὶ Ιωακεὶμ, ὀλιγαριθμω ὔσῃ.

5. Ὁ Ἀββακὰμ ἔτι νέος ὢν, συνέγραψε μὲν τὴν πρώτην αὐτῦ προφήτειαν μετὰ τὴν ἀρχὴν τῆς αἰχμαλωσίας, μετεκομίσθη δὲ θαυματυργικῶς εἰς τὴν Βαβυλῶνα μετὰ ἔτη σχεδὸν ἑξήκοντα, περὶ τὸ τέλος τῆς αὐτῆς αἰχμαλωσίας, ὡς φησιν ὁ Δανιὴλ ἐν τῷ ἐσχάτῳ κε-
φαλαίῳ τῆς αὐτῦ βίβλυ. ἐςὶ δὲ ἆρα τι ἐν πάσῃ τῇ διηγήσει ταύτῃ Βὴλ ϛ. Δράκ.
ἐναντίον τῇ χρονολογίᾳ; ἐμφαίνει ἆρα πρᾶγμα τῇ φαντασίᾳ δυσπα-
ράδεκτον ἢ διὰ θαύματος ἐν τῷ λάκκῳ τῶν λεόντων μετακομισθὴ τὸν
Ἀββακὰμ, εἰς τὸ προσενεγκεῖν αὐτὸν τροφὴν τῷ Δανιήλ; τῦτο αὐ-
τὸ τὸ μὴ ὁμοιοαληθὲς καὶ ἀπαραδειγμάτιςον πείθει τὺς ὀρθῶς συλ-
λογιζομένυς, ὅτι τὸ ἔργον ὐκ ἐςὶ πεπλασμένον· οἱ ψεῦσαι μιμηταί
εἰσι καὶ σφετερισαὶ, κἂν δὲ ἀρέσκωσι ἐξισᾶν τὴν φαντασίαν, προσέ-
χυσιν ὅμως ἐπιμελῶς μὴ παροργίζειν αὐτὴν ματαίως,

Λ' ΠΡΟΘΡΟΝ Ζ'.

Περὶ τῆς τῦ Δανιὴλ, Μεγασθένυς, καὶ Αὐδηνῦ συμφωνίας περὶ τῦ Ναβυχοδονόσορ.

1. Ἀποπεραίνω ταύτην τὴν περὶ τῆς βίβλυ τῦ Δανιὴλ ὑπόθεσιν διὰ τῆς παρατηρήσεως, τῆς περιεχομένης ἐν τῷ Παλαφάτῳ τῦ Α-
βυδηνῦ ἀποσπάσματι, τῷ ὑπὸ Εὐσεβίυ διασωθέντι· „Εὗρον δὲ, λέ- Εὐσ. β. χ. κ.
„γει ὁ σοφὸς ὗτος συγγραφεὺς, ἐν τῇ Αὐδηνῦ περὶ Ασσυρίων γρα- 41, Εἰσαγγ.
„φῇ περὶ τῦ Ναβυχοδονόσορ ταῦτα· Μεγασθένης δέφησι, Ναβυκο- Προπ.
„δόσορον Ηρακλέυς ἀλκιμώτερον γεγονότα ἐπί τε Λιβύην καὶ Ἴβηρίην
„στρατεῦσαι. ταύτας δὲ χειρωσάμενον, ἀποδασμὸν αὐτέων εἰς τὰ δε-
„ξιὰ τῦ πόντυ κατοικίσαι. μετὰ δὲ, λέγει, πρὸς Χαλδαίων, ὡς ἀ-
„ναβὰς ἐπὶ τὰ βασιλήια, κατασχεθείη Θεῶ, ὅτε ὠδὴ φθεγγξάμε-
„νος εἶπεν· ὗτος ἐγὼ Ναβυκοδόσορος, ὦ Βαβυλώνιοι, τὴν μέλλυσαν
„ὑμῖν προαγγέλλω συμφορὴν, τὴν ὁ, τε ἐμὸς πρόγονος, ἥτε βασίλεια
„Βηλτὶς ἀποτρέψαι, Μοίρας πεῖσαι ἀσθενῆσιν· ἧξει Περσης ἡμίονος,
„τοῖσιν ὑμετέροισι Δαίμοσι χρεωμενος συμμάχοισιν· ἐπάξει δὲ δυλω-
„σύνην· ἣ δὴ συναίτιος ἔσαι Μήδης, τὸ ἀσσύριον αὔχημα. ὡς εἶδε
„μὲν, πρόσθεν ἢ δῦναι τὺς πολίτας, χάρυβδίν τινα, ἢ θάλασσαν
„εἰσδεξαμένην, ἀίσσωσαν πρόρριζον. . . . . Ἐμέτε πρὶν εἰς νόον βαλέ-

„σθαι ταῦτα, τέλεος ἀμείνονος κυρῆσαι· ὁ μὲν θεσπίσας, παρα-„χρῆμα ἠφάνιςο.

2. Ὁ μὲν Μεγασθένης συνέγραψε τὴν περὶ τῶν Ἰνδῶν ἱςορίαν ἐπὶ τῆς Βασιλείας τῦ πρώτυ διαδόχυ τῦ Ἀλεξάνδρυ· ὁ δὲ Ἀβυδηνὸς, ἢ ὁ ἐκ τῆς Ἀβυδηνῶν χώρας Παλαφάτης, ὁ τῦ Ἀριςοτέλυς μαθητὴς κατὰ τὸν αὐτὸν συνήκμαζε χρόνον. ἐν τῷ τῦ Ἀλεξάνδρυ ἄρα αἰῶνι, τῷ μετὰ τὸν Ναβυχοδονόσορ ἔτη διακόσια, ὡς βέβαιον ἐνομίζετο, ἀ, ὅτι ὁ Ναβυχοδονόσορ ὐρανόθεν ἐδιδάχθη τὰ ὁρισθέντα περὶ τῆς Βασιλείας αὐτῦ, καὶ τῆς μεταβολῆς, τῆς μελλύσης γενέσθαι ὑπὸ Κύρυ διὰ τῆς βοηθείας Δαρείυ τῦ Μήδυ· ἰδὼ ὃν τὸ τῦ Ναβυχοδονόσορ ἐνύπνιον, καθ' ὃ εἴδομεν τὸν κριτικὸν μετὰ τοσαύτης ἐπαναςάντα τῆς προπετείας, καὶ αἱ τῦ Δανιὴλ περὶ αὐτῦ προρρήσεις. 6'. Ὅτι πρῶτον μὲν ἐφάνη ὁ Ναβυχοδονόσορ τοσαύτῃ ταραχῇ περικατειλημένος, ὥςε καὶ ἔξω φρενῶν γέγονεν, εἶτα παραχρῆμα ἠφανίσθη. ἰδὼ ὃν ἡ ἔκςασις τῶν ἰδίων αὐτῦ φρενῶν, καὶ ἡ βιαία αὐτῦ φυγὴ εἰς τὰς δρυμύς· ὁ δὲ Ἀντίοχος ὁ Ἐπιφανὴς μεταγενέςερός ἐςι τῦ Μεγασθένυς, καὶ τῦ Ἀβυδηνῦ πλέον ἢ ἕνα αἰῶνα· αἱ προρρήσεις ἄρα τῦ Δανιὴλ, ἔτι δὲ καὶ τὸ ὑπ' αὐτῦ περὶ τῦ Ναβυχοδονόσορ καθιςορύμενον, καὶ ἀπειθανώτερον δοκῶν, βέβαιον ἦν παρὰ τοῖς Χαλδαίοις, δῆλον δὲ καὶ τοῖς Ἕλλησιν ἕνα αἰῶνα πρὶν τῦ Ἀντίοχυ τῦ Ἐπιφανῦς.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν Προφητῶν τῶν ἐν τῷ καιρῷ τῆς καταςροφῆς τῦ ναῦ συγγραφάντων.

ΑΡΘΡΟΝ Α.

Περὶ τῦ κύρυ τῶν προφητειῶν τῦ Ἱερεμίυ, καὶ τῦ Βαρύχ.

1. Πρῶτος παρίςαται ὁ Ἱερεμίας, καὶ ὁ Γραμματιςὴς αὐτῦ Βαρύχ, ἑκάτερυ δὲ τύτων αἱ προφητεῖαι φέρυσι σὺν τῷ καιρῷ τῆς ἐκδόσεως αὐτῶν τὸ ὄνομα τῦ συγγράψαντος αὐτάς. Οὐδεὶς δὲ δύναται ἀμφιβάλλειν περὶ τῦ ὅτι ὁ ποιητὴς τῦ βιβλίυ τῦ Σειρὰχ εἶχε πρὸ ὀφθαλμῶν τὴν ὁλόκληρον συλλογὴν τύτων τῶν προφητειῶν, ὅτε ἔ-
Σειρ. 49. 6, 7. λεγεν· „Οἱ Βασιλεῖς τῦ Ἰύδα ἐνεπύρισαν ἐκλεκτὴν πόλιν ἁπάσματος, „καὶ ἠρήμωσαν τὰς ὁδὺς αὐτῆς ἐν χειρὶ Ἱερεμίυ, ἐκάκωσαν γὰρ αὐ-„τὸν, καὶ αὐτὸς ἐν μήτρᾳ ἡγιάσθη Προφήτης ἐκριζῶν, καὶ κακῶν,

καὶ

„ἀπολύειν, ὡσαύτως οἰκοδομεῖν καὶ καταφυτεύειν. Ταῦτα περιέχουσι τὴν σύντομον περίληψιν τῶν ῥητῶς μνημονευομένων προῤῥήσεων τῦ Ἱερεμίυ, καὶ τὰ ἐν τῇ ἀρχῇ τῆς Προφητείας αὐτῦ λόγια. ὁ Ἔσδρας δὲ εὐθὺς μετὰ τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἐπιστροφὴν ἀνέμνησε τὴν τῦ Ἱερεμίυ πρόῤῥησιν, τὴν περὶ τῆς ἐπιστροφῆς ταύτης. Κατὰ τὸν αὐτὸν δὲ καιρὸν ὁ ποιητὴς τὸ ἐσχάτυ κεφαλαίυ τῦ δευτέρυ βιβλίυ τῶν Παραλειπομένων προσέθετο τῇ προφητείᾳ, τῇ προαγγελλούσῃ τὴν ἐπιστροφὴν τὰς ἄλλας προφητείας, τὰς ὁριζούσας τὴν τῆς ἐρημώσεως διάρκειαν· ὁ δὲ ἄπιστος οὐδὲν εἶπε περὶ τῶν τοσούτον σαφῶς, καὶ διηκριβωμένως, καὶ ἐντελῶς μεμαρτυρημένων προῤῥήσεων.

Γεν. 1. 10. Ἔσδρ. 1-7.

2. Παραλ. 36. 21. 22.

2. Συνημμένοι ταῖς τῦ Ἱερεμίυ προφητείαις εἰσὶν οἱ τότυ θρῆνοι· ἐὰν μὲν δεχώμεθα τὸ πρὸ αὐτῶν σύντομον προοίμιον, τὸ κείμενον μὲν ἐν τοῖς τεύχεσι τῆς Βυλγάτης, τῶν Ἑβδομήκοντα, μὴ εὑρισκόμενον δὲ μηδὲ ἐν τοῖς ἑβραϊκοῖς βιβλίοις, μηδὲ ἐν τῇ χαλδαϊκῇ τῶν Προφητῶν παραφράσει, ἀνάγκη ἐστὶν ὁμολογῆσαι, ὅτι μεταγενέστεροί εἰσι τῆς τῦ ναῦ καταστροφῆς. τὐναντίον δὲ, ἐὰν ἰσχυριζώμεθα, ὅτι ὁ τῦ δευτέρυ βιβλίυ τῶν Παραλειπομένων συγγραφεὺς εἶχεν αὐτὸς πρὸ ὀφθαλμῶν, ὅτε ἔλεγε. „Καὶ ἐθρήνησεν Ἱερεμίας ἐπὶ „Ἰωσίαν, καὶ εἶπαν πάντες οἱ ἄρχοντες καὶ αἱ ἄρχουσαι θρῆνον ἐπὶ Ἰω„σίαν ἕως τῆς σήμερον· καὶ ἔδωκεν αὐτὸν εἰς πρόσαγμα ἐπὶ Ἰσραὴλ, „καὶ ἰδοὺ γέγραπται ἐπὶ τῶν θρήνων. Ἐὰν, λέγω, τὸ κείμενον τῦτο ἐκλάβωμεν ὡς διαλαμβάνον περὶ τῶν τῦ Ἱερεμίυ θρήνων, τῶν ἔτι σωζομένων, καὶ ἀμφισβητῶμεν. ὅτι περὶ τύτων λαλεῖ ὁ Ἰώσηπος λέγων· „Ἱερεμίας δὲ ὁ Προφήτης ἐπιτήδειον αὐτῦ τῦ Ἰωσίυ, συνέτα„ξε μέλος θρηνητικὸν, ὃ καὶ μέχρι νῦν διαμένει. „Τότε πρέπον ἐστὶν εἰπεῖν, ὅτι ὁ Ἱερεμίας ὃ συνέταξε τοὺς θρήνυς ὑπὲρ τῆς καταστροφῆς τῆς Ἱερυσαλὴμ καὶ τῦ ναῦ προτῦ αὐτὴν γενέσθαι, ὡς εἶπεν ὁ Κύριος Κέλλιερ, ἀλλ' ὅτι ἐν τῇ συλλογῇ τῶν σωζομένων θρήνων, ὧν μέρος συνετέθη μετὰ τὴν τῆς Ἱερυσαλὴμ καταστροφὴν, εὑρίσκονται καίτινες θρῆνοι πρὸ τῆς καταστροφῆς γεγραμμένοι, εἰς τὸν τῦ Ἰωσίυ θάνατον ἀφορῶντες· πάνυ δὲ δύσκολον δοκεῖ μοι τὸ δύνασθαί τι εἰπεῖν προσδιωρισμένον περὶ τῦ ἀποτμήματος, τῦ εἰς τὸν θάνατον τῦ Ἰωσίυ ἀφορῶντος, καὶ λίαν ἀμφιβάλλω περὶ τῦ ἐπιβόλως τι εἰπεῖν.

Θρην. 1. 1.

2. Παραλ. 35. 25.

Ἴωσ. β. 10. κ. 6. ἑξ.

3. Ὁ Βαρὺχ, ὁ τῦ Ἱερεμίυ γραμματεὺς, ἐστὶν ὁ ποιητὴς, τῆς φερωνύμυ αὐτῷ προφητείας, ἣν ἡμεῖς ἐν τοῖς ἡμετέροις τῆς παλαιᾶς Διαθήκης βιβλίοις ἀπὸ τῆς τῦ Ἱερεμίυ ὃ χωρίζομεν· τὸ αὐτὸ κατ' ἔθος ἐποίυν οἱ παλαιοὶ διδάσκαλοι, ἀναμιμνήσκοντες αὐτὴν πολλάκις διὰ τῦ ὀνόματος τῦ Ἱερεμίυ, μάλιστα τὸ δὲ τῦ τρίτυ κεφαλαίυ

τῦ

Βαρ. 3. 37. τῦ Βαρὺχ τὸ ἐδάφιον. „Ο Θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθη, Ϛ τοῖς „ἀνθρώποις συνανεστράφη. Οἱ δὲ εἰρημένοι διδάσκαλοι εἰσὶν ὅτοι· Κλήμης ὁ Αλεξανδρεὺς, ὁ ἐν ἁγίοις Κυπριανὸς, ὁ Εὐσέβιος, οἱ ἅγιοι Βασίλειος, Αὐγυστῖνος, Αμβρόσιος, Αλεξανδρείας Κύριλλος *)· ἔνιοι ὅμως τύτων, οἷον ὁ Εὐσέβιος, Ϛ ὁ ἐν ἁγίοις Κύριλλος ἀναμιμνήσκυσιν αὐτὸ διὰ τῦ ὀνόματος τῦ Βαρὺχ, καλῦντες αὐτὸ χρησμὸν θεῖον.

4. Τὴν ἐν τῷ ῥητῷ τύτῳ προφητείαν, ὡς μὴ ὑπάρχυσαν νῦν ἐν τῷ ἑβραϊκῷ ὕφει, οἱ Ιυδαῖοι ὐ δέχον)· ἀλλ' οἱ τὸν νῦν ἐφιςῶντες ἐπὶ τῷ ἑβραϊκῷ τρόπῳ τῦ λέγειν, τῷ σωζομένῳ ἔν τε τῇ ἑλληνικῇ μεταφράσει, κἀν τῇ Βυλγάτῃ, ὑδόλως διςάζυσι περὶ τῦ ὅτι ἐγράφη μὲν ἑβραίοις, μετὰ δὲ τὴν αἰχμαλωσίαν ὐκ ἐδέχοντο αὐτὴν οἱ Ιυδαῖοι ὡς μέρος τῶν τῦ Ιερεμίυ προφητειῶν. Η τῦ Ιερεμίυ ἐπιςολὴ, ἡ ἐν τῷ τέλει τῦ βιβλίυ τῦ Βαρὺχ, ἡ ἀποςελλομένη πρὸς τὺς μετὰ τὴν καταςροφὴν τῦ ναῦ ἀγομένυς, εἰς τὴν Βαβυλῶνα αἰχμαλώτυς, μνημονεύε) ὑπὸ πολλῶν ἐκ τῶν ἀνωτέρω προτεθέντων διδασκάλων· πρὸς τύτοις δὲ βλέπομεν ἐν τῇ δευτέρᾳ τῶν ἐν Ιεροσολύμοις Ιυδαίων
2. Μακκ. 2. 2. ἐπιςολῇ, τῇ μνημονευομένῃ ἐν τῇ ἀρχῇ τῦ δευτέρυ βιβλίυ τῶν Μακκαβαίων, ὅτι μεταξὺ τῶν τότε ἐν ταῖς ἀπογραφαῖς Ιερεμίυ τῦ Προφήτυ σωζομένων πολλῶν αὐτῦ ἐπιςολῶν, μία ἦν ἡ ἀποςελλομένη πρὸς τὺς ἐν Βαβυλῶνι αἰχμαλώτυς, δι' ἧς ὁ Προφήτης παρήγγειλεν αὐτοῖς, „ἵνα μὴ ἐπιλησθῶσι τῶν προσαγμάτων τῦ Κυρίυ, Ϛ ἀποπλα„νηθῶσι ταῖς διανοίαις, βλέποντες ἀγάλματα χρυσᾶ Ϛ ἀργυρᾶ, Ϛ τὸν περὶ αὐτὰ κόσμον. Τῦτο δέ ἐςιν ἡ περίληψις, μᾶλλον δὲ αὐτὰ τὰ τῆς ἐπιςολῆς τῦ Ιερεμίυ ῥήματα, τῆς περαιύσης τὸ τῦ Βαρὺχ βιβλίον· ὑδόλως ἄρα ἀμφιγνοεῖν δυνάμεθα περὶ τῦ ὅτι οἱ Ιεροσολυμῖται Ιυδαῖοι ὐκ ἐσκόπυν τὴν ἐπιςολὴν ταύτην, ὅτε ἐπὶ τῆς Ἀσ-
1. Μακκ. 1. 1. μοναίων Βασιλείας ἐλάλυν πρὸς τὺς ἐν Αἰγύπτῳ ἀδελφὺς αὐτῶν περὶ τῶν τῦ Ιερεμίυ ἐπιςολῶν.

ΑΡΘ.

*) Κλήμ. β. 1. κ. 2. Ϛ β. 2. κ. 3. τῦ Παιδαγωγῦ. Κυπριαν. β. 2. τῶν πρὸς Κυϊρίν. μάρτυρ. Ϛ ἐν τῇ κυριακῇ προσευχῇ. Εὐσέβ. β. 6. κ. 19. τῆς Εὐαγγελ. ἀποδειξ. Βασίλ. β. 4. κατὰ Εὐνομ. Αὐγυστῖν. β. 18. κ. 33. περὶ πόλ. Θεῦ. Αμβρόσ. β. 1. περὶ μετανοί. Ϛ β. 4. περὶ δημιυργ. Κύριλλ. β. 10. κατὰ Ιυλιανῦ

Α῎ΡΘΡΟΝ Β΄.

Εν ᾧ αἱ ἀποδείξεις τȣ̃ κύρȣς τȣ̃ τῆς Ιεζεκιὴλ βίβλȣ.

1. Τὸν Ιεζεκιὴλ, τὸν τῷ Ιερεμίᾳ σύγχρονον ἐπαινεῖ μὲν ὁ Ιώσηπος καθάπερ ϗ τὸν Ιερεμίαν, μέμνηϑ δὲ τȣ́τȣ ὁ Σειρὰχ διὰ τῶν ἑξῆς ῥημάτων· „Ιεζεκιὴλ, ὃς εἶδεν ὅρασιν δόξης, ἣν ὑπέδειξεν αὐτῷ ἐπὶ „ἅρματος Χερȣβίμ· ϗ γὰρ ἐμνήσθη τῶν ἐχθρῶν ἐν ὄμϐρῳ. καὶ κα„τορθῶσαι τȣ̀ς εὐθύνοντας ὁδȣ́ς. Τὸ πρῶτον τȣ́των τῶν ῥητῶν ἐξήχϑη ἐκ τȣ̃ δεκάτȣ κεφαλαίȣ τȣ̃ Ιεζεκιὴλ, τὸ δὲ δεύτερον ἐκ τȣ̃ δεκάτȣ τρίτȣ, τὸ ἄρα τȣ̃ Ιεζεκιὴλ βιβλίον ἔκτοτε ἔκειτο ἐν τῷ ἑβραϊκῷ κανόνι.

Ιώσ. β.10. κ. 6. ἀρχ. Σειρ. 49.8-9.

Ιεζ. 10. 1. ϗ 13. 11. 13.

2. Αλλ᾽ ὁ κριτικοφιλόσοφος πάνυ ψυχρῶς λέγει. „Οτι οἱ Ιȣδαῖοι „πολλὰς προτείνοντες δυσκολίας, ȣ̀κ ἤθελον καταλέξαι τὴν Προφη„τείαν τάυτην ἐν τῷ οἰκείῳ κανόνι.

Προσκαλῶ τȣ̀ς φατριαςὰς αὐτȣ̃, ἵνα δηλώσωσιν ὀνομαςὶ, τίνες τῶν Ιȣδαίων εἰσὶν, οἱ πρὸ τȣ̃ Σειρὰχ, ὡσαύτως καὶ πρὸ τȣ̃ Ιωσήπȣ ἐνςάντες κατὰ τῶν θελόντων καταλέξαι τὴν τȣ̃ Ιεζεκιὴλ προφητείαν ἐν τῷ τῆς Συναγωγῆς κανόνι· ὁ ἄπιςος ἀνέγνω, ὡς ἔοικε, παρὰ τῷ ἀθέῳ Σπινόζᾳ, ἢ βέλτιον εἰπεῖν, παράτινι τῶν μεταγραψάντων αὐτὸν τὸ ἐν τῷ Ταλμȣ̀δ γεγραμμένον, εἴτȣν τὸ, ὅτι τινὲς μὲν τῶν Ραβϐίνων πρȣ̃θηκαν κρύψαι τὴν τȣ̃ Ιεζεκιὴλ προφητείαν διά τινας ῥήσεις ἀντικειμένας ὡς αὐτοὶ ἐφαντάσθησαν, τῷ τȣ̃ Μωϋσέως νόμῳ. ἄνθρωπος δέτις ὀνόματι Ανανίας ἀπέδειξεν αὐτοῖς, ὅτι αἱ ῥήσεις ἅυται εὐκόλως συμφωνȣ̃νϑ τῷ νόμῳ, καὶ ȣ̃τως ἐκεῖνοι ἡσύχασαν· τὸ τότε ἄρα ζήτημα ȣ̀κ ἦν περὶ τȣ̃ καταλέξαι ἐν τῷ κανόνι τὴν προφητείαν· διότι ἐκείνη συγκατειλεγμένη ἦν χίλια ἔτη καὶ ἐπέκεινα πρὸ τῆς τȣ̃ Ταλμȣ̀δ συγγραφῆς· ȣ̀κȣ̃ν τινὲς (ἐὰν λόγȣ ἀξίαν λογιζώμεθα τὴν τῶν Ταλμȣδιςῶν διήγησιν) φανητιῶντες ἐφαντάσθησαν μετὰ δέκα αἰώνων παρέλευσιν, ὅτι ἀνάγκη ἐςὶν ἀποτεμεῖν τὴν εἰρημένην προφητείαν, ἀπεδείχθη δὲ αὐτοῖς ἡ ἀδικία αὐτῶν· καὶ ȣ̃τως ȣ̃τοι ἐσιώπησαν. δῴοι ὁ Θεὸς ἵνα τȣ̃το αὐτὸ ποιήσωσι πάντες οἱ διεςραμμένα ἐπικρίνοντες· τὰ δὲ δύω ἢ τριῶν παραλογȣ́ντων φαντάσματα ȣ̀δὲν ἰσχύȣσι κατὰ τῆς ςερεᾶς παραδόσεως τῆς ὁλοκλήρȣ αὐτῶν ὁμηγύρεως.

ΑΡΘΡΟΝ Γ.

Περὶ τῶν ματαίων καὶ ἀπρεπῶν τῆ κριτικῆ ἐνςάσεων κατὰ τὸ Ιεζεκιήλ.

1. Ὁ κριτικὸς ὑποκρίνε) πρῶταν σχεδιάζειν τὴν περιγραφὴν τῶν τεσσάρων ζώων τὸ Ιεζεκιήλ· ἡ δὲ περιγραφὴ αὐτὸ δύνα) μὲν ἐκπλῆξαι τὰς ἀμαθεῖς, οἴδασιν ὅμως οἱ πεπαιδευμένοι, ὅτι τὰ τοιαῦτα Ιερογλυφικὰ σχήματα, τὰ δυνάμενα τὴν σήμερον καταπλῆξαι τὰ γυναικάρια καὶ τὰ νήπια, ἐν τῆ παλαιᾶ ἀρχαιότητι ησαν πάνυ κοινά· πρὸ δὲ τῆς τὸ ἀλφαβήτυ εὑρέσεως διὰ τύτων τὰς ἐννοίας αὐτῶν ἔγραφον· ὁρῶμεν ἐν τῶ τὸ Σαγχωνιάθωνος ἀποσπάσματι τῶ ὑπὸ Εὐσεβίυ διασωθέντι, (73) ἐν ᾧ κριτικὸς λίαν ἐκαυχήθη, καίπερ μὴ κατανοήσας αὐτὸ, τὴν περιγραφὴν σχήματός τινος τοῖς τὸ Ιεζεκιὴλ ζώοις πάνυ ὁμοίυ· ὁ δὲ Γεμέλλης *) ἐν τῆ ὑπ' αὐτὸ ἐκδοθείσῃ περιέργω περιγραφῆ τῶν ἑρειπίων, τῶν ἀπεχόντων τῆς Σχιράδος μίλια τριάκοντα καὶ πέντε, καὶ ὀνομαζομένων κοινῶς παλάτιον τὸ Δαρείυ, λέγει, „ὅτι ἐν δυσὶ ςηλοβάταις φαίνον) ζώων σχήματα, πτέρυγας, „καὶ κεφαλὰς ἀνθρώπων ἔχοντα.

Ὁ γαν τὸν Μιλέτ. εἰς τὸ Σχιρά.

2. Ηλπίσαμεν, ὅτι ὁ κατὰ πάντα πνευματικὸς τρόπος, δι' ὃ ὁ συγγραφεὺς τῶν ἐπιςολῶν τῶν Ιουδαίων, (74) τῶν πρὸς τὸν κύριον Βολτέρον, ἐπανώρθωσε τὴν τύτυ ἀποπλάνησιν, καὶ τὰς παχυλότητας, ἐν αἷς περιέπεσον, ἀφορμὴν λαβὼν ἀπὸ τὸ ἄρτυ ὃν ἐψηθῆναι ἐδει διὰ πυρὸς, ξηρᾶ κόπρω ἐξοφθέντος· ηλπίσαμεν λέγω, ὅτι ὁ τρόπος ὗτος επλήρωτε τὴν καρδίαν αὐτὸ συγχύσεως σωτηριώδυς, δυναμένης διαφυλάξαι αὐτὸν εἰς τὸ ἐξῆς ἐκ τῶν τοιύτων ἀνοσιυργιῶν· ἀλλ' αὐτὸς ὐδόλως ἠσχύνθη ἐπαναλαβεῖν ἐν τῆ νομιζομένῃ τῆς Διαθήκης ἑρμηνείᾳ αὐτὸ μέρος τῶν προπετειῶν, δι' ἃς ἠρυθρίασαν χάριν αὐτυ οἱ τίμιοι ἄνθρωποι. ἐγὼ ὃν ἐξαποςέλλω ἐν τῆ ὑπ' αὐτὸ ἑτοιμασθείσῃ ἑαυτῶ τραπέζῃ πάντα τὸν ἐκ τῶν ἐν αὐτῆ γευθῆναι δυνάμενον.

3. Ἐκ πάντων τῶν τὸ Ιεζεκιὴλ ῥητῶν, λέγει ὁ αὐτὸς „τὰ περὶ „τῆς Ολλὰ καὶ Ολιβὰ εἰσὶ τὰ πολλὰς ἐξεγείραντα μεταξὺ τῶν κρι„τικῶν ταραχὰς, καὶ τὸς ὑπομνηματισὰς συγχέαντα.

Οὐ-

*) Ἐν Τόμ. 9. σελ. 130. τῆς Συλλογῆς τὸ Βάρων. τῆς μετενεχθείσης ἐκ τῆς Ἀγγλων φωνῆς ὑπὸ Τάργυ καὶ ἐκδοθείσ. ἐν Παρισ. ἔτει 1768.

Οὐδένα τῶν ὑπομνηματιςῶν οἶδα ὑπὸ τύτων συγχυθέντα πάντες δὲ ἐν τύτοις διὰ τῦ αἰνίγματος τῶν δύω ἀπίσων νυμφῶν ἐνόησαν ἀλληγορίαν, δρασικῶς ἐκφράζυσαν τὴν ἁμαρτίαν, εἰς ἣν ἡ Ιερυσαλὴμ καὶ ἡ Σαμάρεια πεπτώκασι, συνάψασαι τῇ τῦ ἀληθινῦ Θεῦ λατρείᾳ τὴν τῶν εἰδώλων τῆς Αἰγύπτυ καὶ Ασσυρίας· τὰς κριτικὰς δὲ ἐνταῦθα προβάλλων ὁ ἄπιςος, περὶ ἑαυτῦ, καὶ τοῖς ὁμοίοις αὐτῷ ἀναμφιβόλως λαλεῖ· ἀλλὰ δῆλον τὸ τύτων ἐυαίσθητον, τὸ πρέπον, τὸ τῶν φράσεων σεμνὸν, περὶ ὧν ὐχ ἓν παρατίθησιν ὑπόδειγμα τὸ ὑπ' ἐμῦ ἀνασκευαζόμενον σύγγραμμα· ὁ δὲ φιλόσοφος ὗτος, ὁ κατακρίνων τὰς περιτροφὰς καὶ τὰ σχήματα τὰ μηδὲ ἅπρεπα ὄντα, μηδὲ αἰσχρὰ ἐν τῇ μετερχομένῃ αὐτὰ διαλέκτῳ, Φράσεις μετέρχεθ, ἃς ἐν ταῖς τριόδοις ἡ διάλεκτος ἡμῶν ἀποπέμπει.

ΑΡΘΡΟΝ, Δ.

Περὶ τῦ ἐπισήμυ σφάλματος τῦ κριτικῦ ἔντινι τῶν ῥητῶν τῦ αὐτῦ Προφήτυ.

1. Ἰδὲ τὸ περὶ τῦ Ιεζεκιὴλ ἔσχατον ἄρθρον, ὅπερ εἰκότως ὐκ ἂν ἀνεκάλει, ὐδὲ ἀνεμίμνησκεν ὁ διαλεκτικὸς ὗτος. εἴπερ τῆς τιμῆς αὐτῦ ἐφείδετο· διϊσχυρίσθη μὲν ὗτος, ὅτι οἱ Ιυδαῖοι κατὰ τὸν Ιεζεκιὴλ ἦσαν ἀνθρωποφάγοι· ὁ δὲ συγγραφεὺς τῶν ἐπιςολῶν τῶν Ιυδαίων ἀπέδειξεν αὐτῷ, ὅτι ἔσφαλεν ἐπισήμως, ἐκλαβὼν τὰς Ιυδαίυς ἀντὶ τῶν ἁρπακτικῶν πετεινῶν, & τῶν σαρκοβόρων θηρίων. (75) τὸ πρᾶγμα ὐκ ἴσι δυσνόητον, ἀλλὰ λίαν σαφὲς, ὡς ἱκανῶς πείθει ἡ ἀνάγνωσις τῦ τριακοσῦ ἐννάτυ κεφαλαίυ τῦ Ιεζεκιὴλ. „Εἰπὸν παντὶ ὀρνέῳ, Ι.εζ. 39. 17. 20.
„& πρὸς πάντα τὰ θηρία τῦ ἀγρῦ, συνάχθητε & ἔρχεσθε, συνάχ-„θητε ἀπὸ πάντων τῶν περικύκλω ἐπὶ τὴν θυσίαν μυ, ἣν τέθεικα „ὑμῖν θυσίαν μεγάλην ἐπὶ τὰ ὄρη Ισραὴλ, & φάγεσθε κρέα. & πί-„εσθε αἷμα· κρέα γιγάντων φάγεσθε, & αἷμα ἀρχόντων τῆς γῆς „πίεσθε· κριὼς, & μοσχυς, & τράγυς· & οἱ μόσχοι ἐςεατωμένοι „πάντες καὶ φάγεσθε σάρ εἰς πλησμονὴν, καὶ πίεσθε αἷμα εἰς μέ-„θην ἀπὸ τῆς θυσίας μυ ἧς ἔθυσα ὑμῖν. καὶ ἐμπλησθήσεσθε ἐπὶ „τῆς τραπέζης μυ, ἵππον καὶ ἀναβάτην καὶ γίγαντα, καὶ πάντα πο-λεμισὴν, λέγει Κύριος. βλέπομεν ἐν τῷ ὕφει τύτῳ τῆς ἀποςροφῆς τὸ σχῆμα ἀπ' ἀρχῆς ἕως τέλυς ἠρμοσμένον ὐκ ἐπὶ τὰς Ιυδαίυς, ἀλλ' ἐπὶ τὰ πετεινὰ καὶ σαρκοβόρα θηρία.

Τί πρὸ τύτο λέγει ὗτος; Ἐπίσευσαν, (αὐτὸς μόνος ἐςὶν ὁ πισεύσας, ἢ ὁ ὑποκρινόμενος πισεύειν) ὅτι ἡ μὲν πρώτη ὑπόσχεσις περὶ

τῦ φαγεῖν τὸ κρέας τῶν γιγάντων, καὶ πιεῖν τὸ αἷμα τῶν ἀρχόντων ἀνάγε) ἐπὶ τὰ πετεινά, ἡ δὲ δευτέρα, ἡ περὶ τῦ φαγεῖν τὸν ἵππον καὶ τὸν ἀναβάτην, ἐπὶ τὰς γίγαντας Ιωδαίους.

Τί ϛοχάζεσθε ὑμεῖς ἀναγνῶϛαι προσεκτικοὶ καὶ Φρόνιμοι; βλέπετε ἐν τύτῳ τῷ ὁλοσχερεῖ τῦ Ιεζεκιὴλ ὕφει δύω διακεκριμένας ὑποσχέσεις, ὧν ἡ μὲν εἰς μόνα τὰ πετεινὰ, ἡ δὲ εἰς τὰς Ιωδαίους ἀφορᾷ; Ἀλλ' ὁ ἄπιϛος λέγει. „Ο Θεὸς ἠδύνατο εἰπεῖν τοῖς Ιωδαίοις, ὅτι ἐν „μιᾷ τῶν ἡμερῶν αὐτοὶ ποιήσουσι τοῖς Σκύθαις, ὅσα οἱ Σκύθαι ἐποί„ησαν αὐτοῖς.

Τὸ τεχνύργημά σου ἐϛὶ λίαν παχυλόν· διότι ἐνταῦθα ὃ ζητεῖ) περὶ τῦ τὶ ἠδύνατο ὁ Θεὸς εἰπεῖν, ἀλλὰ περὶ τῦ τί εἶπεν· εὑρίσκεται δέτι ἄρα ἐν τῷ προκειμένῳ τῦ Ιεζεκιὴλ ὕφει ὅμοιον ὁπωσῦν τῷ λόγῳ, ὃν σὺ λέγεις, ὅτι εἶπεν ὁ Θεός;

„Ο Κύριος, προσεπάγεις σὺ, τοῖς μὲν Ιωδαίοις ἠδύνατο εἰπεῖν „τὸ, ὑμεῖς γνώσεσθε, ὅτι ἐγώ εἰμι Κύριος, τοῖς δὲ τετραπόδοις καὶ „πετεινοῖς, τοῖς μηδὲν μηδέποτε ἐγνωκόσιν, ὐκ ἠδύνατο τῦτο εἰπεῖν.

Ἀλλ' αὕτη ἡ ἐσχάτη σου δολιότης κατήσχυνέ σε ἐντελῶς· διότι ὁ Προφήτης ὁ μετελθὼν τὸ δεύτερον πρόσωπον ἐν ὅσῳ ὁ λόγος αὐτῦ ἐπέβλεπεν ἐπὶ τὰ πέτεινὰ, ἔρχεσθε ... φάγεσθε, ἐμπλησθήσεσθε. μετέβαλεν εὐθὺς τὸ δεύτερον πρόσωπον εἰς τρίτον, ὅτε ἤρξα-
Ιεζ. 39. 21. „το λαλεῖν μετὰ τῶν ἀνθρώπων. Καὶ δώσω τὴν δόξαν μου ἐν ὑμῖν, „καὶ ὄψον) πάντα τὰ ἔθνη τὴν κρίσιν μου, ἣν ἐποίησα, καὶ τὴν χεῖ„ρά μου, ἣν ἐπήγαγον ἐπ' αὐτύς· καὶ γνώσον) οἶκος Ισραὴλ, ὅτι ἐ„γώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν.

ΒΙΒΛΙΟΝ Γ'.

Περὶ τῶν προφητικῶν καὶ ἱστορικῶν συγγραμμάτων τῆς παλαιᾶς Διαθήκης, τῶν πρὸ τῆς καταστροφῆς μὲν τοῦ ναοῦ τοῦ Σολομῶντος, μετὰ δὲ τὸ σχίσμα τῶν δέκα φυλῶν.

ΚΕΦΑ'ΛΑΙΟΝ Α'.

Περὶ τῶν Προφητῶν.

Ἄ'ΡΘΡΟΝ Α'.

Εν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τῶν πρὸ τῆς αἰχμαλωσίας πρώτων Προφητῶν.

1. Ο' Αββακοὺμ, καὶ οἱ ἄλλοι ὀκτὼ Προφῆται, οἱ τῷ ὀνόματι τῶν μικρῶν Προφητῶν γνωριζόμενοι, περὶ ὧν ἀπολείπεται ἡμῖν λαλῆσαι. μνημονεύονται ἐν τῷ κεφαλαίῳ, ἐν ᾧ ὁ Σειρὰχ διαλαμβάνει περὶ τῶν δώδεκα Προφητῶν. ἀνωτέρω δὲ παρέστησα, ὅτι ὁ Αββακοὺμ εἷς ὢν ἐξ αὐτῶν, ενδεχομένως ἐστὶν ὁ Αββακοὺμ ἐκεῖνος, περὶ οὗ τὸ ἔσχατον τοῦ Δανιὴλ κεφάλαιον διαλαμβάνει, ὅστις καὶ προεῖπε τὴν τῶν χαλδαίων ἔφοδον, καὶ τὰς ὑπ' αὐτῶν γενομένας καταστροφάς· διὸ δὴ προεφήτευσεν ἐν τῇ ἀρχῇ τῆς ἐν Βαβυλῶνι Βασιλείας τοῦ Ναβουχοδονόσορ, καὶ τῆς τοῦ Ιωακεὶμ ἐν Ιερουσαλήμ.

Σειρ. 49. 10. Εὐ. β, 4. κ'4 Ἀρθρ. 6. ἀριθ. 5. Βὴλ καὶ Δράκ. Ἀβββ. 1. 6.

2. Ο Σοφονίας, ὁ τῷ Αββακοὺμ καὶ τῷ Ιερεμία σύγχρονος, εξέδωκε μὲν τὴν προφητείαν αὐτοῦ ἐπὶ τῆς Βασιλείας Ιωσίου, τὰς συμφορὰς τοῦ υἱοῦ τούτου τοῦ Βασιλέως σκοποῦσαν· προλέγει δὲ σαφῶς τὴν τῶν Ιουδαίων ἅλωσιν, τὴν τῆς Ιερουσαλὴμ καταστροφὴν, καὶ τὴν ταύτης ἀνακαίνησιν.

3. Ο Ναοὺμ, κἂν οὐδένα καιρὸν ἐκδόσεως τῆς ἑαυτοῦ βίβλου ἐσημείωσεν, ἡ τούτου ὅμως πρόῤῥησις περὶ τῆς πολιορκίας καὶ ἁλώσεως τῆς Νινευῒ σχεδὸν διορίζει τὸν καιρὸν, ἐν ᾧ γέγονεν. „Ο Ιώσηπος

Ιώσ. β. 11. κ. 6. ἀρχ.

„φησίν· ὁ Νεχάως εἴλασεν ἐπὶ τὸν Εὐφράτην, Μήδους καὶ Βαβυλω-
„νίους πολεμῶν, οἳ τὴν Ασσύριον κατέλυσαν ἀρχήν· ὁ δὲ Ιωσίας εἴρ-
„γεν αὐτὸν διὰ τῆς ἰδίας ποιεῖσθαι χώρας τὴν ἐπὶ τοὺς Μήδας ἔλα-
„σιν. Τοῦτο δὲ συνέβη ἐν τῷ ἐσχάτῳ ἔτει τῆς Βασιλείας Ιωσίου, τῷ
ἔτη τριάκοντα καὶ ἓν βασιλεύσαντος· λίαν ἄρα πειθανὸν δοκεῖ, ὅτι
ἡ διὰ τῶν ὅπλων τῶν Μήδων καὶ Βαβυλωνίων γενομένη ἐν τῇ Ασσυ-
ρίᾳ ἐπανάστασις συνέβη ἐπὶ τῆς Βασιλείας τοῦ αὐτοῦ Ιωσίου, ἐπιβεβαι-
Ηρόδ. β. 1. κ. 102. 103. οἳ τοῦτο ὁ Ηρόδοτος, διηγούμενος, ὅτι ὁ Κυαξάρης, ὁ υἱὸς τοῦ Φρα-
όρτου, ὁ ἐν τῇ ἀρχῇ τῆς Βασιλείας αὐτοῦ πολιορκήσας τὴν Νινευΐ,
μετὰ ἔτη ὀκτὼ πρὸς τοῖς εἴκοσι, ὅτε δηλαδὴ ἀπηλλάγη τῶν Σκυθῶν,
κατεκυρίευσεν αὐτῆς· οὗτος δὲ σύγχρονος ὢν τῷ Ναβοπολασσὰρ, καὶ
βασιλεύσας ἔτη τεσσαράκοντα, ἐτελεύτησεν ἐν τοῖς πρώτοις ἔτεσι τῆς
Παρὰ τῷ Σίδιρ Ο λάμ, τῷ Α- βαρβανὶλ, κτ. Μάκμ. 2. 8. Τωβ. 14. 4, 8. Βασιλείας Ναβουχοδονόσορ υἱοῦ τοῦ Ναβοπολασσὰρ κατὰ τὸν τοῦ αὐτοῦ
Ηροδότου ἀναλογισμόν· ἑπομένως ἡ καταστροφὴ τῆς Νινευΐ, ἡ ὑπὸ τοῦ
Ναοὺμ καὶ Τωβὶτ προρρηθεῖσα, συνέβη ἐν τῷ τέλει τῆς τοῦ Ιωσίου Βα-
σιλείας· ὁ δὲ Ναοὺμ ἐνδεχομένως προεῖπεν αὐτὴν ἐπὶ τῆς Βασιλείας
τοῦ Μανασσῆ· καὶ οἱ Ραββῖνοι δὲ τῇ ἑβραϊκῇ χρονολογίᾳ ἑπόμενοι,
ἀναφέρουσιν αὐτὴν εἰς τὸν αὐτὸν χρόνον, ἢ ὀρθότερον εἰπεῖν, εἰς τοὺς
Ναουμ. 1. 7. xv. 3. 8. ἐσχάτους χρόνους τῆς τοῦ Εζεκίου Βασιλείας. ἔνιοι γὰρ τῶν προφητι-
κῶν αὐτοῦ λίγων δοκοῦσιν ὑπαινίττοντες, ὡς πρᾶγμα ἤδη παρεληλυ-
θὸς τὴν δυσυχῆ ἐκστρατείαν τοῦ Σενναχερὶμ κατὰ τῆς Βασιλείας τοῦ
Ιούδα, καὶ τῆς Αἰγύπτου.

4. Τοῦ Μιχαίου μνημονεύει ὁ Ιερεμίας διὰ τῶν δὲ τῶν ῥημάτων.
Ιερ. 33. κατ' ἄλλ. ἐκδ. 26. 17. 19. „Καὶ ἀνέστησαν ἄνδρες τῶν πρεσβυτέρων τῆς γῆς καὶ εἶπον πάσῃ τῇ
„συναγωγῇ τοῦ λαοῦ, Μιχαίας ὁ Μωραθίτης ἦν Προφήτης ἐν ταῖς
„ἡμέραις Εζεκίου Βασιλέως Ιούδα, καὶ εἶπε παντὶ τῷ λαῷ Ιούδα, ὅ-
„τως εἶπε Κύριος τῶν δυνάμεων, Σιὼν ὡς ἀγρὸς ἀροτριασθήσε), καὶ
„Ιερουσαλὴμ εἰς ἄβατον ἔσαι, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ·
(τὰ ἀπὸ τοῦ Σιὼν ἀναγινώσκομεν ἐν τῷ Μιχαίᾳ)· Μὴ ἀνελὼν, (ἀ-
πεκρίθησαν δὲ οἱ πρεσβύτεροι) ἀνεῖλεν αὐτὸν Εζεκίας, καὶ πᾶς Ιού-
δα; Τοῦτο δὲ ἐγένετο ἐν τῇ ἀρχῇ τῆς Βασιλείας τοῦ Ιωακεὶμ, ὀγ-
δοήκοντα ἔτη μετὰ τὸν τοῦ Εζεκίου θάνατον· ἡ δὲ προφητεία τοῦ Μι-
χαίου ἐγνωρίζετο μὲν κατ' ἐκεῖνον τὸν καιρὸν ὑπὸ παντὸς τοῦ γένους ὡς
ἀληθὴς, ἐξεδόθη δὲ ἐπὶ τῶν Βασιλειῶν τοῦ Ιωάθαμ, τοῦ Αχαζ, καὶ τοῦ
Εζεκίου.

Α΄ ΡΘΡΟΝ Β΄.

Περὶ τῦ Κύρυ τῶν τῦ Ησαΐυ προφητειῶν, & περὶ τῶν πρὸ αὐτῦ Προφητῶν.

1. Ὁ Ησαΐας ἤρξατο προφητεύειν ὀλίγα τινὰ ἔτη πρὸ τῦ Μιχαίυ, τυτέςι μετὰ τὴν Βασιλείαν τῦ Οζίυ· προεφήτευσε δὲ ἀκολύθως & ἐν τοῖς χρόνοις τῶν ἐφεξῆς Βασιλειῶν. ἡ προφητεία αὐτῦ, ἡ ἐν τῇ ἀρχῇ τῦ δευτέρυ κεφαλαίυ ἄχρι τῦ ἕκτυ ἐδαφίυ, μεταγεγραμμένη ἐςὶν ὅλη ἐν τῷ τετάρτῳ κεφαλαίῳ τῦ Μιχαίυ. καὶ ὁ μὲν Σειρὰχ τὸν χαρακτῆρα τῶν προφητειῶν αὐτῦ ἐξέθετο, εἰπών· „Ησαΐας ὁ „μέγας Προφήτης, πιςὸς ἐν ὁράσει αὐτῦ. ἐν ταῖς ἡμέραις αὐτῦ ἀ„νεπόδισεν ὁ ἥλιος, καὶ προσέθηκε ζωὴν Βασιλεῖ· πνεύματι μεγάλῳ „εἶδε τὰ ἔσχατα, & παρεκάλεσε τὺς πενθῦντας ἐν Σιών, ἕως τῦ αἰ„ῶνος ὑπέδειξε τὰ ἐσόμενα, & τὰ ἀπόκρυφα πρὶν ἢ παραγενέσθαι „αὐτά. Τὸ δὲ δεύτερον βιβλίον τῶν Παραλειπομένων μαρτυρεῖ περὶ αὐτῶν τάδε· „Καὶ τὰ λοιπὰ τῶν λόγων Εζεκίυ, & τὸ ἔλεος αὐτῦ „ἰδὺ γέγραπται ἐν τῇ προφητείᾳ Ησαΐυ ὑῦ Αμὼς τῦ Προφήτυ. Σημαίνει δὲ διὰ τύτων ὁ συγγραφεὺς εἰδικῶς τὸ κριακοςὸν ἕκτον, τριακοςὸν ἕβδομον, τριακοςὸν ὄγδοον, & τριακοςὸν ἔννατον τῦ Ησαΐυ κεφάλαιον. τὰ αὐτὰ δὲ κεφάλαια μεταγεγραμμένα εἰσὶ σχεδὸν κατὰ λέξιν ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Βασιλειῶν. Ἰδὺ δὲ προφητεῖαι πάνυ μὲν γνωσαὶ τοῖς συγχρόνοις αὐταῖς συγγραφεῦσιν, οἷός ἐςιν ὁ Μιχαίας, ἐπικεκυρωμέναι δὲ σεσῳσμένως ὑπὸ τῶν μεταγενεςέρων, οἷοί εἰσιν οἱ τῶν βιβλίων τῶν Βασιλειῶν & τῶν Παραλειπομένων, & ὁ Σειρὰχ, σιωπῶ τὸ, ὅτι & ὑπὸ τῶν τῆς νέας Διαθήκης συγγραφέων, & τῦ Ιωσήπυ. αἱ προφητεῖαι αὗται· ὧν ἡ ὕπαρξις & ἡ ἔκδοσις κοινήν τε καὶ ἐντελῆ ἔχυσι τὴν μαρτυρίαν, & ὧν ἡ ὑψηλὴ καὶ μεγαλοπρεπεςάτη Φράσις σώζει διὰ παντὸς τὸν οἰκεῖον χαρακτῆρα· παρισῶσι, δύω ἢ τρεῖς αἰῶνας πρὸ τῆς αἰχμαλωσίας, πιςοτάτην εἰκόνα, πρῶτον μὲν τῶν ἐν αὐτῇ τῇ αἰχμαλωσίᾳ συμβάντων, καὶ ὑπὸ τῶν Βαβυλωνίων τότε τελεσθέντων, εἶτα καὶ τῶν πραχθέντων κατ' αὐτῶν τῶν Βαβυλωνίων ὑπὸ τῶν Μήδων & Περσῶν, ἔτι δὲ καὶ τῶν γενομένων πρὸς χάριν τῶν Ιυδαίων ὑπὸ Κύρυ τῦ ὑπερασπις ῦ αὐτῶν, τῦ καὶ δὶς ὀνομασὶ ἀναγγελλομένυ. τελευταῖον δὲ καὶ τῶν συμβάντων κατὰ τὸν καιρὸν τῆς τῦ Ιησῦ Χριςῦ παρυσίας, ὅτινῳ οἱ χαρακτῆρες πολλαχῦ μὲν, ἐξόχως δὲ ἐν τῷ πεντηκοςῷ δευτέρῳ κεφαλαίῳ τοιυτοτρόπως ἐμφαίνονται, ὥςε τὰ λεγόμενα μὴ δοκεῖν προφητείας, ἀλλ' εὐαγγελικὰς ῥήσεις.

Νο. 1. 1. & 6. 1.

Σιρ. 48. 22. 25

2. Παραλ. 32. 20. 32.

4. Βασ. 20.

2. Η τȣ̃ Αβδιȣ̀ προφητεία λίαν σύντομος ȣ̃σα, εἰς κεφάλαια ȣ̀ διήρηται, ἀλλ' ȣ̀δὲ τὸν τῆς ἐκδόσεως αὐτῆς καιρὸν δηλοῖ, σκοπεῖ δὲ μόνον τȣ̀ς Ιδȣμαίȣς. ἡ δὲ διασωθεῖσα τῶν δώδεκα Προφητῶν τάξις, ἡ τὸν Αβδιȣ̀ συντάττȣτα μετὰ τὸν Αμὼς, τὸν ἐπὶ τῆς Βασιλείας Οζίȣ προφητεύσαντα, καὶ τὴν ὁλοσχερῆ τῆς Ιδȣμαίας καταςροφὴν προκαταγγείλαντα, ἀφορμὴν παρέχει νοῆσαι, ὅτι ὁ Αβδιȣ̀ εὐθὺς μετὰ
4. Βασ. 16. 6. τὸν Αμὼς ἀκμάσας, ἔγραψε τὴν προφητείαν αὐτȣ̃ ἐπὶ τῆς Βασιλείας
2. Παραλ. 28. 16. Αχαζ, ὅτε οἱ Ιδȣμαῖοι συνομώσαντες τῷ Ραασσὼν βασιλεῖ τῆς Συ-
Ἡσ. 7. 6. ρίας, καὶ τῷ Φακεὲ βασιλεῖ τȣ̃ Ισραὴλ, κατεκυρίευσαν τῆς Αἰλὰθ, καὶ νομίσαντες τὴν Ιερȣσαλὴμ θήραμα ἄφευκτον, ἔγνωσαν σὺν τοῖς συνωμόταις αὐτῶν ἐκδιῶξαι μὲν τȣ̃ βασιλικȣ̃ θρόνȣ τȣ̀ς ἐκ τῆς πατριᾶς τȣ̃ Δαβὶδ, ξένον δέ τινα ἐνθρονίσαι· ὁ δὲ τȣ̃ Αβδιȣ̀ ἔλεγχος
Ἀβδ. 1. 11. ἐπ' αὐτὰ ἀνάγεται, ὡς δοκεῖ, τὰ συμβάντα· „Σὺ ἀντέςης ἐξ ἐναν-„τίας (Ιακὼβ) ἐν ἡμέραις αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐ-„τȣ̃, καὶ ἐπὶ Ιερȣσαλὴμ ἔβαλον κλήρȣς, καὶ σὺ ὡς εἷς ἐξ αὐτῶν. Ἑκατὸν δὲ καὶ πεντήκοντα ἔτη παρῆλθον μεταξὺ τῶν τȣ̃ Αβδίȣ ἀπειλῶν, καὶ τῆς τȣ́των ἐκπληρώσεως, τῆς διαπερανθείσης ὅτε ὁ Ναβȣχοδονόσορ ὑπέταξε πᾶσαν τὴν Κοίλην Συρίαν, ὅπερ ἐςὶ πέντε ἔτη μετὰ τὴν ὑπ' αὐτȣ̃ γενομένην τȣ̃ ναȣ̃ καταςροφήν. ἤγγιζε δὲ ὁ ὀλέθριος ȣ̃τος καιρὸς, ὅτε ὁ Ιερεμίας ἐπανέλαβε τὰς πρὸ πολλȣ̃ εἰρημένας ἀπειλὰς τȣ̃ Αβδιȣ̀· ȣ̃τινος αἱ προῤῥήσεις αὐτολεξεὶ κεῖνται ἐν
Ἱερ. 49. 7. 29. 7. τῷ τεσσαρακοςῷ ἐννάτῳ κεφαλαίῳ τȣ̃ Ιερεμίȣ. τȣ̃το δὲ δείκνυσιν, ὅτι ὁ Ιερεμίας γράφων τȣ̃το τὸ κεφάλαιον εἶχεν αὐτὰς πρὸ τῶν ὀφθαλμῶν αὐτȣ̃.

Αμμ. 1. 1. 3. Ο Αμὼς ἔγραφεν, ὡς αὐτός φησιν ἐν τῇ ἀρχῇ τῆς προφητείας αὐτȣ̃, ὅτε ὁ μὲν Οζίας ἐβασίλευεν ἐπὶ Ιȣδα, ὁ δὲ Ιεροβοὰμ ὁ δεύτερος ἐπὶ τὸ κατάλοιπον τȣ̃ Ισραὴλ, δύω ἔτη πρὸ τȣ̃ σεισμȣ̃, τȣ̃ ἐπὶ τȣ́των τῶν δύω Βασιλέων γενομένȣ. τȣ́τȣ δὲ τȣ̃ Προφήτȣ τὸ
Τωβ. 2. 6. Ἱερ. 25. 30. ȣ̃ 44. 11. μὲν τȣ̃ Τωβὶτ βιβλίον μέμνηται ὀνομαςὶ, ὁ δὲ Ιερεμίας καὶ ὁ Αγγαῖος ῥήσεις τινὰς ἐξ αὐτȣ̃ ἐξέλαβον.

Ἀγγ. 2. 18. 4. Ο δὲ Ιωὴλ, ὁ μηδένα καιρὸν τῆς ἐκδόσεως τῆς προφητείας αὐτȣ̃ δηλῶν, ἤκμασεν, ὡς δοκεῖ, περίπȣ τὸν αὐτὸν καιρὸν, καθ' ὃν καὶ ὁ Αμώς.

4. Βασ. 12. 25 5. Τὸ τȣ̃ Ιωνᾶ ἔτος ὥρισαι ὑπὸ τȣ̃ τετάρτȣ τῶν Βασιλειῶν βιβλίȣ, ἐν ᾧ κεῖται τάδε· „Αὐτὸς (ὁ Ιεροβοὰμ ὁ δεύτερος) ἀπέςη-„σε τὸ ὅριον Ισραὴλ ἀπὸ εἰσόδȣ Αἰμὰθ τῆς θαλάσσης τῆς Αραβα, „κατὰ τὸ ῥῆμα Κυρίου Θεȣ̃ Ισραὴλ ἐν χειρὶ δȣ́λȣ αὐτȣ̃ Ιωνᾶ υἱȣ̃ „Αμαθὶ τȣ̃ Προφήτȣ, τȣ̃ ἐκ Ιεθχοφέρ. Αὕτη μὲν ἡ πρόῤῥησις. εἴ-

τε

τε διὰ τὸ ἀπὸ ϛόματος μόνον αὐτὴν ἐκφωνηθῆναι, εἴτε διὰ τὸ ἀπολεσθῆναι τὸ περιέχον αὐτὴν γράμμα, οὐχ εὑρίσκεται ἐν ταῖς τοῦ Ιωνᾶ προφητείαις, ἡ δὲ ἐν τῷ τοῦ Τωβὶτ βιβλίῳ σεσημειωμένη, σώζεται· ἡ Νινευὶ, ἔλεγεν, οὗτος ὁ ἅγιος ἄνθρωπος πρὸς τὸν υἱὸν αὐτοῦ, ἐγγύς ἐϛι· δεῖ γὰρ πληρωθῆναι τὸν λόγον τοῦ Θεοῦ· κατὰ δὲ τὴν ἑλληνικὴν μετάφρασιν· Πέπεισμαι ὅσα ἐλάλησεν Ιωνᾶς ὁ Προφήτης „περὶ Νινευὶ, ὅτε καταϛραφήσεται. Η μὲν οὖν προφητεία τοῦ Ιωνᾶ ὑπῆρχεν ὅτε ὁ Τωβὶτ ἤχθη αἰχμάλωτος ὑπὸ τοῦ Σαλμανασὰρ, ἀλλ' ἡ τοῦ Ναοὺμ, ἡ ἐπίσης προκαταγγείλασα τὴν τῆς Νινευὶ καταϛροφὴν ἀκμὴν οὐχ ὑπῆρχε. Τωβ. 14. 4. Ναούμ. 3. 7.

6. Οτι ἡ τοῦ Ωσηὲ προφητεία ἐῤῥέθη ἐπὶ τῶν Βασιλειῶν Οζίου, καὶ Ιωνάθαν, καὶ Αχαζ, καὶ Εζεκίου Βασιλέων Ιούδα, καὶ ἐπὶ τῆς Βασιλείας Ιεροβοὰμ υἱοῦ Ιωὰς Βασιλέως Ισραὴλ, ὅϛις ἐϛὶν Ιεροβοὰμ ὁ δεύτερος, ὁ τῖτλος αὐτῆς δῆλον ποιεῖ. Οὗτος οὖν ὁ Προφήτης σύγχρονος ἦν τῷ Αμὼς καὶ τῷ Ησαίᾳ, ἤρξατο δὲ προφητεύειν περίπου τὸν ὀκτακοσιοϛὸν ἐνιαυτὸν πρὸ τοῦ χριϛιανικοῦ ἔτους, παρέτεινε δὲ τῆς προφητείας αὐτοῦ τὸ ἔργον ἐπέκεινα τῶν ἑβδομήκοντα ἐτῶν, τουτέϛιν ἄχρι τοῦ ἑπτακοσιοϛοῦ καὶ εἰκοϛοῦ περίπου ἐνιαυτοῦ πρὸ τοῦ αὐτοῦ χριϛιανικοῦ ἔτους. Ωσ. 1. 1.

7. Ιδοὺ οὖν δέκα Προφῆται, οἱ ἀπὸ τοῦ ὀκτακοσιοϛοῦ ἔτους πρὸ Χριϛοῦ ἄχρι τοῦ πεντακοσιοϛοῦ καὶ ὀγδοηκοϛοῦ ὀγδόου, ἐν ᾧ ὁ τοῦ Σολομῶντος ναὸς κατεϛράφη, συνιϛῶντες ἀδιάκοπόν τινα Σειρὰν συγγραφέων. τῶν δὲ κεκυρωμένων Προφητειῶν αὐτῶν σχεδὸν μὲν πᾶσαι ὀχύρωμα ἔχουσι τὸν τῆς ἐκδόσεως αὐτῶν καιρὸν, πᾶσαι δὲ τὸ ὄνομα τῶν συγγραψάντων αὐτὰς, γνωϛαὶ δέ ἦσαν τοῖς κατὰ τὸν καιρὸν τῆς ἐκδόσεως αὐτῶν ἀκμάσασι, καὶ δεκταὶ τῷ κατ' αὐτῶν αἰῶνι καὶ ταῖς μετὰ ταῦτα γενεαῖς. τὸ τοῦ Δανιὴλ βιβλίον λαλεῖ περὶ τοῦ Αββακοὺμ, καὶ μνημονεύει τοῦ Ιερεμίου· οὗτος δὲ μέμνηται τοῦ Μιχαίου, καὶ προτείνει ῥητὰ τοῦ Αβδιοὺ καὶ Αμώς· καὶ ἐνίους μὲν τούτων προβάλλουσιν, ὡς εἴδομεν, τὰ τῶν Βασιλειῶν καὶ Παραλειπομένων βιβλία, τινὰς δὲ ἡ τοῦ Τωβὶτ, πάντας δὲ ἡ τοῦ Σειρὰχ βίβλος. ἡ δὲ ἱϛορία ἔδειξεν, ὅτι πᾶσαι αἱ προῤῥήσεις αὐτῶν, ὅσαι τε κατὰ τῆς Ιερουσαλὴμ καὶ Σαμαρείας, ὅσαι κατὰ τῆς Νινευὶ καὶ Βαβυλῶνος. καὶ ὅσαι περὶ τῶν Σύρων, καὶ Ιδουμαίων, καὶ Αμμωνιτῶν, καὶ Αἰγυπτίων, αἵτινες, ὡς ἀπέδειξα, ἐῤῥέθησαν πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως, συμφωνοῦσι τοῖς πράγμασιν. Βὴλ κ Δράκ. 33. κτε. Δαν. 9. 2.

8. Ο συγγραφεὺς τῆς τελευταῖον διερμηνευθείσης Διαθήκης, μηδὲν κατὰ τῶν πραγμάτων τούτων εὑρεῖν δυνηθεὶς, τῇ σιωπῇ αὐτὰ

παρέ-

παρέδωκε. Πάντες δὲ οἱ ἀγῶνες αὐτῷ κατήντησαν εἰς τὸ ἐκτοξεῦσαι χλεύας τινὰς κατὰ τῆς τῷ Ωσηὲ προφητείας, καὶ ἐφορμῆσαι κατά τινος ὑποθέσεως, ἐν τῇ τῷ Ιωνᾶ προφητείᾳ περιεχομένης. περὶ δὲ πάντων τῶν λοιπῶν παντελῶς ἐσίγησεν. ἀπαντητέον δὲ συντόμως ταῖς αὐτῷ ἐνςάσεσιν.

ΑΡΘΡΟΝ, Γ.

Περὶ τῷ, ἐὰν ὁ Ωσηὲ ἦν σχισματικὸς, καὶ μοιχός.

1. „Ἰδὲ ἡ πρώτη ἔνςασις· „Ο Ωσηὲ ἐγεννήθη ἀναμέσον τῶν Σα„μαρειτῶν, μικρόντι πρὸ τῆς διασπορᾶς τῶν δέκα φυλῶν· ἑπομένως „ἦν σχισματικὸς, εἰ μὴ ἰδιάζυσά τις Θεῷ χάρις προσήλωσεν αὐτὸν „ἐν τῇ τῆς Ιερυσαλὴμ λατρείᾳ.

Εἴπερ αὐτὸς μετὰ διακρίσεως ἀνεγίνωσκε τὸν ὑπ' αὐτῷ πολεμούμενον Προφήτην, ὃκ ἂν διςάζων ἔλεγεν· ἐὰν ὁ Θεὸς ἐδωκεν αὐτῷ ἰδιάζυσαν χάριν. διότι ἔβλεπεν αὐτὸν ἰσχυρῶς ἐπανιςάμενον κατὰ τῆς σχισματικῆς λατρείας, τῆς συςαθείσης ὑπὸ τῷ Ιεροβοὰμ ἐν Βαι-
Ω'σ. 4. 15. θὴλ, καὶ διὰ τῦτο περιπαθῶς ὀνομάζοντα αὐτὴν Βηθαβὲν, οἶκον
ἀθείας (76) καὶ ἐν τῷ πρώτῳ κεφαλαίῳ ἦκυεν αὐτὸν λέγοντα ἐν ὀ-
Ω'σ.1.6,7. 11 νόματι τῷ Θεῷ τὸ, „Οὐ μὴ προσθήσω ἔτι ἐλεῆσαι τὸν οἶκον Ισραὴλ, „τὰς δὲ υἱὰς Ιὺδα ἐλεήσω, καὶ σώσω· „προσέτι δὲ καὶ τὸ, καὶ συνα„χθήσονται οἱ υἱοὶ Ιὺδα, καὶ οἱ υἱοὶ Ισραὴλ ἐπὶ τὸ αὐτὸ, καὶ θήσον„ται ἑαυτοῖς ἀρχὴν μίαν. Ανεγίνωσκε δὲ τελευταῖον καὶ ταῦτα τὰ ἀποφαντικὰ ῥήματα, „Καὶ μετὰ ταῦτα ἐπιςρέψυσιν οἱ υἱοὶ Ισραὴλ, „καὶ ἐπιζητήσυσι Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν Βασιλέα „αὐτῶν, καὶ ἐκςήσονται ἐπὶ τῷ Κυρίῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτῷ „ἐπ' ἐσχάτων τῶν ἡμερῶν.

2. Μετὰ ταῦτα ὁ αὐθάδης προτείνει τὰ ἑξῆς, ὡς ἀληθέςατα τῷ Ωσηὲ λόγια· „Βάδιζε, λάβε γυναῖκα πορνείας, καὶ ποίησον σε„αυτῷ τέκνα πορνείας, διότι ἡ γῆ ἐκπορνεύυσα, ἐκπορνεύσει κατὰ τῦ „Κύριυ ὁ Ωσηὲ ἐπορεύθη, καὶ ἔλαβε τὴν πόρνην Γόμερ, καὶ ἔγκυον „ἐποίησεν αὐτήν.

Εν τύτῳ ἐπισήμως δείκνυται τῷ ἀνδρὸς τὸ ἄπιςον. σιωπεῖ μὲν αὐτὸς, τὴν λέξιν uxorem σύζυγον, τὴν ἐν τῷ τῆς Βυλγάτης ὕφει, ὅπερ σχηματίζεται μεταφράζειν· ἀντὶ δὲ τῶν λέξεων, καὶ ἔλαβεν ἐν γαςρὶ, ἀντικαθίςησι ταύτην τὴν ἄπρεπον φράσιν, ἐποίησεν αὐτὴν ἔγκυον, ἵνα δείξῃ ἄθεσμον ἕνωσιν τὸν τῦ Προφήτυ γάμον. πρὸς ὑ-
τοις σημειωτέον, ὅτι τὰ λόγια τῆς Βυλγάτης, fac tibi, ποίησον σε-

αυτῷ

αὐτῶ, ὃ κεῖνται ἐν τῶ ἑβραϊκῶ ὕφει, ὅπερ κατὰ λέξιν ὅτως ἔχει. „βάδιζε, λάβε σύζυγον μίαν τῶν πορνῶν μετὰ τῶν τέκνων τῶν ἐκ „τῆς πορνείας, διότι ἡ γῆ ἐγκατέλειπε τὸν Κύριον, Ὁ ἐξέδωκεν ἑαυ- „τὴν εἰς μοιχείαν. Ἡ ἔννοια αὐτη, ἡ ἐν τῆ μεταφράσει τῶν Ἑβδομή- Ὡσ. 1. 2. κοντα κειμένη ἐξαφανίζει τὴν δυσκολίαν· ὧδεν δὲ λέγω περὶ τῦ τρό- που, δι' ὃ αὐτὸς ἐκφράζει τὸ δεύτερον ἐδάφιον τῦ τρίτυ κεφαλαίυ, ἐξαγαγὼν αὐτὸ τῶν τῆς φύσεως ὅρων, ἵνα ἐπισυνάψη αἰσχρότητά τινα, (77) σιωπητέαν φειδοῖ τῶν τιμίων ἀναγνωσῶν.

ΑΡΘΡΟΝ Δ'.

Περὶ τῆς ἀποσολῆς τῦ Ἰωνᾶ, καὶ τῦ καταπιόντος αὐτὸν ἰχθύος.

1. Ἰδὲ καὶ ἄλλη ἔνσασις ἥτις πρόκειται κατὰ τὸ βιβλίυ τῦ Ἰωνᾶ. „Οὗτος ἐσὶ Γαλιλαῖος, φησὶν ὁ αὐτὸς, ἐκ τῆς φυλῆς Ζαβυλὼν, ἐπο- „μένως γεγέννηται ἐν μέσω τῶν αἱρετικῶν.

Ἀλλὰ μεταξὺ τῶν αἱρετικῶν, τῶν ἐκ τῶν δέκα φυλῶν ἦσαν πολ- λοὶ ὀρθόδοξοι.

„Ὁ Θεὸς ἀπέσειλεν αὐτὸν διδάξαι ἐν τῆ Νινευΐ· ἀλλὰ διὰ ποίας „διαλέκτυ ἐδίδαξεν;

Ἀναμφιβόλως διὰ τῆς ἐγχωρίυ. πάντες γὰρ οἱ οἰκισαὶ αὐτῆς τῶ κηρύγματι αὐτῦ ὑπετάγησαν. ἡ τῆς Νινευῖ διάλεκτος ἦν ἀσσυ- ριος. ἥτις ὀλίγον διαφέρει τῆς ἑβραϊκῆς.

„Ὁ Προφήτης ἀντὶ τῦ ὑπακῦσαι, φυγεῖν ἤθελεν εἰς Θαρσὶς ἐν „τῆ Κιλικίᾳ.

Ἡ λέξις, ἐν τῆ Κιλικίᾳ, ὃ κεῖται ἐν τῆ θείᾳ Γραφῆ, ἀλλὰ προσθήκη ἐσὶ τῦ κριτικῦ. κἂν δέ τινες τῶν ὑπομνηματισῶν ἐνόμισαν, ὅτι ἐν τῶδε τῶ ῥητῶ ἡ Θαρσὶς σημαίνει τὴν ἐν τῆ Κιλικίᾳ Ταρσὸν, ἄλλοι ὅμως ἄλλως ὑπέλαβον.

„Κλύδων συνέβη φοβερὸς, ὅσις ἐκοίμισε τὸν Ἰωνᾶν.

Εὑρέθη ἀληθῶς, ὅτι ἐν τῶ καιρῶ τῦ κλύδωνος ὁ Ἰωνᾶς ἐκάθευ- Ἰων. 1. 5. δεν εἰς τὴν κοιλίαν τῦ πλοίυ, ὁ ἄπιστος ὅμως ὠνείρωττεν, ὅτε ἐφαν- τάζετο τῦτο σημαίνειν, ὅτι ὁ κλύδων ἐκοίμισε τὸν Ἰωνᾶν.

„Οἱ μὲν ναυτικοὶ παρεκάλυν αὐτὸν ἐπικαλέσασθαι τὸν Θεὸν αὐ- „τῦ· ὁ δὲ Ἰωνᾶς ὧδεν ἐποίησε.

Τὸ, ὁ δὲ Ἰωνᾶς ὧδεν ἐποίησεν, εἰσὶ τῦ κριτικῦ λόγια.

2. „Ὁ Κύριος ἀπέσειλε κατ' ἐκείνην τὴν ὥραν τὴν σιγμὴν μέ- „γαν ἰχθὺν, ὅσις κατέπιε τὸν Ἰωνᾶν... Οἱ κριτικοὶ οἱ ἄπιστοι δισχυ-

„ρίζονται, ὅτι τοῦτο ὅλον οὐδὲν ἑτερόν ἐστιν, εἰμὴ μῦθος, ἀπὸ τῶν ἑλ-
„ληνικῶν παραληφθεὶς μύθων.

Οὗτοι οἱ ἄπιστοι κριτικοὶ πάνυ κακῶς συλλογίζονται, πρῶτον μὲν ἐπειδὴ ὑποτίθενται, ὅτι οἱ μῦθοι οὐκ εἰσὶ τεθεμελιωμένοι, εἰμὴ ἐπὶ μύθων. πάντα δὲ συντρέχουσιν εἰς τὸ πείθειν, ὅτι οἱ μῦθοι περιέχουσιν ἀληθείας ἐξηλλοιωμένας, καὶ παρὰ φύσιν μεταβεβλημένας. β' ἐπειδὴ οὐδόλως συλλογίζονται, ὅτι πάντες οἱ μυθοποιοὶ Ἕλληνες, ἐξ ὧν διϊσχυρίζονται, ὅτι ἐλήφθη ἡ τοῦ Ἰωνᾶ ἱστορία, εἰσὶ μεταγενέστεροι τοῦ βιβλίου τοῦ Ἰωνᾶ· ἀπέδειξα γὰρ ὅτι ὁ Προφήτης οὗτος ἔγραφεν ἐπὶ τῆς Βασιλείας Ἱεροβοὰμ τοῦ Β', εἴτουν περίπου τὸν ὀκτακοσιοστὸν ἐνιαυτὸν πρὸ τοῦ χριστιανικοῦ ἔτους. καί ὁ μὲν Λυκόφρων, οὗτινος ἡ διήγησις ἔχει ἴχνη τινὰ ὁμοιότητος τῇ τοῦ Ἰωνᾶ, ἔγραφε διακόσια μόνον καὶ πεντήκοντα ἔτη πρὸ τῆς χριστιανικῆς χρονολογίας· ὁ δὲ Ὅμηρος ὁ πολλῷ ἀρχαιότερος οὐ λέγει, ὅτι ὁ κατὰ τοῦ Ἡρακλέους ἐφορμήσας ἰχθὺς κατέπιεν αὐτόν.

Ἐν ἀριθ. 4. ἀρθρ. 2. α. 1. τοῦ 3. β.

3. Ἀλλ' ἐπαναλαμβάνων ὁ αὐτὸς, λέγει· „Οὐδέποτε εἶπον οἱ φυ-
„σιολογοῦντες, ὅτι δυνατόν ἐστι μεῖναι τρεῖς ἡμέρας, καὶ τρεῖς νύκτας ἐν
„κοιλίᾳ ἰχθύος.

Αἴ. τίς ποτε διϊσχυρίσατο, ὅτι τοῦτο φύσει δυνατόν ἐστι γενέσθαι; τὸ μὲν πλῆθος τῶν κατὰ πάντας τοὺς μετὰ τοῦτο αἰῶνας ὡς ἀληθὲς δεξαμένων τὸ ἔργον, θαῦμα τοῦτο διαπαντὸς ἐλογίσαντο· οἱ δὲ φυσιολογοῦντες συνᾴδουσιν, ὅτι εὑρίσκονται ἰχθύες, δυνάμενοι καταπιεῖν ὁλόκληρον ἄνθρωπον, ὁ δὲ Βοχάρτος ἐπιβεβαιοῖ, ὅτι ἐν ταῖς τῆς Σαντονίας ἀκταῖς εἶδε τοιοῦτον εἶδος ἰχθύος. (78) τὰ δὲ λοιπὰ ὑπέρτερα μέν εἰσι τῶν δυνάμεων τῆς φύσεως, οὐχὶ δὲ τῆς τοῦ Θεοῦ παντοδυναμίας.

ΚΕΦΑ'ΛΑΙΟΝ Β'.

Περὶ τῶν Βιβλίων τοῦ Τωβὶτ καὶ τῆς Ἰουδίθ.

Α'ΡΘΡΟΝ Α'.

Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τῶν βιβλίων τοῦ Τωβὶτ καὶ τῆς Ἰουδίθ.

1. Ταῦτα τὰ δύω βιβλία, τὰ ὑπὸ τοῦ θείου Ἱερωνύμου ἔκτινος χαλδαϊκοῦ τεύχους μετενεχθέντα, (εἰς τὴν Λατινίδα) οὐ περιέχονται ἐν τῷ τῶν Ἰουδαίων κανόνι, οἵτινες οὐκ ἀνεκτήσαντο ταῦτα, εἰμὴ μετὰ τὰς τοῦ Ἀρταξέρξου ἡμέρας, ἐν αἷς, ὡς παρετήρησα, ὁ κανὼν οὗτος εσ-

Π. Φ. 3. ἀρθρ. 1.

φρα-

φραγίσθη· ἀπὸ δὲ τῦ πρώτυ αἰῶνος τῦ χριςιανικῦ ἔτυς μεταπεφρασμένα ἦσαν εἰς τὴν Ἑλληνίδα· διότι κατὰ τὸ τέλος τῦ αὐτῦ αἰῶνος μνημονεύσιν αὐτῶν οἱ πατέρες οἱ Ἕλληνες, ὡς μετ' ὀλίγον ὀψόμεθα. κἂν δὲ ἐν τῷ τέλει τῦ τετάρτυ αἰῶνος ὠφθησαν ἐν τοῖς τῶν ἱερῶν βιβλίων καταλόγοις, τοῖς κοινῶς δεκτοῖς, πρὸ πολλῦ ὅμως πρὸτείνοντο ὑπὸ πολλῶν πατέρων τῶν δύω Ἐκκλησιῶν. καὶ οἱ μὲν ἅγιοι, Ἀμβρόσιος, Ἱλάριος, καὶ Κυπριανὸς μέμνηνθ τῆς τῦ Τωβὶτ βίβλυ ὡς θεοπνεύςυ, καλῦντες αὐτὴν Γραφὴν προφητικήν· ὁ δὲ ἐν ἁγίοις Εἰρηναῖος, φησιν, ὅτι ἡ βίβλος αὐτη ἐν ταῖς ἡμέραις αὐτῦ ὡς προφητικὸν ἐλογίζετο βιβλίον, (79) διὰ τὰς προρρήσεις πάντως, τὰς ἐν τοῖς ὑσὶν ἐσχάτοις αὐτῦ κεφαλαίοις. ὁ δὲ Ὠριγένης ἐν μὲν τῇ πρὸς τὸν Ἀφρικανὸν ἐπιςολῇ αὐτῦ λέγει, ὅτι τὸ βιβλίον τῦ Τωβὶτ, ὁμοίως & τὸ τῆς Ἰυδὶθ, ἐτάχθησαν ὑπὸ τῶν Ἑβδαίων ἐν τοῖς ἀποκρύφοις, ἀλλ' αἱ τῶν χριςιανῶν Ἐκκλησίαι ἐχρῶντο αὐτοῖς ἐν ταῖς συνελεύσεσιν αὐτῶν (80) ἐν δὲ τῇ ἑβδόμῃ αὐτῦ ὁμιλίᾳ εἰς τὸ βιβλίον τῶν ἀριθμῶν συντάττει αὐτά τε & τὸ τῆς Ἐσθὴρ τοῖς ἱεροῖς βιβλίοις. (81) Οὐδόλως ἂν κατανοῶ τίνος ἕνεκα ὁ Δυπῖνος εἴρηκεν, ὅτι οἱ Ἑβδαῖοι τὸ τῦ Τωβὶτ, & τῆς Ἰυδὶθ βιβλίον ὐδὲ ἐν αὐτοῖς τοῖς ἀποκρύφοις βιβλίοις συνέταττον. (82) Ἐὰν τῦτο ἀληθὲς, ἦσαν ἄρα τὰ βιβλία ταῦτα, ἄγνωςα αὐτοῖς· ἐὰν δὲ ἄγνωςα, πόθεν παρέλαβον αὐτὰ οἱ χριςιανοὶ, οἱ κατὰ τὰς ἀρχὰς τῦ δευτέρυ αἰῶνος ταῦτα ἀναγινώσκοντες; ὁ γὰρ ἐν ἁγίοις Πολύκαρπος ἐν τῷ τέλει τῆς ἐπιςολῆς αὐτῦ προβάλλων τὸ ῥητὸν τῦ Τωβίτ. „Ἐλεημοσύνη ῥύεθ ἐκ θανάτυ· ἐπισυνάπτει αὐτῷ ἕτερον ῥητὸν, ἐκ τῆς πρώτης ληφθὲν ἐπιςολῆς τῦ ἁγίυ Πέτρυ (83).

Λρτβ. 1. τῦ 2. β.

Γλάρ. εἰς τὸν 129. ψαλ.

Τωβ. 4. 10.

2. Τὸ τῆς Ἰυδὶθ βιβλίον ὁ μὲν θεῖος Ἱερώνυμος τοῖς ἁγιογράφοις συντάττων βιβλίοις, φησὶν, ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος συνηρίθμει αὐτὸ ταῖς θείαις Γραφαῖς· ὐδὲν δὲ περὶ τύτυ εὑρίσκομεν ἐν τοῖς σωζομένοις τεύχεσι ταύτης τῆς Συνόδυ. ὁ δὲ Κλήμης ὁ Ῥώμης ἐν τῇ πρὸς Κορινθίυς πρώτῃ ἐπιςολῇ αὐτῦ, & Κλήμης ὁ Ἀλεξανδρεὺς, & ὁ Τερτυλλιανὸς ἐπαινῦσι τὴν τῆς Ἰυδὶθ μεγαλοψυχίαν· ὁ δὲ Ὠριγένης μαρτυρεῖ, ὅτι τὸ βιβλίον τῦτο ἀνεγινώσκετο ἐν ταῖς ἡμέραις αὐτῦ τοῖς κατηχυμένοις σὺν τῷ βιβλίῳ τῦ Τωβίτ· ὁ δὲ συγγραφεὺς τῆς τελευταίου διερμηνευθείσης Διαθήκης ἔκρινεν εὔλογον ψυχαγωγῆσαι ἑαυτὸν διὰ τῶν δύω τύτων βιβλίων· πολυπραγμονήσωμεν τὰ ὑπ' αὐτῦ λεγόμενα.

Γιρ. ἐν ς. 140 ἃ ἐν τῷ προοιμ. τῦ β. τῆς Ἰυδὶθ.

Κλήμ. β. 4. στρωμ. Τιρτ. περὶ μονογαμ. & β. 1. κ. 7. κατὰ Μαρκίων. Ὠριγ. ὁμιλ. 27. εἰς τὸς ἀριθμ.

3. Κατ' ἀρχὰς αὐτὸς διϊσχυρίζεθ, ὅτι κατὰ τὴν τῶν σοφῶν γνώ-

μην τὸ βιβλίον τῦ Τωβὶτ ὃν ἐγράφη, „εἰμὴ ἐννεακόσια ἔτη μετὰ „τὴν διασποράν.

Ὁ μὲν Τωβίας ἐτελεύτησεν ἑξακόσια & εἴκοσι & δύω ἔτη πρὸ τῦ χρισιανικῦ ἔτυς, ἡ δὲ τῦ πατρὸς αὐτῦ αἰχμαλωσία ἤρξατο ἐπὶ Ενεμεσσάρυ ὃν τῷ ἑπτακοσιοςῷ δεκάτῳ ὀγδόῳ ἔτει. εἴδομεν δὲ ἀνωτέρω, ὅτι τὸ βιβλίον τῦτο μεθηρμηνευμένον ἦν & προβεβλημένον ἐν μὲν τῷ τέλει τῦ πρώτυ αἰῶνος ὑπὸ τῦ ἐν ἁγίοις Κλήμεντος Ρώμης, ἐν δὲ τῇ ἀρχῇ τῦ δευτέρυ ὑπὸ τῦ ἁγίυ Πολυκάρπυ, & ὑπὸ πολλῶν ἄλλων τῦ αὐτῦ αἰῶνος συγγραφέων. ὁ κριτικὸς ὃν σφάλλων παχυλῶς, ἀπονέμει τὸ ἴδιον σφάλμα τοῖς σοφοῖς, ὧν μετὰ προσοχῆς σιωπεῖ τὰ ὀνόματα.

ΑΡΘΡΟΝ Β'.

Περὶ τῶν ματαίων κατὰ τῦ βιβλίυ τῦ Τωβὶτ ἐνςάσεων.

1. „Πάνυ δυσκόλως, προσίθησιν ὁ αὐτὸς, καταναοῆσαι δυνάμεθα τὸ „πῶς ὁ Ενεμεσσάρος Βασιλεὺς ὢν τῆς ἐπὶ τῦ Τίγρεως κειμένης Νινε„υΐ, ἐδυνήθη διαπεράσας ὑπεράνω τῆς Βασιλείας τῶν Βαβυλωνίων, „ἐλθεῖν ἀλύσεσι δεσμεῦσαι τὰς κατοικῦντας τὰς ὄχθας τῦ Ιορδάνυ, „& καταχυρεῦσαι ἄχρι τῶν πλησιοχώρων τόπων τῆς Υρκανίας θα„λάσσης.

Ἡ μὲν Υρκανία & ἡ Κασπία θάλασσα κεῖνθ ἐν τῷ βορείῳ μέρει τῆς Νινευΐ, ἡ δὲ Βαβυλὼν & ἡ Χαλδία ἐν τῷ νοτίῳ τῆς τε Νινευΐ, & τῆς Μεσοποταμίας. τὴν δὲ Μεσοποταμίαν ὁ Εὐφράτης μόνον χωρίζει ἀπὸ τῆς Συρίας. δυνάμεθα ἄρα εἰσελθεῖν εἰς τὴν Συρίαν & ἐν ταῖς τῦ Ιορδάνυ ὄχθαις κατελθεῖν, μὴ περάσαντες διὰ τῆς Βαβυλῶνος· τῦτο δὲ & τοῖς παιδαρίοις δῆλον. ἀλλὰ & παιδείας ἄξιος ἦν ὁ μαθητὴς, ὁ δεικνύων τὴν ἀπὸ τῆς Νινευΐ πρὸς τὴν Υρκανίαν ἢ Συρίαν ὁδὸν διὰ τῆς Βαβυλῶνος· ποίας ὃν ἄξιος παιδείας ὁ κριτικός; & ὅμως αὐτὸς ἐπακολυθεῖ, λέγων.

2. „Ἦθελον οἱ κριτικοὶ ἀκῦσαι τὸν συγγραφέα τῆς τῦ Τωβὶτ „ἱςορίας, ὅςις ποτε ἂν εἴη ὗτος, δηλῦντα, πῶς ὁ πτωχὸς ὗτος ἄν„θρωπος ἐκέρδησε δέκα τάλαντα ἀργυρίυ παρὰ τῷ Βασιλεῖ Ενεμεσσά„ρῳ, ὅςις μᾶλλον δυσπρόσιτος ἦν αὐτῷ, ἢ ὁ τῦ Μάρκυ Βασιλεὺς „χρισιανῷ τινι αἰχμαλώτῳ. δέκα δὲ τάλαντα ἀργυρίυ συνισῶσιν εἰκο„σι χιλιάδας σκύδων τῆς Γαλλίας. τῦτο μέγα & πολύ ἐςιν ὡς πρὸς „ἄνδρα γυναικὸς πλυντρίας.

Προσκαλῶ πάντας τὺς τύτυ συμμάχυς, ἵνα παραςήσωσιν ἓν μό-

νον

νον ῥητὸν τῦ Τωβὶτ, ἐμφαῖνον, ὅτι ἡ γυνὴ αὐτῦ ἦν πλύντρια. (84) τὶς δὲ εἶπεν αὐτῷ, ὅτι ὁ Ἐμεσσάρος ὐκ ἦν εὐπροσιτώτερος τῦ Βασιλέως τῦ Μαρόκυ; ἀμαθὴς πάντως ἦν αὐτὸς, ἐὰν ἠγνόει. ὅτι τῶν μεταχομισθέντων λαῶν ὑπὸ τῶν Βασιλέων τῆς Νινευὶ, ἢ τῆς Βαβυλῶνος εἰς τὴν ξένην γῆν, πάντη διάφορος ἦν ἡ κατάσασις τῆς τῶν ἐν τῷ Μαρόκῳ αἰχμαλώτων. διότι τύτυς μὲν ἐγκλείυσιν ἐν ταῖς κοιναῖς φυλακαῖς ὅλην τὴν νύκτα. ἐξάγυσι δὲ, ὥσπερ τὺς παρ' ἡμῖν κακύργυς, μόνον πρὸς τὸ ἐργάζεσθαι· ἐκεῖνοι δὲ ἦσαν ἐλεύθεροι, γῆν ἔχοντες ὑπὸ τὴν ἐξυσίαν αὐτῶν, καὶ σπείροντες σπέρματα, καὶ φυτεύοντες ἄμπελον πρὸς ὠφέλειαν αὐτῶν. κατὰ δὲ τῦτο ἦσαν εὐτυχέσεροι τῶν ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις Ἰυδαίων. ἔχοντες δὲ γῆν, προσετίθεντο καὶ τὴν ἐμπορίαν, δι' ἧς ἐξόχως ὁ Τωβὶτ ἐπλύτησε. ζητῦμεν δὲ ἄρα γε ἡμεῖς μεταξὺ ὑμῶν, τὸ πῶς εἰς τῶν νῦν Ἰυδαίων ἔχει εἴκοσι χιλιάδας σκύδων;

3. „Αὐτὸς ἀπέρχε), φησὶν ὁ αὐτὸς, ἐν Ράγοις τῆς Μηδίας, „ἀπεχύσαις ἀπὸ τῆς Νινευὶ διακοσίας λέγας, ἵνα δανείσῃ τὰς ἑαυτῦ „εἴκοσι χιλιάδας τῶν σκύδων τῷ Γαβαήλῳ πτωχωτάτῳ ὄντι, καὶ ἀ„δεχομένως μὴ ἔχοντι τρόπον ἀποδῦναι αὐτά.

Κἂν μὴ εὐτυχὴς ὁ Γαβαήλος, ἡ τύτυ ὅμως ἐπιτηδειότης βεβαίας παρέσχεν ἐλπίδας, ὅτι ἀποδώσει ἐν μιᾷ τῶν ἡμερῶν τὸ ὀφειλόμενον. ἀπόδειξις δὲ τύτυ αὐτὴ ἡ πράγματι γενομένη ἀπόδοσις τῶν χρημάτων, ἅπερ αὐτῷ ὁ Τωβὶτ ἐδάνεισεν. ὐδόλως δὲ πιςεύω, ὅτι αἱ τῆς Μηδίας Ράγαι ἀπέχυσι τῆς Νινευὶ τετρακοσίας λέγας. διότι ἡ Μηδία ἢ Ασσυρία, ὧν μητρόπολις ἡ Νινευὶ, εἰσὶ δύω ἐπαρχίαι σύνοροι, ὐδετέρα δὲ τύτων ἔχει μεγάλην ἔκτασιν· τὸ δὲ διάςημα, τὸ μεταξὺ τῆς Νινευὶ, καὶ τῶν Ἐκβατάνων, ἅπερ εἰσὶ μητρόπολις τῆς Μηδίας, εἰσὶ λέγαι περίπυ ἑκατὸν εἴκοσι κατὰ τὸν τῦ Σαμψὼν χάρτην· αἱ δὲ Ράγαι ὐ πολὺ τῶν Ἐκβατάνων ἀπέχυσι κατὰ τὸν Διοδώρυ τῦ Σικελιώτυ ἀναλογισμὸν, τὸν ἐπιβεβαιύμενον, ὡς δοκεῖ, ὑπὸ τῆς τῦ Τωβὶτ βίβλυ, ἥτις ἐντοπίζει τὰς Ράγας τοῖς πλησίον τῶν Ἐκβατάνων ὄρεσιν. (85.) ἀληθῶς δὲ ὁ Ἀρειανὸς μακρὰν τίθησιν αὐτὰς ἀπὸ μὲν τῶν Κασπίων πυλῶν ἡμέρας μιᾶς ἀπόσημα, ἀπὸ δὲ τῶν Ἐκβατάνων, τρεῖς χιλάδας καὶ τριακόσια σάδια, ἅπερ εἰσὶν ἑκατὸν ἢ τριάκονθα τῶν Γάλλων λέγαι. (86.) Ἐὰν δ' ἂν αἱ Ράγαι, περὶ ὧν ὁ Ἀρειανὸς λαλεῖ, αἱ αὐταὶ ταῖς τῦ Τωβὶτ, ἢ Διοδώρυ ὦσι, συγκροτεῖσθαι ἀπόσημα λεγῶν διακοσίων πεντήκονθα, ἢ ὐχὶ τετρακοσίων, ὡς εἶπεν ὁ κριτικός.

4. „Ἐπισρέψας εἰς τὴν Νινευὶ, φησὶν ὁ αὐτὸς, κοιμᾶται παρὰ

„τῇ

„τῇ βάσει τῦ τείχυς. πρέπον ἦν πάντως ἀνθρώπῳ πλυσίῳ σφόδρα, „καὶ δανείζοντι ἐν Ράγοις εἴκοσι χιλιάδας σκύδων ἔχειν ἐν Νινευῖ τὸ„λάχιςον οἰκίσκον τινα πρὸς τὸ καθεύδειν ἐν αὐτῷ. ὁποία δέ ἐςιν ἡ „τοιαύτη πτωχεία;

Ο Τωβὶτ ὁ διὰ τὸ μὴ ἔχειν οἰκίσκον πρὸς τὸ καθεύδειν, ἐκοιμήθη ὑπὸ τὸ αἴθριον, ἀλλὰ διὰ τὴν εἰς τὸν νόμον πολλὴν αὐτῦ εὐλάβειαν, τὸν κελεύονθα τὺς ἀψαμένυς νεκρῦ σώματος χωρίζεσθαι καὶ ἀπ' αὐτῶν τῶν συγγενῶν αὐτῶν ἕως ἂν καθαρισθῶσιν. ὁ Τωβὶτ ὢν μὴ εὐκαιρῶν ἐκπληρῶσαι τῦτο τὸ χρέος, κεκοπιασμένος ὢν, πίπτει παρὰ τὸ τεῖχος τῦ οἴκυ αὐτῦ, ἴσως ἐν τῷ ὀρόφῳ, ἐν ᾧ κατὰ συνήθειαν κοιμῶνθ ἐν καιρῷ θέρυς οἱ τὴν ἀνατολὴν οἰκῦντες. σημειωτέον γὰρ, ὅτι τῦτο συνέβη κατὰ τὴν ἑλληνικὴν ἔκδοσιν τῦ Τωβὶτ μετὰ τὴν τῆς Πεντηκοςῆς ἑορτήν· τῦ δὲ οἴκυ αὐτῦ ὁ ὄροφος ἦν ἐπίπεδος κατὰ τὸ ἔθος τῶν ἐκεῖ τόπων, ςηριζόμενος ἐνδεχομένως ἐπ' οἰκοδομήματι ὑψηλοτέρῳ, ἐν ᾧ αἱ χελιδόνες τὰς νοσσιὰς αὐτῶν ἐποίησαν. ἐντεῦθεν δὲ ἠκολούθησε τὸ συμβὰν, δι' ὃ ὁ ἄπιςος ψυχαγωγεῖται. θέλων δὲ παίζειν, ἀποδείκνυσιν ἑαυτὸν ὀλιγομαθῆ.

Αρίθ. 19. 11. κτ.

Τωβ. 2. 1.

5. „Οἱ κριτικοὶ, φησὶν, οἱ φυσιολόγοι, λέγυσιν, ὅτι ἡ τῆς χε„λιδόνος κόπρος ὐδένα δύναται ἐκτυφλῶσαι. διότι ἑάντις εὐθὺς νιφ„θῇ, ἀπαλλάττεθ.

Ἀλλ' ἐὰν ὁ Τωβὶτ κοιμώμενος, ὐκ ἠδυνήθη νιφθῆναι εὐθύς;

„Ἐξ ἀνάγκης ὅτος ἐκοιμᾶτο, ἀνεῳγμένυς ἔχων τὺς ὀφθαλμύς· „διὸ ὁ κοπρώδης τῆς χελιδόνος ἀφρὸς ἐτραυμάτισε τὸν κερατοειδῆ „αὐτῦ χιτῶνα.

Ἀλλ' ἐὰν ὁ Τωβὶτ εἷς ἦν τῶν κοιμωμένων ὄμμασιν ἀναπεπταμένοις· ὁ γὰρ εἷς μόνος ἐςὶν ὁ τοιυτοτρόπως κοιμώμενος· ἢ ἐὰν ἐν τοῖς ἀνατολικοῖς μέρεσιν, ἡ τῆς χελιδόνος κόπρος θερμοτέρα ὑπάρχῃ, ἥπερ ἐν τοῖς ἡμετέροις κλίμασιν; Εδει σε ὖν, κύριέ μυ, πλὴν ἢ γράψαι, σοφῷ συμβυλευθῆναι ἰατρῷ, ἢ διδαχθῆναι ὑπὸ τῦ Αλδοβράνδυ, τῦ Γεσνερυ, τῦ Φραγγίσκυ Δε-Βάλες, καὶ ὑπ' αὐτῦ τῦ Κέλσυ, κἂν ἀρχαῖος τυγχάνῃ. ὁ δὲ συγγραφεὺς τῆς τῦ Τωβὶτ βίβλυ ὠφείλεν χρείαν τοιαύτης προφυλακῆς, γράφων περὶ πραγμάτων μετὰ τὴν πεῖραν γνωςῶν.

ΑΡ-

ΆΡΘΡΟΝ Γ.

Περὶ ἧς εἶχον οἱ Ἰουδαῖοι γνώσεως Ἀγγέλων καὶ Δαιμόνων.

1. „Πρὸ τούτου. λέγει ὁ αὐτὸς, οἱ Ἰουδαῖοι οὐδέποτε ἤκουσαν λόγον „οὐδὲ περὶ Διαβόλου, οὐδὲ περὶ Δαίμονος. ἐφαντάσθησαν δὲ τούτους ἐν „τῇ Περσίᾳ ... Νῦν δὲ πρῶτον ἐν τῇ θείᾳ Γραφῇ ὠνομάσθη Ἀγ„γελος. (87.).

Σὺ ὁ ἔχων τὴν φαντασίαν τοσοῦτον γόνιμον, διατὶ οὐκ ἔχεις καὶ τὴν μνήμην εὐτυχεστέραν; σὺ μὲν ἔγραψας μικρόντι ἀνωτέρω, ὅτι ἡ τοῦ Τωβὶτ βίβλος, κατὰ τὴν τῶν σοφῶν γνώμην, συνετέθη ἐννεακόσια ἔτη μετὰ τὴν διασποράν· ἐγὼ δὲ παρετήρησα, ὅτι ἡ τὸν Τωβὶτ ἔτι νεώτατον ὄντα, εἰς τὴν Νινευὶ μετασήσασα διασπορὰ, περὶ ἧς ἐνταῦθα ἐστι τὸ ζήτημα, γέγονε κατὰ τὸν ἑπτακοσιοστὸν δέκατον ὄγδοον ἐνιαυτὸν πρὸ τοῦ χριστιανικοῦ ἔτους· ἡ δὲ πρώτη πασῶν τῶν ἄλλων διασπορὰ, ἐν ᾗ ὁ Θαλασσελλασὰρ μετέσησε μέρος τῶν δέκα φυλῶν, ἐστὶ μεταγενεστέρα τοῦ ἑπτακοσιοστοῦ πεντηκοστοῦ πέμπτου ἐνιαυτοῦ, τοῦ πρὸ τοῦ χριστιανικοῦ ἔτους. διότι τοῦτό ἐστι τὸ πρῶτον ἔτος τοῦ Φακὲε τοῦ Βασιλέως Ἰσραὴλ, οὗτινος βασιλεύοντος ἐγένετο ἡ πρώτη μετοικεσία. ἐκ τούτου ἕπεται σαφέστατα, ὅτι κατὰ σὲ, καὶ τοὺς σοὺς σοφοὺς, ἡ μὲν τοῦ Τωβὶτ βίβλος οὐκ ἐγράφη πρὸ τοῦ ἑκατοστοῦ πεντηκοστοῦ ἐνιαυτοῦ τοῦ μετὰ Χριστὸν ἔτους· οἱ δὲ Ἰουδαῖοι πρὸ τούτου τοῦ ἔτους οὐκ ἤκουσαν λόγον περὶ Ἀγγέλων, Διαβόλων, Δαιμόνων. Ἵνα δὲ καταισήσω σε ἀναπολόγητον, οὐκ ἀναμνήσω σοι οὐδὲ τὸν Φίλωνα, οὐδὲ τὸν Ἰώσηπον, οὐδὲ τοὺς Εὐαγγελιστὰς, οὐδὲ τοὺς ἄλλους συγγραφεῖς τῆς νέας Διαθήκης, οἵτινες προϋπῆρξαν ἅπαντες τοῦ ὑπὸ σοῦ ἀπονεμηθέντος ἔτους τῇ τοῦ Τωβὶτ βίβλῳ, καὶ πολλάκις ἐλάλησαν περὶ Ἀγγέλων καὶ Δαιμόνων· οὐδὲ τὰ τῶν Μακκαβαίων βιβλία, οὐδὲ τὸν Δανιὴλ, οὐδὲ τὰ τῶν τεσσάρων Βασιλειῶν, οὐδὲ τοὺς ψαλμοὺς τοῦ Δαβὶδ, οὐδὲ τὴν βίβλον τοῦ Ἰὼβ, οὐδὲ τελευταῖον τὴν Πεντάτευχον, συγγράμματα, ἐν οἷς ἡ ὕπαρξις τῶν ἀγαθῶν καὶ πονηρῶν Ἀγγέλων πάνυ σαφῶς σεσημείωται). ἀρκοῦμαι δὲ σαυτὸν προτεῖναι κατὰ σαυτοῦ.

Κ. 2. ἄρθρ. 1. Ἀριθ. 3. β. 3.

4. Βασ. 15. 29.

Οὐκ ἔγραψας σὺ ἐν τῷ περὶ τῶν Φαρισαίων ἄρθρῳ, ὅτι οἱ „Φαρισαῖοι ἐδέχοντο τὴν μετεμψύχωσιν, καὶ ἐπὶ τῇ διδασκαλίᾳ ταύ„τῃ σηριχθέντες ἀπεφήναντο, ὅτι τὰ πονηρὰ πνεύματα, αἱ ψυχαὶ „τῶν Διαβόλων δύναν) εἰσελθεῖν εἰς τὰ τῶν ἀνθρώπων σώματα; Οἱ αὐτοὶ Φαρισαῖοι συνεκρότουν, ὡς ἐδόκει σοι, φοβερὸν σύσημα ἐν ταῖς ἡμέραις Ἰωάννου τοῦ Ἰρκανοῦ, οὗτινος ἡ Βασιλεία ἤρξατο κατὰ τὸν ἑκατοστὸν

Ἐν τῇ τελευτ. διατρ. Διαθ.

τοςὸν τριακοςὸν πέμπτον ἐνιαυτὸν πρὸ τȣ̃ Χριςιανικȣ̃ ἔτȣς. ἀναλογίζȣ ȣ̃ν· τοῖς ἑκατὸν τριάκοντα πέντε ἔτεσι πρόσθες τὰ ἑκατὸν πεντήκοντα ἔτη, τὰ μετὰ τὴν ἀρχὴν τῆς χριςιανικῆς χρονολογίας· εὑρήσεις ἄρα ἔτη πέντε καὶ ὀγδοήκοντα καὶ διακόσια. διὸ οἱ Ἄγγελοι καὶ οἱ Διάβολοι γνωςοὶ ἦσαν τοῖς Ιȣδαίοις διακόσια καὶ ὀγδοηκονταπέντε ἔτη, καὶ ταῦτα κατὰ τὴν σὴν γνώμην, πρὸ τȣ̃ ἔτȣς, ὃ σὺ ἀπένειμας τῇ συγγραφῇ τῆς τȣ̃ Τωβὶτ βίβλȣ, κἂν αὕτη ἦν κατὰ σὲ, τὸ πρῶτον βιβλίον, τὸ τȣ̀ς Ιȣδαίȣς διδάξαν τὰ περὶ Ἀγγέλων καὶ Δαιμόνων. ἡμεῖς πάλιν ἐπιςρέψομεν εἰς τὸ προκείμενον ἐν τῷ περὶ τῶν ἀγαθῶν καὶ πονηρῶν Ἀγγέλων ἄρθρῳ, καὶ ἐν τῷ περὶ ἀθανασίας ψυχῆς, καὶ ποινῶντε καὶ βραβίων τῆς μελλȣ́σης ζωῆς. νῦν δὲ πολυπραγμονήσωμεν ἔτι τὰς κατὰ τῆς βίβλȣ τȣ̃ Τωβὶτ δυσκολίας σου.

Ἄ Ρ Θ Ρ Ο Ν Δ'.

Περὶ τȣ̃ κατὰ τȣ̃ Τωβίȣ ἀναπηδήσαντος ἰχθύος, καὶ τῶν ἰδιοτήτων τȣ̃ ἥπατος αὐτȣ̃.

1. „Οἱ κριτικοὶ, λέγει ὁ αὐτὸς, καὶ οἱ ἀνθρωπάρεσκοι εἶπον, ὅτι „πρᾶγμα πολλῆς περιεργείας ἄξιόν ἐςιν ἰχθὺς, δυνάμενος καταπιεῖν „ἄνθρωπον, ὁ αὐτὸς δὲ καὶ διὰ τῶν ὠτίων ἁλισκόμενος, καὶ κρεμά„μενος . . . Τὰ δὲ πάνυ ἀπροσφυῶς ὀνομασθέντα ὦτα τῶν ἰχθύων, εἰσὶν οἱ πνεύμονες αὐτῶν.

Αὕτη ἐςὶν ἡ ἔνςασις τȣ̃ ἀνθρωπαρέσκȣ κριτικȣ̃, ἥτις ὑποτίθεται, ὡς δοκεῖ, ὅτι ὁ Ἄγγελος λαλῶν μετὰ τȣ̃ Τωβίȣ, ἐχρήσατο λέξει τοσȣ̃τον ἀπροσφυεῖ, ὅσον ἐςὶν ἡ τῶν ὤτων, ὅτε περὶ ἰχθύος ἐςὶν ὁ λόγος. ἀλλ' ὅτι ὁ Ραφαὴλ ἦν δεδιδαγμένος, τȣ̀λάχιςον ὅσον καὶ ὁ νομιζόμενος ȣ̃τος φυσιολόγος, τὴν τῶν νηκτῶν ζώων γνῶσιν, δείκνυται διὰ τῆς χαλδαϊκῆς λέξεως αὐτȣ̃, ἣν ἡ ἡμετέρα Βȣλγάτα μεθηρμήνευσε διὰ τȣ̃ Branchia, ὅπερ κατὰ τὸν Βȣδαῖον (88) λέξις ἐςὶν ἑλληνικὴ, τὸ μέλος σημαίνȣσα, δι' ȣ̃ οἱ ἰχθύες ἀναπνέȣσιν. ὁ ȣ̃ν Τωβίας τὸν κατ' αὐτȣ̃ ἀναπηδήσαντα ἰχθὺν ἐκεῖθεν κρατήσας, ἀφεῖλε πάσας τὰς δυνάμεις αὐτȣ̃ σὺν τῇ ἀναπνοῇ.

Ἀλλὰ δύναται ἰχθὺς καταπιεῖν ἄνθρωπον;

Τεβενότι Τ. 3. β. 1. κ. 13. τῆς Ἀνατολ ωερ. ηγ.

Ἀκȣσον περὶ τȣ́τȣ περιηγητὴν ἐπιμελῆ ἅματε καὶ περίεργον ἐπὶ τȣ̃ αὐτȣ̃ ποταμȣ̃ πλησίον τῆς παλαιᾶς Νινευὶ πλέοντα, ὅπȣ ἠκολȣ́θησε τὸ τοιȣ̃τον συμβὰν τῷ Τωβίᾳ· „Εἷς τῶν τȣ̃ ἡμετέρȣ Κέ„λεκ (89), ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ὥρᾳ ὀγδόῃ ὑπὸ σεληνιαίῳ φωτὶ μέ-

„γαν

„γαν τινα ἰχθὺν ἠγκίςρωσεν, ἰσομήκη μὲν πέντε ποσὶ καὶ ἐπέκεινα, „ἰσοπλατεῖ δὲ ἀνθρωπίνῳ σώματι. ἔλεγε δέ μοι ὁ ἀγκισρώσας, ὅτι „νέος ἐςὶν ὁ ἰχθὺς ἐκεῖν☉, ὡς ἐπὶ τὸ πλεῖςον δὲ εἰσὶ πολλῷ μείζο„νες τύτυ. καὶ τῆς μὲν κεφαλῆς αὐτῦ τὸ μῆκ☉, ὑπερεῖχε τὸ τῦ „ἑνὸς ποδὸς, τὰ δὲ ὄμματα ἐν τέσσαρσι δακτύλοις ὑπεράνω τῦ λαίμῦ „κείμενα, ςρογγύλα ἦσαν καὶ μεγάλα ὡς ἓν demi denier (90). ὁ „δὲ λαιμὸς αὐτῦ ςρογγύλ☉ ὢν, ὅτε ἠνοίγετο τοσῦτον ἐπλατύνετο, „ὅσον τὸ πλάτ☉ τῦ ςόματος τῦ πυροβόλυ ὀργάνυ. ἡ κεφαλή μου „ἐχώρει πάντως ἐν αὐτῷ. εἶχε δὲ τέσσαρας κερατώδεις γενειάδας, „λευκὰς, ἐπιμήκεις, τῷ μικρῷ δακτύλῳ ἰσοπλατεῖς. ἦν δὲ ὅλος λε„πίσι κεκαλυμμέν☉, ταῖς τῦ κυπρίνυ (91 ὁμοίως. πολλῷ δ' ὕςερον „μετὰ τὸ ἐκ τῦ ὕδατ☉ ἐξαχθῆναι ἐτελεύτησεν. Ἐν τῷ Τίγρει ὧν εἰσὶ σαρκοβόροι ἰχθύες, ἱκανοὶ ἐκφοβῆσαι νέον ἄνθρωπον, ὃς ἔνεςι διὰ τῶν βραγχίων ἐπιλαβέσθαι.

2. „Οὕπω, φησὶν ὁ αὐτὸς, ἐγνώσθη ἰχθὺς, ὅτιν☉ τὸ ἦπαρ „ἐπ' ἀνθράκων καιόμενον δύναμιν ἔχει διώκεσαν τὰς Διαβόλυς.

Οὐδὲ ἡμεῖς περὶ τῆς γνώσεως τοιύτων ἰχθύων καυχώμεθα. λέγομεν δὲ, ὅτι μόνῃ τῇ τῦ Θεῦ παντοδυναμίᾳ, ἧς ὁ Ἀγγέλ☉ ἦν ὑπηρέτης, ἐδιώχθη ὁ Δαίμων ἐκ τῆς οἰκίας τῆς Σάῤῥας.

3. Ἀλλ' ὐκ εἶπεν ὁ Ἀγγέλ☉ τῷ Τωβία, ὅτε ἐκέλευσεν αὐτῷ λαβεῖν τὸ ἦπαρ τῦ ἀνατμηθέντ☉ ἰχθύ☉, ὅτι αὐτὸ τὸ ἦπαρ ἐπ' ἀν- Τωβ. 6. 7. θράκων τεθὲν, ἐκδιώκει πάντα τὰ εἴδη τῶν κακοποιῶν πνευμάτων;

Ναὶ εἶπε τῦτο. Τῦτο δέ ἐςιν ὅπερ ἑρμηνείας χρῄζει· ἡ τῦ Θεῦ πρόνοια. ἡ διὰ τῦ Ἀγγέλυ εὐεργετῦσα τὸν Τωβὶτ, καὶ τὸν Τωβίαν, ἠθέλησεν, ἕως ἂν τέλ☉ λάβῃ ὁ σκοπὸς αὐτῆς, περικαλύψαι τὰ ὑπ' αὐτῆς γινόμενα διὰ πραγμάτων νομιζομένων ἁπλῶς φυσικῶν. δι' αὐτὸν ὖν τὸν σκοπὸν παρίσα) ὁ Ἀγγελος ἐν εἴδει νέυ Ισραηλίτυ, γνωςῦ τοῖς εἰς τὰς ὀχθας τῦ Τίγρεως μετσνεχθεῖσιν Ιυδαίοις, λέγων, ὅτι κατ' ἔθος πορεύεσαι εἰς τὺς τόπυς ἐκείνυς, πάνυ γνωςὸς ὢν ἐν Ράγοις, ἐξόχως τῷ Γαβαήλ. διὰ τὸν αὐτὸν σκοπὸν πρὶν ἢ διῶξαι τὸ ἀκάθαρτον πνεῦμα ἐκ τῆς οἰκίας τῆς Σάῤῥας, καὶ θεραπεῦσαι τὸν τῦ Τωβὶτ πατέρα, κρύπτει ταυτα τὰ δύω θαύματα ὑπὸ τῷ παραπετάσματι τινῶν τῆς φύσεως ἀποκρύφων· διὰ τῦτο καὶ ἀπατᾷ μικρὸν ὅσον τὸν νέον Τωβίαν· ἀλλ' αὐτη ἡ ὀλιγοήμερος ἀπάτη, ἢ τοσῦτον ἀθῶα ὅσον καὶ ἐπωφελὴς τοῖς δυσὶ δικαίοις, ἀναγκαία ἦν τῷ συνδέσμῳ τῶν παραδόξων ἔργων, ἅπερ ὁ Θεὸς ὐκ ἠθέλησε δηλοποιῆσαι, εἰμὴ τοῖς δυσὶ υἱοῖς αὐτῦ· ὅτοι δὲ διδαχθέντες ταῦτα ὑπὸ τῦ Ἀγγέλυ μετὰ τὸ τῆς ὁδοιπορίας τέλος, ἐδίδαξαν ἔπειτα τὺς ἰδίυς

συμπολίζας· διὰ δὲ τῦ οἰκείυ παραδείγματος ἐμαθήτευσαν τὰς εἰς πάντας τὰς αἰῶνας ἀνθρώπυς τὸ, ὅτι εἰσὶτινες οἰκονομίαι ἀπόκρυφοι μὲν, ἀλλὰ δραστικαὶ, ὑπὸ τῦ Θεῦ ἐν τῷδε τῷ βίῳ τελύμεναι εἰς ἀμοιβὴν τῶν τῆς εὐσεβείας, καὶ δικαιοσύνης, καὶ ἐλεημοσύνης ἀρετῶν, τῶν ὀλίγον μὲν ὑπὸ τῶν κοσμικῶν ἀνθρώπων γνωριζομένων, ἀπείρυ δὲ τιμῆς ἀξίων ἐνώπιον τῶν ὀφθαλμῶν τῦ ἀκροτάτυ ὄντος, ματαιοπονεῖ ὃν ὁ ἄπιστος λαλῶν ἐνταῦθα περὶ μαγείας, καὶ θεουργίας, καὶ καταπληρῶν ὁλόκληρον σελίδα, καὶ ἔτι πλέον, τῶν ἑαυτῦ ῥαψωδιῶν καὶ χλευασμῶν, (92) οἷς τέλος ἐπιτίθησιν ὕτως.

4. „Ὁ Ἄγγελος Ῥαφαὴλ τρέχων ὀπίσω τῦ Διαβόλυ, ἔρχεται, „ἵνα ἀλύσεσι δεσμεύσῃ αὐτὸν ἐν τῇ ἀνωτέρᾳ Αἰγύπτῳ, ὅπυ ἀκμήν „ἐστιν. ὁ Παῦλος ὁ Λυκᾶς εἶδε καὶ ἐψηλάφησεν αὐτόν· (93) ὅθεν „εἰκότως πεισθῆναι τῇ μαρτυρίᾳ αὐτῦ δυνάμεθα.

Ἀντὶ ταύτης τῆς ψευδῦς τε καὶ γελοιώδυς διηγήσεως ἀντικαθιςῶμεν τὴν ἁπλῆν τε καὶ σύντομον, τὴν ἐν τῷ τῦ Τωβὶτ βιβλίῳ. „Ο-
Γ ω. 8. 3. „τε δὲ Ὀσφράνθη τὸ Δαιμόνιον τῆς ὀσμῆς, ἔφυγεν εἰς τὰ ἀνώτατα „Αἰγύπτυ, ὃ ἐδησεν αὐτὸ ὁ Ἄγγελος. Οὕτως ὃν ἀπέςησεν αὐτὸ ἀπὸ τῦ τόπυ, ἐν ᾧ κατώκυν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἀνίσχυρον ἐποίησεν εἰς τὸ τὴν κακίαν αὐτῦ ἐνεργεῖν κατ' αὐτῶν.

5. Οὐδὲν ἀποκρίνομαι ὧδε πρὸς τὰ ὑπὸ τῦ αὐτῦ λεγόμενα περὶ τῶν νομιζομένων, καὶ τοῖς Ἀγγέλοις ἀπονεμομένων ἐρώτων, ὐδὲ περὶ ὧν ματαίως ἐκφωνδονίζει λόγων κατὰ τῆς Πενταπεύχυ. ἀλλ' ὅμως ὐκ ἐκφεύξεταί μυ τὰς χεῖρας, ἐπειδὰν τὰ τῦ Μωϋσέως βιβλία μετέλθω. λήγει δὲ αὐτὸς τὸν λόγον, παρατηρῶν ὐ τὴν τῦ Τωβὶτ
Τωβ. 14. 4. 5 15. περὶ τῆς καθαιροφῆς τῆς Νινευὶ πρόῤῥησιν, τὴν μικρόν τι μετὰ τὸν τύτυ θάνατον διὰ τῶν τῦ Κυαξάρυ ὅπλων ἐκπληρωθεῖσαν, ὐδὲ τὴν περὶ τῆς ἐπιστροφῆς τῶν αἰχμαλώτων, ὐδὲ τελευταῖον τὴν περὶ Βασιλέως τινὸς τῦ Ἰσραὴλ, προσκυνηθησόμενυ ὑπὸ τῶν Βασιλέων τῶν ἐθνῶν, ἐκβάσαν ὑπόσχεσιν, ἧς ἡμεῖς ἐσμὲν μάρτυρες· σημείων δὲ μόνον, ὅτι ὅτε ὁ Τωβὶτ γηράσας ἀπέθανε, τὰ τέκνα αὐτῦ μετ' εὐφρο-
Τῦτο ὐκ ἐν τῇ ἑλλην. ἐκδ. ἀλλ' ἐν τῇ Βυλγ. κεῖται. „σύνης ἔθαψαν αὐτόν.

Ταῦτα τὰ ἔσχατα λόγια ἐχόλωσαν αὐτὸν, μὴ συλλογισθέντα, ὅτι ὁ μὲν θάνατος τῶν δικαίων, τῶν τελεσάντων τὸν μακρὸν δρόμον, ἱκανὴν παρέχει ἀφορμὴν ἀγαλλιάσεως τῇ οἰκίᾳ, ἧς αὐτοὶ ἐχρημάτισαν μὲν παράδειγμα, ἔσονται δὲ δόξα αἰώνιος· ὁ δὲ τῦ ἀσεβῦς θάνατος ὐδὲν ἕτερον προξενεῖ, εἰμὴ θόρυβον, φρίκην, καὶ σύγχυσιν.

ΔΡ-

ΑΡΘΡΟΝ Ε'.

Περὶ τῆς πολιορκίας τῆς Βετυλούας, καὶ τῆς θέσεως αὐτῆς.

1. Διέλθωμεν νῦν τὰς κατὰ τὸ βιβλίον τῆς Ιουδὶθ ἐνστάσεις. „Ἡ „ἱστορία αὕτη, λέγει ὁ αὐτὸς, πλήρης ἐστὶν ἀδιαλλάκτων ἀντιφάσεων „, διότι ὅτε μὲν τὸ θέατρον συγκροτεῖ ἐπὶ τὸν Ναβουχοδονόσορ, ὅτε „δὲ μετὰ τὴν αἰχμαλωσίαν.

Τοῦτο τῷ ὄντι ἀδιάλλακτόν ἐστι τῷ μὴ εἰδότι, ὅτι πολλαί εἰσι τῶν Ισραηλιτῶν αἱ μετοικεσίαι, ἀλλήλων διαφέρουσαι, καὶ πολλοὶ οἱ τῆς Ασσυρίας Βασιλεῖς, οἱ τῷ Ναβουχοδονόσορ ταυτώνυμοι. ὁ δὲ εἰδὼς, ὅτι οἱ Ιουδαῖοι τετράκις μετῳκίσθησαν ὑπὸ τῶν μοναρχῶν τῶν Ασσυρίων κατὰ διαφόρους καιρὸς, ἀρξαμένους ἀπὸ τῆς Βασιλείας τοῦ Μανασσῆ, ὁ συναντᾷ τοσαύτας ἐμπλοκὰς εἰς τὸ καταλλάξαι τὴν τῆς Ιουδὶθ ἱστορίαν. τὰ κατ' αὐτὴν ὧν συνέβησαν ἐν ἔτει δεκάτῳ τοῦ Μανασσῆ Βασιλέως Ιούδα, τοῦ αἰχμαλωτισθέντος μετά τινος μέρους τοῦ στρατοῦ αὐτοῦ ὑπὸ τῶν ἀρχιστρατήγων Βασιλέως τινὸς τῆς Ασσυρίας, ὃν τὸ τῆς Ιουδὶθ βιβλίον ὀνομάζει Ναβουχοδονόσορ. οὗτος δὲ ἦν ὁ νικήσας τε καὶ ἀποκτείνας τὸν Αρφαξὰδ Βασιλέα τῶν Μήδων, ὅτε αὐτὸς γαυριῶν ἐπὶ τῇ ἐξουσίᾳ αὐτοῦ, συνήλαυνε τὸν στρατὸν αὐτοῦ ἐναντίον τῆς Νινευΐ. τοιοῦτον δέ τι ἐπ' ἀκριβὲς συνέβη, ὡς φησιν Ηρόδοτος, (94) τῷ Φραόρτῃ Βασιλεῖ τῶν Μήδων πλησίον τῆς Νινευΐ, ὅτε αὐτὸς καθυποτάξαι αὐτὴν ἐθέλησας, ἐδάμασε τοὺς ἐν αὐτῇ βασιλεύσαντας Ασσυρίους. οὕτως ὂν ἡ ἐν τῷ βιβλίῳ τῆς Ιουδὶθ διήγησις τῇ τε τοῦ Ηροδότου συμφωνεῖ, καὶ τῇ τῶν Παραλειπομένων.

2. Παραλ. 33. 11.

Ιουδ. ι. 5.

2. „Πολλὰ ἐμπόδια, φησὶν ὁ αὐτὸς, συναντᾷ ὁ Γεωγράφος πε„ρὶ τῆς τοποθεσίας τῆς Βετυλούας. αὕτη πότε μὲν τίθεται κατὰ τὸ „βόρειον τῆς Ιερουσαλὴμ μέρος ἐν ἀποσήματι λεγῶν τεσσαράκοντα „πότε δὲ κατὰ τὸ μεσημβρινὸν ἐν διασήματι τινῶν μιλίων.

Εὐάρεσκον ἔργον τὸ ἐφορμᾶν τοιουτοτρόπως κατὰ τῶν ἱστορικῶν ὑπομνημάτων. ἐρευνητέον ὧν τοῦτο. Πολλὰ ἐμπόδια συναντῶσι τὴν σήμερον οἱ Γεωγράφοι περὶ τῆς τοποθεσίας τῆς Βαβυλῶνος, περὶ ἧς τρεῖς εἰσὶν αἱ γνῶμαι, ἀλλήλων διαφέρουσαι. εὐκόλως δὲ ἀποδεῖξαι δύναμαι, ὅτι οὐδεμία τούτων ἀναπάυει, οὐδὲ αὐτὴ ἡ τοποθέσια αὐτὴν πλησίον τῆς Ἔλλας. ἆρα ἡ Βαβυλὼν οὐδέποτε ὑπῆρξεν. Οἱ ἡμέτεροι παλαιογάφοι φιλονεικοῦσι περὶ τῆς τοποθεσίας τῶν πλειόνων τῆς Γαλλίας πόλεων, περὶ ὧν ὁ Καίσαρ ἐν τοῖς οἰκείοις ἐλάλησεν ὑπομνήμασιν. οὐ συμφωνοῦσι δὲ ἵνα μὴ ἐκ τῆς ἡμετέρας ἐξέλθω Νορμανδίας·

ὐδὲ περὶ τῆς τοποθεσίας τῆς χώρας τῶν Βιθυνασίων, ὐδὲ περὶ τῆς θέσεως τῆς τῶν Καλήτων πόλεως. ὁ Καῖσαρ ἄρα ὐδὲν ἕτερον ἦν, εἰ μὴ λογοπλάσης· ὁμοίως ἀσύμφωνοί εἰσι περὶ τῆς θέσεως τῦ δρυμῦ τῦ ἐν τῷ Ἀρελαάνῳ, ἐν ᾧ ὁ Κλοτάριος ὁ Α', εἶτα ὁ Κλοτάριος ὁ Β'. μετὰ τὴν καταστροφὴν αὐτῶν κατέφυγον· οἱ μὲν λέγουσιν, ὅτι ἐστὶν ὁ δρυμὸς τῦ Ἀυρελιανῦ, οἱ δὲ διισχυρίζονται, ὅτι ἐστὶν ὁ τῆς Βροτόνης ἐν τῇ Νορμανδίᾳ, ὁ ἐπὶ τῆς ὄχθης τῆς Σεκυάνης. ἡ φυγὴ ἄρα τύτων τῶν δύω Βασιλέων μῦθός ἐστι. Κριτικὲ ἀδιάκριτε, σὺ ἀντὶ τῦ διασεῖλαι τὸ βέβαιον ἀπὸ τῦ ἀμφιβόλυ, συγχέεις πάντα, ἵνα τὰς ἀναντιῤῥήτυς ἀμαυρώσῃς ἀληθείας. Πρὸς τύτοις ψευδῆ λέγων, „ὅτι πολλὰ ἐμπόδια συναντᾷ ὁ Γεωγράφος περὶ τῆς τοποθεσίας τῆς Βετυλύας· διότι ὁ τόπος ὗτος κατὰ τὰς δύω ἰδικὰς ῥήσεις τῦ βιβλίυ τῆς Ιυδὶθ πλησίον ἦν τῦ πεδίυ Εσδρηλώμ. τῦτο δὲ τὸ πεδίον ἔκειτο ἀναμφιβόλως ἐν τῇ Γαλιλαίᾳ μεταξὺ τῆς Βασὰν, ἢ Σκυθοπόλεως, καὶ τῦ Καρμηλίυ ὄρυς· ἡ Βετυλύα ἄρα ἦν ἐν τῇ αὐτῇ τοποθεσίᾳ, εἴτουν ἐν τῷ βορείῳ μέρει τῆς Ιερυσαλὴμ, ἀπέχυσα ἀπ' αὐτῆς λέγας περὶ πυ τριάκοντα· οἱ δὲ τοπίζοντες αὐτὴν ἐν τῷ μεσημβρινῷ μέρει, ἐν ἀποσήματι μιλίων τινῶν ἀπὸ τῆς αὐτῆς μητροπόλεως, προτείνυσι λόγυς ἀσθενεῖς, καὶ τῆς Γεωγραφίας πάντη ἀλλοτρίυς, ταυτίζοντες τὸν τόπον, ἐξ ὃ κατήγετο ἡ τῆς Ιυδὶθ πατρὶα τῷ ἐν ᾧ αὐτὴ κατῴκει μετὰ τὸν γάμον αὐτῆς.

Ιυδ. 1. 8. 54. 6. 3 7. 3.

Α' ΡΘΡΟΝ ς'.

Περὶ τῆς διαγωγῆς τῆς Ιυδὶθ ἐν τῷ ςρατῷ τῶν Ασσυρίων, καὶ περὶ τῦ ἔτυς τῦ θανάτυ αὐτῆς.

1. Ἡ αἰσχύνη τῦ προσώπυ μυ καλύψει με, (92) ἐὰν μεταγράψω ὅπερ περὶ τῦ τῆς Ιυδὶθ ἐγχειρήματος ἔγραψεν ὗτος ὁ ἀναίσχυντος συκοφάντης, προσθεὶς ταῖς συκοφαντίαις τοιαύτας φράσεις, ὁποίας μόλις μετελθεῖν ἐτόλμα ςρατὸς ἀχάλινος· παρατηρῶ δὲ μόνον τῦτο· ἵνα ὀρθῶς τις κρίνῃ περὶ τῦ τῆς Ιυδὶθ ἐγχειρήματος, ἀνάγκη ἐστὶν ἔχειν πρὸ ὀφθαλμῶν τὸν πόλεμον, ὃν κατ' αὐτῆς, καὶ τῦ γένυς αὐτῆς ἐποίει ὁ Ολοφέρνης, ὁρίσας θανάτῳ παραδῦναι πάντας, αἱ πονηρίαι καὶ ἀπάται, αἱ κατάκριτοι ὅσαι ἐν τῇ πολιτικῇ ὁμηγύρει, ὐδόλως τοιαῦται λογίζονται ὑπὲρ ἀρχιςρατήγυ, τῦ ψευδεῖς ἀποςέλλοντος τῷ πολεμίῳ ἀγγελίας, καὶ τοῖς μὲν τύτυ πάθεσι χωμένυ, ἵνα παγιδεύσῃ αὐτὸν, τῇ δὲ τῶν συμμάχων αὐτῦ φυλαρυρίᾳ, ἵνα διαφθείρῃ αὐτύς· πρὸς τύτοις ὑποτίθεσθαι χρὴ, ὅτι ἡ Ιυδὶθ ἐσωτερικὴν

ἔχυ-

ἔχυσα διάθεσιν, πεῖθυσαν αὐτὴν, ὅτι τεύξεῖ τῆς τῦ Θεῦ ἀντιλήψεως, ἐθάρσησε μόνη σὺν τῇ δόλῃ αὐτῆς ἐμβαλεῖν ἑαυτὴν εἰς κίνδυνον τῦ ἁλωθῆναι ὑπό τινος τῶν Φυλάκων, Ϛ ἐνεχθῆναι ἐνώπιον τῦ ἀσελγεσέρυ τῶν σὺν ἐκείνῳ τῷ βαρβάρῳ Ϛ ἀχαλίνῳ ϛρατῷ ὄντων. ἔδειξε δὲ ἡ ἔκβασις τὸν Θεὸν ὁδηγῦντα αὐτήν· „διότι ὁ καλλωπισμὸς „αὐτῆς, φησὶν, ὁ ἱερὸς συγγραφεὺς ὐκ εἶχε πάθος, ἀλλ' ἀρετῆς σκο„πόν. διο ὁ Κύριος ἔτι μᾶλλον αὐξήσας τὸ κάλλος αὐτῆς, κατέ„σησεν αὐτὸ ἀπαράμιλλον (96).

2. „Ἔτι σπανιώτερόν ἐϛι, λέγει ὁ αὐτὸς, ἡ μετὰ τῦτο τὸ εὔμορ„φον ἐγχείρημα διαμονὴ αὐτῆς σὺν τῇ οἰκίᾳ τῦ ἰδίυ ἀνδρὸς, ἔτι πέν„τε πρὸς τοῖς ἑκατὸν, ὡς διαλαμβάνει τὸ δέκατον ἔκτον κεφάλαιον. „ἐπὶ τῇ ὑποθέσει ὧν τῦ, ὅτι αὐτὴ ἦν τριακονταετὴς, ὅτε ἐτέλεσε τὸ „γενναῖον κατόρθωμα, ἔζησεν ἄρα ἔτη πέντε Ϛ τριάκοντα Ϛ ἑκατόν.

Ἰδὲ τὸ ῥητὸν μεταπεφρασμένον ὐ μόνον ὑπό τινος ἐπιτηδειοτάτυ μεταφραϛῦ τῶν καλυμένων Καθολικῶν, ἀλλὰ Ϛ ὑπὸ Προτεϛάντυ, μὴ πάνυ ὑπερασπιζομένυ τὸ τῆς Ἰυδὶθ βιβλίον. „Αὕτη ἐγήρασεν σὺν „τῷ οἴκῳ τῦ ἀνδρὸς αὐτῆς, ὃς προέβη ἄχρι τῦ ἑκατοϛῦ πέμπτυ „ἔτυς, σὺν ᾧ ἐτελεύτησε μετὰ τὸ ἐλευθερῶσαι τὴν δόλην αὐτῆς. (97) ἡ ὧν „Ἰυδὶθ ὐκ ἔζησεν ἑκατὸν καὶ τριακονταπέντε ἔτη, ὡς αὐτός φησιν, ἀλλὰ μόνον πέντε πρὸς τοῖς ἑκατόν.

3. „Τὸ ὕφος, προσίθησιν αὐτὸς, καταβυθίζει ἡμᾶς σὺν ἑτέρᾳ „δυσκολίᾳ, λέγων· Οὐδεὶς ἐτάραξε τὸν Ἰσραὴλ σὺν ὅσῳ αὐτὴ ἔζη. κα„τὰ δυσυχῆ γὰρ συγκυρίαν ὗτος ἦν ὁ καιρὸς τῶν μεγάλων τῦ Ἰσρα„ὴλ δυσυχημάτων.

Μετὰ τὸν Πετάν, καὶ ἄλλυς ἐπιτηδείυς χρονολόγυς τάττω τὸν τῦ Ὀλοφέρνυ θάνατον, ᾧ τῆς Βετυλούας τὴν ἐλευθερίαν σὺν τῷ πρὸ τῦ χριϛιανικῦ ἔτυς ἑξακοσιοϛῷ ὀγδοηκοϛῷ ὀγδόῳ ἐνιαυτῷ, ὅϛις ἐϛὶν ὁ δέκατος ἐνιαυτὸς τῆς τῦ Μανασσῆ Βασιλείας, τῦ τότε μὲν αἰχμαλώτυ ὄντος σὺν Βαβυλῶνι, κατὰ δὲ τὸ ἑφεξῆς ἔτος ἀποϛαλέντος ὑπὸ τῦ σὺν αὐτῇ βασιλεύοντος εἰς τὴν ἰδίαν αὐτῦ βασιλείαν· ἡ Ἰυδὶθ τότε ἦν τριακονταπενταετὴς, ἠδύνατο δὲ τῇ τῶν περικοσμημάτων δυνάμει νεωτέρα ὀφθῆναι ἐνώπιον τῶν ὀφθαλμῶν τῶν Ἀσσυρίων, ἐτελεύτησε δὲ τῷ ἑκατοϛῷ πέμπτῳ ἔτει τῆς ἡλικίας αὐτῆς, εἴτυν τῷ ἑξακοσιοϛῷ δεκάτῳ ὀγδόῳ σὺν ἑαυτῷ πρὸ τῦ χριϛιανικῦ ἔτυς. ἔϛι δὲ ὁ σὺν αὐτὸς ὅτος ὁ εἰκοϛὸς τρίτος τῆς τῦ Ἰωσίᾳ Βασιλείας. μετὰ δὲ τὸν πρὸ τῦ αὐτῦ χριϛιανικῦ ἔτυς ἑξακοσιοϛὸν ὀγδηκοϛὸν ὄγδοον σὺν αὐτὸν, ἄχρι τῦ πρὸ Χριϛῦ ἑξακοσιοϛῦ ἑνδεκάτυ, σὺν ᾧ οἱ Ἰωσίας πολεμῶν κατὰ τῶν Αἰγυπτίων ἐφονεύθη, βασιλεύσας τριά-

κοντα

κοντα ὁλόκληρα ἔτη, διῆλθον ἔτη ἑβδομήκοντα καὶ ὀκτώ· προκαλῶ ὃν πάντα τὸν βυλόμενον δεῖξαι ἐν τῷ μεταξὺ τούτων τῶν ἐτῶν ἔφοδόντινα γενομένην ἐν τῇ γῇ τῶν Ἰσραηλιτῶν. ἰδὼ ὃν τὸ μὲν τῆς Ιυδὶθ ὕφος. „Καὶ οὐκ ἦν ἔτι ὁ ἐκφοβῶν τὸς υἱὸς Ισμαὴλ ἐν ταῖς ἡμέ-Ιυδ. 16. 25. „ραις Ιυδὶθ, καὶ μετὰ τὸ ἀποθανεῖν αὐτὴν ἡμέρας πολλάς· μετὰ ἀκριβείας ἀληθεῦον. ὁ δὲ κριτικὸς, ὁ λέγων, ὅτι ἐκεῖνος ἦν ὁ καιρὸς τῶν μεγάλων ταραχῶν, ἐξελεγχθεὶς ὡς ψευδολογῶν.

ΑΡΘΡΟΝ Ζ.

Περὶ τῆς Ιυδαικῆς ἑορτῆς, τῆς εἰς ἀνάμνησιν τῆς ὑπὸ τῆς Ιυδὶθ γενομένης ἀπολυτρώσεως.

1 „Τινὲς τῶν τῆς Ιυδὶθ ὑπερασπιςῶν, φησὶν ὁ αὐτὸς, διισχυρί-„σθησαν ἀληθές τι περιέχειν τὸ συμβὰν αὐτῇ, διὰ τὸ τὰς Ιυδαίας „ἑορτάζειν κατὰ πᾶν ἔτος ταύτης τῆς τερατυργῆ γυναικὸς τὴν ἑορ-„τήν. ἀλλ' ἀπεκρίθησαν αὐτοῖς, ὅτι κἂν δωδεκάκις κατ' ἔτος ἑορ-„τάζον οἱ Ιυδαῖοι εἰς τιμὴν τῆς ἁγίας Ιυδὶθ, τοῦτο οὐδὲν δείκνυσιν.

Ἡ διαταγὴ τῆς ἑορτῆς εἰς μνήμην συμβάντος τοσοῦτον ἐπισήμου, ὅσον ἐςὶ τὸ περὶ οὗ ὁ λόγος, ἀποδείκνυσιν, ὡς ἐγὼ διισχυρίζομαι, ὅτι τὸ διατάξαν αὐτὴν γένος πεπληροφορημένον ἦν περὶ τῆς ἀληθείας τοῦ πράγματος. ἐὰν δὲ ἡ τοιαύτη ἑορτὴ διετάχθη μικρόν τι ὕςερον τοῦ συμβάντος, τοσοῦτον ἐπιβεβαιοῖ, ὅτι δῆλον ἦν τοῖς πᾶσι τὸ ἔργον, ὥςε μηδεμίαν περὶ τούτου προκύπτειν εὐλογοφανῆ ἀμφιβολίαν.

2. Τί δὲ σκοποῦσιν ἐνταῦθα αἱ ὑπ' αὐτοῦ προτεινόμεναι ἑορταὶ „τοῦ Κάσορος, καὶ Πολυδεύκους, ἢ ἡ τῆς Βερενίκης τῆς Συλλίας (98);

Ἀράγε εὑρίσκεται ἡ τῶν ἑορτῶν τούτων διάταξις ἐν ὑπομνήμασι κεκυρωμένοις, καὶ συγγεγραμμένοις ἐγγὺς τοῦ καιροῦ, ἐν ᾧ ἤκμαζον ταῦτα τὰ πρόσωπα;

Οἱ ἑπτὰ παῖδες, αἱ ἕνδεκα χιλιάδες παρθένοι, τὰ ὀνόματα τῶν τριῶν Βασιλέων οὐχ εὑρίσκονται, εἰμὴ ἐν βιβλιδαρίοις ἀποκρύφοις, ἅτινα ἀνηρέθη ὑπὸ τῶν σοφῶν πασῶν τῶν ὁμηγύρεων (99).

3. Ἀλλὰ ψευδὲς ἐςὶ, φησὶν ὁ αὐτὸς, ὅτι οἱ Ιυδαῖοι ἑόρταζον „ποτε τὴν τῆς Ιυδὶθ ἑορτήν.

Ἀκουσον τὸν τὰ περὶ αὐτῆς καθιερωμένα, τὸν τοσάκις μετ' εὐλαβείας προτεθέντα κατὰ τοὺς δύο πρώτους τῆς Ἐκκλησίας αἰῶνας, τὸν ἀναγινωσκόμενόν τε καὶ πιςευόμενον, ὡς φησιν ὁ Ὠριγένης, ὑπὸ τῶν παρὰ τοῖς Ιυδαίοις σοφῶν (100). Ἰδὼ ὃν τί μαρτυρεῖ ὁ παλαιὸς ἅτος συγγραφεὺς ἐν τῷ χαλδαϊκῷ τεύχει, τῷ ὑπὸ τοῦ θείου Ἱερω-

νύμου

νύμῳ μεταφρασθέντι· „Ἡ ἡμέρα, καθ' ἣν ἐνίκησεν ἡ Ιουδὶθ κατε-„τάχθη ὑπὸ τῶν Ἑβραίων ἐν ταῖς ἁγίαις ἡμέραις. μετὰ δὲ τὸν καιρὸν ἐκεῖνον ἄχρι τῆς σήμερον τιμᾶ) ὑπὸ τῶν Ιουδαίων ὡς ἡμέρα ἑορτῆς. Ἀράγε ὢν ὁ Ἄννιος, ὁ ἐκ τῆ Βιτερβίῳ ἐστὶν ὁ πλάσης τῆς ῥήσεως ταύτης; (101) ἀληθῶς πρὸ πολλῆ οἱ Ιουδαῖοι οὐκ ἐκτελοῦσιν αὐτήν. ἀλλ' ἐνδεχομένως ἡ τοιαύτη ἑορτὴ κατ' ἀρχὰς μὲν ἠμελήθη διὰ τὴν ἐκ τῆς αἰχμαλωσίας δυσχίαν, εἶτα δὲ ἠμνημονήθη. ἑόρταζον δὲ αὐτὴν ἐν ταῖς ἡμέραις τῆ εἰρημένῃ τιμίᾳ συγγραφέως, τῆ μαρτυροῦντ☉, ὅτι τιμᾶ) ἄχρι τῆς σήμερον. σὺ δὲ ὅσον ἀφιεὰς τὸν καιρὸν, ἐν ᾧ ἐπαύσατο ἡ χρῆσις αὐτῆς, τοσοῦτον βιάζεις σεαυτὸν ὁμολογεῖν, ὅτι ὁ συγγραφεὺς ὁ μαρτυρῶν, ὅτι ἐν ταῖς ἡμέραις αὐτῆ ἔτι ἐτελεῖτο, ἐστὶν ἀρχαιότερ☉.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Περὶ τῆ κύρες τῶν δύω ἐσχάτων βιβλίων τῶν Βασιλειῶν, καὶ τῶν δύω τῶν Παραλειπομένων· ἐν ᾧ καὶ ἡ ἀπάντησις τῶν ἐνσάσεων κατὰ τῆ τρίτῃ βιβλίῳ τῶν Βασιλειῶν.

ΑΡΘΡΟΝ Α.

Ἐν ᾧ αἱ ἀποδείξεις τῆ κύρες τῶν δύω ἐσχάτων βιβλίων τῶν Βασιλειῶν, καὶ τῶν δύω τῶν Παραλειπομένων.

1. Ἐὰν κρίνωμεν περὶ τῆ χρόνῳ, καθ' ὃν αἱ ἱστορικαὶ αὗται συλλογαὶ συνεκροτήθησαν, ἐκ μόνων τῶν ἐσχάτων αὐτῶν κεφαλαίων συμπεραίνομεν, ὅτι συνεγράφησαν κατὰ τὸν καιρὸν τῆς ἀπὸ τῆς Βαβυλῶνος ἐπιστροφῆς, περὶ ἧς ῥητῶς διαλαμβάνει τὸ ἔσχατον κεφάλαιον τῆ δευτέρῳ τῶν Παραλειπομένων βιβλίῳ. τὸ δὲ τέταρτον βιβλίον 4. Βασ. 25. 27.
τῶν Βασιλειῶν προάγει τὴν διήγησιν ἄχρι τῆς Βασιλείας τῆ Εὐιλμεροδὰχ, ᾧ καὶ διαδόχῳ τῆ μεγάλῳ Ναβυχοδονόσορ, τῆ καταστρέψαντ☉ τὴν Ἱερουσαλὴμ, ☾ καύσαντ☉ τὸν ναόν. ἀλλὰ κἂν ταῦτα Τὸ 36. τῆς 2. Παραλ. καὶ 25. τῆ 4. τῶν Βασ.
τὰ δύω κεφάλαια οὐκ ἐγράφησαν εἰμὴ μετὰ τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἐπιστροφὴν, οὐχ ὅμως καὶ τὰ πρὸ αὐτῶν. διότι ἀναγινώσκομεν ἐν μὲν τῷ ἑνάτῳ κεφαλαίῳ τῆ τρίτῃ τῶν Βασιλειῶν τάδε. „Τὰ τέκνα 3. Βασ. 9. 21.
„αὐτῶν τὰ ὑπολελιμένα μετ' αὐτὸς, ὃς οὐκ ἠδύναντο οἱ οἱ Ισραὴλ ἐξο-„λοθρεῦσαι αὐτός. καὶ ἀνήγαγεν αὐτὸς Σολομὼν εἰς φόρον δουλείας „ἕως τῆς ἡμέρας ταύτης· Ἐν δὲ τῷ δωδεκάτῳ τάδε· Καὶ ἠθέτησεν 3 Βασ. 12 19.
„Ισρα-

4. Βασ. 8. 19. 22. „Ισραὴλ εἰς τὸν εἰκον Δαβὶδ ἕως τῆς ἡμέρας ταύτης· „Ἐν δὲ τῷ ογδόῳ τῷ τετάρτῳ βιβλίῳ τῶν Βασιλειῶν τάδε· „Καὶ ὐκ ἠθέλησε Κύ„ριος διαφθεῖραι τὸν Ἰούδαν, ὐδὲ ἀπορρίψαι ἕως τοῦ νῦν (102. Καὶ ἠ-
2. Παραλ. 8. 8 θέτησεν Ἐδὼμ ὑποκάτω τῆς χειρὸς Ἰούδα ἕως τῆς ἡμέρας ταύτης. Τὸ δὲ ἕως τῆς ἡμέρας ταύτης κεῖται κἂν τῷ δευτέρῳ βιβλίῳ τῶν Παραλειπομένων, ἐν ᾧ προσέτι ἀναγινώσκομεν τὸ, ὅτι ἡ Κιβωτὸς ἐτέθη ὑπὸ τοῦ Σολομῶνος εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ ἦν ἐκεῖ ἕως τῆς ἡ-
2. Παραλ. 5. 9. μέρας ταύτης. Ταῦτα μὲν πάντα, πολλῷ δὲ μᾶλλον τὰ πρὸ αὐτῶν, ἐγράφησαν καθ' ὃν καιρὸν ἡ Κιβωτὸς ἦν ἔτι ἐν τοῖς ἁγίοις τῶν ἁγίων, ὅτε ἔτι ὑπῆρχεν ὐ μόνον ἡ Βασιλεία τοῦ Ἰούδα, καὶ τοῦ Ἐδὼμ, ἀλλὰ καὶ ἡ τῶν δέκα φυλῶν, καὶ ὅτε οἱ καταλειφθέντες Χαναναῖοι ἐφορολογοῦντο ἔτι ὑπὸ τῶν Ἰουδαίων. τὸ πλεῖον ἄρα μέρος τῶν Βασιλειῶν καὶ τῶν Παραλειπομένων, ἐν οἷς ταῦτα κεῖται, συνεγράφη πρὸ τῆς καταστροφῆς τοῦ ναοῦ, πρὸ τῆς μετοικεσίας τοῦ Ἰούδα, καὶ τῆς τῶν ἑνδεκα φυλῶν, καὶ πρὸ τῆς πτώσεως τῆς Σαμαρειτῶν Βασιλείας, κἂν ἡ ὁλοσχερὴς συλλογὴ τούτων τῶν βιβλίων ὐκ ἔσχε τέλος, εἰμὴ μετὰ τὴν ἀπὸ τῆς Βαβυλῶνος ἐπιστροφὴν, καθ' ἣν ὡσυμπέρασμα προσετέθη ἑκάστῳ τῶν εἰρημένων βιβλίων τὸ ἔσχατον κεφάλαιον.

2. Ταῦτα μὲν τὰ βιβλία, τὰ συγκροτοῦντα μέρος τοῦ ἑβραϊκοῦ κανόνος μνημονεύον) ὑπὸ τῶν μετὰ τὴν αἰχμαλωσίαν ὁμογνωῶν συλ-
Λευ. 4. 25. γραφέων· τὸ δὲ τριτον καὶ τέταρτον τῶν Βασιλειῶν βιβλίων ὑπὸ τῆς
Ρωμ. 11. 2. νέας Διαθήκης. ὐδεμία δὲ ἀμφιβολία περὶ τοῦ ὅτι ὁ Σειρὰχ ὐ μόνον
Σειρ. 48. 49. τὰ πράγματα ἐξ αὐτῶν ἔλαβεν, ἀλλὰ καὶ τὰ ῥητὰ, οἷς ἐχρήσατο, ἐγκωμιάζων τὸν Ηλίαν, τὸν Ελισσαῖον, τὸν Εζεκίαν, τὸν Ιωσίαν. τε-
Νεεμ. 12. λευταῖον ὁ συγγραφεὺς ὁ τὴν τοῦ Νεεμίου βίβλον συγγράψας, ὑφιστα-
μένης ἔτι τῆς τῶν Περσῶν Βασιλείας, ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ ὐ μόνον μετέγραψε τὴν τῶν Λευιτῶν γενεαλογίαν ὡς κεῖ) ἐν ᾧ τῶν
1. Παραλ. 9. Παραλειπομένων πρώτῳ βιβλίῳ, ἀλλὰ καὶ ἐσημείωσε ῥητῶς καὶ τὸ ἐκ ποίας πηγῆς ἐξηντλησεν αὐτὴν, λέγων, ὅτι ἐξὶ γεγραμμένη ἐν ᾧ βιβλίῳ τῷ Δίβρε Αἰαμιν, εἴτουν ἐν ᾧ τῶν λόγων τῶν ἡμερῶν. δῆλον δὲ, ὅτι τοῦτό ἐξι τὸ ὄνομα, δι' ὃ οἱ Ἑβραῖοι ὠνόμαζον, καὶ ἀκμὴν ὀνομάζουσι τὴν ἓν μόνον τεῦχος ἐν τῷ κανόνι αὐτῶν συνισῶσαν τῶν Παραλειπομένων συλλογὴν, διὰ τὸ ἄρχεσθαι τὸ τεῦχος τοῦτο διὰ τῶν λόγων, Δίβρε Αἰαμιν. Ο κριτικὸς φιλόσοφος λίαν εὐηρεστήθη, ὡς ἔοικε τοῖς σημειώμασιν, ἅπερ πεποίηκεν εἰς τὰ περιεχόμενα ἐν τοῖς βιβλίοις τῶν Βασιλειῶν καὶ Παραλειπομένων. „Ταῦ„τα γὰρ λέγει, τὰ σημειώματα εἰσὶ γεγραμμένα πολυμαθῶς τε καὶ „ἀπαθῶς, κἂν σφοδρῶς τε καὶ αὐθαδῶς.

ΑΡ-

ΆΡΘΡΟΝ Β'.

Περὶ τῦ τρόπυ τῦ Σολομῶντος κατὰ τῦ Αδωνίυ.

1. Οὗτ☉ ἄρχε☽ πρῶτον ἀπὸ τῦ Σολομωντίυ προσάγμα☉, τῦ περὶ τῦ θανάτυ τῦ ἀδελφῦ αὐτῦ Αδωνίυ διὰ τὸ αἰτῆσαι λαβεῖν εἰς γυναῖκα τὴν Αβισὰν τὴν Σωμανίτιν. ἐκθέμν☉ δὲ κατὰ τὸν συνήθη αὐτῶ τρόπον τὴν ἐκπλήρωσιν τύτυ τῦ προσάγμα☉, τὴν γενομένην διὰ Βαναίυ, τῦ Καπιτανίυ, λέγει, τῶν σωμαΤοφυλάκων, ὃν ἐμπαθῶς ἔντε τοῖς σημειώμασι ☾ τῇ μεταφράσει αὐτῦ ὀνομάζει Καπιτάνιον Βαναίαν, κἂν ὀθαμῦ ἡ θεία Γραφὴ, ἣν αὐτὸς μετὰ πάσης ἀκριβείας μεθερμηνεύειν ἐπαγγέλλεται, ἀπονέμῃ τῷ Βαναίᾳ τοιαύτην ἀξίαν, ἐκφωνεῖ· „Τίς ἐσιν ἀράγε ἡ ἱσορία αὕτη; ἡ τῦ λαῦ τῦ Θεῦ; ἢ ἡ τῦ „παλατίυ τῦ Συλτάνυ; ἢ ἡ τῶν σὺ ταῖς ὁδοῖς λῃσῶν;

Πρὶν τῆς ἀποκρίσεως, διορισέον ἐσὶ τὸ ζήτημα· „Ιδὺ τὸ τῆς „Γραφῆς ὕφ☉· Καὶ ὁ Βατιλεὺς Δαβὶδ προβεβηκὼς ἡμέραις.... 3. Βασ. 1.
„Καὶ Αδωνίας ὑὸς Αγγὶθ ἐπῆρετο, λέγων· ἐγὼ βασιλεύσω. „καὶ „ἐποίησεν ἑαυτῷ ἅρματα ☾ ἱππεῖς, ☾ πεντήκοντα ἄνδρας παρατρέχειν „ἐνώπιον αὐτῦ.... Καὶ ἐγένοντο οἱ λόγοι αὐτῦ μετὰ Ιωὰβ ὑῦ Σα„ρυίας, ☾ μετὰ Αβιάθαρ τῦ Ιερέως, καὶ ἐβοήθυν ὀπίσω Αδωνίυ... „Καὶ ἐθυσίασεν Αδωνίας πρόβατα ☾ μόσχυς ☾ ἄρνας παρὰ τὸν Λί„θον τῦ Ζωελέθ. ☾ ἐκάλεσε πάντας τὺς ἀδελφὺς αὐτῦ, καὶ πάν„τας τὺς υἱὺς τῦ Βασιλέως.... Καὶ εἶπε Νάθαν πρὸς „Βηρσαβεὲ μητέρα Σολομῶν, λέγων, ὐκ ἤκυσας ὅτι ἐβασίλευσεν Α„δωνίας ὑὸς Αγγὶθ, καὶ ὁ κύρι☉ ἡμῶν Δαβὶδ ὐκ ἔγνω... Καὶ εἶ„πε Νάθαν, κυρίε μυ Βασιλεῦ σὺ εἶπας, Αδωνίας βασιλεύσει ὀπίσω„μυ, καὶ αὐτὸς καθήσε☽ ἐπὶ τῦ θρόνυ μυ, ὅτι κατέβη σήμερον, καὶ „ἐθυσίασε μόσχυς καὶ ἄρνας καὶ πρόβατα εἰς πλῆθ☉, καὶ ἐκάλεσε „πάντας τὺς υἱὺς τῦ Βασιλέως, καὶ τὺς ἄρχοντας τῆς δυνάμεως, καὶ „Αβιάθαρ τὸν Ιερέα καὶ ἰδὺ εἰσὶν ἐσθίοντες καὶ πίνοντες ἐνώπιον „αὐτῦ, καὶ εἶπεν, ζήτω ὁ Βασιλεὺς Αδωνίας

„Ο Νάθαν, φησὶν αὐτὸς, συνωμοσίαν πεποίηκε μετὰ τῆς Βηρ„σαβεὲ τῦ ἁρπάσαι τὸ τῦ πρεσβυτέρυ σέμμα ἵνα δὲ ἐκβασιν λάβῃ „ὁ σκοπὸς αὐτῦ, ψεύδε☽. διότι ἐγκαλεῖ τὸν Αδωνίαν, ὡς γεγονότα „Βασιλέα. ὁ δὲ Αδωνίας εἶπε μόνον ἐγὼ ἐλπίζω, ὅτι ἔσομαι Βα„σιλεύς.

Η περιτροφὴ ἐσὶν εὐφυὴς, πλὴν ὁ Αδωνίας ὐκ εἶπεν ἁπλῶς, ἐλπίζω, ὅτι ἔσομαι Βασιλεὺς, ἀλλ' εἶπεν, ἐγὼ βασιλεύσω. καὶ ἠρξάμε-

μὲν συλλέγειν πολεμιςὰς, καὶ συγκροτεῖν πομπὴν βασιλικὴν, ἐπεσπάσατο δὲ, μηδὲν εἰδότος τοῦ πατρὸς αὐτοῦ, τοὺς υἱοὺς τοῦ Βασιλέως καὶ ἀδελφοὺς αὐτοῦ, καὶ τοὺς μεγάλους ὑπηρχοὺς τῆς Βασιλείας, συναγωγὼν δὲ αὐτοὺς, ἀνεκηρύχθη Βασιλεύς. οἱ γὰρ συνωμόται αὐτοῦ ἐκραύγασαν, ζήτω ὁ Βασιλεὺς Ἀδωνίας. γυμναὶ ἐλπίδες εἰσὶ ταῦτα, καὶ ἁπλῆ τοῦ μέλλοντος θεωρία; οὐκ ἦν τοῦτο ἐπιχείρημα φανερὸν κατὰ τοῦ Βασιλέως καὶ τῆς Βασιλείας; ὁ καλέσας συνωμοσίαν τὰ τοῦ Νάθαν καὶ τῆς Βηρσαβεὲ κινήματα, πολλῷ μᾶλλον ὤφειλε καλέσαι φάσιν καὶ ῥαδιουργίαν τὰ τοῦ Ἀδωνίου καὶ τῶν αὐτοῦ ὁπαδῶν.

Ὁ μὲν Ἀδωνίας καλῶς αἰσθανόμενος ὅτι γέγονεν ἄξιος θανάτου, κατέφυγεν ἐπὶ τὸ θυσιαςήριον· ὁ δὲ Σολομὼν ἀνακηρυχθεὶς Βασιλεὺς ὑπὸ Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ χρισθεὶς διὰ τῆς αὐτοῦ
3. Βασ. 1. 51. 52. ἐπιταγῆς τῇ συγκαταθέσει τῆς βασιλικῆς αὐλῆς καὶ τοῦ λαοῦ, ἐποίησεν ἔλεος μετ' αὐτοῦ, ὑποσχεθεὶς αὐτῷ, μηδὲν ἐπακολουθήσειν αὐτῷ κακὸν, ἐὰν εἰς τὸ ἐξῆς πολιτευθῇ καλῶς. Σημείωσαι, ὅτι ἄχρι τοῦδε οὐδὲν βλέπομεν, οὐδὲ κἂν μικρόν τι, ὅμοιον τῇ ἰσορίᾳ τοῦ παλατίου τοῦ Σαλτάνου. ἐκεῖ οἱ κατὰ πάντα ἀθῶοι ἀδελφοὶ θύονται τῇ ὠμοτάτῃ ἀπιςίᾳ τοῦ βασιλεύοντος ἀδελφοῦ. ἐνταῦθα ὁ τοῦ Βασιλέως υἱὸς πταίσης ὧν διὰ τὴν γενομένην ὑπ' αὐτοῦ φάσιν κατὰ τῆς ἐξουσίας τοῦ Βασιλέως καὶ τοῦ γένους, ἀπολύεται τῇ συνθήκῃ τοῦ χαλινῶσαι τὴν φιλοδοξίαν αὐτοῦ, καὶ παύσασθαι τοῦ λοιποῦ ἀπὸ τοῦ ποιεῖν συνωμοσίας.

Τί δὲ ἐποίησεν ὁ Ἀδωνίας; Εὐθὺς μετὰ τὸν τοῦ πατρὸς αὐτοῦ Δαβὶδ θάνατον βουλεύεται ζητῆσαι λαβεῖν εἰς γυναῖκα τὴν τότε ἠγαπημένην σύζυγον, τὴν Σωμανίτιν Ἀβισάγ. „Αὐτὴ, λέγει ὁ κριτικὸς, „ἦν κόρη νέα, θεραπαινὶς· ἡ δὲ τῆς τοιαύτης χάριτος ἀπόλαυσις ἀ„δεμίαν ἐπέφερε συνέπειαν. Τὶς ἀράγε ὅτω καλῶς ἐδίδαξεν αὐτόν; τὴν μὲν Ἀβισὰγ, τὴν ὑπὸ τοῦ Βασιλέως καταλειφθεῖσαν χήραν οἱ ἐν τῇ βασιλικῇ αὐλῇ διά τε τὴν τόξιν καὶ τὰ ἤθη αὐτῆς λίαν ἐσέβοντο·
3. Βασ. 2. 22. ὁ δὲ Σολομὼν τοῦτο εἰδὼς πολλῷ βέλτιον τοῦ ἀπίςου, οὐκ ἠπατήθη. „Ἵνα τὶ, ἀπεκρίθη τῇ Βηρσαβεὲ, σὺ ἤτησας Ἀβισὰγ Σωμανίτιν τῷ „Ἀδωνίᾳ; καὶ αἴτησαι αὐτῷ τὴν Βασιλείαν, ὅτι ὅτος ἀδελφός μου ὁ „μέγας ὑπὲρ ἐμὲ, καὶ αὐτῷ Ἀβιάθαρ ὁ Ἱερεὺς, καὶ αὐτῷ Ἰωὰβ υἱὸς „Σαρουΐας. Τὸ πεῖσαν τὸν Ἀδωνίαν ζητῆσαι λαβεῖν εἰς γυναῖκα τὴν τῷ πρώην Βασιλεῖ κεχαρισμένην, οὐκ ἦν κλίσις νέου ἀνθρώπου, ἀλλὰ σκοπὸς προμεμελετημένος. ὁ δὲ Σολομὼν τοσοῦτον ἦν περὶ τοῦτο καταπεπεισμένος, ὡςε κελεύσας τὸν Βαναίαν ἀπαλλάξαι αὐτὸν τοῦ φιλοδόξου καὶ ταραχώδους πταίσου, ἐξώρισεν ἅμα καὶ τὸν μέγαν Ἱερέα τὸν

Ἀβιά-

Ἀβιάθαρ. τοῦτο δὲ ἐπίσης ἐγίνωσκε καὶ ὁ Ἰωάβ· διὸ μαθὼν τὸν θάνατον τῷ πρώτῳ, καὶ τὴν δυσχίαν τῷ δευτέρῳ, ἐτέλεσεν ἔργον, ὅπερ οὐκ ἐποίησεν, ὅτε ὁ Σολομὼν ἀνεκηρύχθη Βασιλεὺς, εἶτεν κατέφυγεν εὐθὺς ἐπὶ τὸ θυσιαστήριον· κατενόησε γὰρ, ὅτι τὰ μὲν μηχανήματα αὐτῷ ἀπεκαλύφθησαν, ὁ δὲ Σολομὼν συνῆκε τὸν ἀπόκρυφον λόγον, δι' ὃν γεγόνασι τοσαῦται ἱκεσίαι ὑπὲρ τῆς Ἀβισὰγ τῆς Σωμανίτιδος. ἑνὶ λόγῳ, ὁ Σολομὼν ὑπὲρ τῆς ἰδίας καὶ τῆς τοῦ κράτους αὐτοῦ ἀσφαλείας ἐθυσίασεν ἕνα τῶν ἀδελφῶν, ἄξιον θανάτου, ὡς ἁρπάσαντα τὴν βασιλικὴν ἐξουσίαν, ζῶντος ἔτι καὶ μὴ εἰδότος τοῦ πατρὸς αὐτοῦ, ἄνδρωπον ἐπιχειρηματίαν, καὶ αὐθάδη, ὅσις καὶ μετὰ τὴν ἐπίτευξιν τοῦ ἀδελφικοῦ ἐλέους ἐφαίνετο ἀδιάθετος πρὸς τὸ καταλιπεῖν τὰς φιλοδόξους αὐτοῦ σκοπούς. τοῦτο δέ ἐστιν ὅπερ ὁ φιλόσοφος καλεῖ πρᾶξιν λῃστρικήν.

2. „Οὕτως θέλει, προσίθησιν ὁ αὐτὸς, εἰς ἀμοιβὴν τῆς Βασι„λείας, ἧς ἐξέρῃ, τὴν ὕβλην, τὴν τὸν γεγηρακότα πατέρα αὐτοῦ „θερμαίνουσαν.

Μικρὰ ἦν ἡ ἀμοιβὴ μετὰ τὴν τῶν ῥημάτων τούτων ἔκθεσιν. ἡ ἀμοιβὴ δὲ ὑποτίθεῖ δικαίωμα· ποῖον δὲ ἦν τὸ δικαίωμα, τὸ ἀναγκαίως ἐπιβεβαιοῦν τὸν τοῦ ἰσραὴλ θρόνον τῷ πρεσβυτέρῳ τῶν υἱῶν; ἦν ἄρα τοῦτο γενῶν δικαίωμα· ἀλλὰ τούτῳ κειμένῳ, τὰ μὲν σέμματα ἔσονται φύσει ἐν τῶν ψιλῶν πατρικῶν ἀγαθῶν. ὁ δὲ παρὰ τοῖς Γαλλοις Σαλικὸς λεγόμενος νόμος, ὁ ἀποκλείων, καὶ ἐν αὐτῇ τῇ τῶν ἀῤῥένων ἐλλείψει, τὰ θήλεα ἀπὸ τοῦ σέμματος, ἔσεται ἐναντίος τῷ φυσικῷ δικαιώματι, ὡσαύτως καὶ τῷ τῆς ἐκλογῆς, τῆς ὑπὸ πολλῶν τῆς Εὐρώπης ἐθνῶν θεσμοθετηθείσης. ἦν ἄρα τοῦτο δικαίωμα τῶν Ἑβραϊκῶν νόμων; ἀλλ' αὐτὸς μὲν ὁ φιλόσοφος ἐσημείωσεν, ὅτι ἡ τῆς διαδο„χῆς τάξις ἀκμὴν οὐκ ἦν σαθερῶς διωρισμένη παρὰ τοῖς Ἰουδαίοις· ὁ δὲ τοῦ Δευτερονομίου νόμος περιέχει τάδε. „Καταςήσουσι Βασιλέα ὃν Deut. 17. 15. „ἂν ἐκλέξῃ Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν αὐτῶν. Ἡ τοῦ Θεοῦ ἐκλογὴ ἐποίησε Βασιλέα τὸν Σαοὺλ, καὶ ἔδωκεν αὐτῷ διάδοχον τὸν Δαβίδ. τὸ γένος περιέμενε τὴν τοῦ Θεοῦ θέλησιν ὑπὲρ τοῦ διαδόχου τοῦ Δαβὶδ ἥτις ἀπεκαλύφθη αὐτοῖς διὰ τοῦ αὐτοῦ Βασιλέως καὶ Προφήτου.

ΑΡΘΡΟΝ Γ'.

Περὶ τῆς ποινῆς τοῦ Ἰωάβ.

1. Τῷ αὐτῷ τόνῳ ἐπιφέρει ὁ φιλόσοφος τάδε· „Ἐὰν αἱ κακίαι, „μεθ' ὧν ὁ Σολομὼν ἤρξατο βασιλεύειν, ἐπιδεκτικαί εἰσί τινος προ-

„σθήκης, προσέθετο τὴν Ιερουσλίαν. ὁ Καπιτάνιος ὁ Βαναίας ἀνα-
„γέλλει αὐτῷ, ὅτι ὁ Ιωὰβ ἐπικαλεῖ τὸ Θεῦ τὸ ἔλεος ἐν τῇ Σκηνῇ,
„ἐναγκαλίζων τὰ κέρατα τῦ θυσιαστηρίυ· Ϛ ὁ μὲν ὑπηρέτης ὁ Βαναί-
„ας ἠ τολμᾷ λησεῦσαι ἐν τόπῳ τοσῦτον ἁγίῳ. ὁ δὲ Σολομὼν μηδό-
„λως παραχθεὶς, κελεύει αὐτῷ ἀποκτεῖναι τὸν Ιωὰβ ἐν τῷ ὑπ' αὐ-
„τῦ ἐναγκαλισθέντι θυσιαστηρίῳ. μετὰ δὲ τὰ τοσαῦτα φρικώδη ἔργα,
„τῦτο πάντως παράδοξον, τὸ τὸν Θεὸν μηδόλως διεκδικῆσαι τὸν ἱε-
„ρὸν κάλαθον, ἐν ᾧ ἐσφάγη ὁ ὑπέρτερος τῶν Ιουδαίων Καπιτάνιος,
„ὥπερ τὸ ϛέμμα ὁ Δαβὶδ ὤφειλε.

Τὶς ἂν ἐκπλαγείη, ὁρῶν τὸν ζῆλον αὐτῦ, τὸν ὑπὲρ τῦ δι-
καιώματος τῦ ἀσύλυ; ἀλλ' ὁ ζῆλος ὅτος ἂν ἔχει κατ' ἐπίγνωσιν. „Ε-
Ex. 21. 14. „ὰν δέ τις, λέγει ὁ νόμος, ἐπιθῆται τῷ πλησίον τῦ ἀποκτεῖναι αὐ-
2. Bασ. 3. 17. τὸν δόλῳ, (τῦτό ἐςιν ὅπερ ἐποίησεν ὁ Ιωὰβ τῷ Αβανὴρ Ϛ τῷ Αμεσ-
& 20. 10. σαΐ). Ϛ καταφύγῃ ἐπὶ τὸ θυσιαστήριον ἀπὸ τῦ θυσιαστηρίυ μὴ λήψῃ
αὐτὸν θανατῶσαι. Νόμος δέ ἐςιν ὅτος πλήρης σοφίας Ϛ δικαιοσύ-
νης. Ἀλλὰ φόνος ἐπ' αὐτῆς τῆς Κιβωτῦ, ἐπ' αὐτῦ τῦ ἱερῦ καλάθυ;
3. Bασ. 2. 28 τῦτό ἐςι ῥητορεία ἢ ἀμάθεια. Ὁ Ιωὰβ καταφυγὼν ἐπὶ τὸν περίβολον τῆς Σκηνῆς, ἐπελάβετο ἑνὸς τῶν ἄκρων τῦ θυσιαστηρίυ τῶν ολοκαυτωμάτων, ἀφ' ᾧ κραταιῶς ἀντείχετο. τῦτο δὲ τὸ θυσιαστήριον ἔκειτο ἐν τῇ αὐλαίᾳ, ἡ δὲ Κιβωτὸς ἦν ἔνδον εἰς τὰ ἅγια τῶν ἁγίων. ὁ ὖν Ιωὰβ ὐκ ἐσφάγη ἐπὶ τῦ ἱερῦ καλάθυ, ἀλλ' ἐν τῇ αὐλαίᾳ, μὴ θελήσας ἐκεῖθεν ἐξελθεῖν, κἂν ὁ Βαναίας καθικέτευσεν αὐτόν.
3. Bασ. 2. 30. „Ὧδε, ἐκραύγαζεν, ἀποθανοῦμαι. ἴσως δὲ ϛάσιν φοβούμενοι, ὐκ
ἠθέλησαν ζῶντα ἐκεῖθεν ἐξελκύσαι.

„Ἀλλὰ ταῦτα τῷ ὑπερτέρῳ τῶν Ιουδαίων Καπιτανίῳ, ὥπερ ὁ
„Δαβὶδ τὸ ϛέμμα ὤφειλεν; Οὕτος ὁ μέγας Καπιτάνιος κατεχρή-
„σατο τοῖς μεγάλοις αὐτῦ προτερήμασι, Ϛ τῷ ταλάντῳ τῆς πολε-
μικῆς αὐτῦ τέχνης, ἵνα καταζαθῇ φοβερὸς τοῖς ἑαυτῦ δεσπόταις·
αὐτὸς ἀνάνδρως τε Ϛ δολερῶς ἐφόνευσε τὸν Αβεννὴρ τὸν ἄρχοντα Ϛ
πρέσβυν τῶν Ισραηλιτῶν, ἐλθόντα συλλαλῆσαι μετὰ τῦ Δαβὶδ· ὃ-
σις ἐπλήγη μὲν τότε, ἀλλὰ μὴ δυνάμενος παιδεῦσαι τὸν πταίσην, ἀ-
φῆκε τῇ προνοίᾳ τὴν φροντίδα. ὁ αὐτὸς Ιωὰβ ἠδύνατο μὲν ζωγρῆσαι
τὸν Αβεσσαλὼμ, ὅμως καταφρονήσας τὰ ἐξηκριβωμένως ἐκπεφασμέ-
να τῦ Δαβὶδ προσάγματα, ἐνέπηξεν ἐν τῇ καρδίᾳ αὐτῦ τὰ βέλη.
τελευταῖον τῷ αὐτῷ τρόπῳ, Ϛ τῇ αὐτῇ χειρὶ ἀπωλέσας τὸν Αμεσ-
2. Bασ. 20. 10. σαΐ, τὸν ὑπὸ τῦ Δαβὶδ διορισθέντα καθολικὸν διοικητὴν, τῷ νεῳ τύ-
τῳ ἁμαρτήματι ἐσηρίχθη ἐν τῇ τῦ ἀρχισρατήγυ ἀξίᾳ, ἣν ἡ φιλο-
δοξία αὐτῦ διαπαντὸς ἐσκόπει. κορωνίδα δὲ ἔθηκε τῶν ῥᾳδιεργιῶν

αὐτῦ

αὐτȣ̃, τὰ περὶ τὸν θρόνον διατάξας, ζῶντος ἔτι τȣ̃ Δαβὶδ, ⸗ ἀνακηρύξας ἑαυτὸν ἀρχηγὸν τῆς συνωμοσίας, ἵνα ἐκβάλη τὸν Σολομῶντα, τὸν ὑπὸ Θεȣ̃, ⸗ τȣ̃ Δαβὶδ ἐκλελεγμένον· ὁ ȣ̃ν Σολομὼν παιδεύσας τοιȣ̃τον ἄνθρωπον ἐντὸς τȣ̃ ἀσύλȣ, ἐν ᾧ αὐτὸς πεισμονικῶς ἐπέμενε, κἂν τὸ ἄσυλον ȣ̓κ ἦν ὑπὲρ αὐτȣ̃, ἐςὶ κάκιςος ⸗ Ιερόσυλος.

ΑΡΘΡΟΝ Δ.

Περὶ τȣ̃ θανάτȣ τȣ̃ Σεμεΐ.

1. „Ο Σολομὼν. (103) φησὶν ὁ κριτικὸς, ἑτοιμάζει μὲν παγίδα τῳ „Σεμεΐ. τῷ συμβȣ́λῳ τῆς τȣ̃ Βασιλέως ⸗ πατρὸς αὐτȣ̃ Βασιλείας, „περιμένει δὲ τὸν πτωχὸν γέροντα ἐπιθεῖναι τὸ ἐφίππιον ἐπὶ τῆς ὄνȣ „αὐτȣ̃ πρὸς τὸ ἀπελθεῖν εἰς ἀναζήτησιν τῶν ὑπαρχόντων αὐτȣ̃, ⸗ „διαπεράσαι τὸν χειμάῤῥȣν τῶν Κέδρων. ὅπως ἀποκτείνῃ αὐτὸν ἐπὶ „προφάσει δικαιοσύνης. ἀνάγνωθι τὰς ἱςορίας τȣ̃ Καλιγȣ́λα ⸗ Νέ„ρωνος, ⸗ ἴδε, ἐὰν τὰ τέρατα ταῦτα διὰ τοιȣ́των ἀνομημάτων ἤρ„ξαντο βασιλεύειν.

Ὁποία λόγȣ σφοδρότης! ἀλλὰ πρῶτον μὲν πȣ̃ εὗρε τὸ, ὅτι ὁ Σεμεΐ, ὁ υἱὸς τȣ̃ Γηρὰ, ὁ κατοικῶν τὴν βαȣρὶμ, ὁ περιυβρίσας τὸν Δαβὶδ, ⸗ λιθάσας αὐτὸν, φεύγοντα τὰς τȣ̃ Αβεσσαλὼμ παρεμβολὰς, ὁ καθειρχθεὶς ὑπὸ τȣ̃ Σολομῶντος ἐν Ιερȣσαλὴμ, ἦν σύμβȣλος τȣ̃ Δαβὶδ; εὑρίσκομεν ἀληθῶς ἐν τῷ τρίτῳ τῶν Βασιλειῶν βιβλίῳ Σεμεΐτινα, σὺν τῷ Ρησὶ, Νάθαν, Σαδοκ, ⸗ Βαναίᾳ, συναριθμȣ́μενον μετὰ τῶν ἐγκρίτων, τῶν ἀμετατρέπτως προσηλωμένων τῷ Δαβὶδ, ⸗ τῷ Σολομῶντι· ἀλλ' ȣ̓δὲν κοινὸν τȣ́τῳ, ⸗ τῷ Σεμεΐ τῷ υἱῷ τȣ̃ Γηρὰ, περὶ ȣ̃ νῦν ὁ λόγος· ἡ παλαιὰ Διαθήκη διαλαμβάνει περὶ δέκα, ⸗ ἔτι πλέον ἀνθρώπων καλȣμένων Σεμεΐ, ὧν τρεῖς σύγχρονοί εἰσι τῷ Δαβίδ. μεταξὺ δὲ τῶν ἄλλων εἷς ἐςὶν, ὃν ὁ Σολομὼν ἐποίησε καθεςάμενον ἐν τῇ γῇ Βενιαμίν. ἐπειδὴ ȣ̃ν, κατὰ τὴν κρίσιν αὐτȣ̃, ἡ μόνη ὁμοιότης τȣ̃ ὀνόματος συνίςησι τὴν τῶν προσώπων ταυτότητα, διατὶ ȣ̓κ ἐταυτοποίησε τȣ̃τον τῷ Σεμεΐ τῷ υἱῷ τȣ̃ Γηρά; Δεύτερον δὲ ὁ Σεμεΐ ὁ υἱὸς τȣ̃ Γηρὰ, ὁ διὰ προςαγῆς τȣ̃ Σολομῶντος θανατωθεὶς, ὡς μὴ φυλάξας τὴν τῆς ἐξορίας συνθήκην. ἔπεσεν εἰς πταῖσμα καθοσιώσεως τῆς πρώτης τάξεως. τȣ́τȣ δὲ τȣ̃ πταίσματος τὸ βάρος ἤυξησαν τὰ τῆς ῥᾳδιȣργίας αὐτȣ̃ περιςατικά. τοιαύτην δὲ ῥᾳδιȣργίαν τὰ καθ' ἡμᾶς κριτήρια ȣ̓δέποτε ἐξήλειφον ἂν ἐκ τῶν ἰδίων καταλόγων. ἐὰν δὲ ὁ Μονάρχης δι' ὑπερβολὴν εὐσπλαγχνίας ἀπήλλαττε τὸν πταίςην ἀπὸ τῆς τῶν νόμων αὐςηρότητος,

2. Βασ. 16. 5.

3. Βασ. 1. 8.

3. Βασ. 4. 18.

τητος, οἱ νόμοι ὅμως ἐκραύγαζον μὲν διαπαντὸς κατ' αὐτῦ, ἐξεπληρῶντο δὲ, ὅτε κατέπαυε τῆς ὑπερτέρας ἐξυσίας τὸ ἐμπόδιον. τοιαύτη δὲ ἦν ἡ περὶ τὸν Σεμεῖ ὑπόθεσις. οἱ μὲν τῦ γένυς πρόεδροι ἐζήτησαν τὸν τύτυ θάνατον, ὁ δὲ Δαβὶδ, ὅτε ὁ τρισάθλιος ὗτος ἔπεσεν ἐπὶ τὰς πόδας αὐτῦ, δι' ὑπερβολὴν ἀγαθότητος ἀντισὰς αὐτοῖς, ὤμωσε μὴ παραδῦναι αὐτὸν εἰς θάνατον. κἂν ὃν ὁ Δαβὶδ ἐκώλυσε τὴν τῦ νόμυ ἐκπλήρωσιν, ὃκ ἠθέλησεν ὅμως καταῆσαι τὸν νόμον παντελῶς ἀνίσχυρον πρὸς τὴν διεκδίκησιν τῆς περιφρονηθείσης βασιλικῆς μεγαλειότητος. ὁ Σολομὼν τὸν πατρικὸν ὅρκον εὐλαβηθεὶς, ὅρυς ἔθηκε τῷ Σεμεῖ, ὧν αὐτὸς τυχὼν, εὐτυχῆ ἑαυτὸν ἐνόμισε. καλῶς δὲ γινώσκων τὴν διὰ τὴν παράβασιν περιμένυσαν αὐτὸν ποινὴν, εἰς ἣν αὐτὸς ἑαυτὸν ὑπέβαλεν, ἐν τῷ τέλει τῶν τριῶν ἐτῶν, μηδεμίαν ἄδειαν λαβὼν ἐκ τῦ Μονάρχυ ὑπὲρ τῆς ὑποθέσεως αὐτῦ, διὰ φιλοχρηματίαν ἠθέτησεν αὐτύς. διὸ ὁ Σολομὼν, ἄνθρωπον, ὃν ἔδει τελευτῆσαι δι' ὠμοτάτων βασανιστηρίων, καθυπέβαλε ποινῇ, ἣν αὐτὸς ἔσερξε, „ἢ ταῦτα μετὰ τοσαῦτα ἔτη. Ὁ ὃν Σολομὼν ἐξὶ τέρας „μισητότερος τῦ Καλιγύλα ἢ Νέρωνος-... Ὁ Θεὸς ὃκ ἠδυνήθη λα„λῆσαι αὐτῶ...., Τῦτό ἐξιν ὄναρ. εἶτα ὁ Θεὸς ἐρχόμενος διαλέγε„μετὰ τῶν Ἰυδαίων (104);

Α΄ ΡΘΡΟΝ Β΄.

Περὶ τῆς ἐκτάσεως τῆς Βασιλείας τῦ Σολομῶντος.

1. Ἠκύσαμεν τὴν κατηγορίαν, ἀλλ' ἰδὺ ἡ γεωγραφικὴ πολυμάθεια ὁ λόγος ἐξὶ περὶ τῆς ῥήσεως, τῆς ἐν τῷ τρίτῳ τῶν Βασιλειῶν βιβλίῳ, τῷ διαλαμβάνοντι περὶ τῆς τῦ Σολομῶντος ἐπικρατείας, ὡς ἐπεκτεινομένης ἀπὸ τῦ Εὐφράτυ ποταμῦ ἕως τῶν ὁρίων τῆς Αἰγύπτυ. τὶ δὲ κατὰ τύτυ προτείνει ὁ φιλόσοφος; „Ἐγὼ, λέ„γει, τολμῶ εἰπεῖν, ὅτι ὐδέποτε ὁ Σολομὼν, ἀλλ' ὐδὲ ἄλλος τις ἡ„γεμὼν Ἰυδαῖος ἔσχε πάσας τὰς Βασιλείας ταύτας; ἐγὼ ὐδόλως εὐ„λαβῦμαι τὸ ψεῦδος, ὥσπερ οἱ προκάτοχοί μυ.

Οὐδεὶς ἐξὶ προκάτοχος αὐτῦ, αὐτὸς μόνος ἐξὶν ὁ πολλαπλασιάζων τὰς βλασφημίας κατ' ἀναλογίαν τῆς εἰς τὴν ὑπόθεσιν προόδυ.

Ὁ παροργισμός μυ, φησὶν, ὁ συγχωρεῖμοι τοιαύτην εὐτελῆ φι„λαρέτκειαν.

Ἀκύσωμεν τί ἐξι τὸ τὴν χολὴν αὐτῦ ἐξάπτον.

„Τίς ποτε, φησὶν, ἤκυσέ τινα εἰπόντα, ὅτι οἱ Ἰυδαῖοι ἐβασίλευ„σαν ἀπὸ Εὐφράτυ ἕως τῆς Μεσογείυ;

Περὶ

Περὶ παντὸς μὲν ἑτέρου γένους, εἴτε Καλμύκων, εἴτε αὐτῶν τῶν Ὀττεντότων (105). ναὶ, ἐνδέχεται, ἀλλὰ περὶ τοῦ τῶν Ἰουδαίων γένους ἀνένδεκτον. Ἀληθῶς δὲ οὐδεὶς ἔγραψε τοῦτο πρὸ τῶν συγγραφέων τῆς 3. Βασ. 4. 24.
ἱστορίας τῆς ἐν τοῖς βιβλίοις τῶν Βασιλειῶν & τῶν Παραλειπομένων 2. Παρ. 9. 26.
οἵτινες καὶ κατὰ τὴν γνώμην αὐτοῦ τοῦ κριτικοῦ, & κατὰ τὴν ἀνωτέρω ἐκτεθεῖσαν ἀπόδειξίν μου, ἤκμαζον ὑπαρχούσης ἔτι τῆς τῶν δέκα Φυλῶν Βασιλείας, ὅπερ ἐστὶ πλέον ἢ ἑπτακόσια καὶ εἴκοσι ἔτη πρὸ τῆς χριστιανικῆς χρονολογίας. μετὰ δὲ ταῦτα οὔτε Ἰουδαῖοι & οἱ χριστιανοὶ συγγραφεῖς κατὰ συνέχειαν περὶ τούτου ἐλάλησαν. οὐδεὶς δὲ συγγραφεὺς, οὐδὲ Ἰουδαῖος, οὐδὲ ἐθνικὸς εἶπέ ποτε τὸ ἐναντίον. ἑώρακε δ' ἆρά γε αὐτὸς ἢ παρ' Ἕλλησιν, ἢ παρὰ Ρωμαίοις συγγράμματα, ἃ λέγω παλαιότερα τῶν βιβλίων τῶν Βασιλειῶν & Παραλειπομένων, ἀλλὰ κἂν πλησιάζοντα τοῖς τούτων καιροῖς; ἐὰν δὲ ἀναβῇς ἀπὸ τῆς καταστροφῆς τῆς Σαμαρείας, τῆς τέλος ἐπιθείσης τῇ τῶν δέκα φυλῶν Βασιλείᾳ, ἄχρι τῆς τοῦ Σολομῶντος Βασιλείας, οὐχ εὑρίσκεις εἰμὴ διακόσια καὶ ἑξήκοντα ἔτη. ἀποδεδειγμένον δέ ἐστι & ὁμολογούμενον, ὅτι κατὰ τοῦτο τοῦ καιροῦ τὸ διάστημα ἤκμασαν οἱ συγγραφεῖς τῶν ὑπομνημάτων τῶν ἐν τῷ τρίτῳ βιβλίῳ τῶν Βασιλειῶν, καὶ τῶν ἐν τοῖς τρισὶ τεταρτημορίοις τοῦ δευτέρου βιβλίου τῶν Παραλειπομένων. οἵτινες μὴ ἀρκεσθέντες σημειῶσαι γενικῶς ὡς ὅρια τῆς τοῦ Σολομῶντος δεσποτίας ἔνθεν μὲν τὸν Εὐφράτην, ἐκεῖθεν δὲ τὴν Αἴγυπτον, ἐδήλωσαν ἰδικῶς ἐπὶ μὲν τοῦ Εὐφράτου τὴν πόλιν Θάψαν (106), τὴν μετὰ 3. Βασ. 4. 24.
ταῦτα γνωσθεῖσαν διὰ τοῦ ὀνόματος Θαψάκη, ἐν δὲ τῇ εἰσόδῳ τῆς Αἰγύπτου τὴν πόλιν Γάζαν. συμφώνως δὲ λέγουσιν, ὅτι ὁ Σολομὼν ἀνήγειρεν ἐν τῇ ἐρήμῳ τῆς Συρίας τὴν Θεδμὸρ, εἴτουν τὴν Παλμύραν, μικρόν τι ἀπέχουσαν τοῦ Εὐφράτου. ὁ δὲ μὴ πιστεύων αὐτοῖς, & τὰ τοιαῦτα ἀρνούμενος ἔργα, τὰ τοσοῦτον ἐγγὺς ὄντα τοῦ καιροῦ, καθ' ὃν οὗτοι συνέγραφον, οὗτος πολλῷ μᾶλλον ἀμφιβάλλειν δύναται περὶ τοῦ ἐὰν ἡ Ἀλεξάνδρεια ᾠκοδομήθη ὑπὸ τοῦ Ἀλεξάνδρου ὡς ἱστοροῦσιν Ὄρτιος, καὶ οἱ ἄλλοι οἱ τὰ περὶ αὐτοῦ συγγράψαντες. 2. Παραλ. 8. 4.

2. „Ἀλλ' οὐκ ἐρρέθη, ὅτι ὁ Σολομὼν πολέμῳ ἐκτήσατο κἂν μίαν „λέγαν γῆς.

Ἐγω. ἀλλ' ἐρρέθη, ὅτι ὁ Δαβὶδ ὁ πατὴρ αὐτοῦ μετὰ τὸ πατάξαι τοὺς Φυλισταίους (107) καὶ λαβεῖν τὴν Γὲθ καὶ τὰς ὑπ' αὐτὴν πό- 2. Βασ. 8.
λεις, καὶ μετὰ τὸ πατάξαι καὶ ὑποτελεῖς ποιῆσαι τοὺς Μωαβίτας, 1. Παραλ. 18.
ἐνίκησε καὶ ὑπέταξε τὸν Ἀδραζὰρ Βασιλέα Σοβὰ ἐν τῇ χώρᾳ Ἡμὰθ, ὅπερ ἐστὶν ἐν τῇ κυρίως καλουμένῃ Συρίᾳ, καὶ ὅτως ἐξέτεινε τὴν Βασιλείαν αὐτοῦ ἕως Εὐφράτου. ὁμοίως κατατροπώσας τὸν Σύρον, Βασιλέα

λέα τῆς Δαμασκῦ, τῆς μητροπόλεως τῆς Κοιλοσυρίας, ἔθετο ἐν αὐτῇ φρουράν, ὑποτελῆ καταςήσας πᾶσαν τὴν χώραν ἐκείνην. δεχθεὶς δὲ τὴν ὑπὸ τῦ Θεοῦ Βασιλέως Ημᾶν προσενεχθεῖσαν αὐτῷ ὑποταγὴν, καὶ καθυποτάξας τὰς Ιδυμαίας, ἐφρούρησε τὴν τύτων ἐπικράτειαν.

3. Βασ. 4. 24. Εὑρέθη δὲ προσέτι, ὅτι ὁ Σολομὼν ἀπελάμβανεν ἐν εἰρήνῃ πάντων τῶν τῦ πατρὸς αὐτῦ κτημάτων.

Ἐὰν δὲ εἷς τῶν Ἑλλήνων συγγραφέων, τῶν ἐν τῷ αἰῶνι τῦ Αὐγύςυ ἀκμασάντων, ἀξιοπιςότερος ὑπάρχῃ, κατὰ τὴν τῦ κριτικῦ ἐπίκρισιν, δύω συγγραφέων Ἑβραίων, καθιερούντων τὰ περὶ τῦ γένους αὐτῶν, καὶ σχεδὸν συγχρόνων τοῖς ἱερομένοις ἀκριβῶς τὰ ὑπὸ Νικολάυ τῦ Δαμασκηνῦ γεγραμμένα ἐν τῷ τετάρτῳ τῆς ἱςορίας αὐτῦ βιβλίῳ. „Μετὰ δὲ ταῦτα πολλῷ χρόνῳ ὕςερον τῶν ἐγχωρίων τις „Ἀδαδος ὄνομα, πλεῖον ἰσχύσας Δαμασκῦτε καὶ τῆς ἄλλης Συρίας, „ἔξω Φοινίκης ἐβασίλευσε. πόλεμον δὲ ἐξενείκας πρὸς Δαβίδην, Βα„σιλέα τῆς Ιδδαίας, καὶ πολλαῖς μάχαις κριθεὶς, ὑςάτῃ τε παρὰ τὸν „Εὐφράτην. ἐν ᾗ ἡττᾶτο, ἄριςος ἔδοξεν εἶναι Βασιλέων ῥώμῃ καὶ „ἀνδρείᾳ... Τελευτήσαντος δὲ ἐκείνυ, ἀπόγονοι ἐπὶ δέκα γενεὰς ἐ„βασίλευον, ἑκάςῳ παρὰ τῦ πατρὸς ἅμα τῇ ἀρχῇ καὶ τὄνομα τῦτο „ἐπιδεχομένῳ, ὥσπερ οἱ Πτολεμαῖοι ἐν Αἰγύπτῳ. μέγιςον δὲ πάν„των δυνηθεὶς ὁ τρίτος ἀναμαχέσασθαι βυλόμενος τὴν τῦ προπάτο„ρος ἧτταν, ςρατεύσας ἐπὶ Ιδδαίυς, ἐπόρθησε τὴν Σαμαρεῖτιν καλυ„μένην. Μετὰ τὰς τοιαύτας μαρτυρίας ὁ κατὰ τὸν δέκατον ὄγδοον αἰ„ῶνα ζῶν ἄπιςος, λέγων, ὅτι ὐδέποτε, ὐδὲ ὁ Δαβὶδ, ὐδὲ ἄλλος τις τῶν Ιδδαίων ἐβασίλευσεν ἐν τῇ ἄνω Συρίᾳ, τί ἄλλο ἐμφαίνει, εἰ μὴ τῆς αὐθαδείας τὸ πλήρωμα;

3. Ἀλλ' ὁ ἀντίπαλός μυ ἔχει πρόσωπον πάντη ἀναίσχυντον. „Ο Βασιλεὺς τῆς Αἰγύπτυ, λέγει, κύριος ἦν μεγάλων ἐπικρατειῶν „τῶν ἐν Παλαιςίνῃ

3 Βασ. 4. 24. Τὰ μεγάλα ταῦτα κράτη καταντῶσιν εἰς μόνην τὴν πόλιν Γαζὲρ, ἣν ὁ Βασιλεὺς τῆς Αἰγύπτυ, κατὰ τὴν ἱερὰν ῥῆσιν, ἀφελὼν ἀπὸ τῶν Χαναναίων καὶ ἐξαφανίσας τὰς λοιπὰς τὰς ἐν τῷ τόπῳ ἐκείνῳ οἰκῦντας, ἔδωκεν αὐτὴν προῖκα τῇ θυγατρὶ αὐτῦ, ἣν ὁ Σολομὼν ἔλαβεν εἰς γυναῖκα.

4. Ἀλλὰ πολλοὶ νομοὶ, προςίθησιν ὁ αὐτὸς, τῶν Χαναναίων „ὐκ ἦσαν ὑπὸ τὴν ἐξυσίαν τῦ Σολομῶντος· πῦ ὐν ἐςὶ τῦτο τὸ μέ„γα κράτος;

Τῦτο ταυτὸν ἐςὶ σχεδὸν τῷ, ὥσπερ ἑάντις διισχυρίζετο, ὅτι ἡ τῶν Γαλλῶν Βασιλεία ὐκ ἐπεκτείνεται ἀπὸ τῆς Ἀλπαμανῶν θαλάσσης

ἀχρι

ἄχει τῆς μεσογείᾳ διὰ τὸ ἀνήκειν τῷ Πάπᾳ τὸ Κομητάτον· πρὸς τούτοις πρέπον ἦν αὐτῷ, ὀνομαστὶ δηλῶσαι τὰς νομὰς, τὰς μὴ ὑποκειμένας τῷ Σολομῶντι. διότι τὸ τρίτον βιβλίον τῶν Βασιλειῶν λέγει ῥητῶς, „Ὁ Σολομὼν ἀνήγαγεν εἰς φόρον δουλείας πάντα τὸν λαὸν τὸν „ὑπολελειμμένον ὑπὸ τῶν Ἀμμοραίων, καὶ τῶν Χετταίων, καὶ τῶν Φερε- „ζαίων, καὶ τῶν Χαναναίων, καὶ τῶν Εὐαίων, καὶ τῶν Ἰεβουσαίων, καὶ τοῦ „Γεργεσαίων, ὃς οὐκ ἠδύναντο οἱ υἱοὶ Ἰσραὴλ ἐξολοθρεῦσαι αὐτούς. „καὶ ἀνήγαγεν αὐτοὺς Σολομὼν εἰς φόρον δουλείας ἕως τῆς ἡμέρας ταύ- „της (108). Ἐπὶ τῇ ὑποθέσει οὖν τῶν ὅτι ὁ Ἡρὰμ, ὁ τοῦ Δαβὶδ καὶ Σολομῶντος συνωμότης οὐκ ἤρτητο ἀπ' αὐτῶν, ὅπερ δοκεῖ ἀμφίβολον, τὸ πᾶν καταντᾷ εἰς τὴν περίχωρον Τύρου καὶ Σιδῶνος. ποῖον οὖν τὸ αἴτιον τῆς νομιζομένης τοῦ φιλοσόφου ἀγανακτήσεως; αὐτὸς πάντη, ἐστὶ τὸ αἴτιον, ὁ ἀφειδῶς παραθεὶς τὰς ψευδορρημοσύνας αὐτοῦ τοῖς αὐτὸν ἀναγινώσκουσιν. 3. Βασ. 9. εο. 21.

ΑΡΘΡΟΝ ς'.

Περὶ τοῦ σφάλματος τοῦ κριτικοῦ, τοῦ περὶ τῆς ποσότητος τοῦ ἀλεύρου, τοῦ καθ' ἑκάστην δαπανωμένου ἐν τῷ τοῦ Σολομῶντος παλατίῳ.

1. „Ἰδοὺ ἑτερογενής τις ἔνστασις· Οὗτος ὁ πτωχὸς Καλμέτος, ὁ τὰς „πρὸ αὐτοῦ συλλεχθείσας βλακείας μεταγράψας, κομψῶς ἡμῖν ἐκ- „φράζει, ὅτι οἱ Βασιλεῖς τῆς Βαβυλῶνος ἔτρεφον πάντας τοὺς ὑπερ- „γοὺς αὐτῶν.

Ἄχει τοῦδε ὑδεμία βλακεία ἐστί. διότι ὁ πτωχὸς Καλμέτος προτείνει τὰ τῆς ἀρχαιότητος.

2. „Ἀλλ' ὁ Βασιλεὺς ὁ Ἰουδαῖος εἶχε λόγον πρὸς τὸν Βασιλέα τῆς „Βαβυλῶνος, ὃν ὁ Θεόδωρος ὁ βασιλεὺς τῆς Κόρσικας (109), πρὸς „τὸν Βασιλέα τῆς Ἱσπανίας·

Τοῦτο μεγάλην τιμὴν προξενεῖ τῷ Σολομῶντι.

„Ἢ ὁ Βασιλεὺς τοῦ Ὑβετοτίου, πρὸς τὸν Βασιλέα τῆς Γαλλίας.

Τοῦτο ἔτι κρεῖττόν ἐστιν. Ὁ Σολομὼντῷ λόγῳ τῆς δεσποτείας αὐτοῦ οὐκ ἦν μείζων τοῦ δεσπόζοντος ἑνὸς πολυχνίου τῆς Νορμανδίας, ὅπερ ἐπίσημον μέν ἐστιν ἀληθῶς, πλὴν ἡ δεσποτεία αὐτοῦ περιορίζεται ὑπὸ τῶν ὁρίων μιᾶς ἐπαρχίας. τοῦτο δὲ ἦν τὸ ὑπὸ τοῦ πτωχοῦ Καλμέτου ἀγνοούμενον. Ἀλλ' ἐπὶ πᾶσι τούτοις, παρέβαλεν ἄρα γε ὁ Καλμέτος τὸν Σολομῶντα τοῖς Βασιλεῦσι τῆς Βαβυλῶνος; οὐδαμῶς. αὐτὸς παρετήρησε μὲν, ὅτι ὁ Σολομὼν κατὰ τὴν τῶν Ἀνατολικῶν συνήθειαν ἔτρεφε τοὺς ὑπηργοὺς αὐτοῦ, εὐλογοφανῶς δὲ ἐπέφερεν, ὅτι ἀναί-

καία ἦν αὐτῷ ποσότης σιτηρεσίων πολλῷ μείζων ἧς χρήζουσιν οἱ Ηγεμόνες, οἱ χρήμασι μόνοις ἐπιμισθούμενοι τὰς ὑπουργὰς αὐτῶν.

3. „Ἑβδομήκοντα, φησὶ, χιλιάδας μοδίους ἀλεύρου. καὶ τεσσάκον-„τα βόας καθ' ἑκάστην ἡμέραν.

Η ποσότης τῦ ἀλεύρου ἐςὶν ὑπερβολικὴ, ὐδεμίαν δὲ ἔχει ἀναλογίαν πρὸς τὴν τῦ κρέατος ποσότητα. σφάλμα ἐςὶ πάντως. Ἰδὲ τὸ
3. Βασ. 4. 22. „ῥητόν. Καὶ ταῦτα τὰ δέοντα τῷ Σολομών. ἐν ἡμέρᾳ μιᾷ τεσσάκοντα „κόροι σεμιδάλεως, καὶ ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμένου, καὶ δέκα „μόχοι ἐκλεκτοὶ, καὶ εἴκοσι βόες νομάδες. καὶ ἑκατὸν πρόβατα, ἐκτὸς „ἐλάφων, δορκάδων, καὶ ὀρνίθων ἐκλεκτῶν σιτευτά. Ο κόρος περιεῖχε χοεῖον δύο σεξτάρια τῦ παρισίου, οἱ ὃν τεσσάκοντα κόροι τῆς σεμιδάλεως συνιςῶσι δέκα μοδίους, ἤτοι δέκα σεξτάρια, ἢ τρία Boisseaux. (110) οἱ δὲ ἑξήκοντα κόροι τῦ κεκοπανισμένου ἀλεύρου, εἴκοσι καὶ ἕνα μόδιον, δέκα σεξτάρια, καὶ μίαν μίνα. οἱ ὃν ἑβδομήκοντα χιλιάδες μόδιοι τῦ ἀλεύρου κατήντησαν εἰς τεσσάκοντα καὶ δύο μοδίους. τῦ κριτικοῦ ἄρα ἐςὶ τὸ τὸ σφάλμα τοῦτο. ἐπειδὴ δὲ ὑπερβολικόν ἐςιν, ἀναλογιςέον τοῖς τῦ τυπογράφου σφάλμασιν. εὗρον ὅμως αὐτὸ ὁλόγραφον ἐν ταῖς πρὸ ὀφθαλμῶν μου δυσὶ διαφόροις ἐκδόσεσιν.

ΑΡΘΡΟΝ Ζ'.

Περὶ τῶν τῦ Σολομῶντος ἱπποσασίων, καὶ τῶν Ὠδῶν αὐτῦ.

1. „Αἱ τῦ Σολομῶντος, φησὶν ὁ αὐτὸς, τεσσαράκοντα χιλιάδες ἱπ-„ποσασίων οὐκ ἦσαν πολλαὶ μετὰ τὰς ἐννενήκοντα χιλιάδας τῶν μοδί-„ων τῦ ἀλεύρου.

Τὸ αὐτὸ ὅτως ἀναγινώσκω ἐν δυσὶν ἐκδόσεσιν. ἰδὲ ὃν ἐννενήκοντα χιλιάδες μόδιοι, ἀντὶ τῶν ἑβδομήκοντα. αἱ δὲ τεσσαράκοντα χιλιάδες τῶν ἱπποσασίων πολλαὶ τυχὸν εἶσιν ὡς πρὸς τὰς τριάκοντα καὶ δύο μοδίους, τὰς ἐν τῷ ὕφει, καὶ ἐν πάσαις ταῖς μεταφράσεσι κειμένας. διὸ
3. Βασ. 10. 26. ὁ Σολομὼν οὐκ εἶχε τοσαύτας χιλιάδας ἱπποσασίων· εἶχε δὲ λέγει τὸ τρίτον βιβλίον τῶν Βασιλειῶν ἐν κεφαλαίῳ δεκάτῳ. ἑξακοσίους εἴκοσι ἕκτῳ χίλια καὶ τετρακόσια ἅρματα, καὶ δώδεκα χιλιάδας ἱππέων. αἱ τεσσαράκοντα χιλιάδες τῶν ἱπποσασίων, τῶν ἀναγινωσκομένων ἐν τῷ τετάρτῳ κεφαλαίῳ εἰσὶ σφάλμα τῦ μεταγραφέως, (111) ἐπιδιορθούμενον διὰ τῦ παραλλήλου ῥητοῦ, τοῦ ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν Παραλειπομένων. ἐν δὲ τῷ ἑβραϊκῷ ὕφει ἀναγινώσκομεν, τὸν Σολομῶν-

τα

τα ἐχηκέναι τέσσαρας χιλιάδες ἱπποστασίων ὑπὲρ τῶν ἵππων αὐτȣ̃, ἢ ἵνα ἀκριβέστερον μεταφράσωμεν, τέσσαρας χιλιάδας φάτνας*).

. „Ἡ λεγομένη τῶν Ἑβδομήκοντα, ὁ αὐτὸς λαλεῖ, κακὴ με„τάφρασις ἀναγράφει τῷ Σολομῶντι πέντε χιλιάδας ᾠδῶν (112).

Πάνυ καλῶς ἁρμόζει αὐτῷ ὁ περὶ τῶν κακῶν μεταφράσεων λόγος μετὰ τὸ πεποιημένον κατὰ τὴν ἑαυτȣ̃ ἀρέσκειαν ῥάκιον, τὸ ὑπ' αὐτȣ̃ ὡς ὕφος καθαρὸν προβαλλόμενον.

3. Ὁ Ἰώσηπος ὁ Φλάβιος προστίθησιν, ἐπιβεβαιοῖ, ὅτι αἱ ἐπι„στολαὶ τȣ̃ Σολομῶντος καὶ τȣ̃ Ἡρὰμ ἔτι ἐσώζοντο ἐν τοῖς κατ' αὐτὸν „χρόνοις. ἀλλ' ἠδύναντο ἆρα σώζεσθαι τὰ τῶν Τυρίων γαζοφυλάκια „μετὰ τὴν ὑπὸ τȣ̃ Ἀλεξάνδρȣ γενομένην τῆς Τύρȣ καταστροφὴν, καὶ „τὰ τῶν Ἰȣδαίων μετὰ τὴν τȣ̃ ναȣ̃ καταστροφὴν, τὴν ἐπὶ Ναβȣχοδονόσορ; Ἰώσ. κατὰ Ἀπίων. λόγ. 1.

Ἠδύναντο ἆρα; ἀναμφιβόλως ἠδύναντο· μήτι ȣ̓κ ἔχομεν παραδείγματα παρακαταθηκῶν καὶ γαζοφυλακίων διασωθέντων μετὰ τὴν πυρκαϊὰν, ἢ πρὸ τῆς πολιορκίας ἐν τοῖς τόποις, ἐν οἷς μετετέθησαν; οἱ Τύριοι οἱ φροντίσαντες ἀποστεῖλαι εἰς τὴν Καρθαγένην τὰς γυναῖκας καὶ τὰ ἐκλεκτότερα αὐτῶν πράγματα, ȣ̓ διελογίσαντο ἆρά γε διαφυλάξαι τὰ γαζοφυλάκια αὐτῶν; οἱ δὲ ἐν Καρθαγένῃ σταλέντες πρέσβεις, οἱ τοσȣ̃τον ζηλώτυποι τῆς δόξης τῆς μητροπόλεως αὐτῶν, οἱ μετὰ τοσȣ́τȣ ζήλȣ ἐπιφορτισθέντες πάντα τὰ λοιπὰ πράγματα, ȣ̓κ ἠγωνίσαντο ἆρά γε μετακομίσαι καὶ ταῦτα τὰ ὑπομνήματα; δῆλον δὲ, ὅτι πάντα τὰ μετακομισθέντα τότε εἰς τὴν Καρθαγένην, μετ' ὀλίγα ἔτη, ἐξότȣ ἡ Τύρος ἤρξατο ἀνακαινίζεσθαι, εἰς αὐτὴν πάλιν μετηνέχθησαν.

Ἄ Ρ Θ Ρ Ο Ν, Η'.

Περὶ τȣ̃ ναȣ̃ τȣ̃ Σολομῶντος, καὶ τῆς τȣ́τȣ καθιερώσεως.

1. Ἄλλη ἔνστασις, εἰς τὴν τȣ̃ ναȣ̃ τȣ̃ Σολομῶντος οἰκοδομὴν ἀφορῶσα. „Οἱ ἑκατὸν ὀγδοήκοντα τρεῖς χλιάδες καὶ τριακόσιοι ἄνθρω„ποι, λέγει, οἱ ἀφιερωθέντες τῷ ἔργῳ τῆς ἑτοιμασίας τȣ̃ ναȣ̃, ȣ̓τι„νος ἡ ὄψις ἴση ἔμελλεν εἶναι ποσὶ μόνον ἐννενήκοντα καὶ ἑνὶ, ταράτ-

 „τȣσι

*) Ὅρα τὸν Καπτέλ. καὶ τὰ σημειώματα τȣ̃ Οὐβιγάντȣ εἰς τὸ 4. κεφ. τῆς 3. τῶν Βασ.

„τυσι πάντα ἄνθρωπον, τὸν μικράν τινα ἔχοντα τῆς ἀρχιτεκτονικῆς „εἴδησιν *).

Τοῦτο τοῦ ναοῦ τὸ μέρος, το καθ' αὐτὸν ὄψιν ἔχον ἴσην ποσὶ μόνον ἐννενήκοντα καὶ ἑνὶ, οὐκ ἄλλο τί ὑπῆρχεν, εἰμὴ τὸ θυσιαστήριον, ὅπερ ἦν τὸ πεντηκοσημόριον τοῦ ναοῦ. ἄκουσον δὲ τὸν αὐτὸν μετ' ὀλίγας σειρὰς ἀναιροῦντα ἑαυτόν.

„Μὴ φαντασθῇς, λέγει, ὅτι οἱ ναοὶ εἶχον ὁμοιότητά τινα „τοῖς ἡμετέροις· αὐτοὶ ἦσαν περίβολοι, ἔχοντες ἐν τῷ μέσῳ αὐτῶν μι„κρόν τι θυσιαστήριον. διὰ δὲ τοιούτων περιβόλων συνεκρότουν μικράν τι„να πόλιν, ἧς τὰ μὲν τείχη ἦσαν σφενδόναι, αἱ δὲ τῶν ἱερέων οἰκίαι ἐσή„ζοντο ἐπὶ τὸ ἔνδον τῶν τειχῶν μέρος.

Τοῦτο ἦν οὖν τὸ μικρὸν θυσιαστήριον, τὸ ἔχον, καθ' αὐτὸν, ὄψιν μόνον ἐννενήκοντα καὶ ἑνὸς ποδός· ὁμολογῶ δὲ αὐτῷ χάριτας συγκατατεθέντι περὶ τούτου ταῖς παρατηρήσεσι, ταῖς ὑπ' ἐμοῦ αὐτῷ πρὸ ἐτῶν δώδεκα προτεθείσαις περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ, οἷαν αὐτὸς ἐφαντάσθη, ὅτε συνέγραφε τὴν ἑαυτοῦ περὶ τῆς ἱστορίας φιλοσοφίαν **). ἀναγκαῖον δὲ ἦν αὐτῷ μὴ ἀμνημονῆσαι τοῦ, ὅτι οἱ ἑκατὸν ἀγδοήκοντα χιλιάδες ἐργάται, οἱ τὰ περὶ τὴν κατασκευὴν τοῦ ναοῦ ἑτοιμάζοντες, ἀμοιβαδὸν ὑπηρέτουν τῷ ἔργῳ, ὁμοῦ δὲ μόνον χιλιάδες περὶ πεντεῖκοσι.

3. Βασ. 5. 14.

2. „Πεντήκοντα ἐργάται, προσέθηκεν ὁ αὐτὸς, ἐν μησὶν ἓξ οἰκο„δομοῦσιν ἐν τῇ Ἀγγλίᾳ οἶκον ὡραῖον τῷ ναῷ τούτῳ ἰσομεγέθη.

Ἐκ τούτου δῆλον, ὅτι αὐτὸς ἐξαίσια ἠπατήθη, παραβάλλων τὸν ναὸν τοῦ Σολομῶντος οἴκῳ τῶν Λονδίνου πολιτῶν.

3. „Ἀλλὰ τὰ μέτρα, ὁ αὐτὸς λαλεῖ, τοῦ βιβλίου τῶν Βασιλει„ῶν, τῶν Παραλειπομένων, τοῦ Ἰεζεκιὴλ, καὶ τοῦ Ἰωσήπου εἰσὶ πάντη „ἀσύμφωνα· ἡ δὲ μεταξὺ τῶν τριῶν τούτων συγγραφέων διαφορά „ἐστιν ἓξ ἑξάδων.

Οὐδεμία διαφορά ἐστι. διότι οἱ συγγραφεῖς οὗτοι τὰς διαμετρήσεις δηλοῦσι τριῶν διαφόρων οἰκοδομημάτων· οἱ μὲν τῶν Βασιλειῶν καὶ τῶν

*) Τὸ θυσιαστήριον μῆκος εἶχε πήχεων ἐξήκοντα· ὁ δὲ κριτικὸς ὑποτίθεται τὸν πῆχυν ἴσον μόνοις ὀκτωκαιδεκαδακτύλοις. ἀλλὰ δεδειγμένον ἐστὶν, ὅτι ὁ ἑβραϊκὸς πῆχυς ἴσος ὢν τῷ Αἰγύπτῳ, περιεῖχε δακτύλους εἴκοσι καὶ ἕνα, καί τινας γραμμάς, διὸ τὸ τοῦ θυσιαστηρίου μῆκος ἦν ἴσον ἑκατὸν καὶ πέντε τῶν ἡμετέρων ποδῶν.

**) Ὅρα κ. 4. ἄρθρ. 5. σ. 106. τῆς ὑπερασπίσεως τῶν βιβλίων τῆς παλαιᾶς Διαθήκης κατὰ τῆς περὶ τὴν ἱστορίαν φιλοσοφίας.

τῶν Παραλειπομένων, τὰς τȣ̃ ναȣ̃, τȣ̃ ὑπὸ τȣ̃ Σολομῶντος οἰκοδομηθέντος· ὁ δὲ Ιεζεκιὴλ, τὰς τῆς καταγραφῆς τȣ̃ ναȣ̃, τȣ̃ οἰκοδομηθῆναι μέλλοντος μετὰ τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἐπιστροφήν· ὁ δὲ Ιώσηπος, τὰς τȣ̃ ναȣ̃, ὃν ὁ Ηρώδης ὠκοδόμησε.

4. „Τὰ ἐν τῷ θυσιαστηρίῳ τῶν βοῶν σχήματα, ϗ οἱ δώδεκα βόες οἱ βαστάζοντες τὴν σκάφην, ἐν ᾗ οἱ ἱερεῖς ἐπλύνοντο, ἦσαν, λέγει ὁ αὐτὸς, παράβασις τȣ̃ νόμȣ ἐπίσημος.

Δύναταί τις ἆρά γε λογίζεσθαι τὸ διὰ προσαγῆς τȣ̃ νομοθέτȣ γινόμενον παράβασιν νόμȣ, ὃν αὐτὸς ἐποίησεν; (113) ὁ Σολομὼν διὰ προσάγματος Θεȣ̃ ἔθηκε τὰ χερȣβὶμ ἐν τῷ θυσιαστηρίῳ, ὥσπερ ὁ Μωϋσῆς ἐπὶ τῆς Κιβωτȣ̃, ϗ κατεσκεύασε βόας χαλκȣ̃ς βαστάζοντας τὴν χαλκὴν σκάφην, ἣν ἔθηκεν ἐν τῇ αὐλαίᾳ. ȣ̓δὲς δὲ φόβος ἦν περὶ τȣ̃ ὅτι οἱ Ιȣδαῖοι λατρεῦσαι ἔμελλον τοῖς τοιȣτοτρόπως τετα γμένοις σχήμασιν, ἀντὶ τȣ̃ ἐκκλίναι εἰς εἰδωλολατρείαν, ϗ λατρεύσαι τοῖς ὑπ' αὐτῶν κατ' ἰδίαν ἀρέσκειαν κατασκευασθησομένοις.

5. „Οκτὼ μιλλιόνια, φησὶ, ϗ ὀκτακόσιαι χιλιάδες λίτραι κρέατος βοῶν, ϗ δώδεκα εκατοντάδες χιλιάδων λίτραι κρέατος προβάτων, προστιθεμένων τȣ̃ ἄρτȣ ϗ οἴνȣ, ἐστὶν εὐωχία μεγάλη.

Μεγάλη ἀναμφιβόλως, ἐὰν καθ' ἓν ϗ τὸ αὐτὸ ἄριστον ἔφαγον πάντα· ἐὰν δὲ διὰ τȣ́των τῶν ἐδεσμάτων, δεκατέσσαρας κατ' ἀκολȣθίαν ἡμέρας, ἐν αἷς ἡ ἑορτὴ διήρκεσεν, ἔθρεψαν πάντας τȣ̀ς Ισραηλίτας, τȣ̀ς διὰ τὴν καθιέρωσιν τȣ̃ ναȣ̃ ἀπ' ἄκρȣ τῆς γῆς Χαναὰν συναχθέντας, ὡς τὰ ἱερὰ βιβλία ἡμᾶς διδάσκȣσι, κατ' αὐτὰς δὲ τὰς δεκατέσσαρας ἡμέρας τὸ τοσȣ̃τον πλῆθος ȣ̓δεμίαν ἄλλην εἶχε τροφὴν, εἰμὴ τὸ τῶν θυσιασθέντων ζώων κρέας, ἀνάγκη ἐστὶν ομολογῆσαι, ὅτι λιτῶς ἐτράφη. 3. Βασ. 8. 63. 65.

6. „Οἱ μὲν νομιζόμενοι Εβδομήκοντα, προστίθησιν ὁ αὐτὸς, λέγȣσιν, ὅτι ὁ ναὸς ὠκοδομήθη τετρακόσια τεσσαράκοντα ἔτη μετὰ τὴν ἀπὸ τῆς Αἰγύπτȣ φυγὴν, ὁ δὲ Ιώσηπος, μετὰ πεντακόσια ϗ ἐννενήκοντα ϗ δύω, οἱ δὲ νεώτεροι εἴκοσι γνώμας περὶ τȣ́τȣ ἀλλήλων διαφερȣ́σας προτείνȣσι· τὸ ζήτημα τȣ̃το ȣ̓δὲν ἔχει βάρος, ἐν ἱερῷ ὅμως βιβλίῳ ἡ ἀκρίβεια ȣ̓δόλως ἔβλαπτεν. 3. Βασ. 6. 1. Γώσ. β. 8. κ. 2. ἀρχ.

Ο Ιώσηπος ἆρά γε ϗ οἱ νεώτεροι εἰσὶ τὸ ἱερὸν βιβλίον; τὴν τῶν ἑβδομήκοντα δὲ μετάφρασιν κακὴν (114) ὁ αὐτὸς ἀνεκήρυξε. πρέπον ἦν ὅμως αὐτῷ σημειῶσαι ἐνταῦθα πρῶτον, ὅτι ἀληθῶς· ἐν μὲν τοῖς χειρογράφοις τȣ̃ Βατικάνȣ, ϗ τῆς Κανταβριγίας, ἐξ ὧν συνεκροτήθη ἡ πολύγλωττος τῆς Αγγλίας ἔκδοσις, κεῖται, τετρακόσια τεσσαράκοντα ἔτη, ἀλλ' ἐν τοῖς τȣ̃ Καρδιναλίȣ Ξιμένες, ϗ τοῖς

ἄλλοις

ἄλλοις τοῖς ἐν τῇ ἐκδόσει τῶν πολυγλώττων προτιμηθεῖσι τῆς ἐκδόσεως τῆς ἐν Ἀντωερπίᾳ, ϛ Παρισίῳ, γέγραπ) τετρακόσια ὀγδοήκοντα ἔτη καθάπερ ϛ ἐν τῷ ἑβραϊκῷ ὕφει, κἀν τῇ Βυλγάτῃ, οἷς συνάδουσιν, αἱ χαλδαϊκαὶ παραφράσεις, ϗ ἡ Σύρων ϗ Ἀράβων μετάφρασις· δεύτερον δὲ, ὅτι ἡ ἀνάγνωσις αὕτη δοκεῖ ἡ πρωτότυπ@.

Α΄ ΡΘΡΟΝ Θ΄.

Περὶ τῆ πλήτυ τῆ Σολομῶντος.

1. Βάσιν τῆ ἀναλογισμῆ τῆ πλήτυ τῆ Σολομῶντ@ τίθησιν αὐτὸς τὸ, τῆ μὲν χρυσῆ ταλάντυ τὴν τιμὴν εἶναι τεσσαράκοντα χιλιάδας σκύδων τῶν ἡμετέρων νομισμάτων, τῆ δὲ ἀργυρῆ, δύω χιλιάδας. ϛῶμεν εὐθὺς ἐπὶ τὴν ἀναλογίαν τῆς τιμῆς, τῆς μεταξὺ τῆ χρυσῆ ϗ ἀργύρυ, τῆς ὑπ' αὐτῆ ὧδε διοριζομένης· ἡ ἂν κατὰ τὸν ἀναλογισμὸν αὐτῆ ἀναλογία ἐϛὶν ὡς εἴκοσι πρὸς ἕν. τῷ ὄντι δὲ ὀκ ἔϛιν, εἰμὴ ὡς δεκατρία πρὸς ἕν. διότι ὁ μὲν καλύμενος Μάρκος τῆ ἀργύρυ, (ὀκτὼ ὀγγίαι) τιμᾶ) λίτρας (Γάλλων) πεντηκονταδύω, ὁ δὲ τῆ χρυσῆ, ἑξακοσίας ϗ ἑβδομηκονταδύω (115).

„Κωμικόνεσι προσίθησιν ὁ αὐτὸς, τὸ βλέπειν Μελκ, βασι„λίσκον Ἰουδαῖον ἐξυσιαϛὴν τριάκοντα ϗ ἓξ ἑλλιονίων.

Παρ' αὐτῷ ὡς ἔοικε, τὸ ὄνομα Μελκ συνώνυμόν ἐϛι τῷ βασιλίσκῳ μὴ συφάλεντι τῦτο εἰπεῖν, κἂν ἑώρα τὸ ὄνομα Μελκ, ἢ Μελεκ ἀπονεμηθὲν τέσσαρσιν ἰσχυροῖς Μοναρχαις, οἵτινες κατ' αὐτὸν ἐν τοῖς χρόνοις Ἀβραὰμ ἐβασίλευον ἐν Βαβυλῶνι, ἐν Περσίᾳ κτ. ὡσαύτως ϗ τοῖς Βασιλεῦσιν Αἰγύπτυ, ϗ τοῖς τῶν Ἀσσυρίων, τῷ μεγάλῳ Ναβυχοδονόσορ, τῷ Κύρῳ, ϗ τῷ Ἀρταξέρξῃ, οἵτινες ὀκ ἦσαν βασιλίσκοι· πόθεν δὲ ἐπῆλθεν αὐτῷ ἡ μανία τῦ μετελθεῖν ἀδιακρίτως λέξια ἑβραϊκὰ ϗ συρικὰ, ὧν τὴν σημασίαν ἠγνόει; Ηγεμὼν, οἵ@ ἦν ὁ Σολομὼν ἄρχων ἐν τῷ ὡραιοτέρῳ τῆς Ἀνατολῆς μέρει, τῷ μῆκος μὲν ἔχοντι πλέον τῶν ἑκατὸν ἑξήκοντα λεγῶν, ἐκτεινομένῳ δὲ ἀπὸ τῆς Θάψα, τῆς ἐπὶ τῦ Εὐφράτυ, ἕως τῆς Γάζης, ὀκ ἔϛιν, εἰμὴ βασιλίσκος; Σὺ ὀκ εἶχες πάντως τοσῦτον ἀθλίας ἰδέας, ὅτε ἔγραφες ἐν τῇ περὶ τῆς Ἰσορίας Φιλοσοφίας συ, ὅτι τὸ ὄνο-
Ενν. 38. μα τῆ Σολομὼν, . ἢ Σολειμὰν τοσῦτον γνωϛὸν ἦν τοῖς Ἀνατολικοῖς, „ὥϛε ἐν τοῖς τύτυ χρόνοις τιμῆς ἀξίυς ἡγῦντο τὺς Ἰουδαίυς οἱ τύτων „γέιτονες.

Κατὰ τὴν τῆς ἀρχαιότητος ὁμόφωνον μαρτυρίαν, βέβαιον δοκεῖ, ὅτι ἐν τοῖς χρόνοις τῆ Δαβὶδ ϗ τῆ Σολομῶντος τὸ χρυσίον ϗ

τὸ

τὸ ἀργύριον πολλῷ κοινότερα ἦσαν ἐν τῇ Ἀνατολῇ, ἤπερ τὴν σήμεροο ἐν τῇ Εὐρώπῃ· οὐδὲν μὲν ἐνταῦθα λέγω περὶ τοῦ Ὁμήρου τοῦ ἐμφαίνοντος πάντας τοὺς Ἥρωας αὐτοῦ, καὶ αὐτοὺς δὴ τοὺς μικρότερους ἄρχοντας τῆς Ἑλλάδος ἐν πανοπλίαις καὶ σκεύεσι χρυσοῖς, καὶ προτιθέντος τὰ χρυσᾶ τάλαντα ὡς ἔσχατον μισθὸν τῶν ἐπιτυμβίων ἄθλων. οὐδὲ περὶ τοῦ Κτησίου, τοῦ ἱστοροῦντος, ὅτι ὁ Σαρδανάπαλος ἐκέλευσε τεθῆναι ἐν τῇ πυρᾷ τοῦ νεκροῦ αὐτοῦ σώματος ἓν μιλλιόνιον χρυσῶν ταλάντων, καὶ ἑκατονπεντήκοντα κλίνας σὺν ἰσαρίθμοις τραπέζαις χρυσάς· ἀναγινώσκομεν δὲ παρὰ τῷ Πλινίῳ τὸν Κύρον μετακομίσαι ἐκ τῶν ἐκστρατειῶν αὐτοῦ χρυσίον ἰσοβαρὺ λίτραις τριακοντατέσσαρσι χιλιάσιν, ἐκτὸς τοῦ κατεσκευασμένου χρυσίου, εἴτουν σκευῶν, φύλλων, τραπεζίου, καὶ χρυσῆς ἀμπέλου, δαπανῆσαί τε ὑπὲρ τῆς ὑπ' αὐτοῦ γενομένης νίκης πεντακοσίας χιλιάδας ἀργυρῶν ταλάντων. ὁ Ἀλέξανδρος ἦρεν, ὡς διηγεῖται ὁ Κοῦντος ὁ Κούρτιος, ἐκ μόνης τῆς πόλεως Δαμασκοῦ τρεῖς χιλιάδας καὶ ἑκατὸν τάλαντα ἀργυρίου, ἅπερ συγκροτοῦσι πλέον ἢ δέκα καὶ ὀκτὼ μιλλιόνια λογιζομένου τοῦ ταλάντου ἰσοτίμου δυσὶ χιλιάσι σκούδων κατὰ τὸ τεθὲν ὑπὸ τοῦ κριτικοῦ τίμημα· ἔβλεπες, λέγουσιν ὁ Ἡρόδοτος, καὶ ὁ Σικελὸς Διόδωρος κολοσσοειδεῖς ἀνδριάντας χρυσίου καθαροῦ, ὡσαύτως καὶ χρυσᾶς τραπέζας μεγέθους ἀναλόγου τοῖς κολοσσοῖς.

Πλιν. β. 35. κ. 3.

Κούρτ. β. 3.

2. Ἐστιν ὅμως δυσκολία τὶς, ἧς ὁ κριτικὸς, καίπερ χλευάζων καὶ συρίττων, προτεῖναι οὐκ ἔγνω τὸ ἀληθὲς κέντρον. Αἱ ἑκατὸν χιλιάδες τῶν τοῦ χρυσίου ταλάντων, αἱ ὑπὸ τοῦ εἰκοστοῦ δευτέρου κεφαλαίου τοῦ πρώτου βιβλίου τῶν Παραλειπομένων δηλούμεναι, τιθεμένου τοῦ ταλάντου ἴσου τρισὶ χιλιάσι σίκλων, ὡς συνάγεται ἐκ τοῦ τριακοστοῦ ὀγδόου κεφαλαίου τῆς Ἐξόδου, συνιστῶσι δώδεκα σχεδὸν διλλιόνια τῶν καθ' ἡμᾶς νομισμάτων. χιλιάκις δὲ χίλια τάλαντα ἀργυρᾶ, τιθεμένου ὁμοίως ἑκάστου ταλάντου ἴσου τρισὶ χιλιάσι σίκλων. συγκροτοῦσιν ἓξ περίπου διλλιόνια τῶν αὐτῶν νομισμάτων. ἵνα δὲ ἀληθεύοντα δειχθῇ τὰ ῥητὰ ταῦτα, ἀνάγκη ἐστὶν ὑποθέσθαι, ὅτι ὁ Δαβὶδ, ὁ ἀπ' ἀρχῆς μὴ βασιλεύσας, εἰ μὴ ἐπὶ μόνης τῆς τοῦ Ἰούδα φυλῆς, καὶ μὴ ὑποτάξας, εἰμὴ βαθμηδὸν τὰ περικυκλοῦντα αὐτὸν μικρὰ ἔθνη· καὶ ὁ ὕστερον, ὅτε δηλαδὴ ἐπεχείρησε κτήσασθαι τὴν ἀνωτέραν Συρίαν, ἀναγκασθεὶς δαπανῆσαι πολλὰ εἰς διατροφὴν τῶν ἐν ταῖς ὄχθαις τοῦ Εὐφράτου στρατευμάτων αὐτοῦ, τῶν ἀπεχόντων τῆς Ἱερουσαλὴμ λέγας ἐπέκεινα τῶν ἑκατὸν πεντήκοντα, ἐδυνήθη συνάξαι δέκα καὶ ὀκτὼ διλλιόνια πρὸς οἰκοδομὴν τοῦ ναοῦ, ὅστις κατὰ τὸ σχέδιον, τὸ ὑπ' αὐτοῦ μὲν ἐκδοθὲν, ὑπὸ δὲ τοῦ Σολομῶντος ἐκτελεσθὲν, ἠδύνατο κατὰ τὴν κρίσιν πολλῶν

1. Παραλ. 2κ. 14.

Ἐξ. 38. 1.

ἐμ-

ἐμπείρωντε καὶ εὐσεβῶν κριτικῶν οἰκοδομηθῆναι διὰ πάνυ ὀλιγωτέρας δαπάνης.

Πιστεύω, ὥσπερ καὶ ἄλλοι πολλοὶ, ὅτι σφάλμα παρεισέδυ ἐν τῷ τῶν Παραλειπομένων ῥητῷ, ὅπερ τὴν σήμερον ἀναγινώσκομεν οὕτως
1. Παρ. 22.14 (116)· „ἰδοὺ ἐγὼ (ὁ Δαβὶδ λαλεῖ) κατὰ τὴν πτωχείαν μου, (ὀρθότε-„ρον κατὰ τὴν μετριότητά μου) ἡτοίμασα εἰς οἶκον Κυρίου χρυσίου τα-„λάντων ἑκατὸν χιλιάδας, καὶ ἀργυρίου ταλάντων χιλίας χιλιάδας. Ἡ ἐν τῷ δὲ τῷ ῥητῷ τῶν Παραλειπομένων ἑβραϊκὴ λέξις γχονι, ἡ ἐνίοτε γλυκύτητα ἢ θλῖψιν δηλοῦσα, οὐδετέραν ἐνταῦθα τῶν σημασιῶν τούτων, ἔχει. ἀλλ' οὐδὲ ἁρμόζει τῇ τοῦ λόγου συναφείᾳ. διὸ ἐξ ἀνάγκης ὧδε σημαίνει πτωχείαν, μετριότητα· τὶς οὖν πεισθείη ἄν, ὅτι ὁ τῶν Παραλειπομένων συγγραφεὺς προφέρει ὡς ἐκ στόματος τοῦ Δαβὶδ τὸ, κατὰ τὴν πτωχείαν μου, καὶ τὴν ὀλιγότητα τῶν ὑπαρχόντων μου, οὐκ ἠδυνήθην συλλέξαι εἰμὴ δέκα καὶ ὀκτὼ διλλιόνια ἐν καθεστηκότι χρυσίῳ καὶ ἀργυρίῳ, ἐκτὸς τοῦ χαλκοῦ καὶ σιδήρου, καὶ τῶν ξύλων, καὶ λίθων, ὧν ἡτοίμασα; αὐτὸ τὸ ῥητὸν δείκνυσιν ἑαυτὸ πεπονθός. οὐδεὶς δὲ καλῶς σκεπτόμενος ἀπονέμει τὸ πάθος αὐτοῦ τῷ πρωτοτύπῳ, ἀλλὰ τοῖς τοῦτο μεταγράψασιν, εἷς τῶν ἐπιτηδειοτάτων κριτικῶν ἐπίστευσεν, ὅτι τὸ ῥητὸν τοῦτο ἀναγνωστέον οὕτως· „Ἡτοίμασα κατὰ
Ο Ουβιγόντης „τὴν ὀλιγότητα τῶν ὑπαρχόντων μου ἑκατὸν τάλαντα χρυσίου, καὶ χί-„λια τάλαντα ἀργυρίου. Ἀλλ' ὅσον τὸ σφάλμα βέβαιον, τοσοῦσον ἡ ὑπ' αὐτοῦ προτιθεμένη διόρθωσις ἀμφίβολος. διότι πρὸς βεβαίωσιν αὐτῆς οὐκ ἔχομεν μαρτυρίαν οὐδὲ παραλλήλου τινὸς ῥητοῦ ἐν τῷ αὐτῷ, ἢ ἐν τῷ τῶν Βασιλειῶν βιβλίῳ κειμένου, οὐδὲ ἀρχαῖας τινὸς μεταφράσεως, οὐδὲ παλαιοῦ τινὸς γνωστοῦ χειρογράφου.

Ἄρθρον Ι'.

Περὶ τῆς Βασιλείας Σαβὰ, καὶ τῆς θρησκείας τῶν Ιουδαίων ἐπὶ Σολομῶντος.

1. „Ἡ Βασίλισσα Σαβὰ, φησὶν ὁ αὐτὸς, ἡ ἐρχομένη προτεῖναι „τῷ Σολομῶντι αἰνίγματα, καὶ προσενεγκεῖν αὐτῷ μικρόν τι δῶρον, „εἴτουν δεκαὲξ μιλλιόνια, καὶ ὀκτακοσίας χιλιάδας λίτρας τῆς Γαλλίας, „ἐστὶν ἀναμφιβόλως ἄλλη τὶς ματρώνα, ἥπερ ἡ Αὐτοκράτορ τῆς Ρωσ-„σίας. τὸ δὲ δεκατημόριον πάντων τῶν χρημάτων τούτων ἀνήκει τοῖς „Ιερεῦσι. ζητοῦσι δέ τινες τὴν τοῦ Σαβὰ Βασιλείαν, ἥτις ἐστὶν ἀναμφι-„βόλως εν τῇ τῆς Οὐτοπίας χώρᾳ.

Τί ἐςι τȣ̃το; ἀμάθεια; ἀναιςχυντία; παραλήρημα; πάντα ὁμȣ̃ εἰσίν. ἦτε Ιερὰ ϗ ἡ κοσμικὴ ἀρχαιότης ἀκαταπαύςως λαλεῖ περὶ τῆς χώρας τȣ̃ Σαβὰ ϗ τῶν Σαβαίων, τιθεῖσα αὐτὴν ἐν τῇ Αραβίᾳ ἐπὶ τὸν Περσικὸν κόλπον πλησίον τȣ̃ Ρέγματος. ἀναγινώσκομεν τȣ̃το ἐν τῷ βιβλίῳ τῆς Γενέσεως, τȣ̀ Ιὼβ, τῶν Ψαλμῶν, τȣ̃ Ησαίȣ, τȣ̃ Ιεζεκιὴλ, Διοδώρȣ τȣ̃ Σικελιώτȣ, τȣ̃ Βιργιλλίȣ, τȣ̃ Πλινίȣ, τȣ̃ Πτολεμαίȣ *), ȣ̓δὲν ἔθνος, λέγει ὁ Πλίνιος, πλȣσιώτερον τῶν Σαβαίων, ϗ τῶν Γεῤῥαιέων. Τίνος δὲ ἕνεκα προτίθεται ἐνταῦθα ἡ αὐτοκρατορ τῆς Ρωσσίας; (117) ἡ μὲν μεγάλη αὐτῆς ἐπικράτεια σισύρων πλȣτεῖ ὡραίων, ἡ δὲ χώρα τῆς Βασιλίσσης Σαβὰ χρυσίȣ πολλȣ̃, λίθων πολυτελῶν, ϗ θυμιαμάτων, ὑπ' αὐτῆς δωρȣμένων.

„Μικρόν τι δῶρον, φησὶ, δεκαὲξ μιλλιόνια ϗ ὀκτακόσιαι χιλιάδες „λίτραι.

Σφάλλει, προσθεὶς περίπȣ τρία μιλλιόνια· διότι τὰ ἑκατὸν ϗ εἴκοσι τάλαντα τȣ̃ χρυσίȣ, τὰ ὑπὸ τῆς Βασιλίσσης Σαβὰ δωρηθέντα τῷ Σολομῶντι, συνιςῶσι δεκατέσσαρα μιλλιόνια, τριάκοντα ϗ μίαν χιλιάδα, ϗ τριακοσίας ϗ ἑξήκοντα ϗ μίαν λίτρας τȣ̃ Παρισίȣ. Λίαν δὲ ἐπιθυμῷ μαθεῖν τὸν νόμον τὸν ἀποδεκατȣ̃ντα τὸ δωρηθὲν χρυσίον ϗ ἀργύριον. 3. Βασ. 10. 10. 2. Παρ. 9. 9.

2. Ἄλλη ἔνςασις κατὰ τῶν τȣ̃ Σολομῶντος ἵππων. Η Αἴγυπτος, „φησιν, ȣ̓κ ἦν ἱπποτρόφος. ἵνα τὶ ȣ̓ν ȣ̓ μετεκόμιζεν αὐτȣ̀ς ἐκ τῆς Α„ραβίας ϗ Περσίας; ȣ̓κ ἐγίνωσκεν ἄρα, ὅτι τὸ πλεῖςον μέρος τῶν „Αἰγυπτίων ἵππων μετ' ὀλίγον ἐτυφλȣ̃ντο;

Οὐ τὸ πλεῖςον μέρος, ἀλλὰ πάντες. ἠγνόει δ' ἄραγε ὁ κριτικὸς τὸ αἴτιον τῆς νόσȣ τῶν ὀμμάτων, τῶν ἐν Αἰγύπτῳ ἀνθρώπωντε ϗ ἵππων; Ταύτην προξενεῖ ἡ λεπτοτάτη ϗ καυςικωτάτη ἄμμος, ἥτις ὑπό τινων ἀνέμων αἰρομένη, ἐπὶ τȣ̀ς ὀφθαλμȣ̀ς φέρεται, ἐὰν δὲ μὴ ἱκανὴ προφύλαξις γένηται, ἀπόλλυσι τελευταῖον τὴν ὅρασιν. οἱ νέοι ἵπποι, ȣ̓ς ὁ Σολομὼν ἐν Αἰγύπτῳ ἠγόραζεν, ἀμέτοχοι ἀκμὴν ἦσαν τῆς τοιᾶσδε νόσȣ· μετονεχθέντες δὲ εἰς τὴν Παλαιςίνην, ȣ̓κ ἔτι αὐτῇ ὑπέκειντο. Τεβενότ. τ. 2. κ. 10. σ. 833. τῆς 3. ἐκδ.

„Διατὶ δὲ ȣ̓ μετεκόμιζεν αὐτȣ̀ς ἐκ τῆς Αραβίας, ἢ ἐκ τῆς Περσίας;

Διότι ȣ̓ πρὸς ἱππασίαν, ἀλλὰ πρὸς ἀχθοφορίαν τȣ̀τοις ἐχρῆτο.

„Οὐκ ἠγόραζε δὲ αὐτȣ̀ς πολλȣ̃.

Ημεῖς

*) Γεν. 10. 7. Ιώβ. 6. 19. Ψαλ. 71. 10. Ησ. 60. 6. Ιεζ. 27. 22. Διόδ. β. 3. κ. 9 Βιργ. Γεωργ. β. 1. Πλίν. β. 12. κ. 14. Πτολ. β. 6. κ. 7.

Ημεῖς ἐσημειώσαμεν τὸν λόγον. (118.) Ἀκούσωμεν τὰ ἑπόμενα.

3. „Ικανῶς δέδεικται, ὡς δοκεῖ, ὅτι οἱ Ιουδαῖοι οὐκ εἶχον τότε θρησκείαν ταθερὰν καὶ διωρισμένην... Οὐδὲν διέφερεν, ἤτοι ἐπ' ὀνόματι τοῦ Χαμὼς, καὶ τοῦ Μολὸχ, ἢ ἐπ' ὀνόματι τοῦ Ιωβὰλ ὁ Σολομὼν ἐ„λάτρευε τῷ Θεῷ.

Ἀποφαντικὴ ἐστιν ἡ τούτου ἀπόδειξις. Ὁ Σολομὼν πλανηθεὶς ὑπὸ τῶν ξένων γυναικῶν, ἃς παρανόμως ἔλαβε, τελευταῖον τοῖς θεοῖς αὐτῶν ἐλάτρευσεν. ἄρα οἱ Ιουδαῖοι οὐκ εἶχον τότε θρησκείαν ταθερὰν καὶ διωρισμένην· ἀλλ' οὐκ ἀφιέρωσεν ὁ Σολομὼν τὸν ναὸν, ὃν ἤγειρε πολλὰ ἔτη πρὶν ἢ λατρεῦσαι τῷ Χαμὼς καὶ τῷ Μολὸχ, τῇ τοῦ Ιωβὰλ λατρείᾳ; ὁ τῆς Ἀγγλίας Βασιλεὺς, Ενρίκος ὁ Η'. κυρευθεὶς ὑπὸ πάθους ὁμοίου τῷ ἐκτυφλώσαντι τὸν συνετώτατον τῶν Βασιλέων Σολομῶντα, χιθεὶς ἀπὸ τῆς Ρώμης, καὶ κεφαλὴ γενόμενος τῆς Ἀγγλων Ἐκκλησίας, ἤνοιξε καίπερ μὴ θέλων τὴν θύραν τῆς Βασιλείας αὐτοῦ τῇ τοῦ Λυθήρου καὶ Ζυίγλου (119) θρησκεία. ἄρα οἱ Ἄγγλοι πρὸ τοῦ χίσματος ὠδείμαν εἶχον ταθερὰν καὶ διωρισμένην θρησκείαν, οὐδὲ τὸν Πάππαν ἐγνώριζον κεφαλὴν τῆς καθόλου Ἐκκλησίας, οὐδὲ ἦσαν καθολικοὶ Ρωμαῖοι. Οὐδὲν δὲ ἐνταῦτα λέγω περὶ τῶν τοῦ Ησαῦ, καὶ Ιεφθάε, καὶ Σαμψὼν παραδειγμάτων, τῶν ὑπὸ τοῦ κριτικοῦ ἀδιακρίτως ἐπισωρευομένων. ταῦτα δὲ ὁ μόνον οὐδὲν συντείνουσιν εἰς ἀπόδειξιν τῶν ἐν τοῖς χρόνοις τοῦ Σολομῶντος, ἅτε δὴ μεταγενεστέροις τούτων, ἀλλὰ καὶ ἀπαντηθήσονται ὑπ' ἐμοῦ ἐν τῇ τάξει αὐτῶν, ὅπου δείξω, ὅτι οὐδὲν ὅλως ἀποδεικνύουσιν.

ΑΡΘΡΟΝ ΛΑ'.

Περὶ τῆς τοῦ Ραζὼν ἐπαναστάσεως.

1, Ιδοὺ ἑτέρα ἔνστασις ἐναντίον τῆς ἐκτάσεως τῆς ἐπικρατείας τοῦ Σολομῶντος. „Οὗτος ὁ Ραζὼν, ὁ τῆς Συρίας Βασιλεὺς, ὁ τοσοῦτον τα„λαιπωρήσας τὸν Σολομῶντα ἐν πάσαις ταῖς ἡμέραις τῆς ἐν τῇ Ιουδαίᾳ „Βασιλείας αὐτοῦ, δείκνυσιν ἐμφανῶς, ὅτι ὁ Ιερὸς συγγραφεὺς ἀντι-
2. Παρ. 9. 26. „λέγει ἑαυτῷ παχυλῶς, λέγων, ὅτι ὁ Σολομὼν ἐβασίλευσεν ἀπὸ τοῦ „Εὐφράτου ἕως τῆς μεσογείου.

3. Βασ. 11. 23. Ὁ Ραζὼν, ὁ ἐν τῇ Συρίᾳ ὑποτελὴς Βασιλεὺς, μετὰ τὴν ὑπὸ τοῦ
2. Βασ. 8. 3. Δαβὶδ γενομένην νίκην κατὰ τοῦ προκατόχου αὐτοῦ Ἀδραάζαρ, ἐπανέ-
σῃ κατὰ τοῦ Σολομῶντος, προβεβηκότος ἤδη τὴν ἡλικίαν, μετὰ τὴν ὑπ' αὐτοῦ προσενεχθεῖσαν τοῖς εἰδώλοις λατρείαν. μετὰ δὲ ταῦτα οὐκ ἔπαυσεν ἐνοχλῶν αὐτὸν ἐν τοῖς ἐσχάτοις τῆς Βασιλείας αὐτοῦ χρόνοις.

ἄρα

ἄρα ὁ Σολομὼν πρὸ ταύτης τῆς ἐπαναςάσεως ȣ̓κ ἐβασίλευσεν εἰρηνικῶς ἀπὸ τȣ̃ Εὐφράτȣ ἕως τῆς μεσογείȣ. τὸ ἐπιχείρημα τȣ̃το ἐςὶν ἀναντίῤῥητον.

2. Παραβλέπω τὰς τȣ̃ φιλοσόφȣ τȣ́τȣ ἐπαναλήψεις, ϗ τὰς ῥαψωδίας, τὰς ἀναξίας ἀποκρίσεως, (120) ἵνα ἐνδιατρίψω ἐν τῇ σημειώσει αὐτȣ̃ εἰς τόδε τὸ ῥητὸν τȣ̃ τῶν Βασιλειῶν βιβλίȣ. Καὶ ἠ- 2.Βασ. 10.19.
„θέτησεν Ισραὴλ ἐν τῷ οἴκῳ Δαβὶδ ἕως τῆς ἡμέρας ταύτης. Ταῦτα „τὰ λόγια, λέγει αὐτὸς, ἀποδεικνύȣσιν, ὅτι ὁ συγγραφεὺς συνέγρα„φε, χρόνȣ πολλȣ̃ παρεληλυθότος μετὰ τὸ συμβάν... Εὰν ȣ̓ν αὐ„τὸς εἷς ἦν τῶν πολλῶν, ἠδυνάμεθα διςάζειν περὶ πάντων τῶν ὑπ' „αὐτȣ̃ ἱςορȣμένων.

Ο τεσσαράκοντα ἢ πεντήκοντα ἔτη μετὰ τὸ τȣ̃ Ιεροβοὰμ σχίσμα τὴν ἱςορίαν συγγράψας, πάνυ καλῶς ἠδύνατο εἰπεῖν τάδε· Τότε ἤρξατο ὁ τȣ̃ Ισραὴλ ἀπὸ τȣ̃ Ιȣ́δα χωρισμὸς, ὃν ἡμεῖς ἕως τῆς σήμερον ὁρῶμεν. Τὸ ῥητὸν τȣ̃το κατὰ ταύτην μȣ τὴν ἔκθεσιν ȣ̓δὲν ἕτερον ἐμφαίνει, εἰμὴ ὅτι ἡ Βασιλεία τȣ̃ Ισραὴλ ὑπῆρχεν ἔτι, ὅτε ὁ ἱςορικὸς ταῦτα ἔγραφεν. ἐπειδὴ δὲ ἡ Βασιλεία αὕτη ȣ̓κ ἐπήρκεσεν, εἰ μὴ μόνον διακόσια ϗ ἑξήκοντα ἔτη, ἑπομένως ὁ συγγραφεὺς ȣ̓τος, ὁ ἐξ ἀνάγκης βιώσας ἐν τῷ μεταξὺ τȣ́τȣ τȣ̃ χρόνȣ, ȣ̓κ ἂν εἴη πάνυ ἀφεςηκὼς. ἀλλὰ λίαν ἐγγὺς τῷ καιρῷ τῶν ὑπ' αὐτȣ̃ ἱςορȣμένων συμβάντων. διὰ τȣ̃το ȣ̓ν, κἂν εἷς τῶν πολλῶν ὑπῆρχεν, ἄξιός ἐςιν ὅμως τιμᾶσθαι ὡς μάρτυς τῶν πραγμάτων εἰδήμων.

Ἄ Ρ Θ Ρ Ο Ν, ΙΒ'.

Περὶ τῆς Βασιλείας Ροβοὰμ ϗ Αβιὰ, ϗ τῶν πολυαρίθμων ςρατευμάτων αὐτῶν.

1. Ἀπ' ἐντεῦθεν μεταβαίνει ὁ κριτικὸς εἰς τὴν Βασιλείαν τȣ̃ Ροβοάμ. (121). „Αὐτὸς ἔρχεται, λέγει, μετὰ ἑκατὸν ϗ ὀγδοήκοντα χι„λιάδων ςρατιωτῶν... Ινα πολεμήσῃ κατὰ τȣ̃ οἴκȣ Ισραήλ... Ηδύ„νατο ἄρα πτωχὸς βασιλίσκος τȣ̃ δεκάτȣ μέρȣς βαρβάρȣ τινὸς χώρας „συγκροτῆσαι πολεμικὴν ςρατιὰν ἑκατὸν ϗ ὀγδοήκοντα χιλιάδων;

Εἶπον αὐτῷ ἀλλαχȣ̃, ὅτι παίζει ὁ παραβάλλων τὰ πεπαιδευμένα, Ἐν κ. 4 Ἀρθρ. 4. τῆς ὑπερασπ. της παλ. Διαθ.
πρὸ πολλȣ̃ σιτιζόμενα, ϗ ἐκςρατεύοντα τῶν καθ' ἡμᾶς Βασιλέων ςρατεύματα τῷ πλήθει τῶν οἰκȣ́ντων δύω μικρὰς συνόρȣς Επαρχίας, οἵτινες εὐθὺς μετὰ τὴν πρόσκλησιν ἀνὰ χεῖρας λαμβάνȣσι τὰ ὅπλα. προσεθέμην δὲ τὸ, ὅτι ὁ Διόδωρος ὁ Σικελιώτης παρίςησι τριακοσίας Διόδ. β. 11.
χιλιάδας Συβαριτῶν καθωπλισμένων ἐναντιον ἑκατὸν χιλιάδων Κρο-

 τονια-

τονιατῶν. ϗ ὅμως ἡ Κροτόνη ϗ ἡ Σύβαρις, ἀποικίαι ὖσαι ἑλληνικαὶ, ἐν μιᾷ γωνίᾳ τῆς Ιταλίας κέμεναι, ὐκ ἦσαν εἰ μὴ μητροπόλεις δύω μικρῶν ἐπικρατειῶν. πρέπον ἓν ἦν αὐτῷ ἀντὶ τὸ ἐπαναλαβεῖν τὴν ἀθενῆ αὐτὸ ἔνςασιν, καταργῆσαι ταύτην τὴν ἀπάντησιν.

2. Πότερον ὑπῆρξε μέν ποτέ τις Σεσώςεις, ἢ ὔ· ἦν δὲ ὁ Σεσώςεις αὐτὸς ὁ Σισακὶμ, ὁ τὴν Ιερυσαλὴμ σκυλόὖσας ἢ ὔ; ζητήματα εἰσιν ἀδιάφορα μὲν ὡς πρὸς τὴν ἀποκάλυψιν, ϗ τὸ κῦρος τῶν ἁγίων ἡμῶν βιβλίων, ὐχ ὅμως ϗ πρὸς πᾶσαν ὑπόθεσιν, ὥςε τὸν συγγράφοντα μηδόλως ταῦτα εὐλαβόμενον, αὐθαδῶς λέγειν· „Τὸ „πάθει, ὅτι ὁ Σεσώςεις, ὁ μὴ σκυλόὖσας τὴν Σηχὲμ, τὴν Ιεριχὼ, „τὴν Σαμάρειαν, ὐκ ἔςιν αὐτὸς ὁ ϗ τὴν Ιερυσαλὴμ σκυλόὖσας. ὁ δὲ Ηρόδοτος λέγει, ὅτι ὁ Σεσώςεις ἐσκύλοὖσε πᾶσαν τὴν γῆν.

Τὸ τὰυτόν ἐςι τῷ, ὥσπερ ἐάν τις διϊσχυρίζετο περὶ τὸ δε· ἐπειδὴ ὐκ ἐῤῥέθη, ὅτι ὁ Αλέξανδρος κύριος γέγονε τῆς Ναζαρὲτ ϗ Βηθλεὲμ, ὐδὲ τῆς Ασίας ἄρα ἐκυρίευσε. τὸ δὲ ἐςι τὸ πλήρωμα τὸ ἀτοπήματος, τὸ ἐν ταύτῃ τῇ εὐτελεῖ παρατηρήσει, εἴτεν τὸ ὅτι αὐτὸς ὁ πατὴρ αὐτῆς ἀνωτέρω εἶπε· „Τότε ἡ Σαμάρεια ὐχ ὑπῆρχε, „ἡ Ιεριχὼ ἦν ἐρέπιον, ϗ ἡ Σηχὲμ ὐκ ἦν ἀνεγηγερμένη.

Εὐ. σ. 354. τῆς τελευτ. διερμήν. Διαθ.

3. „Ο αὐτὸς προσίθησιν· Ο Ιερὸς συγγραφεὺς λέγει· ἡ Βασίλισσα Μααχὰ ἦν μήτηρ τὸ βασιλίσκου Ασίου. „εἶτα λέγει, ὅτι αὐτὴ „ἦν μήτηρ τὸ βασιλίσκου Ασά. ὐδὲν δὲ λέγει περὶ τὸ τίνες ἦσαν οἱ „Πέραποι (122). ὧν ἡ μήτηρ Μααχὰ ἦν μεγάλη Ιέρεια ἐν Ιερουσαλήμ.

2. Παρ. 15. 16.

3. Βασ. 14. 31.

Ο Ιεροβοὰμ ἔλαβεν ἐνδεχομένως κατὰ τὸν αὐτὸν καιρὸν δύω ταυτωνύμους γυναῖκας, ὧν ἡ μὲν μήτηρ ἦν τὸ Ασίου, ἡ δὲ τὸ Ασά. τὰ ἑλληνικὰ ὅμως τόὖχη αἴρουσι τὴν ταυτωνυμίαν, ὀνομάζοντα τὴν μὲν τὸ Ασίου μητέρα, Μααχά· τὴν δὲ τὸ Ασὰ, Ανά. ἐν δὲ τοῖς ἑβραικοῖς χαρογράφοις, ἐξ ὧν ταῦτα γεγόνασι, κεῖ ἔν τε τῷ δεκάτῳ ϗ δεκάτῳ τρίτῳ ἐδαφίῳ τὸ δεκάτου πέμπτου κεφαλαίου τὸ τρίτου τῶν Βασιλειῶν βιβλίου, Ανὰ, ϗ ὐχὶ Μααχά.

3. Βασ. 15. 2. 10. 23.

4. „Εξίςαταί τις, ὁ αὐτὸς λαλῶν, ὁρῶν τὸς Περάπους λατρόυο„μένους ὑπὸ τὸ οἴκου Δαβὶδ, ϗ τῶν υἱῶν τὸ Ιακώβ. ἔςι δ' ἀράγε ἄλ„λης ἰσχυροτέρα ἀπόδειξις περὶ τὸ ὅτι ἡ Ιουδαϊκὴ θρησκεία ἄχει „τῶν τὸ Εσδρα χρόνων ὐδέποτε ἦν σερεά;

Κατὰ πάντα καιρὸν ϗ τόπον εὑρίσκονται ἀποςάται τῆς πατρικῆς ἓ ἀδελφικῆς θρησκείας, ἄρα κατ' ὐδένα καιρὸν ἓ τόπον ἡ θρησκεία ἦν σερεά. ἔςιν ἀράγε ἄλλη τὶς ἀπόδειξις περὶ τὸ ὅτι ὁ φιλόσοφος ὅτος ἦν κάκις διαλεκτικός;

5.

5. „Παράδοξον δὲ, λέγει ὁ αὐτὸς, τὸ περὶ τῶν νέων Σοδομη-
„τῶν, εἴτουν τὸ ὅτι ἀκμὴν ἦσαν τοιοῦτοι μετὰ τὸ φρικτὸν τῶν Σοδό-
„μων καὶ Γομόρρων παράδειγμα. (123.)

Τοῦτο οὐκ ἔστι παραδοξότερον τῶν ὁρωμένων παραδειγμάτων. διότι εἰ μετὰ τὰς καθ' ἡμέραν αὐστηρὰς παιδείας βλέπομεν τοσούτους λῃστὰς καὶ κακοποιούς.

6 „Τί δὲ λέγεις, ἀγαπητέμοι ἀναγνῶστα, περὶ τῶν εἰκοσιδύω
„υἱῶν καὶ τῶν δεκαὲξ θυγατέρων τούτου τοῦ Λὶβιὰ, τῶν ἐν δυσὶν ἔτεσι
„γεννηθέντων ὑπὸ τῶν δεκατεσσάρων γυναικῶν αὐτοῦ; Τοιοῦτόν ἐστι τὸ
ὑπὸ τοῦ αὐτοῦ προτεινόμενον ζήτημα.

Πρῶτον μὲν λέγω, ὅτι τοῦτο οὐκ ἔστι κατὰ φύσιν ἀδύνατον· δεύτερον δὲ, ὅτι αὐτὸς ὑποτίθεται ἄνευ θεμελίου, ὅτι ταῦτα τὰ τριάκοντα καὶ ὀκτὼ τέκνα ἐγεννήθησαν ἐν δυσὶν ἔτεσιν. ἄνθρωπος σοφὸς, οἷός ἐστιν αὐτὸς, διὰ τί μένει ἐν μόνῃ τῇ τῆς Βυλγάτης ἀναγνώσει. τῆς διαλαμβανούσης, ὅτι αὐτὸς ἔλαβε τὰς γυναῖκας μετὰ τὴν νίκην, ἣν ἐποίησεν ἐν Θρακῇ; τὸ πρωτότυπον ὕφος, ἐν αἱ ἄλλαι μεταφράσεις οὐδὲν τοιοῦτον λέγουσιν. (124). Ὁ Λὶβιὰ ἔλαβε γυναῖκας κατ' ἀρχὰς τῆς βασιλείας αὐτοῦ, τῆς διαρκεσάσης ἔτη τρία.

7. „Τί δὲ λέγεις, προσέθησιν ὁ αὐτὸς, περὶ τῆς τοῦ Ἀσὰ στρα- 2 Παρ. 14. 8.
„τιᾶς, τῆς συγκειμένης ἐκ πενταϰοσίων καὶ ὀγδοήκοντα χιλιάδων ἀν- 9.
„θρώπων, ἐν τῆς τοῦ βασιλέως τῆς Αἰθιοπίας, τῆς προϊούσης ἄχρι τοῦ
„μιλλιονίου; σὺ οἶδας, ὅτι ἡ Αἰθιοπία οὐκ ὀλίγον ἀπέχει τῆς Ἱερουσα-
„λήμ. πόθεν οὖν ἦλθεν οὗτος ὁ βασιλεὺς τῆς Αἰθιοπίας; πῶς δὲ ὁ
„τῆς Αἰγύπτου βασιλεὺς ὁ Σουσακὶμ, ἢ Σεσώσεις ἀφῆκεν αὐτὸν δι-
„ελθεῖν;

Σὺ ὁ ἐπιχειρήσας διερμηνεῦσαι τὴν θείαν Γραφὴν, ὀλιγομαθὴς ὑπῆρχες, μὴ εἰδὼς ὅτι τὸ μὲν ὄνομα τοῦ Χοῦς, ἢ τῆς Αἰθιοπίας, οἵ τε ἱεροὶ καὶ οἱ κοσμικοὶ συγγραφεῖς ἀπονέμουσι συχνάκις τῷ τόπῳ, τῷ ἐπεκτεινομένῳ ἀπὸ τῆς συμβολῆς τοῦ Τίγρεως καὶ τοῦ Εὐφράτου ἄχρι τῆς ἀκτῆς τῆς ἐρυθρᾶς θαλάσσης· οὗτος δὲ ὁ τόπος ἦν ἡ πρώτη κατοικία τοῦ Χοῦς καὶ τῶν ἀπογόνων αὐτοῦ. οἵτινες ἐκβαθέντες κατὰ μεσημβρίαν, καὶ τελευταῖον διαπεράσαντες τοῦτον τὸν κόλπον, ἐπλήρωσαν οἰκητόρων τὴν χώραν, τὴν ὑπὸ τῶν παλαιῶν καλουμένην Αἰθιοπίαν πέραν τῆς Αἰγύπτου, πρὸς ὑποδιαζολὴν τῆς πρώτης Αἰθιοπίας. κατὰ ταύτης τῆς Γεωγραφικῆς ἐκθέσεως, τῆς ὑπὸ τῶν σοφῶν ἀνδρῶν Βοχάρτου καὶ Οὐέτου ἀποδειχθείσης, οὐδεὶς μὲν ἀντέστη, ἐγὼ δὲ παρέθηκα πολλὰς ἀποδείξεις, ἀποκρινόμενος πρὸς τὰς κατὰ τοῦ βιβλίου τῆς Ἐσθὴρ δυσκολίας· περὶ δὲ τῶν πεντακοσίων χιλιάδων Ἰουδαίων,

δαίων, τῶν πολεμησάντων κατὰ τȣ̃ μιλλιονίȣ τῶν Αἰθιόπων, τῶν μὴ ἐλθόντων ἀπὸ τῆς χώρας, τῆς γνωριζομένης σήμερον διὰ τȣ̃ ὀνόμα-
2. Παρ. 14. 9. τος τῆς Αἰθιοπίας, ἀλλὰ κατοικȣ́ντων τὴν Ἀραβίαν, ⲥ̀ συνορȣ́ντων
ϛ 21. 16. τῇ Ἰδȣμαίᾳ, ἐγὼ εἶπόν σοι ἤδη, ὅτι τότε πᾶς πολίτης ἦν ϛρατιώτης.

Ἄ Ρ Θ Ρ Ο Ν ΙΓ'.

Περὶ τῆς τȣ̃ Ἠλιȣ̀ ὑπȣργίας.

1. Ἰδȣ̀ κατηντήσαμεν εἰς τὴν τȣ̃ Ἠλιȣ̀ ὑπȣργίαν. Ἄνδρες τινὲς σο-
„φοὶ, λέγει ὁ αὐτὸς, διϊσχυρίζονται, ὅτι ὁ Ἠλίας ἐϛὶ πρόσωπον ἀλ-
„ληγορικόν· ϗ ὅτι ȣ̓δέποτε ὑπῆρξεν ὁ Ἠλίας, εἰ δὲ ϗ ὑπῆρξεν, ȣ̓-
„δέποτε ἄλλος Ἰȣδαῖος ἐφάνη βαρβαρώτερος ἐκείνȣ.

Οὗτοι οἱ νομιζόμενοι σοφοὶ δοκȣ̃σιν ἐν τῇ τῶν Ἰȣδαίων ἱϛορίᾳ ἐμπειρότεροι τῶν πρὸ χιλίων ἑπτακοσίων ἐτῶν ϗ ἐπέκεινα ἀκμασάν-
Ιακ. 5. 17. των, ὅτε δηλαδὴ ὁ ἅγιος Ἀπόϛολος Ἰάκωβος ἔγραφεν· Ὁ Ἠλίας „ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν· ϗ ὅτε ὁ Ἰώσηπος καθιϛόρει περὶ αὐτȣ̃ ἐν ταῖς Ἀρχαιότησιν αὐτȣ̃ πάντα ὅσα ἀναγινώσκομεν ἐν τοῖς τῶν Βασιλειῶν βιβλίοις· ϗ ὅτε ὁ Ἰησȣ̃ς Χριϛὸς προέτεινεν αὐτὸν τοῖς Ἰȣδαίοις παράδειγμα· ἐμπειρότεροι, λέγω, τῶν πρὸ δύω χιλιάδων ἐ-
Σειρ. 48. 4—14. τῶν ϗ ἐπέκεινα ἀκμασάντων, ὅτε δηλαδὴ ὁ Σειρὰχ ἐγκωμίαζε τὸν αὐτὸν Προφήτην. Ἄρά γε δὲ ȣ̓κ ἔϛιν ἀλλόκοτον τὸ ἐκλαβεῖν ὡς ἀλληγορίαν τὰ ἁπλᾶ, ϗ ἀπότομα, ⲥ̀ σύντομα τῶν δύω βιβλίων τῶν Βασιλειῶν διηγήματα; τὸ μέρος τȣ́των τῶν βιβλίων, τὸ περιέχον τὸ διήγημα τῶν ἔργων τȣ̃ Ἠλιȣ̀ ϗ Ἐλισσαίȣ ἐγράφη, ἱϛαμένης ἔτι τῆς τῶν δέκα φυλῶν Βασιλείας· περὶ τȣ́τȣ προέτεινον μὲν τὰς ἀποδείξεις, εἴδομεν δὲ περὶ τȣ́τȣ ϗ αὐτὴν τὴν τȣ̃ ἀπίϛȣ ὁμολογίαν. ὁ Ἐλισσαῖος ὁ τȣ̃ Ἠλιȣ̀ μαθητὴς ϗ διάδοχος ἐτελεύτησε περὶ τὸν ὀκτακοσιοϛὸν τριακοϛὸν ὄγδοον ἐνιαυτὸν πρὸ τȣ̃ χριϛιανικȣ̃ ἔτȣς, ὅπερ ἐϛὶ χίλια ὀκτακόσια ἔτη πρὸ τȣ̃ ὁλοσχερȣ̃ς ἀφανισμȣ̃ τῆς τῶν δέκα φυλῶν Βασιλείας. ἄρα ὁ συγγραφεὺς τȣ̃ τρίτȣ βιβλίȣ τῶν Βασιλειῶν, ϗ ἱκανȣ̃ μέρȣς τȣ̃ τετάρτȣ, ȣ̓κ ἤκμασαν πορρωτέρω τȣ̃ μετὰ τὸν Ἐλισσαῖον αἰῶνος. ἄρα τὰ ἔργα ⲥ̀ θαύματα τȣ̃ Ἠλιȣ̀ ϗ Ἐλισσαίȣ ὅτε ἐγράφησαν, ἦσαν ἔτι πρόσφατα, δημόσια ϗ γνωϛὰ ἐν ταῖς τȣ̃ Ἰȣ́δα, ϗ Ἰσραὴλ Βασιλείαις. ἄρα ὁ κριτικὸς ὁ ἀμφιβάλλων, ϗ περὶ αὐτῆς τῆς τȣ̃ Ἠλιȣ̀ ὑπάρξεως, ἀλλαχȣ̃ δὲ ἀρνȣ́μενος ϗ αὐτὰ τὰ θαύματα ϗ προσαγορεύων αὐτὰ εὔμορφα θαύματα, ἁμαρτάνει ἐπίσης κατά τε τῶν κανόνων τῆς ὀρθῆς ἐπικρίσεως, ϗ κατὰ τῆς θρησκείας.

Ο' Ηλίας ἆρα ὑπῆρξεν. ὃκ ἦν δὲ βάρβαρος, ἐπειδὴ παρασήσας τὴν ἀποσολὴν αὐτῦ θείαν ἐνώπιον πάσης τῆς συναγωγῆς τῦ Ἰσραὴλ, ἢ ἀποδείξας τὴν ἀδυναμίαν τῶν ψευδοθεῶν, ὧν τὴν λατρείαν εἰσήγαγεν ἐν τῷ Ἰσραὴλ ἡ Ἰεζάβελ, ἐπλήρωσε κατὰ τῶν ἀθέων ὑπαρξῶν τῶν τῆς Τύρυ ἢ Σιδῶνος συγητῶν Θεῶν τὸν ὑπὸ τῦ Μωϋσέως δοθέντα νόμον ὑπὲρ πάσης τῆς γῆς Χαναάν. ἦσαν δὲ ἄξιοι τοιαύτης ποινῆς ἐξόχως οἱ ἀνάξιοι τῆς Ἰεζάβελ ὑπαργοὶ, ὡς προτρέψαντες αὐτὴν ζητῆσαί τε ἢ παραδῶναι εἰς θάνατον τὺς Προφήτας τῦ ἀληθινῦ Θεῦ. ὐδενὶ δὲ ἑτέρῳ κατάλληλον τὸ ἀντιπροτείνειν (125) κατὰ τῦ ἱερῦ δόγματος, τῦ περὶ τῦ ἑνιαίυ τῆς Θεότητος, τὴν νομιζομένην καλὴν πίςιν τῶν Προφητῶν τῦ Βαάλ. ἢ τῶν ἄλλων Χαναναίων Θεοτήτων, εἰ μὴ ἀπίςωτε ἢ ἀνόμως.

Ex. 22. 20. Deut. 18. 10. 11. 3 Bas. 18. 13.

2. „Ο' Ἰσραὴλ, λέγει αὐτὸς ἀλλαχῦ, ἐλάτρευε μόνον τῷ Βαάλ. Ἐὰν ἐπιμελῶς ἀνεγίνωσκε τὰς Γραφὰς, ἔβλεπεν, ὅτι ὁ Ἰσραὴλ ἀποςατήσας, ἐλάτρευεν ὐ μόνον τῷ Βαὰλ, ἀλλὰ ἓ τῇ Ἀςάρτῃ, ἧς οἱ τετρακόσιοι Ἱερεῖς προσεκλήθησαν ἐν τῷ Καρμήλῳ σὺν τοῖς τῦ Βάαλ, ἢ σὺν πᾶσι τοῖς Ἱερεῦσι τῶν Χαναναίων Θεῶν, ὧν τὴν λατρείαν μετεκόμισεν ἀπὸ τῆς Τύρυ ἡ Ἰεζάβελ.

3 Bas. 18. 22.

3. Ἐκ τύτυ ὁ αὐτὸς ἀφορμὴν λαβὼν, διδάσκει ἡμᾶς περίεργόντι ἢ ἀγνούμενον, εἶτυν τὸ, ὅτι Σαβαὼθ σημαίνει Κύριος· ἄχρι τῦδε ἐπισεύομεν, ὅτι Σαβαὼθ σημαίνει ςρατεύματα. τινὲς δὲ ἐσημείωσαν, ὅτι οἱ μὲν πολύθεοι μετήρχοντο τῦτο τὸ ὄνομα, ἵνα σημάνωσι τὸ πλῆθος τῶν ὑπ' αὐτῶν θεωμένων ἀςέρων· ἐξ ἐναντίας δὲ οἱ Ἑβραῖοι τὸν ἀληθινὸν ἓ ἕνα Θεὸν ὠνόμαζον Κύριον τύτυ τῦ πλήθυς τῶν ἀςέρων, τῶν ὑπὸ τῶν ἐθνικῶν λατρευομένων ἐπ' ὀνόματι τῆς Οὐρανίας ςρατιᾶς. Χάρις ὖν τῷ ἡμετέρῳ συγγραφεῖ, τῷ ἐμφανίσαντι ἡμῖν τὴν διόρθωσιν πάντων τῶν ἑβραικῶν λεξικῶν.

3. Ἰδὺ ἓ ἄλλη μέλλυσα γενέσθαι τῇ ἡμελέρα διαλέκτῳ διόρθωσις. „Σκληρὸς ἄνθρωπος, λέγει αὐτὸς, ἦν ὁ Ἠλίας σφάξας μονώ„τατ@ ὀκτακοσίυς πεντήκοντα Προφήτας τῶν συναδελφῶν αὐτῦ· δι„ότι γέγραπ@, ὅτι αὐτὸς ἀπέκτεινε πάντας.

Κατὰ τὸν αὐτὸν ἆρα λόγον, ὅταν ἀναγινώσκομεν τὸ, ὁ δεῖνα ἀρχηγὸς ἀπέκτεινε μὲν τοσύτυς ἐχθρὺς, ἠχμαλώτευσε δὲ τοσύτυς, ἐκυρίευσε δὲ, ἢ κατεπόντισε τοσαύτας ναῦς, νοεῖν ὀφείλομεν ταῦτα σημαίνοντα, ὅτι αὐτὸς μόνος ἰδίαις χερσὶ ταῦτα πάντα πεποίηκεν.

5. „Ἡ Ἰεζάβελ, προσέθησιν αὐτὸς, λίαν βλάξ ἦν, ἀποσείλα„σά τινα δηλοποιῆσαι τῷ Ἠλίᾳ, ὅτι αὔριον μέλλει κρεμάσαι αὐτόν. διό„τι διὰ τύτυ παρέσχεν αὐτῷ μιᾶς ἡμέρας εὐκαιρίαν πρὸς τὸ φυλαχθῆναι.

Ἡ

Ἡ σημείωσις αὐτη ἀδεμίαν ποιεῖ προσβολὴν τοῖς ὀρθῶς συλλογιζομένοις. τὸ ὑπὸ τῦ Ἠλιὰ γενόμενον θαῦμα μετέβαλον δίθεως τὰς τῶν ἀνθρώπων καρδίας· ἐντεῦθεν ἠκολούθησεν ἡ μετ' ἐξουσίας γενομένη τῶν ψευδοπροφητῶν φονοκτονία, ἥτις ὐκ ἂν ἐγένετο ἄνευ τῆς συγκαταθέσεως τῦ Ἀχαὰβ, ἢ παντὸς τῦ λαῦ, ἐξ ὦ πολλοὶ ὑπῆρξησαν τῷ ἔργῳ. ἡ μὲν δὴν Ἰεζάβελ παροργισθεῖσα, ἐν καιρῷ τῆς ὀργῆς αὐτῆς ἠπείλησε τὸν Προφήτην, ὅτινος τὴν παρυσίαν ἡ καρδία αὐτῆς ἐφοβεῖτο· ὁ δὲ Ἠλίας εἰδὼς τὸ τῦ Ἀχαὰβ ἀσθενὲς, καὶ τὸ ἀκατάσχετον ἦθος τῶν Ἰσραηλιτῶν, ἐφοβήθη, μήτι αἱ μὲν ἐπιπόλαιοι αὐτῶν διαθέσεις παραχρῆμα μεταβληθῶσιν, ἡ δὲ Ἰεζάβελ ἐκτελέσει τὰς ἀπειλὰς αὐτῆς.

6. „Ἀλλ' ἄνθρωπος, φησὶν, ἀνιεὶς τὰς νεκρὰς, καὶ ἐντελλόμενος ταῖς νεφέλαις, καὶ τῷ κραυνῷ, τοσῦτον δοῦλός ἐστιν, ὥστε φοβεῖσθαι ἀπὸ προσώπυ μᾶς γυναικός;

Ὁ ἄνθρωπος ὅτος ἐγίνωσκεν, ὅτι ὐκ ἰδίᾳ δυνάμει ἔπραξε τὰ τέρατα, ὁ δὲ τύτων αὐτυργὸς ὐκ ὑπέχετο ἐπανάληψιν τῶν αὐτῶν τερασίων κατὰ πᾶσαν σιγμήν· ἐπειδὴ δὲ ὁ Θεὸς περὶ τύτυ ὐδὲν τῶν μὴ συνήθων αὐτῷ προδεδήλωκε, πρόληψις ἦν ἢ ὑπερηφάνεια τὸ ἀμελῆσαι τὰς ὑπὸ τῆς συνέσεως ὑπαγορευομένας τρόπους εἰς ἀπαλλαγὴν τῦ κινδύνυ.

7. „Ὁ μείζων τῶν Προφητῶν, καὶ πρῶτος τῦ Θεῦ ὑπυργὸς
3.Βασ. 18.46. „τρέχει πεζὸς ὥσπερ ὄνος ἔμπροσθεν τῆς ἁμάξης τῦ Βασιλέως τῦ „Ἰσραήλ.

Ἀληθῶς ὐκ ἦσαν ὑπυργοὶ πρέποντες ταῖς τῦ αἰωνίυ Θεῦ ἀποκαλύψεσιν οἱ μὴ ὑπὸ φορείων βασαζόμενοι, καὶ μὴ διὰ ταχυδρομικῶν τρέχοντες ὀχέων. ὁ Θεὸς ὅμως τὸ ἐναντίον μετῆλθεν ἔντε τῷ παλαιῷ νόμῳ, κἂν τῷ κηρύγματι ἢ τῇ ἐπεκτάσει τῦ νέυ. ὅτοι δὲ οἱ πεζοὶ ὑπυργοί τε ἢ κήρυκες πάνυ καλῶς ηὐδοκίμησαν. ἀξιοσημείωτον δὲ τὸ, ὅτι τῷ μὲν Βασιλεῖ τῦ Ἰσραὴλ ἀπένεμεν ἅμαξαν ἀντὶ ἅρματος, τὸν δὲ Προφήτην ὐχ ὑπέφερεν ὁρᾶν πεζόν.

8. „Ἀλλὰ διατὶ τρέχει ὁ Προφήτης;

Ἵνα πέσῃ τὸν Ἀχαὰβ, ὅτι κἂν ὁ ὐρανὸς αἴθριος ἦν, ὅμως ἡ βροχὴ τοσῦτον ταχέως καταλαβεῖν ἔμελλεν, ὥστε ἐάντις σπυδαίως ὐκ ἔτρεχε καὶ ταχέως, ὐκ ἠδύνατο ἐκφυγεῖν αὐτήν.

Σημειῶσαι ὀφέλω, ὅτι ἡ νομιζομένη μετάφρασις αὐτῦ τῆς Διαθήκης, οὐ τῷ δὲ ἐξόχως τῷ μέρει ἐξηλλοιωμένη ἐσὶ καὶ κεκαπηλοσμένη.

Ἄρ-

ΆΡΘΡΟΝ Δ.

Περὶ τῆς δοθείσης τῷ Σατανᾷ ἀδείας πλανῆσαι τὸς τῦ Ἀχαὰβ Προφήτας.

1. Ὁ συγγραφεὺς ὗτος, ὁ μεταχηματίζων ἐδῶς τὴν Ἰσδὶθ, τὴν Ἐσθὴρ, ϗ τὸν Ἠλίαν εἰς πρόσωπα ἀλληγορικὰ, ϗ ὡς παραβολὰς ἐμφαίνων τὰς ἀπλουστάτας διηγήσεις, οἶδεν ἐπίσης, ὅταν αὐτῷ ἀρέσκῃ, μεταχηματίζειν τὰς παραβολὰς ϗ ἀλληγορίας εἰς ἔργα πραγματικώδη. Τὸ βιβλοθήκιον τῦ Θεῦ, ἐν ᾧ ὁ Σατανᾶς συμπαραζὰς προτίθησι τρόπως πρὸς τὸ ἀπατῆσαι τὸν Ἀχαὰβ, οὐδὲν ἕτερόν ἐςιν, ὡς παντίπως δῆλον, εἰμὴ αἴνιγμα, δι' ὃ ὁ Προφήτης Μιχαίας, ὁ τῦ Ἰεμλαὰ υἱὸς, λίαν τροπολογικῶς προφέρει τὴν δικαίαν ἀπόφασιν τῦ Θεῦ, τῷ παραδόντος τῷ πνεύματι τῆς ἀπάτης τὸς πονηρὸς Βασιλεῖς, οἷος ἦν ὁ Ἀχαὰβ, τὸς θέλοντας ἀπατηθῆναι, ϗ ἀνθισαμένους, ὥσπερ αὐτὸς, ταῖς φωταυγείαις ϗ νουθεσίαις, ἃς πολλάκις ἐδέξαντο. τί δὲ ποιεῖ ὁ κριτικὸς; ἐκλαμβάνει κατὰ τὸ γράμμα πᾶσαν τὴν τῦ Προφήτου διήγησιν, ἵνα συμπεράνῃ, ὅτι κατὰ τὸν ἐκθέντα αὐτὴν ἱερὸν ἱςορικὸν, ὁ Σατὰν ἀληθῶς προέτεινε συμβουλὴν τῷ βιβλοθηκίῳ τῦ Θεῦ, τῦ θέλοντος μὲν ἀπατῆσαι τὸν Ἀχαὰβ, μὴ ἐθότος δὲ τὸ πῶς. παραβάλλων δὲ ἀπρεπῶς ἅματε ϗ θεοσυγῶς τῦτο τὸ μέρος τῦ τρίτου βιβλίου τῶν Βασιλειῶν τῷ τῆς Ἰλιάδος, ἐν ᾧ ὁ Ζεὺς ἀποξέλλει ἀπατηλὸν ἐνύπνιον τῷ Ἀγαμέμνονι, καταντᾷ ϗ εἰς τῦτο, εἴτουν εἰς τὸ ἀπονέμειν τὰ πρωτεῖα τῷ Διὶ τῦ Ὁμήρου.

Ἀλλ' ἐὰν ὁ Θεὸς τῦ Ἰσραὴλ ἐζήτει ἀληθῶς ἀπατῆσαι τὸν Ἀχαὰβ, διατὶ δηλοποιεῖ αὐτῷ διὰ τῦ Προφήτου αὐτῦ, ὅτι οἱ περικυκλοῦντες αὐτὸν κολακεύουσι ϗ ἀπατῶσιν αὐτόν; διατὶ μετὰ τοσαύτης ἀκριβείας τε ϗ ἀσφαλείας προλέγει αὐτῷ τὸ δυσχὲς τέλος τῆς ὑπ' αὐτῦ μελετωμένης ἐκστρατείας; τῦτο αὐτὸ τὸ ὕφος ἀποδείκνυσιν, ὅτι ὁ Θεὸς μακρὰν ἀπέχων ἀπὸ τῦ ζητεῖν ἀπατῆσαι τὸς ἀσεβεςάτους Βασιλεῖς, ϗ ἐμπλέξαι αὐτὸς ἐν θανατηφόροις περισάσεσιν, ἀποξέλλει πρὸς αὐτὸς σωτηριώδη ὑπομνήματα· διὸ ὅταν ὁ Προφήτης λέγει ἐνταῦθα, ὅτι ὁ Θεὸς ἔδωκε πνεῦμα ψεύδους ἐν τῷ ςόματι πάντων τῶν Προφητῶν τῦ Ἀχαὰβ, δηλοῖ ἄλλην ἐμφαίνει ἔννοιαν, εἰμὴ τὴν, ὅτι ὁ Θεὸς βαρυνθεὶς ἐπὶ τῇ ἀνθισάσει τῦ Ἀχαὰβ, ϗ τῇ διαφθορᾷ τῶν Προφητῶν αὐτῦ, ἐγκατέλειπεν αὐτὸς ἐν τῇ ἐκθσίᾳ αὐτῶν τυφλότητι, ϗ ἐν ταῖς ὑποθήκαις τῦ πνεύματος τῦ σκότους, τῦ ὑπ' αὐτῶν προτιμηθέντος τῆς τῦ Θεῦ, ϗ τῆς τῶν ὑπουργῶν αὐτῦ φωνῆς.

2. Ὁ αὐτὸς ταράττεται ὁρῶν δύω Βασιλεῖς ἐνδεδυμένους τοῖς βα-
3.Βασ. 22 10: σιλικοῖς αὐτῶν Ἱματίοις, καὶ καθημένους ἐπὶ τοῦ θρόνου αὐτῶν ἐν τῇ πλατείᾳ πλησίον τῆς πύλης τῆς Σαμαρείας.

Ταῦτα μὲν τὰ βασιλικὰ ἐνδύματα ἦσαν, ὡς ἐκ τῶν ἑπομένων φαίνεται, τὰ πολεμικὰ αὐτῶν ἱμάτια, τὰ ἀπὸ τῶν ἱματίων τοῦ πλήθους τοῖς πολλοῖς διακοσμήμασιν ἐπισήμως διακρινόμενα· αἱ δὲ πύλαι τῶν πόλεων ἦσαν οἱ τόποι, ἐν οἷς ἐγίνοντο αἱ συνελεύσεις καὶ ἐξερευνήσεις· τούτους δὲ τοὺς τόπους μετήρχοντο καὶ ὑπὲρ τῶν κοινῶν ὑποθέσεων. ὁ δὲ κριτικὸς ἄπρεπον νομίζει, ὡς ἔοικε, τὸ συγκροτεῖν ἐμπορικὴν πανήγυριν, ἢ τροφοπωλεῖον ἐν τῷ τόπῳ ἐν ᾧ τελουμένης λαμπρᾶς τελετῆς οἱ Βασιλεῖς ἡμῶν φανέντες, ἐσύναξαν τοὺς ὑπουργοὺς, ἢ τὰ στρατεύματα τῆς Βασιλείας. ἀλλ' ἆρά γε προστρίβει μομφὴν τῇ τοῦ ῥωμαϊκοῦ λαοῦ μεγαλειότητι ἡ ἐν τῇ πλατείᾳ τῆς Ῥώμης γινομένη τῶν κριτῶν αὐτῶν ἐκλογή;

ΚΕΦΑ'ΛΑΙΟΝ Δ'.

Ἐν ᾧ ἡ ἀπάντησις εἰς τὰς κατὰ τοῦ τετάρτου Βιβλίου τῶν Βασιλειῶν ἐνστάσεις.

Α'ΡΘΡΟΝ Α'.

Περὶ τῆς ὑπουργίας τοῦ Ἐλισσαίου, καὶ περὶ τῶν τεσσαράκοντα καὶ δύω παιδαρίων τῶν ὑπὸ τῶν ἄρκτων καταβρωθέντων.

1. „Ἐὰν ἡ ἱστορία, λέγει ὁ Μιλόρδος ὁ Βολιγβρόχιος, τῶν τεσσα-
„ράκοντα καὶ δύω παιδαρίων ἀληθὴς ὑπάρχῃ, ὁ Ἐλισσαῖος ὅμοιος ἐστι δούλῳ
„εὐτυχοῦντι, καὶ παιδεύοντι πάντα τὸν καταμυκτηρίζοντα αὐτόν. Πῶς;
„θεοστυγὴς δοῦλε τοῦ ἱερέως, σὺ κελεύεις καταβρωθῆναι ὑπὸ τῶν ἄρκ-
„των τεσσαράκοντα καὶ δύω ἀθῶα παιδάρια, ἐπειδήσε ὠνόμασαν φα-
„λακρὸν; ἀλλ' ἀγαθῇ τύχῃ ἐν Παλαιστίνῃ οὐδόλως εὑρίσκονται ἄρκτοι.
„διότι ὁ τόπος λίαν θερμὸς ὤν, οὐκ ἔχει δρυμούς.

Οὐκ ἔστιν ἆρά γε κωμικὸν τὸ ἀκούειν ἄνδρα Ἄγγλον ἀπὸ τῶν τῆς δύσεως ἐσχατιῶν ἀνθιστάμενον τῇ μαρτυρίᾳ τῶν τὴν Παλαιστίνην οἰκούντων, καὶ ἐπιβεβαιοῦντα, ὅτι οὐχ εὑρίσκονται παρ' αὐτοῖς ἄρκτοι;
4. Βασ. 2. 23. οὐ μόνον ὁ συγγραφεὺς τοῦ τετάρτου βιβλίου τῶν Βασιλειῶν, οὗτινος
1.Βασ. 17.34. ἡ μόνη μαρτυρία ἦν ὑπερίκανος, ἀλλὰ καὶ ὁ Δαβὶδ λαλῶν περὶ τῶν
Σοφ.Σολ.17. 17. ἔργων τῆς νεότητος αὐτοῦ ἐν τῷ πρώτῳ τῶν Βασιλειῶν βιβλίῳ, καὶ
Ησ. 11. 7. & 59. 11. ὁ Σολομὼν ἐν ταῖς Παροιμίαις, καὶ ὁ Ἡσαΐας, καὶ ὁ Ἀμὼς, καὶ ὁ Ἱερε-
Ἀμ. 5. 19. μίας

μίας, ᾗ ὁ Σειρὰχ *) μαρτυρῶσιν, ὅτι ἐν τῇ γῇ τῆς ἐπαγγελίας συχνάκις συνήντων ἄρκτους. αἱ τῶ λιβάνω ᾗ ἀντιλιβάνω κορυφαὶ εἰσὶν ἀδιαλείπτως χιόνι κεκαλυμμέναι, τοῦτο αὐτὸ λέγειν χρὴ ᾗ περὶ τῶν τῆς Ἰδουμαίας ὀρέων, ἅτινα εἰσὶν εἷς τῶν τῶ Ἀντιλιβάνω βραχιόνων. πᾶσαν ἄρα χεδὸν τὴν Παλαισίνην περικυκλῶσι τόποι, οἵτινες εἰσὶ τῶν ἄρκτων καταφύγια. Θρήν. 3. 10. Σειρ. 41. 2.

Κατὰ δὲ τῶν παροργισμῶν τῶ πεπυρωμένω Μιλόρδω, ᾗ τῶν σκωμμάτων τῶ ἀβλίω αὐτῶ μαθητῶ, (τῶ Βολταίρω) περὶ τῶν καταβρωβέντων παιδαρίων ἀντιπροτίθημι τὴν διακριτικὴν παρατήρησιν τῶ σοφῶ βοχάρτω, ᾗ τῶν Ἄγγλων, τῶν τῆς καθολικῆς ἰσορίας συγγραφέων. „πιθανόν ἐσι, λέγουσιν οὗτοι, ὅτι τὰ παιδάρια ταῦτα γεγεννημένα ὄν„τα ἐκ τῶν ἐν Βαιθὴλ εἰδωλολατρῶν, προετρέποντο ὑπὸ τῶν γονέων „αὐτῶν ἐνοχλεῖν τὸν τῶ ἀληθινῶ Θεῶ Προφήτας. οἱ πατέρες ἦσαν „παῖσαι ὑπὲρ τὰ παιδάρια, διὸ τιμωρηθῆναι ἔδει αὐτὸς τῇ ἐκείνων ἀπωλείᾳ, ἅπερ μετήρχοντο ὡς ὄργανα τῆς ἑαυτῶν κακίας. (126.)

2. „Διατὶ ὁ Ἐλισαῖος ἠδύνατο προφητεῦσαι ἄνω τῆς τῶ ψάλ„λοντος βοηθείας;

Τὸ ζήτημα τοῦτο ἐκ σόματος ἀνθρώπου ἀσεβοῦς προφερόμενον ἀδόλως συγχέει. τοῖς δὲ ἐκ μικρόν τι εὐσεβοῦσι παράδοξον ἂν δοκεῖ τὸ, ὅτι ὁ Ἐλισαῖος μετῆλθε τὸν ψαλμὸν τῶν ἱερῶν ὕμνων, ἵνα παρασκευάσῃ ἑαυτὸν πρὸς τὴν τῆς θείας ἐμπνεύσεως ὑποδοχήν.

3. „Τὸ ἔργον, προσίθησιν ὁ αὐτὸς, τῶ Βασιλέως Μωὰβ δείκνυ„σιν, ὅτι ἐν τούτοις τοῖς χρόνοις οὐκ ἦσαν μόνοι οἱ Ἰσδαῖοι, οἱ τὰ τέ„κνα αὐτῶν θύοντες. 4. Βασ. 3. 27.

Ὅσοι μὲν τῶν Ἰσδαίων τῇ εἰδωλολατρείᾳ ἑαυτοὺς ἀβλίως παραδόντες, κατὰ μίμησιν τῶν ἐθνῶν τὰς φρικώδεις ταύτας θυσίας προσέφερον, οὗτοι ἀντεφέροντο κατὰ τῶν θεμελιωδῶν ἀρχῶν τῆς πίσεως, ᾗ κατὰ τῶν ἐκπεφασμένων αὐτῶν νόμων· τῶν δὲ Μωαβιτῶν ἢ Χαναναίων, τῶν ἐφελκυσάντων τινὰς τῶν Ἰσραηλιτῶν ἐν ταῖς βδελυκταῖς αὐτῶν δεισιδαιμονίαις, αἱ εἰρημέναι θυσίαι αἱ κοινῶς ὑπὸ πάντων αὐτῶν τελούμεναι, ἦσαν τῆς ἐπικρατείας αὐτῶν ἡ θρησκεία· οὗτοι μὴ ἀρκεσθέντες ἀναθέσθαι αὐτὰς ἐν τῇ πατρίῳ αὐτῶν γῇ, ἀλλ' ἀγα-

*) Ὁ Θεβενὸτ ἐν κεφ. 25. τῆς ἀνατολικ. περιηγήσ. μαρτυρεῖ, ὅτι ἐν τῇ ὁδοιπορίᾳ αὐτῆ, τῇ ἀπὸ τῶ Σουεσίου (Suez) ἐν τῷ Τὸρ, πολλὰς ἑώρακεν ἀρκτους, μίαν μεταξὺ τῶν ἄλλων κολυμβήσασαν, ᾗ διελθοῦσαν ἐν τῇ τῶ Σουεσίου ἄκρᾳ.

Ἐνκ 6. Ἀρθρ. 4. τῆς ὑπεραοπ. τῆς παλ. Διαθ.

ἀγαγόντες πανταχοῦ ὅπου συνέστησαν ἀποικίας, ἐμίαναν τὰ ἄλλα γένη, καθὼς ἀλλαχοῦ πλατύτερον ἀπέδειξα.

Ἀλλὰ διατὶ οἱ Βασιλεῖς τοῦ Ἰσραὴλ ἔφευγον τὸ τοιοῦτον θέαμα;

Ἀγνοῶ τὸν λόγον. Ἴσως ἔφευγον φρίκης εὐθὺς πληρούμενοι. ἴσως ἐφοβοῦντο πάντα τὰ ἐκ τοῦ ἀπελπισμοῦ δυνάμενα συμβῆναι κακὰ, ἐκ λαοῦ εἰς τοιαύτην ἐσχάτην κατάστασιν καταντήσαντος.

4. „Δικαίως, λέγει ὁ αὐτὸς, ὁ ὑπουργὸς τοῦ Βασιλέως τῆς Συρίας ἰατρευθεὶς ἐκ τῆς ψώρας (ἡ λέξις ψώρα ἀναμφιβόλως ἔδοξεν αὐτῷ πρεπωδεστέρα τε καὶ εὐγενεστέρα ἤπερ ἡ τῆς λέπρας) ὑπὸ τοῦ Ἐ„λισσαίου, ὡμολόγησεν, ὅτι ὁ Θεὸς τοῦ Ἰσραὴλ μείζων ἐστὶ πάντων τῶν „Θεῶν, καὶ ὅτι οὐδέποτε οὐδενὶ ἑτέρῳ δουλεύσει. λίαν ὅμως παράδοξον „τὸ, ὅτι αὐτὸς μὲν κατὰ τὴν αὐτὴν στιγμὴν ζητεῖ ἄδειαν λατρεύειν „τῷ Θεῷ τῷ Ῥεμμάν· ὁ δὲ Ἰουδαῖος ὁ Ἐλισσαῖος ἀνυποστόλως παρέ„σχετο αὐτήν.

Παραδοξότερόν ἐστι τὸ τὸν ἄπιστον προβάλλειν ταύτην τὴν τε-
4. Βασ. 5.18. τριμμένην ἔνστασιν ὥσπερ ἂν εἰ μὴ δέποτε λύσεως ἐτετύχει. Ἰδοὺ ἡ πανταχοῦ εὑρίσκομένη ἀπόκρισις. ὁ Ναιμὰν ζητεῖ ἄδειαν, ἵνα τότε κλίνῃ ἑαυτὸν, ὅτε ὁ δεσπότης αὐτοῦ ἀναπαυόμενος ἐπὶ τῆς χειρὸς αὐτοῦ προσέπιπτεν ἐνώπιον τοῦ εἰδώλου. οὐκ ἐζήτησεν ὁ Ναιμὰν ἄδειαν κλίνειν ἑαυτὸν εἰς προσκύνησιν τοῦ εἰδώλου, ἀλλ' ἐπιμένοντα μόνον ἐν τῇ ὑπουργίᾳ τοῦ πατρικίου ἐπαγγέλματος παρὰ τῷ δεσπότῃ αὐτοῦ, κλίνειν ἑαυτὸν μετ' αὐτοῦ, ἵνα αὐτὸν βαστάζῃ,

Σιωπῶ δὲ ἐνταῦθα τὰς χλεύας, τοὺς συρυγμοὺς, τὰ ἀσύστατα φαντάσματα, καὶ τὰς οὐτιδανὰς ἐπαναλήψεις, ἅπερ πάντα ὁμοῦ συνιστῶσί τι σκέψεως ἄξιον. (127). Ὅταν δὲ περὶ τῶν πέντε τοῦ Μωϋσέως βιβλίων διαλάβω, τότε τὰς κατὰ τῆς Πεντατεύχου ἀναποδείκτους αὐτοῦ ἀποφάνσεις ἀνασκευάσω.

Ἄ Ρ Θ Ρ Ο Ν Β'.

Περὶ τῆς τοῦ Ἄχαζ Βασιλείας, ἤτοι περὶ τοῦ ἐὰν δεκαέτης ὤν, ἐγέννησε τὸν Ἐζεκίαν.

1. „Ἰδοὺ καὶ ἄλλαι ἐνστάσεις. Ὁ Ἄχαζ κατὰ τὸ ῥητὸν ἐγέννησε τὸν „Ἐζεκίαν δεκαέτης ὤν· τοῦτό ἐστι λίαν προώρον.

Οὐκ ἂν τοσοῦτον ἀποφαντικῶς ἐλάλει οὗτος, εἴπερ ἐγίνωσκεν, ὅτι διάφοροί εἰσιν αἱ τοῦ ῥητοῦ τούτου ἐκδόσεις. ἀληθῶς ἀναγινώσκομεν τὴν σήμερον, ὅτι ὁ Ἄχαζ ἀνέβη μὲν εἰς τὸν θρόνον εἰ-
Βασ. 16.2. κοσαέτης ὤν, ἐβασίλευσε δὲ ἔτη δεκαέξ. ὁ δὲ Ἐζεκίας ὁ υἱὸς αὐτοῦ

διε-

διεδέχθη αὐτὸν εἰκοσιπενταέτης ὤν. ἀλλὰ τὰ τοῦ δευτέρου βιβλίου τῶν Παραλειπομένων τεύχη, ἅπερ εἶχον πρὸ ὀφθαλμῶν οἵτε Ἕλληνες, καὶ οἱ Σύροι, καὶ οἱ Ἄραβες μεταφρασαὶ διελάμβανον, ὅτι ὁ Ἄχαζ εἰκοσιπενταέτης ὤν, ἤρξατο βασιλεύειν. ἐκ τούτου ἕπεται, ὅτι αὐτὸς ἔζησε μὲν τεσταράκοντα καὶ ἓν ἔτος, δεκαεξέτης δὲ ὤν, ἐγέννησε τὸν Ἐζεκίαν, τὸν διαδεξάμενον αὐτὸν ἐν τῷ εἰκοστῷ πέμπτῳ ἔτει τῆς ἡλικίας αὐτοῦ. (128.). 2.Παρ.28.1. 2.Παρ.29.1.

2. „Τὰ Παραλειπόμενα λέγουσιν, ὅτι βασιλίσκος τις τοῦ Ἰσραὴλ, „καλούμενος Φακέας ἐν μιᾷ ἡμέρᾳ, καὶ ἐν μιᾷ πολεμικῇ συμβολῇ ἀπέ„κτεινε μὲν ἑκατὸν καὶ εἴκοσι χιλιάδας ἐκ τῶν τοῦ Ἄχαζ, ἠχμαλώ„τευσε δὲ διακοσίας. τοῦτό ἐστι πολύ.

Τὰ Παραλειπόμενα λέγουσιν, ὅτι οἱ αἰχμαλωτισθέντες ἦσαν γυναῖκες καὶ παιδία, ἁρπαγέντα ὑπὸ τοῦ Βασιλέως Ἰσραὴλ ἀπὸ τῆς γῆς τοῦ Ἄχαζ. παρατηρητέον δὲ, ὅτι ὁ καλούμενος βασιλίσκος τοῦ Ἰσραὴλ εἶχεν ἄλλους Βασιλεῖς ὑποτελεῖς, τουτέστι τοὺς Βασιλεῖς Ἀμμὼν καὶ Μωάβ. „Ὁ Βασιλεὺς Μωὰβ, λέγει τὸ τέταρτον βιβλίον τῶν Βασι„λειῶν, ἦν νωκὴδ, καὶ ἐπέστρεφε τῷ Βασιλεῖ Ἰσραὴλ ἑκατὸν χιλιάδας ἀρνῶν, καὶ ἑκατὸν χιλιάδας κριῶν ἐπιπόκων. Καὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν Ἀχαὰβ, καὶ ἠθέτησε Βασιλεὺς Μωὰβ τῷ Βασιλεῖ Ἰσρα„ήλ. διὰ τοῦτο ὁ Ἰωρὰμ ὁ βασιλεὺς τοῦ Ἰσραὴλ συλλέξας τοὺς ἰδίους στρατιώτας διέφθειρε τοὺς Μωαβίτας. 2.Παρ.28.8. 2.Παρ.27.5. 4.Βασ.3.4.5.6

3. Σημείωσαι, ὅτι ὁ αὐτὸς προβάλλων τὴν περὶ τοῦ Ἐμμανουὴλ πρόῤῥησιν τοῦ Ἡσαΐου, πίπτει ἐν τῷ αὐτῷ σφάλματι, ὅπερ ἔλαθεν αὐτὸν καὶ ἐν ταῖς εἰς τὸ Εὐαγγέλιον σημειώσεσιν αὐτοῦ, ὅπερ ἐστὶ, γράφει ἀντιστρόφως ὅλον τὸ ἑβραϊκὸν ὄνομα, Μαχερ-Σχαλαλ-Χαζ-Βαζ. ῥᾴδιον δὲ ἀνημνησθῆναι τοῦ ὑπ' ἐμοῦ εἰρημένου, ὅτε διέλαβον περὶ τοῦ τῶν Εὐαγγελίων κύρους, τούτῳ δὲ τῷ σφάλματι προστίθησι καὶ τὰς ἑξῆς ψευδολογίας. Ἐν κ.3. Ἀρθρ. 3. Ἀριθ.2. τοῦ 1. β.

„Ἡ ἑβραϊκὴ λέξις αλμα, ἄλλοτε μὲν σημαίνει θυγατέρα, ἄλ„λοτε δὲ γυναῖκα, ἐνίοτε δὲ καὶ πόρνην. ἡ Ῥοὺθ χήρα οὖσα, ὠνομάσθη „αλμα. τὸ Ἄσμα τῶν Ἀσμάτων, καὶ ὁ Ἰωὴλ ἀπονέμει ταῖς παλ„λακαῖς τὸ ὄνομα αλμα.

Οὐδεὶς δύναται προαγαγεῖν πορρωτέρω τὴν ἀναισχυντίαν. ἐν μὲν τῷ Ἄσματι τῶν Ἀσμάτων αἱ πιλαγσχιμ, παλλακαὶ, ῥητῶς ὑποδιαστέλλονται ἀπὸ τῶν χαλαμοτ. νεανίδων. ἡ δὲ λέξις χαλμαχ ἐν τῷ τῆς Ῥοὺθ βιβλίῳ οὐχ εὑρίσκεται. ὅρα δὲ, εἰ βούλῃ, ὅπερ ἀλλαχοῦ εἶπον περὶ τῆς σημασίας τῆς λέξεως χαλμαχ. Β. 1. κ.1. χαρακτ. τοῦ Μεσ.

4. „Οἱ κριτικοὶ, λέγει ὁ αὐτὸς, ζητοῦσι. διατὶ ὁ Θεὸς ἀπέστει-

„λε

„λε τὺς λέοντας, ἀχ ἵνα καταπίωσι τὸν Σαλμανασὰρ, Ϛ τὴν ϛρατιὰν
4.Βασ. 17.25. „αὐτῦ, ἀλλ' ἵνα φάγωσι τὺς ἀθώυς ἐκείνυς μετοίκυς, τὺς ἐλθόντας
„γεωργῆσαι γῆν ἄκαρπον Ϛ ἐρημωθεῖσαν.

Εὐχερὴς ἐϛιν ἡ ἀπάντησις. αἱ μὲν δέκα Φυλαὶ, αἱ πεισμονικῶς ἐπιμένυσαι τῷ χίσματι, Ϛ συχνάκις λατρείαν τοῖς εἰδώλοις προσφέρυσαι ἔννοχοι ἦσαν κατὰ τὴν τῦ παλαιῦ νόμυ οἰκονομίαν ποινῆς προσκαίρυ ἐπιϛήμη, κατὰ δὲ τὰς τῶν Προφητῶν προῤῥήσεις οἱ τῶν Ἀϛυρίων Βασιλεῖς ἦσαν τῆς ποινῆς τὸ ὄργανον. ὁ δὲ Θεὸς ὁ ἀληθινὸς θέλει, ἵνα ϗ αὐτοὶ οἱ τὰ εἴδωλα λατρεύοντες συναισθανθῶσιν, ὅτι αὐτὸς ἦν διαπαντὸς δεσπότης τῆς γῆς ἐκείνης, ἣν πρὸς καιρὸν παρέδωκεν αὐτοῖς, λογίζωνται δὲ αὐτὴν διαπαντὸς ὡς τόπον ὑπ' αὐτῦ ἐκλελεγμένον πρὸς διατήρησιν τῆς λατρείας αὐτῦ ἕως τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ πάντα τὰ ἔθνη ἔμελλον γνωρίσαιτε Ϛ λαυτρεῦσαι αὐτῷ ἐν τῇ ἰδίᾳ αὐτῶν γῇ.

ϛ. Ἀλλ' ἰδὺ ἔνϛασις πάντη πάντως ἑτεροειδής. Ἐξίϛαταί τις,
4.Βασ. 17.24. „λέγει, ὁρῶν, ὅτι ὁ νέος ὅτος λαὸς διδαχθεὶς τὰ περὶ τῆς τῦ Ἀ-
„δωναὶ λατρείας, ἐλάτρευσεν ἅμα πλήθει ἀγνώϛων Θεῶν ἀσιατι-
„κῶν, κατακαύσας βρέφη ἐπὶ τῶν θυσιαϛηρίων τῶν ξένων Θεῶν.

Τὸ τῆς ἐκϛάσεως πρόξενον, ἐὰν ἡ ἐκϛασις τόπον ἔχῃ, τῦτό ἐϛι, τὸ ἀκύειν αὐτὸν λέγοντα, ὅτι ὁ λαὸς ὅτος, ὁ συγκέμενος ἐκ Βαβυλωνίων, Ϛ Χυθαίων, κτ, ἐξελθὼν ἐκ τῆς πατρώας αὐτῦ ϒῆς, ϗ μεϛενεχθεὶς εἰς τὴν Σαμάρειαν διδαχθείϛε ὁπωϛδήποτε τὰ περὶ τῦ τῶν Ἑβραίων Θεῦ, ὐκ ἐλάτρευε τοῖς Θεοῖς τῆς Βαβυλῶνος ϗ Χύθης· ἀλλὰ τότε ἤρξατο γνωρίζειν αὐτὺς, ϗ προσφέρειν αὐτοῖς θυσίας βαρβάρυς, τοσάκις ὑπὸ τῦ μωσαικῦ νόμυ, ϗ τῶν ἄλλων Ἰυδαικῶν βιβλίων κατακριθέντας· ἀναγνώτω τὴν κατάκρισιν αὐτῦ ἐν τῳ ὕφει, ὅπερ κατακερτομεῖ, ϗ κατὰ τὸν συνήθη αὐτῷ τρόπον μεταφράζει. „Οὗτος ὁ λαὸς ἐλάτρευε τῷ Ἀδωναὶ, ϗ ἐθέλουσιν ὁμοίως
„τοῖς θεοῖς αὐτῦ κατὰ τὴν συνήθειαν τῶν ἐθνῶν, τῶν ἐν τῇ Σαμα-
4.Βασ. 17.33. „ρείᾳ μετενεχθέντων Τῦτο δηλοῖ, ὅτι τῇ λατρείᾳ τῶν Θεῶν, οἷς ἐλάτρευον, τὴν Βαβυλῶνα, ϗ τὴν Χυθὰ, ϗ τὴν Ἐμὰθ, ϗ τὴν Σεπφαρυαὶμ οἰκῦντες, ἐλάτρευον δὲ ἔτι ϗ εἰς τὴν Σαμάρειαν μετενεχθέντες, ἐπισυνάψαι ἠθέλησαν ϗ τὴν τῦ Θεῦ Ἰϛραὴλ λατρείαν, γνῶσίν τινα περὶ αὐτῦ λαβόντες. ἐν ὑποθέσει δὲ τοσῦτον σαφεῖ, ὐκ ἂν τὸν καιρὸν ἐτρίβομεν, εἰμὴ ἐγνώκαμεν, ὅτι ὠφελήθεσμὲν φρονίμοις τε ϗ ἄφροσιν.

Α'ΡΡ-

Α΄ ΡΘΡΟΝ Γ΄.

Περὶ τῆς τῦ Σενναχηρὶμ καταςροφῆς, ϗ τῆς τῦ Ηροδότυ ϗ τῶν ημετέρων ἱερῶν βιβλίων συμφωνίας.

1. „Ο Ηρόδοτος λαλεῖ περί τινος Σενναχηρὶμ, ὁ αὐτὸς προσί-„θησι, συγκροτήσαντος πόλεμον ἐν τοῖς ὁρίοις τῆς Αἰγύπτυ, ἐπισρέ-„ψαντος δὲ διὰ τὴν ἐν τῇ ςρατιᾷ αὐτῦ ἐπιδημικὴν νόσον. Καὶ ὅτι μὲν „ὁ τῆς μικρᾶς Ἐπαρχίας τῦ Ἰούδα βασιλίσκος ἐταπεινώθη ἐνώπιον „τῦ Βασιλέως Σενναχηρὶμ, ὐδόλως ἐςὶν ἐναντίον τῆς κοινῆς τάξεως „.... τῦτο, λέγω, ὐδόλως ἐςὶν ἀπίθανον. ὅτι δὲ ὁ Προφήτης Η-„σαΐας ἐκ Θεῦ ἀπεςαλμένος ἐλθὼν, ἀνήγγειλε τῷ Ἐζεκίᾳ, ὅτι ὁ Βα-„σιλεὺς Σενναχηρὶμ ἐβλασφήμησεν, Ἄγγελος δὲ ὐρανόθεν ἦλθεν, „ἵνα πλήξας ἀποκτάνῃ ἑκατὸν ὀγδοήκοντα χιλιάδας ἐκ τῶν τῦ Χαλ-„δαϊκῦ ςρατοπέδυ· ἡ δὲ φοβερὰ αὐτὴ ϗ θαυμασὴ ἐργασία ὐδὲν ὠ-„φέλησε, μὴ δυνηθεῖσα ἐμποδίσαι τὴν τῆς Ἱερυσαλὴμ καταςροφὴν, „τῦτο δόξειεν ἂν δικαίως τὴν τῶν κριτικῶν ἀπιςίαν.

Πῶς ὁ ἀναγινώσκων ταῦτα, νομίζει πάντως, τὴν καταςροφὴν τῆς Ἱερυσαλὴμ ἔργον τῦ πολέμυ, τῦ ὑπὸ τῦ Βασιλέως τῶν Ἀσυ-ρίων Σενναχηρὶμ συγκροτηθέντος· ὁμως ἡ τύτυ ἔφοδος, ἡ κατὰ τὸν ἑπτακοσιοςὸν δέκατον πέμπτον ἐνιαυτὸν πρὸ τῦ χριςιανικῦ ἔτυς γενομένη, προϋπῆρξεν ἑκατὸν εἰκοσιεπτὰ ἔτη τῆς καταςροφῆς τῆς Ἱερυσαλὴμ, τῆς συμβάσης ἔτει πεντακοσιοςῷ ὀγδοηκοςῷ ὀγδόῳ πρὸ τῦ αὐτῦ χριςιανικῦ ἔτυς. πᾶς τις δὲ λίαν θαυμάζει ὁρῶν τὸν Ηρόδοτον μὴ ἀπονέμοντα τὴν τῦ Σενναχηρὶμ ἐπισροφὴν τῇ ἐπιδημικῇ νόσῳ, ἀλλὰ μηδὲ κἂν ῥῆμα ἓν περὶ αὐτῆς λέγοντα, ἀνάγοντα δὲ αὐτὴν εἰς θαῦμα, ϗ αἴτιον ἀσυγκρίτως παραδοξότερον τῦ ἐν ᾧ ἀναφέρει αὐτὴν ὁ Ησαΐας. Ἰδὺ τὰ τῦ Ηροδότυ ῥήματα. „Μετὰ δὲ, ἐπ Αἰ- Ηρ. β. 2.
„γυπτον ἐλαύνειν ςρατὸν μέγαν Σαναχάριβον Βασιλέα Ἀραβίωντε „ϗ Ἀσυρίων, ὅκως δὴ ἐθέλειν τὸς μαχίμυς τῶν Αἰγυπτίων βοη-„θέειν. τὸν δὴ ἱερέα ἐς ἀπορίην ἀπειλημμένον, εἰσελθόντα εἰς τὸ μέ-„γαρον, πρὸς τῷ γαλμα ἀποδύρασθαι. οἷα κινδυνεύειν παθέειν. ὀλο-„φυρόμενον δ' ἄρα μιν ἐπελθεῖν ὕπνον, ϗ οἱ δόξαι ἐν τῇ ὄψι ἐπι-„ςάντα τὸν Θεὸν θαρσύνειν ὡς ὐδὲν πείσεσθαι ἀχαρι, ἀντιάζοντα τῶν Ἀ-„ραβίων ςρατὸν· αὐτὸς γὰρ οἱ πέμψειν τιμωρύς· τύτοισι μὲν δὴ πί-„συνον τοῖς ἐνυπνίοις, παραλαβόντα Αἰγυπτίων τὺς βυλομένυς οἱ ἕ-„πεσθαι, ςρατοπεδεύσασθαι ἐν Πηλυσίῳ· ταύτῃ γάρ εἰσιν αἱ εἰσβο-„λαί· ἕπεσθαι δὲ οἱ τῶν μαχίμων μὲν ὐδένα ἀνδρῶν, καπήλυς δὲ ϗ

„χα-

„χειρόνακτας, καὶ ἀγοραίους ἀνθρώπους, ἐνθαῦτα ἀπικομένους, τοῖσιν „ἐναντίοις αὐτοῖσιν ἐπιχυθέντας νυκτὸς μῦς δρουραίους κατὰ μὲν φαγέ„ειν τοὺς φαρετρεῶνας αὐτέων, κατὰ δὲ τὰ τόξα, πρὸς δὲ τῶν ἀσπί„δων τὰ ὄχανα. ὥστε τῇ ὑστεραίῃ φευγόντων σφέων γυμνῶν ὅπλων „πεσέειν πολλούς· Τοιουτοτρόπως διηγεῖται ὁ Ἡρόδοτος τὴν τοῦ Σενναχηρὶμ καταστροφὴν ἔτη περί που διακόσια καὶ ἑξήκοντα μετὰ τὴν αὐτῆς ἔκβασιν. ὁ δὲ κριτικὸς προτιμᾶ τὴν διήγησιν ταύτην τῆς τε τοῦ συγ-
Ἡσ. 37. 36. χρόνου αὐτῇ Ἡσαίου, καὶ τῆς τῶν συγγραφέων τοῦ τετάρτου βιβλίου
4. Βασ. 19. 35. τῶν Βασιλειῶν, καὶ τοῦ δευτέρου τῶν Παραλειπομένων, τῶν μὴ ὕστερον
2. Παρ. 32. 21. τοῦ μετ' αὐτὴν αἰῶνος συγγραψάντων. ἐπειδὴ δὲ αὐτὸς διατεθειμένος ἦν λογίζεσθαι τὴν φυγὴν τοῦ Σενναχηρὶμ ὡς νόσου ἐπιδημικῆς, ἐν τῇ στρατιᾷ αὐτοῦ εἰσενεχθείσης, ἀποτέλεσμα, οὐκ ἔδει αὐτῷ τοσοῦτον εὐχερῶς δεχθῆναι τὴν διήγησιν τοῦ Ἡροδότου, τοῦ ἀπονέμοντος τὸ συμβὰν τοῖς μυσὶ, καὶ προτιμῆσαι αὐτὴν τῆς τῶν δύω συγγραφέων τῶν Ἑβραίων, τῶν ἀναφερόντων αὐτὸ εἰς τὸν Ἄγγελον τὸν ὀλοθρευτήν. οἵτινες, κἂν ἀνάγωσι τὸ ἔργον ἐπὶ τοῦτο τὸ ἀληθὲς μὲν, ἀόρατον δὲ αἴτιον, οὐκ ἀποκλείουσιν ὅμως τὰ αἰσθητὰ μέσα, δι' ὧν δυνατὸν ἦν ἐκτελεσθῆναι. Ὅταν ὁ Θεὸς εἰς ποινὴν τῆς ἐπάρσεως τοῦ Δαβὶδ διὰ τῆς τοῦ λοιμοῦ μάστιγος κατέθλιψε τὴν Ἱερουσαλὴμ, καὶ πᾶσαν τὴν Ἰουδαίαν, Ἄγγελος ἦν ὁ ἀοράτως τῷ ἔργῳ ὑπουργῶν. ἐὰν δὲ τοῦτον ὀφθαλμοφανῶς εἶδεν ὁ τεταπεινωμένος βασιλεὺς, καί τινες τῶν τῆς αὐλῆς αὐτοῦ, τοῦτο γέγονε κατ' ἰδιάζουσαν τοῦ Θεοῦ συγκατάβασιν· οἱ πληγέντες ὅμως διὰ τῆς φοβερᾶς ῥομφαίας, δι' ἧς ὁ Ἄγγελος ὤφθη καθωπλισμένος, ἐδοκίμασαν μὲν τὴν θανατηφόρον πληγὴν τῶν δευτέρων αἰτίων, εἴτουν τοῦ λοιμοῦ, οὗτινος αὐτὸς ἐνεργὸς, οὐκ εἶδον δὲ αὐτὸν τὴν τῆς θείας ἐκδικήσεως πανοπλίαν ἐνδεδυμένον. τὸ αὐτὸ εἰπὲ καὶ περὶ τοῦ συμβάντος ἐν τῷ τοῦ Σενναχηρὶμ στρατοπέδῳ.

Ταῦτα πάντα ὡδήγουν τὸν κριτικὸν προτιμῆσαι τὴν τοῦ Ἡσαίου διήγησιν τῆς τοῦ Ἡροδότου, εἰμὴ οἱ ὑπὸ τοῦ ἐθνικοῦ προτεθέντες μῦθοι εἶχον ὑπὲρ αὐτοῦ θέλγητρα, ὧν ἡ ὑπὸ τοῦ Ἰουδαίου καθιστορουμένη ἀλήθεια ἐστέρητο. ἀλλ' οἱ ἀπαθῶς τὸν Ἡρόδοτον ἀναγινώσκοντες, διακρίνουσι μὲν τὴν ἐν τοῖς ἱεροῖς ἡμῶν συγγραφεῦσι βάσιν τῆς ἀληθείας, σημειοῦσι δὲ καὶ τὴν αἰφνίδιον τοῦ Σενναχηρὶμ φυγὴν, τὴν γενομένην διὰ τοῦ θαύματος τοῦ τὸ στρατόπεδον αὐτοῦ συγχέαντος καθ' ὅλην τὴν νύκτα, ὁρῶσιν ὅμως ταῦτα περιπεπλεγμένα μυθολογικαῖς περιστάσεσιν, ἃς οἱ Αἰγύπτιοι ἐπενόησαν, ἵνα τὸ θαῦμα τοῦτο προσάψωσι τῷ ἰδίῳ Βασιλεῖ, ἱερεῖ ὄντι τοῦ Ἡφαίστου.

Ἄρ-

ΑΡΘΡΟΝ Δ'.

Περὶ τῆς τῦ Ἐζεκίυ ἀῤῥενείας, ϗ τῆς Ἡλιῦ ἐπιστροφῆς.

1. „Ἡ Γραφὴ, ὁ αὐτὸς λαλεῖ, ἐμφαίνει τὸν Ἐζεκίαν Ἡγεμόνα „ἀῤῥενῆ ϗ μικρόψυχον· διότι ἱσορεῖ αὐτὸν κλαίοντα, ὅταν ἄνθρωπος „ἄγνως ϗ ἀνήγγελον αὐτῷ ἀδιακρίτως, ὅτι κινδυνεύει.

Ὁ Ἡσαΐας ὖν, ὁ τὴν προφητικὴν ἐκτελῶν ὑπηργίαν ἐπὶ τῆς Βασιλείας Ὀζίυ, ϗ Ἰωάθαμ, ϗ Ἄχαζ, τοσῦτον δὲ ἐπισήμως προδιαλεχθεὶς τῷ Ἄχαζ, ὡς ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τῆς προφητείας αὐτῦ γέγραπ), ἣν ἄγνωσος τῷ ἐμῷ ϗ διαδόχῳ αὐτῦ Ἐζεκίᾳ, καί περ προφητεύων ἔτι ἐν ταῖς ἡμέραις αὐτῦ. ἀλλ' ὁ μὲν Ἐζεκίας πάνυ καλῶς ἐγνώριζε τὸν Ἡσαΐαν, ὡς μικρόν τι πρὸ τῆς ἀῤῥενείας αὐτῦ ἀποσειλας πρὸς αὐτὸν πρέσβεις τὺς λογάδας τῶν τῦ παλατίυ αὐτῦ ὑπηργῶν. ὁ δὲ θεῖ Ἱερώνυμ, ϗ ὁ σοφὸς Ἀβαρβανέλ (129) ἐπιβεβαιῦσιν, ὅτι ὁ Ἡσαΐας ἦν ἐκ πατριᾶς Δαβὶδ, ϗ ἐξάδελφ τῦ Ἐζεκίυ. ἡ ὖν ἀγγελία τῦ τοσῦτον πεφημισμένυ Προφήτυ, οἵ ἦν ὁ Ἡσαΐας, ἐξ ἀνάγκης ἐθορύβησε τὴν καρδίαν τῦ Βασιλέως, νέυ ἔτι ὄντ, ϗ διάδοχον μὴ ἔχοντος· ἐγὼ δὲ πιστεύω, ὅτι τῦτό ἐσι τὸ τὸν κριτικὸν θορυβῆσαν, τὸ ἰδεῖν αὐτὸν προσδραμόνζα τῷ Θεῷ, ϗ τῆς ὑγείας αὐτῦ τυχόντα. „ὅπερ ἱκανῶς ἐπιβεβαιοῖ, λέ„γων· Ἡ τῦ Ἐζεκίυ ἀῤῥένεια λίαν ἐλαφρὰ ἦν, ὡς διὰ τῦ τῶν σύκων „ἐμπλάστυ θεραπθεῖσα ἀλλ' ὅσον τὸ φάρμακον φύσει ἀνίσχυρον, „τοσῦτον λαμπρότερον δείκνυ) τῆς τῦ Θεῦ δυνάμεως τὸ ἀποτέλεσμα.

2. „Ὁ Ἐζεκίας προσίθησιν ὁ αὐτὸς, δοκεῖ ἀῤῥενὴς, πιστεύσας, „ὅτι ἡ πρόοδ τῆς σκιᾶς εὐκολωτέρα ἐσὶ τῆς ἀναποδίσεως.

Ἔσιν ἆρά γε ἀῤῥενὴς πᾶς ἀπατώμενος; οἱ μὲν Ἀσρόνομοι ἐπίσης θαυμαςὸν ἔργον νομίζυσι τήν τε ταχυτέραν τῆς σκιᾶς πρόοδον, ϗ τὴν αὐτῆς ἀναπόδισιν. ὐχ ὕτω δὲ ☾ οἱ ἐκ τῦ κοινῦ ἄνθρωποι, εἰθισμένοι ὄντες ὁρᾶν τὴν σκιὰν ἐπὶ τὰ πρόσω διαπαντὸς βαινύσαν, μηδέποτε δὲ ἐπὶ τὰ ὀπίσω· ἐκ τύτυ ϑὺ συνάγυσιν, ὅτι ἡ τῆς σκιᾶς ἀναπόδισις δυσκολωτέρα ἐσὶ τῆς ταχυτέρας προόδυ.

„Ἐν ἑκατέρῳ συμβάντι, λέγει ὁ αὐτὸς, ἐμποδίζον) τῆς φύσε„ως οἱ νόμοι.

Συγκατατίθημι. Συμπέρανον ὖν ἐκ τύτυ, ὅτι ὁ Ἐζεκίας ἠπόρει τὰ τῆς Ἀσρονομίας ςοιχεῖα, ὐχὶ δὲ τὸ, ὅτι ἦν ἀῤῥενής. ἡ πραγματεία σὺ μυρμηκιᾷ σφαλμάτων Γεωγραφικῶν, χρονολογικῶν, παιδείας ἑβραικῆς, κτ. κτ. ἀλλ' ἆρά γε συμπεραίνομεν ἡμεῖς ἐκ τύτυ, ὅ-

Ησ. 7. 4. κτ.

4. Βασ. 19. 2. 3.

τι σὺ ὑπάρχεις βλάξ; ὀυδαμῶς. συνάγομεν μόνον, ὅτι ἠθέλησας λαλῆσαι ἐμπαθῶς περὶ πολλῶν πραγμάτων ὑπὸ σοῦ ἀγνοουμένων. τοῦτο δέ σου τὸ πάθος καθίςησι τὰ σφάλματά του ἀπειράκις ἀσυγνωςότερα τῆς τοῦ Ἐζεκίου ἀπάτης. αὐτὸς ἐλάλησε κατὰ τὴν τοῦ κοινοῦ λαοῦ γνώμην, μὴ ἀμφισβητήσας εἰδέναι τὶ πλέον τοῦ κοινοῦ λαοῦ. σὺ δὲ καταφρονήσας τῶν τετριμμένων ὁδῶν τῶν ὑπὸ εὐφυῶν ἀνθρώπων διοδευθεισῶν, περιέπεσας εἰς πάσας τὰς ἀτραποὺς, ὅσας τε ἤδη εἴδομεν, καὶ ὅσας μετὰ ταῦτα ὀψόμεθα.

Ἡσ. 38. 8. 3. „Ὁ Ἡσαΐας ἀντιπροτείνεις σὺ, λέγει ἐν τῷ τριακοςῷ δευ„τέρῳ κεφαλαίῳ τῆς Προφητείας αὐτοῦ, ὅτι ὁ Ἥλιος ἀπέςρεψε δέ„κα γραμμὰς, ὅπερ ἐνδεχομένως σημαίνει ὥρας δέκα.

Σοῦ ἐςὶν ἡ ἑρμηνεία αὕτη, ἐνδεχομένως δὲ σοῦ μόνου. ὅσοι μὲν τῶν διερμηνευτῶν τῆς θείας Γραφῆς, διὰ τῶν δέκα ἀναβαθμῶν, περὶ ὧν αὐτὴ λαλεῖ, νοοῦσι δέκα γραμμὰς, ἐν τεταρτημορίῳ κύκλου γεγραμμένας, ἐκεῖνοι διϊσχυρίζονται. ὅτι αἱ δέκα γραμμαὶ ἐμφαίνουσι διαςήματα, πολλῷ μικρότερα τῶν ὡρῶν. ἄλλοι *) μέντοι λέγουσιν, ὅτι οὗτοι οἱ δέκα ἀναβαθμοὶ, ἦσαν ἀναβαθμοὶ τῆς κλίμακος τοῦ παλατίου τοῦ Ἐζεκίου, ὧν ὑπεράνω ἔκειτο βελόνη, ἧς ἡ σκιὰ μᾶλλον ἢ ἧττον προαγομένη, ἐσήμαινε τὰ τῆς ἡμέρας διάφορα μέρη. πάνυ δὲ κα„λῶς σὺ κατενόεις σεαυτὸν γράφων τὰ ἑπόμενα· Φανερόν ἐςιν, ὅτι „ὁ Ἡσαΐας ἀπατᾶται .... ἵνα ἡ σκιὰ ἀναποδισθῇ πρὸς τὸ πρωῒ ὥρας „δέκα, ἀνάγκη τὸν ἥλιον προαχθῆναι πρὸς τὸ ἑσπέρας ὥρας δέκα. (130) Ἠθέλησας ἆρά γε σὺ, ἵνα διὰ τούτων νοήσωμεν, ὅτι ἀνάγκη ἦν τὸν ἥλιον προαχθῆναι πρὸς δυσμὰς ἄχρι τῆς πέμπτης ὥρας μετὰ τὴν μεσημβρίαν, ἵνα τὸ τοῦ Ἐζεκίου τεταρτημόριον σημάνῃ τὴν πρὸ τῆς μεσημβρίας πέμπτην ὥραν; διότι ἐὰν τοῦτο τὸ ἄτοπον οὐκ ἐνόησας, πῶς ἐτόλμησας εἰπεῖν, ὅτι ὁ Ἡσαΐας ἠπατήθη, ὁ μηδὲν μηδὲ περὶ ἀνατολῆς, μὴ δὲ περὶ δύσεως μηδὲ περὶ πρωῒ, „μηδὲ περὶ ἑ-
Ἡσ. 38. 8. σπέρας λαλήσας, ἀλλ' εἰπὼν ἁπλῶς, ὅτι ἡ σκιὰ ἐςράφη δέκα ἀναβαθμούς; ποῦ εἰσὶ τὰ σφάλματα, ποῦ ἡ αὐθάδης ἠμάθεια, ἣν σὺ τῷ Προφήτῃ τούτῳ τολμηρῶς προσάπτεις;

4. „Πολλοὶ, ὁ αὐτὸς λαλεῖ, τῶν φυσιολογούντων διαλογίζονται, „ὅτι (τούτου κειμένου) εξέλειπεν ἂν μία ἡμέρα ἐκ τοῦ κόσμου, ἐπλεόνα„ζε δὲ μία νύξ.

Σὺ ἀντιπροτείνεις τὴν συνήθη τῆς φύσεως κίνησιν, καὶ τοὺς διαλογισμοὺς τινῶν φυσιολόγων κατὰ τοῦ ὑψίςου τῆς φύσεως δεσπότου. ἀλλ'

*) Καλμέτος, ὁ Οὐβιγάντης, οἱ συγγραφεῖς τῆς καθολικῆς ἱςορίας, κτ.

ἀλλ' ἐὰν θῶμεν ἀναπόδισίν τινα τῆς περὶ τὸν ἄξονα κινήσεως τῆς γῆς, ἱκανὴν ἐλαττῶσαι τὴν σκιὰν, τὴν ἐπὶ τοὺς δέκα ἀναβαθμοὺς προαχθεῖσαν, τότε βλέπω ἐν τῷ ἡμετέρῳ ἡμισφαιρείῳ μίαν ἡμέραν μείζονα τῶν συνήθων, ἐξ οὗ καὶ μία νὺξ μείζων ἐγίνετο ἐν τῷ ἑτέρῳ ἡμισφαιρείῳ. ἐὰν οὖν τοῦτο ἀρέσκῃ σοι, ποῦ ἐστὶν ἡ ἐκλείψασα ἡμέρα, καὶ ἡ πλεονάσασα νύξ; τί δὲ ἔσται, ἐὰν ἡ ἡμερινὴ τῆς γῆς περὶ τὸν ἴδιον ἄξονα κίνησις, ἢ ἡ φαινομένη τοῦ Ἡλίου κίνησις περὶ ὅλον τὸ ἡμέτερον ἡμισφαίρειον. οὐδόλως ἠλλοιώθη, γέγονε δὲ τὸ θαῦμα ἐν μόνῳ τῷ τεταρτημορίῳ, ἢ τοῖς ἀναβαθμοῖς τοῦ Ἐζεκίου διὰ μόνης τῆς κάμψεως τῶν τοῦ Ἡλίου ἀκτίνων; αὕτη ἐστὶν ἡ γνώμη πολλῶν ἐπιτηδείων κριτικῶν, ὧν εἷς καὶ ὁ κύριος ὁ Καλμέτος, οὗτινος τὴν διάλεξιν ἔδεισε ἀνασκευάσαι, οὐχὶ δὲ ἐν πάσῃ ὑποθέσει ταῖς λοιδορίαις αὐτὸν περιπλύνην· ἀλλὰ τὸ δεύτερον τοῦ πρώτου ὑπῆρχέ σοι εὐκολώτερον.

5. Σὺ τῷ ἀέρι ἐρειδόμενος προβάλλεις τὸ, „ὅτι ὁ Καλμέτος οὐ„δὲν τῶν περὶ τῆς προκειμένης ὑποθέσεως κατανοῶν, μεταγράφει πολ„λάκις συγγραφεῖς ἀτοπολογοῦντας, καὶ μηδὲν πλέον αὐτοῦ εἰδότας.

Ἀλλ' οἱ διακριτικοὶ νομίζουσιν, ὅτι ἔπρεπεν ἐνταῦθα τὸ σὸν ὄνομα ἀντὶ τοῦ ὀνόματος ἐκείνου ἀντικατασταθῆναι.

6. „Οἱ Ἰουδαῖοι, λέγεις προσέτι, οὐδέποτε εἶχον οὐδὲ τεταρτημό„ριον, οὐδὲ ὡρολόγιον.

Ἀλλὰ καὶ ἐάν σοι τοῦτο συγχωρήσωμεν, τὶ ἆρά γε δύνασαι ἐκ τούτου συμπεράναι; κἂν ἡ Βουλγάτα λαλῇ περὶ ὡρολογίου, τὸ πρωτότυπον ὅμως ἀναβαθμοὺς μόνον προτείνει (131). ἀμφισβητεῖς δὲ σὺ ἆρά γε περὶ τοῦ ὅτι οἱ Ἰουδαῖοι οὐδὲν ἔκρινον περὶ τῆς τοῦ ἡλίου κινήσεως ἐκ τῆς προόδου τῆς σκιᾶς; ἀλλὰ ποίας ἀποδείξεις προβάλλεις ὑπὲρ τοῦ ὅτι οἱ Ἰουδαῖοι οὐδέποτε εἶχον οὐδὲ τεταρτημόριον, οὐδὲ ὡρολόγιον; ἀληθῶς οἱ Ἕλληνες οὐκ ἐγνώρισαν τὰ ἡλιακὰ τεταρτημόρια, εἰμὴ διακόσια ἔτη μετὰ τὸν Ἐζεκίαν. „ἀλλ' ὁ Ἡρόδοτος λέγει ῥητῶς. Πόλον μὲν γὰρ, „καὶ γνώμονα, καὶ τὰ δώδεκα μέρεα τῆς ἡμέρας παρὰ Βαβυλωνίων ἔ„μαθον Ἕλληνες. Οἱ δὲ Ἰουδαῖοι ἐπὶ τῆς Βασιλείας Ἄχαζ καὶ Ἐζεκίου συμπεπλεγμένοι ὄντες ἐπισήμως τοῖς Ἀσσυρίοις τε καὶ Βαβυλωνίοις, ἐξ ἀνάγκης πολλοὺς αἰῶνας πρὸ των Ἑλλήνων ταῦτα παρέλαβον τὰ ἐπωφελῆ εὑρήματα.

Ὅρα τὸν Λαέρτ. εἰς τὰ Ἀναξίμ.

Ἡροδ. β. 2.

4. Βασ. 16. 7. ζ 19.

ΆΡΘΡΟΝ Ε'.

Περὶ τῆς τῦ Μανασσῆ καὶ Ἰωσίᾳ Βασιλείας.

1. Ὁ Μανασσῆς, ὁ τῦ Ἰούδα βασιλίσκος, ἢ οὐδέποτε ἤκουσε τὸ θαῦμα τῦ τεταρτημορίᾳ τῦ πατρὸς αὐτῦ, & τὰ ἄλλα τῦ Ἡσαΐᾳ θαύμαζα, ἢ ἐκ ἐλογίζετο τὸν Ἀδωναΐ, εἰ μὴ ὡς ἕνα τῶν ἐγχωρίων θεῶν. ἢ ἦν παντελῶς ἄνους... Ἡ ἀκατανόητ& τῦ Μανασσῆ ἀπιςία πάθα, ὅτε τότε ἡ Πενταπόλ& ἦν ἀκμὴν ἄγνως&, & ἡ Ἰουδαϊκὴ θρησκεία συμπεφυρμένη, μηδὲν ἔχουσα σεμνὸν. μηδὲν ἐξαργασμένον.

Ὁ Μανασσῆς, ὅτε ἐτελεύτησεν ὁ Ἐζεκίας, δωδεκαέτης ὢν, μεμεθυσμέν& δὲ τῇ εὐτυχεῖ καθέδρᾳ, εἰς ἣν ὁ πατὴρ αὐτῦ κατέλιπε τὴν Βασιλείαν, μὴ τοσῦτον βιώσας χρόνον ὅσ& ἦν ἀναγκαί& πρὸς τὸ ἐντυπῶσαι ἐν αὐτῷ τὰς ἀληθεῖς ἀρχὰς τῆς θρησκείας, & τῆς πολιτικῆς διοικήσεως, ἔπεσεν εἰς τὰς τῶν ἐν τῇ αὐλῇ ἀσεβῶν χεῖρας, οἵτινες εὐθὺς μετὰ τὴν παιδικὴν αὐτῦ ἡλικίαν κατεβύθισαν αὐτὸν εἰς πάντα τὰ ἀτοπήματα, ὧν τὸν πίνακα ἐκτίθενται τὰ τῶν Βασιλειῶν & Παραλειπομένων βιβλία, ἐν τοιαύτῃ δὲ ἡλικίᾳ ὁ πεπλανημέν& & διεφθαρμέν& ἡγεμὼν πάνυ ὀλίγον διαλογίζετο· αἱ τῦ Μανασσῆ παραβάσεις διήρκεσαν ἔτη ἑπτὰ, τέλ& δὲ ἐκ ἔλαβον, εἰ μὴ ὅτε ἀπωλέσας τὴν ἐλευθερίαν αὐτῦ, μετηνέχθη αἰχμάλωτ& εἰς τὴν Βαβυλῶνα. ἀλογώτερ& δὲ τῦ Μανασσῆ ὁ ἐκ τῦ πολιτεύματ& αὐτῦ συμπεραίνων, ὅτι ἀκμὴν τότε ἡ μὲν Πενταπόλ& ἦν ἄγνως&, ἡ δὲ Ἰουδαϊκὴ θρησκεία συμπεφυρμένη. τίν& δὴ ἕνεκα ἀπέθανον τοσῦτοι φιλάρετοι ἄνθρωποι. ὧν τὸ ἀθῷον αἷμα ἐπλήρωσε τὴν Ἱερουσαλήμ; ἔφυγεν ἄρα τὰ τῦ φιλοσόφ ὄμματα τὸ, ὅτι ὁ Μανασσῆς ἦν διώκτης;

4. Βασ. 20. 21, 23. 24. 2. Παρ. 31. 33.

4. Βασ. 21. 16.

2. Ὁ αὐτὸς λαλῶν περὶ τῆς τῦ Ἰωσίᾳ Βασιλείας, λέγει· Νῦν πρῶτον ἡ Γραφὴ ἐμνήσθη ἵππων τῷ ἡλίῳ καθιερωμένων. τὴν συνήθειαν ταύτην παρέλαβον ἀναμφιβόλως ὑπὸ τῆς τῶν Περσῶν θρησκείας, πᾶσα δὲ χεδὸν σαρὰ ἀποδείκνυσιν, ὅτι οὐδέποτε ἡ ἑβραϊκὴ θρησκεία εἶχε τύπον διωρισμένον πρὶν τῆς ἀπὸ τῆς αἰχμαλωσίας ἐπισροφῆς. οἱ Ἰουδαῖοι ἐσφετερίσθησαν πάσας τὰς τελετὰς αὐτῶν ἐκ τῶν Αἰγυπτίων, τῶν Σύρων, τῶν Χαλδαίων, τῶν Περσῶν.

Σκεψώμεθα τῦτον τὸν συλλογισμόν. ὁ Ἰωσίας ἐνενήκοντα ἔτη πρὸ τῆς ἐπισροφῆς ἀπὸ τῆς αἰχμαλωσίας καθαιρεῖ τὰς ἵππους, τὰς τῷ ἡλίῳ καθιερωθέντας ὑπότινων τῦ Ἰούδα Βασιλέων ἀθετησάντων

4. Βασ. 23. 11.

τὴν

τὴν τῶν πατέρων αὐτῶν θρησκείαν. μετὰ δὲ τὸν καιρὸν τοῦτον, τὸν πρὸ τῆς αἰχμαλωσίας, οὐκέτι ἠκούθη λόγος παρὰ τοῖς Ἰουδαίοις περὶ ἁρμάτων καὶ ἵππων, τῷ ἡλίῳ καθιερωμένων. ἆρα ἡ ἑβραϊκὴ θρησκεία οὐδέποτε εἶχε πρὸ τῆς αἰχμαλωσίας τύπον διωρισμένον. Ὁ Ἰωσίας ἀνακαινίζων τὴν παλαιὰν θρησκείαν, καθεῖλεν εἰδωλικήν τινα συνήθειαν, ἣν παρέλαβον ἐκ τῆς τῶν Περσῶν θρησκείας, αὕτη δὲ ἡ συνήθεια οὐδέποτε μετὰ ταῦτα ἐνεφανίσθη ἐν τοῖς Ἰουδαίοις. ἆρα οἱ Ἰουδαῖοι ἐσφετερίσθησαν ἐκ τῶν Περσῶν τὰς τελετὰς καὶ συνηθείας τῆς θρησκείας αὐτῶν. Ἐὰν οὐκ ἦν γνωστὴ ἡμῖν ἡ διαλεκτικὴ τέχνη τούτου τοῦ ἀπίστου, τοῦτο ἱκανὸν ἦν ὁπωσοῦν δηλοποιῆσαι ὁποῖα ἐστίν.

3. „Ἐὰν ὁ Ἰωσίας, προσίθησιν ὁ αὐτὸς, πρῶταν ποιῆσαι τὴν „τοῦ Πάσχα τελετὴν κατὰ τὸν τύπον τὸν δηλωθέντα ἐν τῷ βιβλίῳ „τῆς τοῦ Θεοῦ Διαθήκης, δῆλον ἄρα, ὅτι πρότερον οὐδόλως ἐποίησαν „τὸ Πάσχα. τῷ ὄντι δὲ, οὐδὲν τῶν τῆς Γραφῆς βιβλίων λαλεῖ περὶ „τελετῆς τοῦ Πάσχα γενομένης ἐν τοῖς χρόνοις τινὸς Βασιλέως τοῦ Ἰού„δα, ἢ Βασιλέως τοῦ Ἰσραὴλ, ἢ ἐν τοῖς χρόνοις τινὸς Κριτοῦ.

Προκείσθω ὁλόκληρος ἡ ῥῆσις τῆς τῶν Βασιλειῶν βίβλου, ἣν αὐτὸς κρατομεῖ, ἵνα τὸ ποθούμενον αὐτῷ χρωματίσῃ συμπέρασμα. „Ὅτι 4. Βασ. 23. 22.
„οὐκ ἐγενήθη κατὰ τὸ Πάσχα τοῦτο ἀφ' ἡμερῶν τῶν Κριτῶν, οἳ ἔκρι- 2. Παρ. 35. 18.
„νον τὸν Ἰσραὴλ, καὶ πάσας τὰς ἡμέρας Βασιλέων Ἰσραὴλ, καὶ Βασι-
„λέων Ἰούδα. ὅτι ἀλλ' ἢ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τοῦ Βασιλέως Ἰωσίου.
Ἐὰν ἐγὼ ἔλεγον, ὅτι ἀπ' ἀρχῆς τοῦ χριστιανισμοῦ ἕως τῶν καθ' ἡμᾶς ἡμερῶν οὐδέποτε ἐφάνη τοιοῦτος ἄπιστος, οἷος ὁ συγγραφεὺς τῆς τελευταίου διερμηνευθείσης Διαθήκης, ἐσήμαινεν ἆρα τοῦτο, ὅτι αὐτὸς ἐστιν ὁ πρῶτος ἐμφανισθεὶς ἄπιστος; οὐδαμῶς. οὐδεμία δὲ περὶ τούτου ἀμφιβολία· ἐπέφερε δ' ἄντις μόνον, ὅτι οὐδέποτε ἐφάνη τοιοῦτος ἄπιστος, ἄλιος, αὐθάδης, παράλογος. Τὸ Πάσχα ἐτελεῖτο συνήθως πρὸ τοῦ Ἰωσίου, πρὸ πολλοῦ δὲ οὐκ ἐτελέσθη μετὰ τοσαύτης μεγαλοπρεπείας, 2. Παραλ. 30.
συνδρομῆς τε καὶ ζήλου, ὅσος ἐφάνη τότε. τὸ δεύτερον τῶν Παραλειπομένων βιβλίον ἐκτίθησιν ὁλόκληρον κεφάλαιον, καθιεροῦν τὸ Πάσχα, τὸ ὑπὸ Ἐζεκίου τοῦ προπάππου τοῦ Ἰωσίου τελεσθέντος. τὰ πρὸ τῆς αἰχμαλωσίας ἱστορικὰ βιβλία ὁ λαλοῦσι περὶ ἄλλων τελετῶν τοῦ Πάσχα διὰ τὸν ἑξῆς ἁπλούστατον λόγον. Οἱ ἱστορικοὶ τῶν κατ' ἔτος τελουμένων ἐκείνα μόνον σημειοῦσιν, ὅσα περιττάσεως ἔχουσι χρησίμους, καὶ τῶν λοιπῶν αὐτὰ ὑποδιαγελοῦσας. τοιοῦτον δὲ ἦν τὸ Πάσχα τὸ ὑπὸ Ἰωσίου, καὶ Ἐζεκίου τελεσθέν. ὡσαύτως καὶ τῷ ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ Ἰησοῦ τοῦ Ναυῆ. Σιωπῶ δὲ ἐνταῦθα ὅσα ὁ αὐτὸς ἀφορμὴν ἐκ τού-

τοῦ

τῦ λαβὼν φλυαρεῖ κατὰ τῶν τῦ Μωϋσέως βιβλίων, ἀνασκεύασω δὲ αὐτὰ ἐν τῷ ἰδίῳ τόπῳ.

ΛΟΓΟΣ ε'.

Περὶ τῦ ἐὰν ὁ Ἱερεμίας ἦν προδότης συνεργῶν τοῖς Σαμαρείταις.

1. Παραδὺς ὁ αὐτὸς τοῖς συγγραφεῦσι τῶν βιβλίων τῶν Βασιλεῶν ἐκτεταμένον μάθημα περὶ τῦ τρόπυ, δι' ὃ εἶδεν αὐτὺς συγγράψαι, ὅπως ἂν τὰ ὑπ' αὐτῶν ἱστορύμενα τοσῦτον τερπνὰ καταςήσωσιν, ἀναμφιβόλως δὲ & τοσῦτον ἀληθῆ & διδακτικὰ, ὅσον τό,τε περὶ τῆς καθολικῆς Ἱερείας δοκίμιον αὐτῦ, & ἡ περὶ τῆς Βασιλείας τῦ ΙΔ'. ϗ ΙΕ'. λυσίσ ἱστορία, μετὰ ταῦτα ἐπιχειρεῖ ἀποδεῖξαι, ὅτι, ὁ Ἱερεμίας διεφθάρη πρὸς τὸ προεπεῖν τὴν τῆς Ἱερυσαλὴμ καταςροφήν. „Οἱ νέοι Σαμαρεῖς, λέγει, προσηλωμένοι ὄντες ἐκ γεννήσεως τῷ Να„βυχοδονόσορ, ἐξήγειραν τὸν Ἱερεμίαν εἰς τὸ πεῖσαι τὴν τῦ Ἰύδα „φυλὴν ὑποταγῆναι τῷ εἰρημένῳ Βασιλεῖ... Ὁ δὲ Ἱερεμίας ὑπερα„σπισὴς γίνε) τῦ ἰσχυρῦ Βασιλέως Ναβυχοδονόσορ κατὰ τῦ ἀνισχύρυ „ϗ μικρῦ βασιλίσκυ τῆς Ἱερυσαλὴμ, κἂν αὐτὸς ἦν ὁ τότυ δεσπότης... „Ὁ Προφήτης ὅτ' ἦν προδότης ϗ μωρός. προδότης μὲν, καθότι „ἐβύλετο διεγεῖραι τὸν λαὸν κατὰ τῦ ἰδίυ Βασιλέως, & παραδῦναι „αὐτὸν τοῖς ἐχθροῖς αὐτῦ· μωρὸς δὲ, καθότι τὰ ἔργα, ϗ πάντα τὰ „ῥήματα αὐτῦ ὐδὲ συνάφειαν ἔχυσιν, ὐδὲ ἀκολυθίαν, ὐδὲ λόγυ τι„νὸς χαρακτῆρα.

Ἡ ὑπόκρισις ϗ ἡ δολιότης, διαθέσεις τοσῦτον ἀναγκαῖαι τοῖς προδόταις, ὐκ εἰσὶ τῶν μωρῶν ἰδιώματα. ἀλλὰ κἂν αὐτὸς ὁ πάνυ εὐτυχῶς ἐφαντάσθη τὴν τῶν τοσῦτον ἀντικειμένων διαθέσεων συνδρομὴν, ἀνάγκη ὅμως ἐςὶν ὁμολογῆσαι, ὅτι μεγάλην ἐμφαίνει ἀγχίνοιαν τὸ ὑπ' αὐτῦ ἀποκαλυφθὲν, εἴτυν τὸ ὅτι οἱ νεήλυδες Σαμαρεῖς) γεγόνασι μεσῖ) τῆς μυσικῆς συμφωνίας τῆς μεταξὺ τῦ Ναβυχοδονόσορ ϗ τῦ Ἱερεμίυ. Ἐὰν ὁ Ἱερεμίας εἷς ἦν τῶν ὁπωσῦν ἀνεχομένων ἀνθρώπων, ἠδυνάμεθα λογισθῆναι τῦτον τὸν Σαμαρείτην λαὸν, τὸν εἰδωλολάτρην ἅμα & Ἰυδαῖον, ὡς κέντρον τῆς συναφείας τῦ γυμνῦ εἰδωλολάτρυ Ναβυχοδονόσορ, ϗ τῦ ψιλῦ Ἰυδαίυ Ἱερεμίυ. ἀλλ' ἡ σφοδρὰ αὐτῦ ἀντιπάθεια κατά τε τῶν ξένων Θεῶν, ϗ τῶν τῆς Σαμαρείας Προφητῶν ἐποίει αὐτὸν τοῖς εἰρημένοις Σαμαρείταις ἀπρόσιτον. Ἰυὸ πῶς αὐτὸς ἐλάλει κατὰ τὸν αὐτότατον καιρὸν, καθ' ὃν ὁ κριτικὸς ὑποτίθε) τὺς Σαμαρείτας ἑτοιμάζοντας τῦτο τὸ μηχανύργημα·

„Καὶ

, Καὶ ἐν τοῖς Προφήταις Σαμαρείας εἶδον ἀνομήματα, ἐπροφήτευσαν Ιερ. 23. 13.
„διὰ τῆς Βάαλ, & ἐπλάνησαν τὸν λαόν μου Ἰσραήλ. ὅτε δὲ ὁ Ἱερεμίας κατήγγειλε τῷ Σεδεκίᾳ, ὅτι ἐὰν ἐπαναςῇ κατὰ τοῦ Ναβυχοδονόσορ, τοῦ ποιήσαντος αὐτὸν Βασιλέα ἐπὶ συνθήκῃ τοῦ εἶναι πιςὸν ᾧ ὑποτελῆ αὐτῷ, ἡ Ἱερυσαλὴμ ἐξαφανισθήσε). (132) τότε ἡ πόλις αὕτη πρότερον ἤδη δὶς πεπτωκυῖα ἦν ὑπὸ τὴν ἐξυσίαν τοῦ τῶν Ἀσσυρίων μονάρχυ. τοῦ φθασαμένυ αὐτῆς. τοῦτο ὃν ἐςὶ προδοσία, τὸ εἰπεῖν τῷ Σεδεκίᾳ, ὅτι ἐὰν μὴ ἐκπληρώσῃ τὰς ὑποχέσεως αὐτοῦ, ἀπωλέσει τὸ ὅλον;

2. „Ἀλλὰ οἱ Ἰυδαῖοι, προςίθησιν ὁ αὐτὸς, καταφυγόντες ἐπὶ „τὴν Αἴγυπτον, ὅπυ ᾧ ὁ Ἱερεμίας κατέφυγε, θανάτῳ κατεδίκασαν „αὐτὸν, ὡς πωλήσαντα ἀπίςως τόν τε δεσπότην αὐτοῦ, ᾧ τὴν ἰδίαν „Πατρίδα τοῖς Βαβυλωνίοις. ἡ παράδοσις δὲ μόνη διδάσκει τὸ, ὅτι „ὁ Ἱερεμίας ἐλιθάθη,

Μὴ νόμιζε παράδοξον ὁρῶν τὸν ἐξαλλοιῶντα πάντα τὰ ἱερὰ βιβλία. ἀλλοιῶντα ὁμοίως ᾧ τὰς Ἰυδαϊκὰς παραδόσεις. ἡ παράδοσις, περὶ ἧς αὐτὸς λαλεῖ, ῥητῶς λέγει, ὅτι οἱ Ἰυδαῖοι, οἱ ἐπὶ τὴν Αἴγυπτον καταφυγόντες ἀπέκλειναν τὸν Ἱερεμίαν διὰ τὰς συνεχεῖς ἐλέγχυς αὐτοῦ κατὰ τῆς εἰδωλολατρείας, εἰς ἣν πολλοὶ ἐξ αὐτῶν συχνάκις πίπτοντες ἡμάρτανον. ἐὰν ὁ Ἱερεμίας προδότης ἦν, ὃ προετίμα τὴν ἐν μέσῳ τῶν συμπολιτῶν αὐτοῦ ἐν τοῖς ἐρημίοις τῆς ἰδίας πατρίδος διαμονὴν τοῦ προβλήματος τοῦ Ναβυχοδονόσορ, ὅπερ ἐςὶ τοῦ ἐκλέξαι οἴκησιν ἤτοι ἐν Βαβυλῶνι, ἢ ἐν ἄλλῳ πρέποντι αὐτῷ τόπῳ. Ιερ. 44. 8. Ιερ. 40. 4.

ΑΡΘΡΟΝ Ζ'.

Περὶ τοῦ ἐὰν ὁ Ἱερεμίας ἦν μωρὸς. ᾧ περὶ τοῦ ἐὰν τὸ τιθέναι ἐν τῷ νεύρῳ σημαίνῃ τὸ τύπτειν μετὰ νεύρων βοείων.

1. Προβασώμεθα νῦν ἐπὶ τὸ τῆς μωρίας ἔγκλημα. „Ἡ μωρία, „φησὶν, ἀποδεδειγμένη ἐςὶν ἐκ πάντων τῶν ῥημάτων αὐτοῦ, τῶν μὴ „ἐχόντων μηδὲ συνάφειαν, μηδὲ ἀκολυθίαν μηδέ τινα λόγου χαρα„κτῆρα.

Ναί. ἐκ πάντων, μὴ ἐξαιρυμένης μηδὲ τῆς δοθείσης ὑπ' αὐτοῦ συμβυλῆς περὶ τοῦ δῦναι τὴν πόλιν. ἣν ὃς ἠδύναντο διαφυλάξαι, τῷ νικητῇ μονάρχῃ, τῷ δὶς πρότερον κατακυριεύσαντι αὐτῆς. Ἐὰν δὲ ἐν τῷ πεντηκοςῷ πρώτῳ κεφαλαίῳ, τῷ περιέχοντι τὴν τοῦ Ἱερεμίυ προφητείαν, δυνηθῇ τις εὑρεῖν μίαν μόνην πρόῤῥησιν μὴ ἐκπληρωθεῖσαν, Ιερ. 51. ἢ 21.

σαν, ἢ ἕνα μόνον νόημα παράλογον, καθάπερ παράλογά εἰσι πάντα τα τȣ̃ κριτικȣ̃ νοήματα, ποινῇ ὑπόδικος ἔσομαι.

2. „Ἀλλ' ὁ Ἱερεμίας, φησὶν ὁ αὐτὸς, ἔθηκεν ἐπὶ τῶν ὤμων „αὐτȣ̃ ἐφίππειον ὄνȣ.

Τὸ τȣ̃ ὄνȣ ἐφίππειον σόν ἐςιν ἐφεεύρεμα. ȣ̓δεμία τοιαύτη λέξις εὑρίσκεται ἐν τῷ τȣ̃ Ἱερεμίȣ βιβλίῳ. σοὶ ȣ̓ν μόνῳ ἀνήκει, σὸν δὲ κόσμημα ἔςαι διαπαντός. Ἔθηκεν ὁ Ἱερεμίας περὶ τὸν τράχηλον αὐτȣ̃ δεσμὸν καὶ κλοιȣ̀ς, ἵνα τοῖς τε Ἰȣδαίοις, καὶ τοῖς πλησίον λαοῖς καταγγείλῃ τὸν ζυγὸν, ὃν ἐπιθεῖναι αὐτοῖς ἔμελλεν ὁ Ναβȣχοδονόσορ. ἀλλ' ȣ̓κ ἔςιν ἆρά γε τȣ̃το ἄτοπον; Ἐὰν τȣ̃το ἄτοπον, ὅλη η Ἀνατολὴ τότε ἔπρατεν ἄτοπα. ἰδȣ̀ τὸ ὑπὸ σȣ̃ εἰρημένον ἐν τῇ περὶ τὴν ἱςορίαν φιλοσοφίᾳ σȣ· „Παρατηρητέον ἐνταῦθα τὴν τῆς Ἀνατολῆς συ„νήθειαν, ἣν οἱ Ἰȣδαῖοι προήγαγον εἰς κατάςασιν ἐκπλήττȣσαν ἡ„μᾶς. σύνηθες ἦν ȣ̓χὶ μόνον λαλεῖν ἀλληγορικῶς, ἀλλὰ καὶ ἐμφαίνειν „ὅσα ἤθελον δι' ἔργων ἀσυνήθων. (τȣ̃το ἐξηκριβωμένως πεποίηκεν „ὁ Ἡσαίας, ὁ Ἱερεμίας, ὁ Ἰεζεκιήλ). Προσέθηκας δὲ, ὅτι τȣ̃το φύ„σει ἦν ἁρμοδιώτατον· ἐπειδὴ τȣ̃ οἱ ἄνθρωποι πρὸ πολλȣ̃ ȣ̓κ ἔγραφον „τὰ νοήματα αὐτῶν, εἰμὴ διὰ Ἱερογλυφικῶν, πρέπον ἦν ἐθισθῆναι „αὐτȣ̀ς λαλεῖν καθάπερ ἔγραφον. διὸ οἱ Σκύθαι, ἐὰν τῷ Ἡροδότῳ „πιςεύωμεν, ἀπέςειλαν τῷ Δαρείῳ ὄρνιθα, καὶ μῦν, καὶ βάτραχον, „καὶ βέλη πέντε. ὅπως ἂν νοήσῃ, ὅτι ἐὰν μὴ φύγῃ ὡς πετεινὸν, ἢ „κρύψῃ ἑαυτὸν ὡς ὁ μῦς καὶ βάτραχος, διὰ τῶν βελῶν αὐτῶν ἀπο„λεσθήσεται Ἡ διήγησις αὕτη ἐνδεχομένως ψευδής ἐςιν, ὅμως μαρτυ„ρία ἐςὶ τῶν κατ' ἐκείνȣς τȣ̀ς ἀρχαίȣς καιρȣ̀ς ἐν χρήσει ὄντων αἰνιγ„μάτων. Τῷ ὑποδείγματι τȣ́τῳ δυνατόν ἐςι καὶ ἄλλα ἐπισυνάψαι, ἐπίσης ἀποδεικνύοντα, ὅτι ἔνια τῶν Προφητῶν ἔργα, δυνάμενα γενέσθαι πρόσκομμα τοῖς χυδαίοις. ὡς ἡμῖν ἀήθη. ἐλογίζοντο τότε ἱκανώτατα πρὸς τὸ πλῆξαι τὰς τῶν ἀνθρώπων καρδίας, καὶ καταςῆσαι αὐτȣ̀ς προσεκτικȣ́ς.

Ἱερ. 34, ἢ 47. 1.

Κιφ. 43.

Ἡροδ. β. 4.

3. Ἡ περίφημος τȣ̃ Σαμαία ἐπιςολὴ, ἡ πρὸς Σοφονίαν τὸν „ἀρχιερέα, ἀποδείκνυσιν, ὡς ὁ αὐτός φησιν. ὑπὲρ πάσας τὰς ἄλλας „ἀποδείξεις, ὅτι ὁ Ἱερεμίας ἦν μωρός. Ὁ Θεὸς ὥρισέ σε, ἵνα τύψῃς „διὰ βοείων νεύρων τὸν μωρὸν Ἱερεμίαν, τὸν θέλοντα προφητεύειν.

Τὶς ȣ̓κ ἂν πιςεύσῃ, ὅτι ὁ φιλόσοφος μετὰ πάσης ἀκριβείας ἐκτίθησι τῆς ἐπιςολῆς ταύτης τὴν περίληψιν; ἰδȣ̀ ὅμως ἡ ἐπιςολὴ „αὐτολεξεί. Κύριος ἔδωκέ σε Ἱερέα ἀντὶ Ἰωδαὲ τȣ̃ ἱερέως, γενέσθαι „ἐπιςάτην ἐν οἴκῳ Κυρίȣ παντὶ ἀνθρώπῳ προφητεύοντι, καὶ παντὶ „ἀνθρώπῳ μαινομένῳ, καὶ δώσεις αὐτὸν εἰς τὸ ἀπόκλεισμα. καὶ εἰς τὸν

Ἱερ. 36 ἢ 29. 26, 47.

„κα-

„καταράκτην. καὶ νῦν διατὶ οὐκ ἐπιτιμήσατε Ἱερεμίᾳ τῷ ἐξ Ἀναθὼθ „τῷ προφητεύοντι; Οὗτος ὁ πολυμαθέστατος ἄνθρωπος ἀναγινώσκων τὰ τῆς Βουλγάτης λόγια· „ἵνα θῇς αὐτὸν ἐν τῷ νεύρῳ, καὶ ἐν τῇ φυλακῇ. „Ἐνόμισεν, ὅτι ἡ λέξις νεῦρον σημαίνει τὰς διὰ βοείων νεύρων πληγάς. τί δ' ἄρα διαλογίζετο θέλων ἀποδεῖξαι τὸν Ἱερεμίαν μωρὸν διὰ τῆς ὑπότινος τῶν ψευδοπροφητῶν σταλείσης πρὸς τὸν Ἀρχιερέα ἐπιστολῆς, τῆς τὸν Ἱερεμίαν συκοφαντούσης;

ΑΡΘΡΟΝ Η'.

Ἐν ᾧ αἱ τοῦ κριτικοῦ σκέψεις περὶ τῆς τῶν Ἰουδαίων καταστάσεως.

1. Περαιοῖ αὐτὸς τὰ ἑαυτοῦ σημειώματα, τὰ εἰς τὴν ἱστορίαν τῶν Βασιλέων τοῦ Ἰούδα διὰ τοῦ δε τοῦ θλιβεροῦ διαλογισμοῦ. „Πῶς; ὁ αἰ„ώνιος ἐκχέει τὰ θαυμάσια, τὰς πληγὰς, καὶ τοὺς φόνους, ἵνα ἐξα„γάγῃ τοὺς Ἰουδαίους ἐκ τῆς καρποφόρου Αἰγύπτου, ὅπου ἦσαν ναοὶ ἐν „τῷ ὀνόματι τοῦ μεγάλου ὄντος Ιαχο, καὶ τοῦ καθολικοῦ ὄντος Κνεφ· „ἄγει δὲ τὸν λαὸν αὐτοῦ ἐν τόπῳ, ὅπου οὐ δύνανται ἀνεγεῖραι αὐτῷ να„ὸν ἐν ἔτεσι πεντακοσίοις καὶ ἐπέκεινα, (ἔδει αὐτῷ εἰπεῖν μετὰ ὀκτα„κόσια καὶ εἴκοσι καὶ ἑπτὰ ἔτη). τελευταῖον δὲ ἐξαφανίζει τὸν ναὸν τοῦ„τον, ὅτε οἱ Ἰουδαῖοι ἐκτήσαντο αὐτόν· τοῦτο καὶ τὸ διακριτικὸν ἐκπλήτ„τει καὶ τὴν φαντασίαν.

Βλέπε, πῶς ταράττονται τὰ ἐντόσθια αὐτοῦ, ὁρῶντος τὰς συμφορὰς τοῦ κατ' αὐτὸν ἀποτροπαιοτέρου, καὶ ἀσθενεστέρου πάντων τῶν ποτὲ ὑπαρξάντων λαῶν. ἀλλ' ἵνα ἐκ τῆς λειποθυμίας αὐτοῦ ἀνακαλέσω αὐτὸν, εὐαγγελίζομαι αὐτῷ χαροποιάτινα εὐαγγέλια. αὐτὸς ὁ ἐξαφανισθεὶς ναὸς, ἡ πυρποληθεῖσα πόλις τὸ διεσπαρμένον γένος. ταῦτα πάντα ἀνεκαινίσθησαν ἐν τῷ τέλει τῶν ἑβδομήκοντα ἐτῶν κατὰ τὰς πολλάκις ἐπανειλημμένας προῤῥήσεις τοῦ μωροῦ Ἱερεμίου τοῦ θέλοντος προφητεύειν· καὶ οἱ μὲν πλησιόχωροι λαοὶ, οἱ Μωαβῖται, οἱ Ἀμμωνῖται οἱ Ἰδουμαῖοι, οἱ συνωμόται τῆς συμφορᾶς τῶν Ἰουδαίων αἰωνίῳ παρεδόθησαν αφανισμῷ, οἱ δὲ Ἀσσύριοι καὶ οἱ χαλδαῖοι, οἱ τῶν δυστυχιῶν αὐτῶν αὐτουργοὶ ἐξέλειπον. οἱ δὲ Ἰουδαῖοι ὥσπερ ἐκ τοῦ ἰδίου χοὸς ἀναγεννηθέντες συνεκρότησαν νέαν τινὰ πολιτικήν τε καὶ Εὐσεβῆ ὁμήγυριν. οἱ Πέρσαι οἱ προστάται τῆς εἰς τὴν γῆν τῶν πατέρων αὐτῶν ἐπιστροφῆς· ἡ παλαιὰ τῆς Αἰγύπτου μοναρχία, τὸ τούτων σπάργανον· οἱ τῶν Μακεδόνων καὶ Σύρων Βασιλεῖς, οἱ τούτων δυνάσται· πάντα τὰ ἔθνη ταῦτα ἀλληλοδιαδόχως ἐξηφανίσθησαν, αὐτοὶ δε ὑφίσταντο, γένος συνιστῶντες ἐν τῇ τῆς γεννήσεως αὐτῶν γῇ μετὰ τοῦ ναοῦ καὶ τῶν

τελετῶν αὐτῦ ἕως τῆς παρυσίας τῦ μέλλοντ☉ προσκαλέσαι πάντα τὰ ἔθνη εἰς θρησκείαν, τεθεμελιωμένην μὲν ἐπὶ τὰ δόγματα, ϗ τὰς ἠθικὰς νόμυς, ϗ τὴν προσδοκίαν αὐτῶν, τελεσθέραν ὅμως ἐκείνης. Ἰῦτό ἐςι τὸ τέλ☉ ταύτης τῆς θαυμασίᾳ μὲν ϗ ἀκαταλήπτυ ἱςορίας, συγγεγραμμένης δὲ ὑπὸ συγχρόνων αὐτῇ συγγραφέων, ϗ ἐπικεκυρωμένης ὑπὸ ἀδιακόπυ σειρᾶς μαρτύρων.

ΒΙΒΛΙΟΝ Δ΄.

Περὶ τῶν ἐπὶ Βασιλείας τῦ Δαβὶδ καὶ Σολομῶντος Συγγραφέντων βιβλίων.

Τὰ βιβλία ταῦτα εἰσὶ τὸ Ψαλτήριον τῦ Δαβὶδ ϗ τῦ Σολομῶντ☉, (133) ὁ Ἐκκλησιαςὴς, τὸ Ἆσμα τῶν Ἀσμάτων, ϗ τὰ δύω πρῶτα τῶν Βασιλειῶν· ἡμεῖς δὲ πρῶτον μὲν ἀποδείξομεν τύτων τῶν συγγραμμάτων τὸ κῦρ☉, εἶτα διὰ δύω κατ' ἰδίαν κεφαλαίων ἀπαντήσομεν ταῖς ἐνςάσεσι τῦ συγγραφέως τῆς τελευταίου διερμηνευθείσης Διαθήκης, ταῖς κατὰ τῶν δύω πρώτων βιβλίων τῶν Βασιλειῶν.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῦ κύρυ τῦ Ψαλτῆρος, τῶν Παροιμιῶν, τῦ Ἐκκλησιαςῦ, τῦ Ἄσματος τῶν Ἀσμάτων, ϗ τῶν δύω πρώτων βιβλίων τῶν Βασιλειῶν.

ΆΡΘΡΟΝ Α.

Ἐν ᾧ αἱ ἀποδείξεις τῦ κύρυ τῆς Ἰῶν Ψαλμῶν συλλογῆς.

1. Τῶν ἑκατὸν ϗ πεντήκοντα Ψαλμῶν, τῶν ἐπ' ὀνόματι τῦ Δαβὶδ ἐγνωσμένων τὸ πλεῖςον μέρ☉ συνετέθη ὑπ' αὐτῦ τῦ Δαβὶδ, ϗ τῶν Λευιτῶν, τῶν ἐπὶ τῆς Βασιλείας αὐτῦ ἀκμασάντων· εἶτα προσετέθησάν τινες Ψαλμοὶ, χρέαν ἔχοντες τῷ τῆς αἰχμαλωσίας καιρῷ ϗ τῇ ἀπ' αὐτῆς ἐπιςροφῇ. τοιαύτη ἐςὶν ἡ συλλογὴ, ἐξ ἧς Ἰὰ Ψαλτήριον σύγκει☉. βεβαιόνεσι, λέγω, ὅτι τὸ πλεῖςον μέρος τῶν Ψαλμῶν

μῶν συνετέθη ὑπὸ τῦ Δαβὶδ, ϗ τῶν συγχρόνων αὐτῷ Λᾳϊτῶν. ἐπικυροῦσι δὲ τῦτο αὐτοὶ οἱ τῶν Ψαλμῶν τίτλοι, δηλοῦντες, ὅτι τινὲς μὲν αὐτῶν εἰσὶ τῦ Δαβὶδ, τινὲς δὲ τῦ Ἀσὰφ, ἄλλοι τῦ Αἰμὰν, ἄλλοι τῦ Αἰθὰν, ϗ ἄλλοι τῦ Ἰδιθύμ. πάντες δὲ ὅτοι οἱ Λευῖ)ησαν χοροσάῖ), ὡς μαρτυρεῖ τὸ πρῶτον τῶν Παραλειπομένων βιβλίον. τῶν μυσικῶν τῶν ὑπὸ τῦ Δαβὶδ ὁριαθέντων εἰς τὸ ψάλλειν τὰς τῦ Θεῦ ὕμνυς ἐνώπιον τῆς κιβωτῦ. ἐκ δὲ τῶν τίτλων ὃ προτείνω ἐνταῦθα εἰς ἀπόδειξιν τῦ σκοπῦ, εἰμὴ τὰς ἐν τῷ ἑβραϊκῷ κειμένας ὕφε. διότι οἱ κείμενοι μόνον ἐν ταῖς ἑλληνικαῖς μεταφράσεσιν, ἐξ ὧν ϗ εἰς τὴν ἡμετέραν μετεβησαν Βυλγάταν. ὃκ ἔχυσι τοσῦτον κῦρ(134), ὃδὲ συμφωνῦσι πάντοτε τῇ τῶν Ψαλμῶν ὑφῇ. τὴν αὐτὴν δὲ ἀλήθειαν περὶ τῶν συγγραφέων τῶν Ψαλμῶν ἀποδεικνύυσιν εἰδικά τινα ἔργα ἐν τοῖς ἱςορικοῖς περιεχόμενα βιβλίοις. Τὸ δεύτερον βιβλίον τῶν Βασιλειῶν ἐμφαίνει τὸν Δαβὶδ ἐπίσημον Ψαλμῳδὸν τῦ Ἰσραὴλ, ϗ περιέχει ὅλον τὸν δέκατον ἕβδομον Ψαλμὸν, ὡς ὑπ' αὐτῦ συντεθέντα ϗ τὸ μὲν πρῶτον βιβλίον τῶν Παραλειπομένων ἀναγράφει ῥητῶς τῷ Δαβὶδ τὸν ἐννενηκοσὸν πέμπτον, ϗ ἑκατοσὸν τέταρτον· τὸ δὲ δεύτερον ὁμοίως. ϗ τὸ τῦ Ἔσδρα, τὸν ἑκατοσὸν πέμπτον, ϗ ἑκατοσὸν τριακοσὸν πέμπτον. τὸ δὲ τῦ Σειρὰχ αἰνεῖ τὸν τῦ Δαβὶδ ζῆλον εἰς τὸ ψάλλειν τὰς τῦ Θεῦ ὕμνυς. τὸ δὲ δεύτερον τῶν Μακκαβαίων λαλεῖ περὶ τῶν συγγραμμάτων τῶν Προφητῶν, ϗ τῦ Δαβίδ. περὶ δὲ τῦ Ἀσὰφ, ὅτινος τὸ ὄνομα κεῖ)ὲν κεφαλίδι πολλῶν Ψαλμῶν, τὸ δεύτερον τῶν Παραλειπομένων λέγει· „Καὶ εἶπεν Ἐζεκίας ὁ Βασιλεὺς ϗ οἱ ἄρχοντες τοῖς Λᾳϊταις ὑμνεῖν „τὸν Κυρίον ἐν λόγοις Δαβὶδ, ϗ Ἀσὰφ τῦ προφήτυ. Τὸ δὲ τῦ Νεεμίυ διαλαμβάνει περὶ ᾀσμάτων συντεθέντων ϗ ψαλλέντων εἰς ὕμνον Θεῦ ἐν ἡμέραις Δαβὶδ, ϗ Ἀσάφ. Ἀναμφίβολον δὲ ἐςὶν, ὅτι ὁ Ἀσὰφ, ὁ τῷ Δαβὶδ σύγχρονος, ϗ τῶν Λᾳϊτῶν πρῶτος, πολλὰς συνέγραψε Ψαλμὰς, οἵτινες ἀκμὴν τῷ ὀνόματι αὐτῦ ἀναγεγραμμένοι εἰσὶν ἐν τῷ ἀναγινωσκομένῳ Ψαλτηρίῳ, κἂν τινες ἐξ αὐτῶν σαφῆ τὴν χέσιν ἔχοντες τῇ τῆς Βαβυλῶνος αἰχμαλωσίᾳ, ϗ τῇ τῦ ναῦ καταςροφῇ, συντεθαμένοι δοκῶσιν ὑπὸ τῶν ἀπογόνων αὐτῦ· οἵτινες κατὰ τὴν ἐκπεφασμένην μαρτυρίαν τῶν Παραλειπομένων, ϗ τῶν τῦ Ἔσδρα, ϗ Νεεμίυ βιβλίων, ϗ πρὸ τῆς αἰχμαλωσίας, ϗ μετ' αὐτὴν ἐπλήρων τὰς αὐτὰς τελετὰς, ἃς κἀκεῖνος.

1. Παρ. 15. 16, κτ.

2. Τοσῦτον συνήθη εἶχον τὴν τῶν Ψαλμῶν συλλογὴν οἱ παλαιοὶ Ἑβραῖαι, ὥςε συχνάκις ἐν τοῖς συγγράμμασιν αὐτῶν μετήρχοντο σίχυς ἐξ αὐτῶν ὁλοκλήρυς· μάρτυρες τύτυ αἱ Παροιμίαι, τὸ δεύτερον βιβλίον τῶν Βασιλειῶν, ὁ Ἡσαΐας, ὁ Ἀμὼς, ὁ Ἱερεμίας, κτ.

2. Βασ. 22, ϗ 23.

1. Παρ. 16.

2. Παρ. 7. 6. Ἔσδρ. 3. 10. Σειρ. 47. 10. 2. Μακκ. 2. 13.

2. Παρ. 29. 30. Νεεμ. 12. 46

2. Παρ. 20. 14. ϗ 29. 13. Ἔσδρ. 3. 10. Νεεμ. 11. 22.

Παροιμ. 16. 5. 2. Βασ. 22. Ησ. 50. 9. ϗ 51 6. ϗ 52. 10.

Ἀμ. 9. 22. Ἱερ. 17. 7, 8. Θρήν. 3. 6. & 5. 19. Ἐν κεφ. 44.

1. Πρὶν ἢ πολυπραγμονῆσαι τὸ ὑπὸ τοῦ κριτικοῦ λεγόμενον περὶ τῆς τοῦ Σαμουὴλ ἐμφανείας ἐνώπιον τοῦ Σαοὺλ, συγχωρήσατέ μοι ἐπικροτῆσαι ὑπὲρ τῆς ἐκβάσεως μικρᾶς τινος παρατηρήσεως, ὑπ' ἐμοῦ αὐτῷ προτεθείσης. Οὗτος ἐν τῇ ἰδίᾳ περὶ τὴν ἱςορίαν φιλοσοφίᾳ εἶπε. „Παράδοξον τὸ, ὅτι ἡ ἑλληνικὴ λέξις Πύθων γνωςὴ ἦν τοῖς „Ἰουδαίοις ἐν τοῖς τοῦ Σαοὺλ χρόνοις. πολλοὶ δὲ σοφοὶ συμπεραίνουσιν, „ὅτι ἡ ἱςορία αὕτη οὐ συνεγράφη εἰμὴ μετὰ τὸν Ἀλέξανδρον, ὅτε „οἱ Ἰουδαῖοι τοῖς Ἕλλησι συνεπολιτεύοντο. Πρὸς ταῦτα ἀπεκρίθην. Παραδοξότερον τὸ, ὅτι αὐτός τε καὶ οἱ σοφοὶ, ὧν τὰ ὀνόματα σιωπεῖ, ἀγνοοῦσιν, ὅτι ἡ ἐν τῇ Βουλγάτῃ λέξις Πύθων, οὐδὲ ἐν τῷ ἑβραϊκῷ κεῖται, ἐν ᾧ τὸ ο β ο β ο θ, εἴτουν μάντις Δαίμων, ἐμπνέων τοὺς μάντεις, οὐδὲ ἐν τῇ τῶν ἑβδομήκοντα μεταφράσει, ἐν ᾗ ἡ ἑβραϊκὴ λέξις ο β ο β ο θ μετηνέχθη εἰς τὸ ἐγγαςρίμυθος Εὐλαβηθεὶς οὖν αὐτὸς ταύτην τὴν ἐπίκρισιν, τὴν καὶ ὑπὸ ἄλλων τινῶν προτεθεῖσαν αὐτῷ, λέγει. „Ὁ Σαοὺλ ἐζήτησε γυναῖκα ἔχουσαν ο β, ἡ δὲ Βουλγάτα φησὶ πνεῦ„μα Πύθωνος. ἵνα δὲ καινὰ διαπαντὸς προβάλλῃ, προςίθησι τάδε.

Ὑπερασπ. τῆς παλ.. Διαθ. κ. 5. ἀρθρ. 3.

„Ἡ

„Ἡ ὑπόληψις τῦ ἐν Δελφοῖς μαντείυ διῆλθεν ἄχρι τῆς μικρᾶς Ἀ-„σίας ἢ τῆς Συρίας, τελευταῖον δὲ ἢ ἄχρι τῆς Παλαισίνης. πε-„ρανώτατον δὲ τὸ, ὅτι ἡ ἐν Ἐνδὼρ Πυθία, μία ἦν τῶν πτωχῶν γυ-„ναικῶν, αἵτινες ἐπιτηδεύόμεναι ὅσον οἱόντε μιμεῖσθαι τὴν ἐν Δελφοῖς Πυθίαν, τὰ πρὸς τὸ ζῆν προσπορίζον).

Ἄχρι μὲν τῦδε πάντες ἐπίσευον, ὅτι οἱ Ἕλληνες εἵλκυσαν ἐκ τῆς ἀνατολῆς, ἐξόχως δὲ ἐκ τῶν ἀποικιῶν Ἰῶν Φοινίκων τὰς συνηθείας, ἢ τὺς μύθυς, ἢ τὰς δεισιδαιμονίας αὐτῶν, ἐξαιρέτως δὲ τὴν μαντικὴν τέχνην, τὴν ἔκπαλαι ὑπὸ τῶν Αἰγυπτίων ἢ Χαναναίων ἐνεργουμένην. καὶ αὐτὸς δὲ ὁ κριτικὸς ἐδέχθη, ὡς δοκεῖ, ταύτην τὴν ὁμόφωνον γνώμην, ὁρῶν ὅτι οἱ Φοίνικες ἐφώτισαν Ἰὴν ἑλλάδα, παραδόντες αὐτῇ τὸ ἀλφάβητον· τὴν σήμερον δὲ οἱ Ἕλληνες εἰσὶ, κατ' αὐτὸν, οἱ πρὸ τῦ Σαὺλ τὴν μαντικὴν διδάξαντες Ἰὺς τὴν Παλαισίνην οἰκῦντας. περιμένοντες ὧν ἡμεῖς Ἰὺς ὀπαδὺς αὐτῦ, ἵνα τὰς ἀποδείξεις παραςήσωσι τύτυ τῦ παραδόξυ πράγματος, σημειῦμεν, ὅτι ἡ ἱςορία περὶ τῆς ἐμφανείας τῦ Σαμυὴλ, ἢ ὁ τρόπος, δι' ὃ ὁ Σαὺλ μετῆλθε τὴν ἐν Ἐνδὼρ μάγον, ἀναντιῤῥήτως ἀποδεικνύυσιν, ὅτι ἐν τοῖς κατὰ τὸν Σαὺλ χρόνοις ἡ τῶν ἀοράτων πνευμάτων ὕπαρξις, ἡ μετὰ θάνατον τῶν ψυχῶν ὑφίςασις ςερεὰ ἦσαν παρὰ τοῖς Ἰυδαίοις δόγματα. ὐδὲ ὁ Σαὺλ ἐζήτει παρὰ τῆς μάντεως Ἰὴν τῦ Σαμυὴλ, ἀνάκλησιν, ὐδὲ ἡ μάντις ἀπεπειρᾶτο ταύτην ἐκτελέσαι, ἐὰν μὴ ἑκάτεροι πεπεισμένοι ἦσαν, ὅτι ἡ ψυχὴ τῦ Σαμυὴλ ὑπάρχει, ὅτοι ὐκ ἂν κατέφυγον ἐπὶ τὴν μαυλικὴν τέχνην, τὴν ὑπὸ Θεῦ ἀποδεδοκιμασμένην, εἰμὴ ἐπίσευον, ὅτι πνεύματα κατώτερα μὲν τῦ ὑπερτάτυ ὄντος, ἀνώτερα δὲ τῦ ἀνθρώπυ ἠδύναντο διδάξαι αὐτὺς τῦ ποθυμένυ τὴν γνῶσιν. Ταῦτα δὲ λέγων, ὁ νοῶ, ὅτι τῇ δυνάμει τῆς ἀνακλήσεως Ἰῆς μάγυ φανεὶς ὁ Σαμυὴλ, ἀνήγγειλε τῷ Σαὺλ τὸ πεπρωμένον αὐτῷ. διότι τῦτο γέγονε Θεῦ ἀποφάσει, θελήσαντος, ἵνα ὁ Προφήτης, ὅτινος τοσάκις τὰς υθεσίας ὁ Σαὺλ κατεφρόνησεν, τὴν ἰδίαν καταςροφὴν αὐτῷ ἀναγγείλῃ.

2. „Ὁ ἄπις ζητεῖ, διατί ὁ Σαὺλ συνεκρότησε πόλεμον;

Διότι ὐκ ἔτι ἠδύνατο φυγεῖν αὐτόν. ἀκύσας τὴν φοβερὰν ἀπόφασιν, περιεπάτησεν ὅλην τὴν νύκτα, ἵνα τὸ ςρατόπεδον αὐτῦ καταλάβῃ. ὅπερ τῇ ἐφεξῆς ἡμέρᾳ λίαν πρωῒ ἐπολιορκήθη.

3. Τύτῳ τῷ ζητήματι προσίθησιν ὁ αὐτὸς τόδε· „Ἡ σκιὰ τῦ „Σαμυὴλ ἦλθεν ἀπὸ τῦ ᾅδυ ἐνδεδυμένη τὴν διπλοΐδα. ἀλλ' ἔχυσιν ἀράγε ἐν τῷ ᾅδῃ διπλοΐδας;

Ὁ Σαμουὴλ ἐνεφανίσθη διὰ τῆς αἰσθητῆς σχήματος, ἐφ' ᾧ ὁ Σαοὺλ ἔβλεπεν αὐτὸν ἐπὶ τῆς γῆς, ἵνα παραχρῆμα αὐτὸν γνωρίσῃ.

4. „Ὁ Σαμουὴλ, ὁ αὐτὸς λαλεῖ, λέγει πρὸς τὸν Σαοὺλ· Λύρι„ον ἔσῃ μετ' ἐμοῦ. Σωθήσεῃ ἢν ἄρα ὁ Σαοὺλ, ἢ κολασθήσεῃ); ὁ Σα„μουὴλ ἐςὶν ἐν τῷ ᾅδῃ, ἀλλ' ἐνδεχομένως οὐκ ἐν τῷ ᾅδῃ τῶν κατα„κρων, ἀλλ' ἐν τῷ ᾅδῃ τῶν ἐκλεκτῶν.

Ἀπωλεῖ τὸν καιρὸν ὁ πρὸς τὰς τοιαύτας ἀδολεσχίας ἀποκρινόμενος. ἡ μὲν λέξις, ᾅδης, ἡ τρὶς ὑπὸ τοῦ ἀδολέσχου τούτου ἐπαναλαμβανομένη, ὑδόλως κεῖται ἐν τῷ κεφαλαίῳ τῷ τὴν ἱςορίαν ταύτην περιέχοντι· τὰ δὲ τοῦ Σαμουὴλ ῥήματα, Λύριον ἔσῃ μεθ' ἐμοῦ (163) σημαίνουσιν, αὔριον ἔσῃ ὥσπερ κἀγὼ ἐν τῷ τῶν ἐθνεώτων ἀριθμῷ.

5. Πέρας τίθησιν ὁ ἄπις τῇ περὶ τῆς ὑποθέσεως ταύτης ῥαψῳδίᾳ αὐτοῦ, „λέγων· Ὁ Σαμουὴλ ἦν ἑκατὸν περίπου ἐτῶν, ὅτε τὸν „Ἀγὰγ ἀπέκτεινε τὸν τοῦ Ἀμαλὴκ Βασιλέα.

Τὰ τοῦ Σαμουὴλ ἔτη οὐκ ἦσαν πλείονα τῶν πέντε πρὸς τοῖς ἑβδομήκοντα. ὅτε ἐγεννήθη ἐπὶ τῆς ἀρχιερατείας τοῦ Ἠλὶ, τῆς παραταθείσης ἔτη τεσσαράκοντα. ὡσαύτως τεσσαράκοντα ἔτη συγκροτεῖ ὁ τῆς δικαιοκρισίας αὐτοῦ ἐξουσίας χρόνος σὺν τῷ τῆς Βασιλείας τοῦ Σαοὺλ. ἐτελεύτησε δὲ δύο μὲν ἔτη πρὸ τοῦ τέλους τῆς Βασιλείας τοῦ Σαοὺλ, ὀλίγα δέ τινα πρὸ τῶν Ἀμαληκιτῶν ἀφανισμοῦ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐν ᾧ ἡ ἀπάντησις τῶν ἐγκάσεων τῶν κατὰ τὸ δευτέρου βιβλίου τῶν Βασιλειῶν.

ΑΡΘΡΟΝ Α'.

Περὶ τῆς τοῦ Ἀμαληκίτου διηγήσεως, καὶ τῆς ποινῆς τῶν φονευσάντων τὸν Ἰεβοσθέ.

1. Ἡ πρώτη τοῦ κριτικοῦ ἔγκασις κατὰ τὸ δευτέρου τῶν Βασιλειῶν βιβλίου θεμελιοῦται ἐπὶ τῆς διηγήσεως τοῦ θανάτου τοῦ Σαοὺλ, τῆς ἀ- 2. Βασ. 1. 10.
ναγγελθείσης τῷ Δαβὶδ ὑπὸ τοῦ Ἀμαληκίτου, διαφερούσης δὲ κατά τινας περισάσεις τῆς τοῦ συγγραφέως τοῦ πρώτου τῶν Βασιλειῶν βι- 1. Βασ. 31.
βλίου.

„Ποῖον, ἐρωτᾷ αὐτὸς, τούτων τῶν δύο ἀναγνωσμάτων δεκ„τότερον;

Τὸ

Τὸ τῆ ἱερῆ συγγραφέως χωρὶς πάσης ἀντιλογίας προτιμότερόν ἐςι ἤπερ τὸ τῆ νέᾳ Ἀμαληκίτᾳ, ὅςις ζητῶν τιμηθῆναι ὑπὸ τῆ Δαβὶδ, μετέτρεψέ τινας περιςάσεις.

„Ὁ συγγραφεὺς, προσίθησιν ὁ αὐτὸς, τῆ δευτέρᾳ βιβλίᾳ τῶν 2. Βασ. 1. 18
„Βασιλειῶν πρόλημα τὸ δεύτερον ἀνάγνωσμα, προτείνων τὸ τῆ Εὐθῆς „βιβλίον.

Λὐτὸς μνημονεύει τῆ βιβλίᾳ τότε ὐχ ἵνα ἐπικυρώσῃ τὴν τῆ Ἀμαληκίτᾳ δήγησιν, ἀλλ' ἵνα ἀναφέρῃ τὸ ὑπὸ τῆ Δαβὶδ τότε συντεθὲν θρηνητικὸν ἆσμα.

2. „Ὧδε πρῶτον, λέγει ὁ αὐτὸς, πάντα φέρον] κατὰ τὴν „κοινὴν τῶν πραγμάτων φοράν. ὁ δὲ Θεὸς ὐδὲ μεσολαβεῖ, ὐδὲ διδ„ὺνει τὰ τῆς διοικήσεως.

Τῦτο ὐκ ἔςι παράδοξον. διότι ςήσας ὁ Θεὸς τὴν βασιλικὴν ἐξῦσίαν ἐπίτινα πατριὰν, ὐ μεσολαβεῖ, εἰμὴ πρὸς διατήρησιν αὐτῆς. ἐκ τότε μετὰ ταῦτα ὁρῶμεν θαύμαζα εἰς ὑπεράσπησιν τῆ Δαβὶδ, Ϛ τῆ Σολομῶντ☉, ἢ τῶν διαδόχων αὐτῶν.

3. Σκέπτε] μετὰ ταῦτα ὁ αὐτὸς τὸ πῶς μετῆλθον ὁ Δαβὶδ τὸς τῆ Ἰεβοσθὲ φονεῖς. „Τῦτό ἐςι, λέγει ὅτ☉ ὁ φιλάνθρωπ☉ φιλόσο„φ☉, πολιτικήτις ἐξαίρετ☉, τῇ Καίσαρ☉ παραβλητέα, τῆ ἀ„ποκτείναντ☉ τὸς τὸν Πομπήϊον φονεύσαντας.

Τιμᾷ ἐνταῦθα τὸν Βασιλέα τῶν Ἰδαίων, παραβάλλων αὐτὸν τῷ Καίσαρι. ἔςιν ὅμως μεταξὺ τότων μικρά τις διαφορά. διότι ὁ μὲν Καῖσαρ ἐξαίσιον συνεκρότησε πόλεμον κατά τε τῆ Πομπήϊ ἢ τῆς Ἀριςοκρατίας, ἵνα τὴν ἐξῦσίαν ἁρπάσῃ· ὁ δὲ Δαβὶδ φεύγων ἐξ ἐρήμε εἰς ἔρημον τὴν τῆ Σαὰλ μάχαιραν, ὐδέποτε τὴν ἰδίαν κατ' αὐτῆ ἐγύμνωσε. μετὰ δὲ τὸν τότε θάνατον ἐπραγματεύθη τὸν ὑὸν αὐτῆ, Ϛ τὸς ὀπαδὸς αὐτῆ, τὸς ἀγωνιζομένος καταςῆσαι αὐτὸν Βασιλέα.

4. Τῇ πολιτικῇ αὐτῆ παρατηρήσει προσίθησιν ὁ πολὺς ὅτ☉ ἰσοεισγράφ☉ ταύτην τὴν ἐμβριθῆ ἀπόφανσιν· „Ἐν τοῖς χρόνοις, ἐν „οἷς ὁ Δαβὶδ ὑπέταξε τὴν Ἱερυσαλὴμ, ἤρξατο ἡ ἀληθὴς κατάςασις „τῆ Ἰδαϊκῆ λαῆ, ὅσις ἕως τότε ὐδὲν ἕτερον ἦν, εἰμὴ πληθὺς περι„πλανωμένη, προαπορριζομένη τὰ πρὸς τὸ ζῆν ἐξ ἁρπαγῆς, τρέχυσα „ἐξ ὄρυς εἰς ὄρ☉, Ϛ ἐκ ασηλαίᾳ εἰς ασήλαιον, μὴ δυνηθεῖσα δὲ ὑπο„τάξαι ὐδὲ κἂν ἕνα μόνον τόπον ἀξιόλογον, Ϛ τὴν θέσιν ἰχυρόν.

Ἐπὶ ζημίᾳ τὸ βιβλίον τῆ Ἰησῆ τῆ Ναυὴ, τὸ τῶν Κριτῶν, Ϛ τὸ πρῶτον τῶν Βασιλειῶν ἀποδεικνύσι ψευδὲς ἀπ' ἀρχῆς ἄχρι τέλυς τῦτο τὸ ὡραῖον εὕρημα, προτείνοντα πρὸ τῶν ὀφθαλμῶν ἡμῶν Ἰησῆς 12. καὶ 13. Κριτ. 2. 6.

λύω

δύω μιλλιόνια Ἰουδαίων καθεζώτων ἐν τῇ γῇ τῆς ἐπαγγελίας ἔτι τριακόσια καὶ ἐπέκεινα, πρὶν ἢ τὸν Δαβὶδ ὑποτάξαι τὴν τῆς Σιὼν ἀκρόπολιν. τὸ πρῶτον τῶν Βασιλειῶν βιβλίον ἐμφαίνει τὸ τῶν Φυλισταίων ὑπόσημα ἐξωκισθὲν ἐκ τῆς Γαβαὰ, κἂν πολλῷ τῷ χρόνῳ τὸς Ἰσραηλίτας κατεδυνάσευσε, μόνην δὲ τὴν πόλιν Ἰαβεὶς περιέχουσαν ἄμετρον πληθὺν Ἀμμωνιτῶν, τὸς δὲ Ἰσραηλίτας κοινὰς συνελεύσεις συγκροίτοντας ἐν Γαλγάλοις, καὶ ἐν Σηλὼ, καὶ ἐν Ἀρμαθαὶμ. ὅτοι δὲ οἱ τόποι ἦσαν πάντως ἀξιόλογοι, ἢ τὴν θέσιν ἰσχυροί. διότι ὁ ἐκεῖ συνερχόμενος λαὸς εὕρισκε μὲν τὰ πρὸς τὴν χρείαν, ἐποίει δὲ ἀσφαλῶς τὰς ἀποφάσεις, κἂν ὁ ἐχθρὸς αὐτῶν καθωπλισμένος ἦν.

1. Βασ. 13. 3. 4.

1. Βασ. 11.

1. Βασ. 10. 8. 11. 14.

1. Βασ. 1. 3. 1. Βασ. 7. 17. 8. 4.

5. Ὁ αὐτὸς φοβούμενος μήτι ἀναλάβωμεν μεγάλην τινὰ ὑπόληψιν περὶ τῦ Δαβὶδ ἢ τῶν Ἰουδαίων, τῶν ὑποταξάντων τόπον τινὰ ἐπίσημον, προσίθησι τάδε. „Βλέπομεν, ὅτι ὁ Δαβὶδ ἐλεπὶς ἦν πάν„των τῶν ἀναγκαίων πρὸς οἰκοδομὴν οἴκων, πόλεα βασιλεύσῃ πρεπόν„των. διότι ὁ τῆς Τύρυ Βασιλεὺς Χειρὰμ ἀπέστειλεν αὐτῷ ξύλα, ἢ τέκτονας, ἢ οἰκοδόμυς. ἀκαταύητον δὲ ἡμῖν τὸ πῶς ὁ Δαβὶδ, ἠδύνατο ἀποτίσαι τῷ Χειρὰμ τὸ τύτων τίμημα.

1. Βασ. 5. 11.

Ἄφες αὐτὸν ἐν τῇ περιπλοκῇ αὐτῦ, τῇ περὶ τῆς μεταξὺ τῦ Δαβὶδ ἢ τῦ Χειρὰμ ἐμπορίας, σημείωσον δὲ μόνον, ὅτι ὁ Χειρὰμ ὁ πρὸς οἰκοδομὴν οἴκων, ὁδὲ ὀχυρωμάτων τῆς Ἱερυσαλὴμ ἀπέστειλε τῷ Δαβὶδ τὰς κέρδυς, ἢ τὺς ἐργάτας, ἀλλὰ πρὸς μόνην τὴ παλατίυ αὐτῦ κατασκευήν. ἡμεῖς μὲν λαμβάνομεν ἐκ τῶν βορείων τόπων μέρος τῶν πρὸς οἰκοδομὴν ἁρμοδίων ξύλων, ὁ δὲ Λιβίσιος ὁ ΙΔ'. μετεκόμισεν ἀπὸ τῆς Ἰταλίας μάρμαρα, ἢ ἀρχιτέκτονας, ἢ γλύπτας πρὸς οἰκοδομὴν τῦ Λίβυς, ἢ τῶν Ἰδιλιέρων. (164) ἀλλὰ συμπεραίνεται ἄραγε ἐκ τύτυ ἀναγκαίως, ὅτι ἡ Γαλλία ἕως τότε ἐλεπὶς ἦν πάντων;

Ἀλλ' ἰδὺ καιτις ἀκολασία σκανδαλίζουσα τὸν φιλόσοφον. Ἰδὼν, „λέγει ὅτος, ὁ Δαβὶδ ἑαυτὸν κύριον τῦ ἐν Ἱερυσαλὴμ φρυρίυ, ἢ Γῆς „πεντεκαίδεκα, ἢ εἴκοσι λέγας ἐκτεταμένης, ἤρξατο κατὰ μίμησιν τῶν „μεγάλων τῆς ἀνατολῆς Βασιλέων συλλέγειν ἢ ἄλλας παλλακίδας.

Ἀλλὰ διατὶ κατὰ τὴν ἑαυτῦ ἀρέσκειαν περιορίζει τοιυτοτρόπως τὴν τῦ Δαβὶδ ἐπικράτειαν; ὁ Βασιλεὺς ὅτος ἐβασίλευεν ἐν Χεβρὼν, ἥτις τότε ἀπεῖχεν ἀπὸ τῦ μεσημβρινῦ μέρυς τῆς Ἱερυσαλὴμ λέγας ἑπτά· ἀπὸ δὲ τῦ βορείυ μέρυς τῆς Ἱερυσαλὴμ ἄχρι τῶν ἄκρων τῆς Γαλαὰδ, ὅπυ ἔκειτο ἡ Ἰαβεὶς, εἰσὶ λέγαι τεσσαράκονθα ἢ ἐπέκεινα. ἡ Βασιλεία ὖν τῦ Δαβὶδ ἐπεκτείνετο ἀπὸ μεσημβρίας εἰς βορρᾶν τὸ λάχιστον λέγας πεντήκοντα, ὅτε κύριος γενόμενος τῆς Ἱερυσαλὴμ, ἢ

ἑνώ-

ἐνώσας πάντα τὸν Ἰσραὴλ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, ἐπολλαπλασίασε τὸν ἀριθμὸν τῶν ἑαυτοῦ γυναικῶν. ἡ δὲ πολυγαμία τότε οὐκ ἦν ἀπηγορευμένη τοῖς Ἑβραίοις.

Ἄ Ρ Θ Ρ Ο Ν Β'.

Περὶ τῆς μετακομιδῆς τῆς Κιβωτοῦ, καὶ τῆς ποινῆς τοῦ Ὀζά.

1. „Κἂν ἡ Κιβωτὸς, ὁ αὐτὸς, λαλεῖ, θεῖόν τι ἦν, ἐχωρεῖτο ὅμως „ἐν μικρῷ τόπῳ. διότι μία μόνη ἅμαξα περιεῖχεν αὐτὴν, ἥτις ἐξ ἀ„νάγκης ἦν λίαν στενὴ, ὡς διερχομένη διὰ τῶν στενωπῶν, τῶν μεταξὺ „τοῦ ὄρους Γαβαὰ, καὶ τοῦ ὄρους τῆς Ἱερουσαλήμ.

Βαβαὶ τῆς τοπογραφικῆς ἀκριβείας. ταῦτα ἀκούοντες, οὐ δυνάμεθα ἄρά γε εἰπεῖν, ὅτι οὗτος ἐμέτρησε τοὺς τόπους ἐκείνους, ἵνα ἐν καιρῷ ἀνάγκης διέλθῃ αὐτοὺς διὰ ταχυδρόμου ἁμάξης;

2. „Οὐδόλως κατανοοῦμεν, προσίθησι, πῶς οἱ ἱερεῖς οὐκ ἠκολούθουν τῇ Κιβωτῷ.

Ἠκολούθουν αὐτῇ οὐ μόνον οἱ ἱερεῖς, ἀλλὰ καὶ τριάκοντα χιλιάδες λαοῦ. 1. Παραλ. 15. 11, 24, 28.

3. „Οὐδὲ κατανοοῦμεν, πῶς οὐκ ἐφρόντισαν περὶ τῆς ἀσφαλείας „τῆς Κιβωτοῦ, ὅπως ἂν μὴ πέσῃ.

Ἡ Κιβωτὸς οὐκ ἔπεσεν. 2. Βασ. 6. 6.

4. „Ἧττον ἔτι κατανοοῦμεν τὸ, διατὶ ἡ ὀργὴ τοῦ Θεοῦ ἐξήφθη „κατὰ τοῦ πρωτοτόκου υἱοῦ, τοῦ τοσοῦτον καιρὸν φυλάξαντος ἐν τῇ κα„λύβῃ αὐτοῦ τὴν Κιβωτόν. 2. Βασ. 6. 3. 7.

Διότι ἐξ αὐθαδείας παρέβη τὸν νόμον, τὸν ἐν τῷ προλαβόντι κεφαλαίῳ παρ' ἡμῶν ἐκτεθέντα. Ἀριθ. 4, 5. 15, 20.

5. „Ἡ κιβωτὸς ἐτέθη ἐν τῇ καλύβῃ λαϊκοῦ τινὸς, Ἀβδεδὸμ „καλουμένου, ἴσως δὲ ὁ λαϊκὸς οὗτος ἦν καὶ Φυλιστιαῖος... Τοῦτο ἐμφαί„νει, ὅτι ὁ Ἰουδαϊκὸς λαὸς οὐκ εἶχε τότε οὐδὲ κἂν μίαν οἰκίαν ἱκανὴν „πρὸς κατάθεσιν τοῦ τῆς αὐτῶν λατρείας ἀντικειμένου. Ἰησοῦς. 3. 4.

Ἀκούσαντες αὐτὸν εἰπόντα, ὅτι ὁ ἀνακαινισθεὶς ὑπὸ τοῦ Ζοροβάβελ ναὸς οὐδὲν ἕτερον ἦν, εἰ μὴ καλύβη, ὡς συγκείμενος ἐκ τριῶν ὀροφῶν λιθίνων, μιᾶς δὲ ξυλίνης, οὐδόλως νῦν θαυμάζομεν ἀκούοντες αὐτὸν καλοῦντα τὸν τοῦ Ἀμιναδὰβ, καὶ Ἀβδεδὸμ οἶκον, καλύβην. ἠγνόει δὲ αὐτὸς οὐ μόνον τὸν οἶκον τοῦ Ἀβδεδὸμ, ἀλλὰ καὶ τὴν τούτου πατριάν. διότι οὗτος οὐδὲ λαϊκὸς ἦν, οὐδὲ Φυλιστιαῖος, ἀλλὰ Λευίτης, ἐκ τῆς Λευϊτικῆς πόλεως Γεθερεμμὼν καταγόμενος, τῆς πέραν τοῦ Ἰορδάνου κειμένης. διὰ τοῦτο δὲ ἐν τῷ δευτέρῳ των Βασιλειῶν βιβλίῳ 1. Παραλ. 15. 18. 24. Ἰησοῦς 21. 24.

προ-

προσηγορεύθη Γεθθαῖος. Ἰδὲ ἔν τι ἠδύνατο μαθεῖν ὁ κριτικὸς ἐκ τῆ
2. Βασ. 6. 10. πτωχῆ Καλμέτυ.

ΑΡΘΡΟΝ Γ'.

Περὶ τῶν πολέμων τῦ Δαβὶδ κατὰ τῶν Φυλισταίων, ᾗ Μωαβιτῶν, ᾗ Σύρων· ᾗ περὶ τῦ ἐὰν αἱ κατὰ τῶν Μωαβιτῶν αὐςηρότητες ἔχωσιν ὁμοιότητα τῷ τῦ Βυσίρεως μύθῳ.

1. „Λίαν θαυμαςὸν, λέγει ὁ αὐτὸς, τὸ, ὅτι ὁ Δαβὶδ ᾗ μετὰ τὸ „κτήσασθαι τὴν Ἱερυσαλὴμ ὑποτελὴς ἦν τοῖς Φυλισταίοις.

Πρέπον ἦν αὐτῷ εἰδέναι, ὅτι ὐδὲν κοινὸν μεταξὺ τῶν Ἰεβυσαίων, τῶν ὑπὸ τῦ Δαβὶδ ἐξωθέντων ἐκ τῦ ἐν τῇ Σιὼν φρυρίῳ, ᾗ τῶν Φυλισταίων. ἡ δὲ ἀπορία αὐτῦ ἐπ' ὐδενὶ ἑτέρῳ σηείζει, εἰ μὴ ἐπὶ τῇ μεταφράσει τῆς λέξεως μετεγαμμαχ, ἣν ἡ Βυλγάτα μετήνεγκεν εἰς τὸ, χαλινὸν δασμῦ. ἀλλὰ τὸ αμμαχ ὐ σημαίνει δασμόν. ἐὰν δὲ τὸ μετεγαμμαχ μὴ ᾖ ὄνομα κύριον, ἄρισα μεταφέρει εἰς τὸ, φραγμὸς, ὅριον (165) ὥσπερ μετέφρασαν αὐτὸ οἱ Ἑβδομήκοντα. κεῖται δὲ ἐν τοῖς Παραλειπομένοις ῥῆσις ταύτη παράλληλος. „Καὶ ἔλα-
1. Παραλ. 18. 1. „βε Δαβὶδ τὴν Γὲθ, ᾗ τὰς κώμας αὐτῆς ἐκ χειρὸς ἀλλοφύλων. ἦν δὲ ἡ Γὲθ ἐν τοῖς τῶν Φυλισταίων ὁρίοις. διὸ ὁ Δαβὶδ λαβὼν αὐτὴν, τὸν φραγμὸν αὐτῶν ἀφεῖλε.

2. Ἰδὲ ᾗ ἕτερον τῦ ἀπίςυ σφάλμα. „Ὁ τρόπος, φησὶ, δι' ὃ „ὁ Δαβὶδ μετῆλθε τὺς Μωαβίτας ὁμοίως ἐςὶ τῷ περὶ τὸν Βύσιριν „μύθῳ, ὃς μετρῶν τὺς ὑπ' αὐτῦ αἰχμαλωτιζομένυς τῷ τῆς κλίνης „αὐτῦ μήκει, τὰ μὲν μέλη τὰ ὑπερέχοντα αὐτὸ ἔτεμε, τὰ δὲ ἐλλεί-„ποντα διὰ σρέβλης ἐξέτανεν.

Οὗτος ὁ νομιζόμενος τῆς Αἰγύπτυ τύραννος ὐδὲν ἕτερον ἦν, εἰ μὴ τὸ τῦ Ὀσίρεως μνῆμα. τῦτο δὲ ὐκ ἔςι τὸ περὶ ὃ ὁ λόγος. Ποία δὲ ὁμοιότης μεταξὺ τῶν σρεβλωτικῶν χοινίων, ᾗ τῶν ὁριςθέντων
2. Βασ. 8. 2. χοινίων εἰς τὸ σημαίνειν τὸν διαχωρισμόν; ὁ Δαβὶδ μετῆλθε τὰ χοινία, ἵνα διαχωρίσῃ ἐκ τῶν νικηθέντων, ᾗ εἰς θάνατον ὑπ' αὐτῦ καταδικασθέντων ὃς αὐτὸς ὥρισε διασωθῆναι εἰς τὸ καλλιεργεῖν τὸν τόπον, ᾗ δασμοφορεῖν. ᾗ ὁ μὲν Δαβὶδ ὐκ ἐφάνη τοσῦτον αὐςηρὸς, εἰ μὴ κατὰ τῶν ἐχθρῶν, τῶν διὰ τῶν ὅπλων αὐτῦ ἁλωθέντων. ὁ δὲ Βύσιρις, φησὶν ὁ μῦθος, ἐνήργει τὴν ὠμότητα αὐτῦ κατά τε τῶν ἀθώων ξένων, ᾗ κατὰ τῶν δυσυχῶν τῶν ναυαγίῳ, ᾗ ἄλλῳ τινὶ συμβάντι ἐν ταῖς τῆς Αἰγύπτυ ἀκταῖς ἐκριφέντων.

3. „Πολλοὶ ἄνδρες σοφοὶ, λέγει ὁ αὐτὸς, ἀρνῆνται τὰς ἐν τῇ „Συρίᾳ, ἢ τὰς ἄχρι τῶν ὀρίων τῦ Εὐφράτυ νίκας τῦ Δαβίδ. ὐδε„μία δὲ μνήμη τύτων ἐν ταῖς ἱσορίαις.

Ἀνωτέρω, διαλαμβάνων περὶ τῆς τῦ Σολομῶντος Βασιλείας, ἀ- Ἐν β. 3. κ. 8. πέδειξα τὸ ἐναντίον, ὅπερ ὐδεὶς τῶν σοφῶν ἀρνεῖται· ὁ δὲ κριτικὸς, Ἀρθρ. 5. ἢ οἱ τῦτω ὅμοιοι κατ' ὐδὲν ἕτερον τοσῦτον ἐλλειπεῖς εἰσιν, ὅσον τῷ τῆς σοφίας λόγῳ.

4. „Εἴπερ ὁ Δαβὶδ, προσίθησιν ὁ αὐτὸς, ἐξέτεινε τὸ κράτος „αὐτῦ ἕως τῦ Εὐφράτυ, ὑπῆρχεν ἂν εἷς τῶν μεγίσων Βασιλέων „τῆς γῆς.

Τῆς Συρίας, τῆς ἀπὸ τῦ Εὐφράτυ ἄχρι τῶν ὀρίων τῆς Αἰγύπτυ ἐπεκτεινομένης τὸ μὲν μῆκός ἐσιν ἴσον λέγαις ἑκατὸν ἑξήκοντα, τὸ δὲ πλάτος τεσσαράκοντα, ἢ πεντήκοντα. τῦτο δὲ τὸ μέγεθος μόλις ἴσόν ἐσι τετάρτημορίῳ τῆς Γαλλίας, ὁ Δαβὶδ ἄρα ἠδύνατο δεσπόζειν ἐπὶ ταύτης τῆς ἐκτάσεως, κἂν μὴ ἦν εἷς τῶν μεγίσων Βασιλέων τῆς γῆς.

ΆΡΘΡΟΝ Δ'.

Περὶ τῆς νομιζομένης ἀκυρώσεως τῦ γάμυ τῦ Δαβὶδ μετὰ τῆς Βηρσαβεέ.

1. Ἀκύσωμεν νῦν τὸν αὐτὸν προσδιαλεγόμενον ὡς κανονικὸν περὶ τῶν κωλυόντων τὸν γάμον, τὸν ἐκ μοιχείας ὁμῦ τε ἢ φόνυ ἑπόμενον. „Ὁ γάμος, λέγει, τῆς Βηρσαβεὲ, τῆς ἐκ τῦ σπέρματος τῦ Δαβὶδ „ἐγκυμονήσης, ὑπὸ πολλῶν Ῥαβίνων τε ἢ ὑπομνηματιςῶν ἀνεκηρύ„χθη ἄκυρος.

Ὑπὸ πολλῶν φησὶν, ὐδένα ὅμως ὀνομασὶ προτείνει. προσίθησι δὲ τάδε· „παρ' ἡμῖν ἡ μοιχευθεῖσα γυνὴ ὐ δύναται συζευχθῆναι με„τὰ τῦ ἐραςῦ αὐτῆς, τῦ τὸν ἄνδρα αὐτῆς φονεύσαντος, ἄνευ τῆς τῦ „Πάππα ἀδείας, κατὰ τὸ ὁριθὲν ὑπὸ τῦ Πάπα Κελεσίνυ τῦ Γ'.

Τὰ ἐκτεθέντα ὐκ ἔχει τὸ ἀκριβές. διότι ἐν τῷ θεσίσματι τοῦ Κελεσίνυ τῦ Γ'. ὁ λόγος ὐκ ἔσι περὶ μοιχευθεισῶν γυναικῶν, „ἀλ„λὰ περὶ γυναικῶν χρισιανῶν, αἵτινες ὐκ ἐμοιχεύθησαν, ἀλλὰ συ„νεφώνησαν μετὰ τῶν Σαρακηνῶν ὑπὲρ τῦ θανάτυ τῶν ἀνδρῶν αὐ„τῶν, ὅπερ δὴ ἢ τετέλεσαι. Ἐπειδὴ δὲ ἡ Βηρσαβεὲ ὐ συνεφώνησε τῷ Δαβὶδ ὑπὲρ τῦ Φόνυ τῦ Οὐρίυ, ἡ ἀπόφασις τῦ Κελεσίνυ τῦ Γ'. τῷ γάμῳ αὐτῆς ὐχ ἁρμάζει. ἀληθὲς δέ ἐσιν τὸ, ὅτι παρ' ἡμῖν ἡ μοιχευθεῖσα γυνὴ ὐ δύναται ἐλθεῖν εἰς γάμυ κοινωνίαν μετὰ τῦ ἐραςῦ

αὐτῆς, ἢ φονέως τῦ ἀνδρὸς αὐτῆς, κἂν ἡδεμίαν μετοχὴν εἶχε τῦ φόνυ. ἀλλ' ὁ νόμ@, ὁ τὸ τοιῦτον συνοικέσιον ἀκύρων, ὅτε ἄνδ' ἀδείας γίνε), ἐπὶ μόνον τὸ κανονικὸν δικαίωμ τεθεμελείω). τῦτο δὲ, ἠδὲ παρὰ τοῖς Ἰυδαϊκοῖς κεῖ@ι νόμοις, ἠδὲ παρὰ τῷ ῥωμαϊκῷ δικαιώματι. ἐπικυρωμεν δὲ ἡμεῖς τὸ συνοικέσιον δύω ἀπίςων, τῶν μετὰ τὴν ἐκτέλεσιν τῆς τοιαύτης ἀνοσιυργίας εἰς γάμυ κοινωνίαν συνελθόντων, ἃ ὁ χωρίζομεν αὐτὸς, ἐὰν μετὰ ταῦ@α ἑκάτερ@ αὐτῶν δεχθῇ τὴν χριςιανικὴν πίςιν.

2. „Βέβαιόν ἐςι προσίθησιν ὁ αὐτὸς, ὅτι ἠδὲν πεπολιτθμένον „ἔθν@ συγχωρεῖ τῷ φονοκτόνῳ συζθχθῆναι τῇ χηρθσάσῃ ἀπὸ τῦ „ἀνδρὸς, ὃν αὐτὸς ἀπέκτανεν.

Ὁ περὶ τύτυ λόγ@ ἁπλῶς ἐςί. διότι ὅταν τὸ ἁμάρτημα φανερωθῇ, τότε ὁ φονεὺς διώκε), ἢ θανάτῳ καταδικάζε)· ἡ δὲ τῦ Δαβὶδ περίςασις ὐκ ἦν τοιαύτη. ὅτε γὰρ συνεζεύχθη τῇ Βηρσαβεὲ, τὸ ἁμάρτημα αὐτῦ ἦν μυςικόν· πρὸς τύτοις ἡ βασιλικὴ ἀξία διεφυλάττον αὐτὸν ἀπὸ πάσης καταδρομῆς.

3. Ἐὰν δὲ ἐπιθυμῇς μαθεῖν, πῦ βύλε) καταντῆσαι ὅτ@ ὁ ὀζύνυς κανονικὸς, ἰδὺ τὸ πῦ, „Ἐὰν, λέγα, ὁ γάμ@ τῦ Δαβὶδ ἢ „τῆς Βηρσαβεὲ ἦν ἄκυρ@, ὐκέτι εἰπεῖν ἔξεσιν, ὅτι ὁ Ἰησῦς Χριςὸς „κατήγετο νομίμως ἐκ τῦ Δαβίδ.

Κἂν ἐν ἀκμεῖ παραβλέψωμεν τὴν τύτυ ψθδαρχὴν ὐδ' ὕτω τὸ ἐξ αὐτῆς ἐπόμενον βέβαιόν ἐςι· διότι ἀλλοθίπυ ἀπέδειξα, ὅτι ὁ Ἰησῦς Χριςὸς κατάγε) ἐκ τῦ Δαβὶδ, ὐ διὰ τῦ Σολομῶντ@, τῦ ἡῦ τῆς Βηρσαβεὲ, ἀλλὰ διὰ τῦ Ναθὰν, (166) τῦ ἐξ ἄλλης γενηθέντ@ γυναικός, ἔςιν ὅμως πάντη ψθδὲς τὸ τὸν γάμον τῦ Δαβὶδ ἢ τῆς Βηρσαβεὲ εἶναι ἄκυρον. διότι τὸ μὲν Ἰυδαϊκὸν γέν@, τὸ πολλῷ μᾶλλον ὑπερ ὁ κρτικὸς ἐπισάμενον τὺς νόμυς δι' ὧν διοικεῖτο, ὐδεμίαν προέτεινε δυσκολίαν εἰς τὸ ἀναγνωρίσαι τὸν Σολομῶν@ νόμιμον ὑὸν τῦ Δαβίδ. ὁ δὲ Ἀδωνίας πρωτότοκ@ ὤν, ἃ ὑπὲρ τῆς προτιμήτεως διϊχυριζόμεν@, ἠδέποτε διεδικάθη μετὰ τῦ ἀδελφῦ αὐτῦ περὶ τῆς νομίμυ αὐτῦ ἡότητ@. ἀλλ' ἐζημιώθη λίαν, μὴ χὼν σύμβυλον νομικόντινα τοιῦτον, οἷός ἐςιν ὁ ἡμέτερ@ φιλόσοφ@.

A P-

ΑΡΘΡΟΝ Ε'.

Περὶ τῆς πορθήσεως τῆς Ῥαββὰθ καὶ τῆς κατὰ τῶν Ἀμμωνιτῶν αὐσηρότητος.

1. „Διϊσχυρίζονταί τινες, φησὶν ὁ αὐτὸς, ὅτι τὸ τοῦ ταλάντου βά„ρος ἰσόν ἐστιν ἐννενήκοντα τῶν ἡμετέρων λιτρῶν, τῶν ἐκ δεκαεξαγ„γιῶν συγκειμένων. τοιοῦτον δὲ διάδημα οὐδεὶς εὔναιο φέρειν.... ἀλ„λως τε τὸ διάδημα οὐδὲν ἕτερον ἦν, εἰμὴ μικράτις ταινία.

Τοιαύτη δυσκολία προκύπτει ἐκ τῶν ἀναγινωσκομένων ἐν τῷ δευτέρῳ τῶν Βασιλειῶν βιβλίῳ περὶ τοῦ διαδήματος τοῦ Βασιλέως τῶν Ἀμμωνιτῶν, ὅπερ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν ὁ Δαβίδ. αὕτη δὲ ἡ δυσκολία ἀληθὴς ἐστι, μάλιστα ἐὰν τῆς Βουλγάτης ἀντεχώμεθα. ὁ Βοχάρτος ὅμως, καὶ οἱ Ἄγγλοι οἱ τῆς καθολικῆς ἱστορίας συγγραφεῖς παρετήρησαν, ὅτι τὸ ἑβραϊκὸν ὑφ' οὗ τὸ βιβλίον τῶν Βασιλειῶν, 2.Βασ. 12.30. 1.Παρ.20.2.
ὅμοιον ὂν τῷ ἐν τοῖς Παραλειπομένοις, σημαίνει τὴν τιμὴν μᾶλλον ἢ τὸ βάρος τούτου τοῦ λίθου τιμίου κεκοσμημένου διαδήματος, ἐὰν δὲ μὴ δεχώμεθα τὴν ἑρμηνείαν ταύτην, ἀνάγκη ἐστὶν ὁμολογῆσαι, οὐχ ὅτι ὑπερβολή ἐστιν, ὡς ὁ ἡμέτερος φιλόσοφος βούλεται, ἀλλ' ἄγνοια τοῦ ἀληθοῦς βάρους τῆς ἑβραϊκῆς λέξεως, κικαρ, ἥτις ἐν ταῖς ἡμετέραις μεταφράσεσι μεθερμηνεύεται τάλαντον.

2. „Ἐπιθυμητὸν, φησὶ, τὸ ὑπερβολὴν λόγου εἶναι τὰς ἀκα„ταλήπτους βαρβαρότητας, τὰς κατὰ τῶν πολιτῶν τῆς Ῥαββὰθ ἐ„νεργηθείσας.

Ἀληθῶς ὁμοτάτη ἦν ἡ κατ' αὐτῶν τοῦ Δαβὶδ ἐκδίκησις. ἀλλὰ παρατηρῆσαι δεῖ τὰς ἀφορμὴν παραχούσας ἐπηρείας, εἶτα τὸν πρέσβεις, τὸν λίαν ἀτίμως καταισχυνθέντας ἐπὶ κακῶς τεθεμελιωμένῃ ὑποψίᾳ, τὴν κατὰ τοῦ Δαβὶδ συγκροτηθεῖσαν πάσης τῆς Συρίας συνωμοσίαν, καὶ ταῦτα πρὶν ἢ μηδὲν ἀνταπόδομα ἀποδοῦναι αὐτῷ ὑπὲρ τῆς κατ' αὐτοῦ χλιδασίας· τὸν μετὰ ἰσχυρογνωμίας πόλεμον, ὃν μετὰ ταῦτα ἀναλαβόντες, ἕως τέλους ἐπέμειναν· τὴν ἔφοδον, ἣν μετὰ τὴν ἐν τῇ μητροπόλει αὐτῶν παλυχρόνιον πολιορκίαν ὑπομείναντες, μηδένα λόγον περὶ τοῦ παραδοθῆναι προέτεινον. ταῦτα δὴ τὰ ἄδικα, καὶ ἀήθη, καὶ ὑπέρογκα τῶν Ἀμμωνιτῶν ἔργα ἱκανὰ ἦσαν ἐπισπάσαι ἐναντίον αὐτῶν τὰς κατ' ἐκείνους τοὺς καιροὺς συνήθεις αὐσηρότητας. Σημείωσαι δὲ, ὅτι κἂν ὁ συγγραφεὺς τῆς δευτέρας τῶν Βα- 2.Βασ. 12. 31.
σιλειῶν βίβλου γνησίως λαλῇ, ὅμως ἡ αὐσηρότης οὐκ ἀδιακρίτως κατὰ πάντων, ἀλλὰ μόνον κατὰ τῶν ἁμαρτησάντων Ἀμμωνιτῶν ἐνερ-

2. Βασ. 17. 27. γήθη. διότι βλέπομεν ἐν τῇ αὐτῇ βίβλῳ Ἀμμανίτην τινὰ, Οὐεσβὶ καλούμενον, υἱὸν Νάας ἐκ Ῥαββὰθ, τῷ Δαβὶδ κατὰ τοῦ Ἀβεσσαλὼμ βοηθοῦντα.

ΑΡΘΡΟΝ ϛ.

Περὶ τῆς φθορᾶς τῆς Θημὰρ, καὶ τῶν συνεπειῶν αὐτῆς.

2 Βασ. 13. 13. 1. „Ἡ μὲν Θημὰρ λέγει πρὸς τὸν ἀδελφὸν αὐτῆς, ζήτησόν με „πρὸς γάμου κοινωνίαν· τὸ δὲ Λευϊτικὸν ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφα„λαίῳ ἀπαγορεύει ῥητῶς τὸ ἀποκαλύπτειν τὴν αἰσχύνην τῆς ἰδίας ἀ„δελφῆς. τινὲς δὲ τῶν Ἰουδαίων διϊσχυρίζονται, ὅτι ἦν συγκεχωρημένον „λαβεῖν εἰς γυναῖκα τὴν ἐκ πατρὸς, οὐχὶ δὲ τὴν ἐκ μητρὸς ἀδελφήν. „.... Ἐπὶ πᾶσι δὲ τούτοις τὸ δέκατον ὄγδοον κεφάλαιον τοῦ Λευϊ„τικοῦ οὐκ ἀπαγορεύει εἰμὴ τὸ ἀποκαλύπτειν τὴν ἀσχημοσύνην τῆς ἰ„δίας ἀδελφῆς. ὁ δὲ γάμος ἀφαιρεῖ τὴν αἰσχύνην. Τοιαύτη ἐστὶν ἡ τοῦ σοφοῦ κριτικοῦ σκέψις.

Ἐκ τούτου δυνάμεθα ἀποδεῖξαι, ὅτι συγκεχωρημένον ἦν ἐλθεῖν εἰς γάμου κοινωνίαν μετὰ τῆς ἰδίας μητρός. διότι τὸ Λευϊτικὸν τῇ αὐ-
Λευϊ. τ. 18. 7. τῇ φράσει λαλεῖ καὶ περὶ τῆς συνουσίας τοῦ υἱοῦ μετὰ τῆς ἰδίας μητρός. „Οὐκ ἀποκαλύψεις, λέγει τὸ αὐτὸ κεφάλαιον τοῦ Λευϊτικοῦ, τὴν ἀσχημοσύνην τῆς μητρός σου. Διαλεκτικὲ δόλιε, πῶς ἐτόλμησας ἀνακαινίσαι ταύτην τὴν ἔνστασιν, μηδένα λόγον εἰπὼν κατὰ τῆς ἀποκρίσεως τοῦ εὐφυοῦς τε καὶ ἐπιτηδείου τῶν Ἰουδαϊκῶν ἐπιστολῶν συγγραφέ-
Ἐπιστ. Ἰουδ. πρὸς τὸν Βολτ. τόμ. 2. σ. 351 ως; „Σὺ ἀντιπροτείνεις, ἀπεκρίθη σοι αὐτὸς, κατὰ τῶν ἐμφαντικῶν „τοῦ εἰδικοῦ νόμου λόγων τὰ λόγια τῆς κόρης τῆς τεταραγμένης ὑπὸ τῆς κατ' αὐτῆς ἑτοιμαζομένης ἀπανθρώπου αἰσχύνης. εἰσὶ δ' ἆρά γε ἱκανὰ ταῦ„τα τὰ τοῦ φόβου λόγια ἀποδεῖξαι ἔθος Ἰουδαϊκὸν, ὅπερ ὁ μὲν νό„μος ἀποδοκιμάζει, ἡ δὲ περὶ τοῦ Ἰουδαϊκοῦ γένους ἱστορία οὐδὲν προτείνει παράδειγμα;

Τὸ δὲ ὑπὸ τοῦ αὐτοῦ ἀπίστου προβαλλόμενον, τουτέστι τὸ, „ὅτι οἱ „Ἰουδαῖοι ἐνδεχομένως τὸ Λευϊτικὸν ἠγνόουν, καὶ γραφεῖς οὐκ εἶχον, ἐ„στὶν ἄτοπον ἐπίσης καὶ γελοιῶδες. ἡμεῖς δὲ πάλιν τοῦτο ὀψόμεθα ἐν τῷ περὶ τούτου ἄρθρῳ.

2. „Ἄλλο ζήτημα. Διατὶ ὁ Δαβὶδ, ὁ μέγας ἐν πολέμοις, φεύ„γει ἐκ τῆς Ἱερουσαλὴμ πρὸ τοῦ φθάσαι ἐκεῖ τὸν υἱὸν αὐτοῦ;

Ἡ ἀπόκρισίς ἐστιν ἁπλῆ. Φεύγει, ἵνα μὴ πολιορκηθῇ.

3. „Ἡ Ἱερουσαλὴμ, προςίθησιν ὁ αὐτὸς καθωχυρωμένη ἦν, ἢ οὔ;
Καθωχυρωμένη. ἀλλ' ὅταν μεγάλη πόλις τελείας μὲν ἀπολαμβάνῃ εἰρήνης, αἰφνιδίως δὲ ἐπιτιθῶσιν αὐτῇ οἱ ἐχθροὶ, οὐκ ἔχει πάντως τὰς ἀναγκαίας ἑτοιμασίας πρὸς τὸ ἀντιςῆναι τῇ πολιορκίᾳ.

4. „Ἔςι δὲ ἆρά γε δυνατὸν, ἄνθρωπον τοσοῦτον ἄσπλαγχνον, „πρίζοντα δίχα, καὶ συνθλάττοντα διὰ σιδηρῶν τριβόλων καὶ ὑποτομέων, 2.Βασ 12. 3.
καὶ καίοντα ἐν τοῖς φούρνοις τοὺς νικηθέντας ἐχθροὺς αὐτοῦ, φεύγειν ἐκ „τῆς μητροπόλεως κλαίοντα ὥσπερ ἀβέλτερον παιδίον;

Ταῦτα φησὶν ὥσπερ ἂν εἰ τὸ ἐν ταῖς μάχαις μένος, καὶ ἡ κατὰ τῶν ἰσχυρογνωμόνων νικηθέντων ἐχθρῶν ὀργὴ ἐσβέννυε τὴν τῆς φύσεως αἴσθησιν ὅταν τὶς βλέπῃ ἑαυτὸν ὑπὸ τοῦ ἰδίου υἱοῦ προδιδόμενον, καὶ γυμνῶσαι κατ' αὐτοῦ τὸ ξῖφος ἀναγκαζόμενον. προσετίθετο δὲ τῷ Δαβὶδ πρὸς τοῖς δὲ τοῖς θλιβεροῖς ὁ διαλογισμὸς τῆς αἰτίας τῶν δυςυχημάτων αὐτοῦ. διὸ διὰ δακρύων καὶ ταπεινώσεως ἠγωνίζετο κάμψαι πρὸς οἶκτον τὴν καθοπλισθεῖσαν παντοδύναμον χεῖρα εἰς τιμωρίαν τοῦ τὸν Οὐρίαν φονεύσαντος.

5. Οἱ εὐλαβεῖς ἀναγνῶςαι, οἱ τὴν σεμνοπρέπειαν ἐν τοῖς συγγράμμασι ζητοῦντες, οὐδόλως θαυμάσουσιν, ὁρῶντές με σιωπῶντα τὰ ὑπὸ τοῦ κριτικοῦ λεγόμενα περὶ τοῦ πῶς ὁ Ἀβεσαλὼμ μετῆλθε τὰς γυναῖκας, τὰς ὑπὸ τοῦ Δαβὶδ ἐν τῷ παλατίῳ αὐτοῦ καταληφθείσας (167).

Ἄ Ρ Θ Ρ Ο Ν Ζ.

Περὶ τῆς συγχωρηθείσης τοῖς Γαβαωνίταις ἀνδροληψίας.

1. „Οὐδὲν, φησὶν οὗτος ὁ Παρατηρητὴς φιλοσόφος. ἦν τοσοῦτον κοινὸν „ἐν Παλαιςίνῃ, ὅσον ὁ λιμός. περὶ τούτου δὲ πολλάκις λαλοῦσι τὰ ἱερὰ „βιβλία. καὶ τότε δὲ, ὅτε ὁ Ἀβραὰμ ἦλθεν εἰς τὴν Παλαιςίνην, „εὗρεν ἐκεῖ λιμόν. οὐδὲν οὖν θαυμαςὸν, ἐὰν ὁ Θεὸς λέγῃ τῷ Δαβὶδ, „ὅτι ὁ λιμὸς οὗτος ἐςάλη διὰ τὸν πρὸ πολλοῦ ἀπαθανόντα Σαούλ.

Ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς ὁ Ἀβραὰμ ἔθηκε τὸν πόδα αὐτοῦ ἐν τῇ Παλαιςίνῃ, ἕως τῆς τελευτῆς τῆς Βασιλείας τοῦ Δαβὶδ, πεντάκις σημειοῦσι τὰ ἱερὰ βιβλία λιμὸν, ἢ σπερμάτων ἔλλειψιν. Ἐν μὲν τοῖς χρόνοις αὐτοῦ τοῦ Πατριάρχου Ἀβραὰμ λιμὸς συνέβη πρῶτος Γεν. 12. 10.
ἐν δὲ τοῖς τοῦ Ἰσαὰκ, τουτέςι μετὰ ἔτη δεκαὲξ πρὸς τοῖς ἑκατὸν, δεύτερος· ἐν δὲ τοῖς τοῦ Ἰακὼβ, εἴτουν μετὰ ἔτη ἓξ πρὸς τοῖς ἐννενήκοντα, τρίτος· ἐν δὲ τοῖς τῆς πενθερᾶς τῆς Ῥοὺθ, ἤτοι μετὰ ἔτη πλέον ἢ πεντακόσια, τέταρτος· πέμπτος δὲ ὁ περὶ οὗ ὁ λόγος, ἐν ἔτεσιν

Γεν. 26. 1.
Γεν 42. 1, 2.
Ρούθ. 1. 1.
2.Βασ. 21. 1.

σιν ὧν περίπου ὀκτακοσίοις πεντήκοντα, πέντε μόνα εἰσὶ τὰ τῆς ἐνδείας ἔτη. ποῖον δὲ τόπον εὑρίσκομεν ἐν ταῖς ἱστορίαις ἄμοιρον τοσοῦτον ὀλίγης, ἢ καὶ πλέονος ἐνδείας ἐντὸς τοσούτου χρόνου; ὁ μὲν κριτικὸς βλάπτει τὸ κοινὸν, τοιαύτας ἐκτιθέμενος παρατηρήσεις.

Ἀλλ' ἵνα τί ὁ Θεὸς πέμπει λιμὸν εἰς ποινὴν τῶν σφαλμάτων τοῦ ἀποθανόντος Βασιλέως;

Ἵνα διδάξῃ τοὺς προεξῶντας, τοὺς δυναστεύοντας τοὺς ἀδυνάτους τὸ, ὅτι κἂν καθ' ὃν καιρὸν διαρκῇ ἡ ἐξουσία αὐτῶν, λογίζωνται τιμωρίας ἀνώτεροι, ὅμως ἡ θεία δικαιοσύνη ἤτοι εὐθὺς, ἢ μετὰ ταῦτα διεκδικεῖ τὰς δυναστείας αὐτῶν, καὶ τὴν τῶν συνθηκῶν πίστιν, τὴν ὑπ' αὐτῶν ἀθετηθεῖσαν.

2. Ἀλλ' ἡ θεία Γραφὴ οὐδαμοῦ εἴρηκεν, ὅτι ὁ Σαοὺλ ἠδίκησεν, οὐδὲ κἂν μικρόν τι, τοὺς Γαβαωνίτας.

2. Βασ. 21. 4. Εἴρηκε πάνυ ἐκπεφασμένως ἐν τῷ δευτέρῳ τῶν Βασιλειῶν βιβλίῳ. τοῦτο δὲ ἀρκεῖ παντὶ τῷ μὴ θέλοντι ἀκούειν τὸ αὐτὸ πολλάκις ὡς ὁ κριτικός.

3. Ἀλλὰ καὶ αὐτὸς ὁ Σαοὺλ κατώκει ἐν τῇ Γαβαᾷ.

Τοῦτό ἐστιν ἄλλο σφάλμα. Γαβαὰ καὶ Γαβαὼν εἰσὶ δύω πόλεις ἀλλήλων διαφέρουσαι.

4. Ὁ Δαβὶδ ζητεῖ δύσφημον πρόφασιν, ἵνα δι' ἀτίμου παιδείας ἐξαφανίσῃ τὸ τοῦ πανθεροῦ αὐτοῦ γένος.

Τὸ ἔγκλημα τοῦτο ἐστὶ συκοφαντία. διότι ὁ Δαβὶδ ἐποίησεν εἴτικεν ἐδυνήθη, ἵνα πείσῃ τοὺς Γαβαωνίτας δέχθῆναι ἄλλην ἀνταπόδοσιν, ἀντέσχε δὲ σαθρώτατα, μὴ θέλων παραδοῦναι τὸν τοῦ Ἰωνάθαν υἱὸν, καὶ ἔγγονον τοῦ Σαοὺλ, κατέπεσε δὲ αὐτοὺς ἀρκεσθῆναι μόνοις ἑπτὰ τοῖς ἐκ τῆς αὐτῆς πατριᾶς, τοὺς δὲ λοιποὺς καταλιπεῖν ἐν εἰρήνῃ.

5. Ταύτῃ τῇ ἀνανδρείᾳ, ἢ μανίᾳ προσέθηκεν ὁ Δαβὶδ τὴν ἐπιορκίαν. διότι ὤμοσε τῷ Σαοὺλ, μηδέποτε μηδένα τῶν υἱῶν αὐτοῦ σεβῆσαι τῆς ζωῆς.

1. Βασ. 24. 22. Καὶ τοῦτο ψεύδες. διότι ὁ Δαβὶδ ὤμοσε μὲν ἁπλῶς, μὴ ἐξολοθρεῦσαι τὴν τοῦ Σαοὺλ φυλὴν, μηδὲ ἐξαφανίσαι τὸ ὄνομα αὐτοῦ, ταύτην δὲ τὴν ὑπόκρισιν πιστῶς τε καὶ ἐξηκριβωμένως ἐπλήρωσεν, ὡς

2. Βασ. 21. 7: ῥητῶς διαλαμβάνει τὸ δεύτερον τῶν Βασιλειῶν βιβλίον. „Ἐφείσατο, φησὶν, ὁ Βασιλεὺς ἐπὶ Μεμφιβοσθὲ υἱὸν Ἰωνάθαν υἱοῦ Σαοὺλ διὰ τὸν „ὅρκον Κυρίου, τὸν ἀναμέσον αὐτῶν, καὶ ἀναμέσον Δαβὶδ, καὶ ἀναμέ„σον Ἰωνάθαν υἱοῦ Σαούλ. Τὸ μὲν οὖν γένος τοῦ Σαοὺλ οὐκ ἐξηφανίσθη, ἐσώζετο δὲ καὶ τὸ ὄνομα αὐτοῦ ἐν Ἰσραήλ.

Α' Ρ-

Ἄ Ρ Θ Ρ Ο Ν Η΄.

Περὶ της διαταχθείσης ὑπὸ τȣ̃ Δαβὶδ ἐπαριθμήσεως, ϗ των ἐξ αὐτῆς κακῶν.

1. Ἰδȣ̀ τελευταῖον ἡ ἐσχάτη τȣ̃ ἀπίςȣ ἔνςασις κατὰ τȣ̃ δευτέρȣ τῶν Βασιλειῶν βιβλίȣ· „Τὸ τῆς Βȣλγάτης ὕφος πρῶτον μὲν λέγει ῥητῶς, „ἡ ὀργὴ τȣ̃ Θεȣ̃ ἐπαυξήσασα, ἐνέπνευσε τῶ Δαβὶδ, ϗ δι' ἐκπεφα„σμένης προςαγῆς ἔπεισεν αὐτὸν ποιῆσαι ταύτην τὴν ἐξαρίθμησιν.

Τὸ μὲν, ἐνέπνευσε τῶ Δαβὶδ, ἔτι δὲ ϗ τὸ, δι' ἐκπεφασμένης προςαγῆς, ȣ̓κ εἰσὶ λόγια τῆς Βȣλγάτης, ἀλλὰ τȣ̃ τῆς ἐνςάσεως πατρός. πρὸς τȣ́τοις, εἶχεν ἄρα ἀνάγκην ȣ̓τος ὁ μέγας κριτικὸς ἀντέχεσθαι τῆς Βȣλγάτης; εἴπερ ἐσκέπτετο τὸ ὕφος τȣ̃ βιβλίȣ τῶν Βασιλειῶν, ϗ τὸ τῶν Παραλειπομένων, κατενόει ἄν, ὅτι τὸ τῶν Βασιλειῶν ἐν τῶ δε τῶ τόπω ἔπαθέ τινα ἀλλοίωσιν. (168). „Ἰδȣ̀ πῶς αὐ„τὸς τȣ̃το αὐτὸ μεθερμηνεύει ἐν τῇ νομιζομένῃ μεταφράσει αὐτȣ̃. „Καὶ ἡ ὀργὴ Κυρίȣ προσετέθη τῇ ἑαυτȣ̃ ὀργῇ κατὰ τῶν Ἰσραηλιτῶν. „Ἐπειδὴ ȣ̓ν ἡ μετάφρασις αὕτη ȣ̓δεμίαν παρίςησιν ἔννοιαν, δῆλον ὅ„τι τὸ πρωτότυπον αὐτῆς ὕφος ἦν ἐξηλλοιωμένον. πρὸς τȣ́τοις ἔβλεπεν αὐτὸς, ὅτι τὸ παράλληλον τῶν Παραλειπομένων ὕφος λύει τὴν προκειμένην δυσκολίαν, ἀρχόμενον τῆς διηγήσεως τȣ́τȣ τȣ̃ συμβάντος ȣ̓τω· „Καὶ ἔςη ὁ Σατὰν ἐπὶ Ἰσραὴλ, ϗ ἐπέσεισε τὸν Δαβὶδ τȣ̃ ἀ„ριθμῆσαι τὸν Ἰσραήλ. Ἐκ τȣ́τȣ δὲ συμπεράναι ἠδύνατο, ὅτι τὸ πρωτότυπον ὕφος τȣ̃ δευτέρȣ τῶν Βασιλειῶν ἐξ ἀνάγκης περιεῖχε τάδε· „Ἡ ὀργὴ τȣ̃ Κυρίȣ ἐξηγέρθη κατὰ τȣ̃ Ἰσραὴλ, διότι ὁ Σατὰν „ἐπέσεισε τὸν Δαβὶδ τȣ̃ ἀριθμῆσαι τὸν Ἰσραήλ. Αὕτη ἐςὶν ἡ ἔννοια, ἡ προκύπτȣσα ἐκ τȣ̃ συμβιβασμȣ̃ τῶν δύω ῥήσεων, ϗ ἐξαλείφȣσα τὴν δυσκολίαν, ἥτις ἀρχὴν ἔλαβεν ἐκ τῆς παραδρομῆς τȣ̃ μεταγραφέως, τȣ̃ λέξεις τινὰς καταλείψαντος, ὅτε τὴν τῶν Βασιλειῶν βίβλον μετέγραφε. 1. Παρ. 21. 1.

„Δεύτερον, λέγει ὁ αὐτὸς, ὁ Κύριος διὰ τῆς Πεντατεύχȣ ἐκέ„λευσε γενέσθαι τρεῖς ἐξαριθμήσεις. Τρίτον. οὐδὲν ἐπωφελέςερον, „ȣ̓δὲ συνετώτερον τῆς ἀριθμήσεως τȣ̃ λαȣ̃.

Τȣ̃το ἤρτηται ἐκ τῶν περιςάσεων. Οὐδὲν ἐπιβλαβέςερον, ȣ̓δὲ ἀσυνετώτερον τȣ̃ ανȣ τινὸς ἀνάγκης διὰ μόνην ματαιότητα ϗ ἐπίδειξιν ἐξαριθμεῖν τὸν λαόν. ὅπερ δὴ ϗ πεποίηκεν ὁ Δαβὶδ ὡς δῆλον ἔκτε τῆς ἀποκρίσεως τȣ̃ Ἰωὰβ, ϗ ἐκ τȣ̃ πολιτεύματος τῶν πρώτων 2. Βασ. 24. 3. 1. Παραλ. 21. 3

τῆς

τῆς Βασιλείας ὑπηργῶν, οἵτινες μόλις ἐξετέλεσαν τὰ κατεπείγοντα αὐτὸς τῷ Βασιλέως προσάγματα. (169.).

„Τέταρτον, κραυγάζει ὁ αὐτὸς, ὑπερβολή ἐστι, καὶ ὑπόκρισις, καὶ „γελοῖον τὸ λέγειν, ὅτι ὁ Δαβὶδ ἐν τοσούτῳ μικρᾷ ἐπικρατείᾳ εἶχε „δέκα καὶ τρεῖς ἑκατοντάδες χιλιάδων στρατιωτῶν, ὅπερ ἐστὶν, ἀναλογι„ζομένων τῶν στρατιωτῶν ὡς ἓν πεμπτημόριον τοῦ λαοῦ, ἓξ μιλλιόνια, „καὶ πεντακοσίας χιλιάδας ψυχῶν, χωρὶς τῶν Χαναναίων καὶ τῶν Φυ„λισιείμ ... Πέμπτον, τὸ βιβλίον, φησὶ, τῶν Παραλειπομένων, τὸ „πολλάκις ἀντιφάσκον τῷ τῶν Βασιλειῶν, ἀριθμεῖ δεκαπέντε ἑκα„τοντάδας χιλιάδων, καὶ ἑβδομήκοντα χιλιάδας, ὅπερ ἀναβαίνει εἰς „ἀριθμὸν τερατωδέστερον.

Οὗτος ὁ πανταχοῦ ὁρῶν σφάλματα τῶν μεταγραφέων ὅπου σφάλματα οὐκ εἰσὶ, κατὰ τοῦτο δυσχεῖ, καθ' ὃ ταῦτα οὐ κατανοεῖ, ὅτε εἰσὶ ψηλαφητά. Ἡ διαφορὰ τῶν ἀριθμῶν, ἡ μεταξὺ τῶν δύω βιβλίων, ὧν οἱ συγγραφεῖς τὴν αὐτὴν ἐκτιθέασιν ὑπόθεσιν, ἐκ τῶν αὐτῶν ὑπομνημάτων φιλοπόνως αὐτὴν ἐρανισάμενοι, οὐκ ἐξ αὐτῶν τῶν συγγραφέων πρόεισιν, ἀλλ' ἐκ παραδρομῆς τοῦ μεταγραφέως, (170) τοῦ ἤτοι ὑπὸ τῆς λέξεως ἀπατηθέντος, ἢ ὑπὸ τῶν γραμμάτων, τῶν δηλωτικῶν τοῦ ἀριθμοῦ. Ἐν τούτοις τοῖς ἑπτοῖς βιβλίοις οὐδὲ ὑπερβολὴν εὑρίσκεις, οὐδὲ ὑπόκρισιν. κεῖ) δὲ ταῦτα ἐν τῷ τοῦ ἀπίσω σημειώματι, τοῦ μεταχηματίζοντος εἰς στρατιώτας, εἴτουν εἰς στρατεύματα τακτικὰ καὶ μεμιαωμένα, ἀνδρώπους ὁπλοφορεῖν μόνον δυναμένους. τοιοῦτοι δὲ ἄνδρωποι οὐκ ἓν πεμπτημόριον, ἀλλ' ἓν τριτημόριον εἰσὶ τοῦ ὅλου γένους. οὕτω δὲ αἱ δεκατρεῖς ἑνατοντάδες χιλιάδων τῶν τοιούτων ἀνδρώπων ὑποτίθου) τὸ ὅλον τοῦ λαοῦ αὐτῶν τέσσαρα μιλλιόνια ψυχῶν. Τοῦτο δὲ οὐδὲ ἀπειθανόν ἐστιν, οὐδὲ τερατῶδες, ἐὰν ἀναλογιζώμεθα τὸ τοῦ τόπου καρποφόρον, καὶ τὴν τῆς γῆς καλλιέργειαν, καὶ ἔκτασιν, ἧς τὸ μὲν μῆκος λέγαι περίπου ἑξήκοντα, τὸ δὲ πλάτος τριάκοντα. τὸ δὲ λοιπὸν τῆς Συρίας μέρος, τὸ ἐκ τεσσάρων μιλλιονίων συγκείμενον ὑποτελὲς ὂν τότε τῷ Ἰουδαϊκῷ γένει, τὰ πρὸς διατροφὴν αὐτῶν συνεισέφερεν. ἦν ποτὲ καιρὸς ὅτε ἡ Ῥώμη καὶ ὁ νομὸς αὐτῆς περιεῖχε πέντε μιλλιόνια πολιτῶν, ὡς ἐπιβεβαιοῖ ἡ ὑπὸ τῶν Κηνσόρων γενομένη ἐξαρίθμησις. ταῦτα δὲ τὰ πέντε μιλλιόνια οὐ διέτρεφον πάντως οἱ μόνοι καρποὶ τῶν τῆς Ῥώμης πεδίων, ἀλλ' ὅλη ἡ Ἰταλία καὶ ἡ Σικελία τὰς χρείας αὐτῶν ἀνεπλήρουν.

ΒΙΒΛΙΟΝ Ε'.

Περὶ τῶν ἱερῶν βιβλίων, τῶν συγγραφέντων πρὶν μὲν τῆς τῦ Δαβὶδ Βασιλείας, μετὰ δὲ τὴν τῶν Ἰουδαίων κατάσασιν ἐν τῇ γῇ τῆς Ἐπαγγελίας.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῦ κύρυ τῶν βιβλίων τῆς Ῥὼθ, τῶν Κριτῶν, καὶ τῦ Ἰησῦ.

ΆΡΘΡΟΝ Α'.

Ἐν ᾧ αἱ ἀποδείξεις τῦ κύρυς τῦ βιβλίυ τῆς Ῥὼθ.

1. Ἐν τῷ μεταξὺ τῶν ὑπ' ἐμῦ σημειωθέντων δύω καιρῶν παρίσταται πρῶτον τὸ τῆς Ῥὼθ βιβλίον. τῦτο τεταγμένον μὲν ἦν διαπαντὸς ἐν τῷ Ἰουδαϊκῷ κανόνι, καὶ ἐν τοῖς τῦ Ὠριγένυς χρόνοις ἓν μόνον συγκροτῦν βιβλίον μετὰ τῦ τῶν Κριτῶν, καὶ ὡς ἀκολουθία τῦτυ παρὰ τοῖς Ἰουδαίοις λογιζόμενον. μνημονεύει δὲ μεταξὺ τῶν τῦ Βοὸζ ἀπογόνων τῦ Ἰεσσαὶ τῦ πατρὸς τῦ Δαβίδ, καὶ αὐτῦ τῦ Δαβίδ. τῦτο ἄρα τὸ βιβλίον συνεγράφη, ἢ κἂν πέρας ἔσχε, γεννηθέντος μὲν ἤδη, ἀκμὴν δὲ μὴ βασιλεύσαντος τῦ Δαβίδ, διότι ὁ προσαγορεύει αὐτὸν Βασιλέα, ὥσπερ ὁ Εὐαγγελιςὴς Ματθαῖος ἐν τῇ Γενεαλογίᾳ, ἣν ἐκ τῶν Ἰουδαϊκῶν βιβλίων, ἢ καταλόγων, καὶ ἐκ τῶν Παραλειπομένων συνελέξατο. τῦτον δὲ τὸν τίτλον ἂν παρεσιώπα τὸ τῆς Ῥὼθ βιβλίον, εἴπερ ὁ Δαβὶδ ἦν Βασιλεύς. κατὰ γῦν τὴν γνώμην τῦ Ἀ'Σαρβανέλ, καὶ τῶν πλειόνων Ῥαββίνων, τῶν πρὸ τῶν συγγραφέων τῦ Ταλμὼδ ακμασάντων, τὸ τῆς Ῥὼθ βιβλίον συνεγράφη ἐνδεχομένως ὑπὸ τῦ Σαμυὴλ ἐπὶ τῆς Βασιλείας τῦ Σαὺλ, ὅτε ὁ Δαβὶδ ὑπῆρχεν ἤδη ἐπίσημος.

Ὠριγεν. παρ. Εὐσεβ. β. 6. κ. 25. Ἐκκλ. Ἱστορ. Ῥὼθ. 4. 17.

2. Ἀξιοσημείωτός ἐςιν ἡ τῦ αὐτυργῦ τῆς τελευταίαν ἐρμηνευθείσης Διαθήκης μαρτυρία περὶ τῦ κύρυς τῆς ἱςορίας τῆς Ῥὼθ, ὁμοίως· ὅπερ δὴ καὶ παραδοξότερον· καὶ περὶ τῶν βιβλίων τῶν Κριτῶν, τῦ Ἰησῦ, καὶ αὐτῆς τῆς Πεντατεύχυ. „Ἡ τῆς Ῥὼθ, λέγει, ἱςορία

1. Παραλ. 2, 3 3.

„συνεγράφη μετὰ ἁπλότητος φυσικῆς καὶ ἐνεργητικῆς· ἡμεῖς οὐδὲν, οὐδὲν „ἐν τῷ Ὁμήρῳ, οὐδὲ ἐν τῷ Ἡροδότῳ, εὑρίσκομεν τοσοῦτον εἰσδύον εἰς τὴν „καρδίαν, ὅσον τὴν τῆς Ῥοὺθ ἀπόκρισιν πρὸς τὴν πενθερὰν αὐτῆς.
Ῥουθ. 1. 16, 17. „Ἐλεύσομαι μετὰ σοῦ, καὶ οὗ ἐὰν αὐλισθῇς αὐλισθήσομαι· ὁ λαός σου „λαός μου, καὶ ὁ Θεός σου Θεός μου. καὶ οὗ ἐὰν ἀποθάνῃς ἀποθανοῦμαι. „Ἡ ἁπλότης αὕτη ἔχει ὕψος λόγου. Κατωτέρω δὲ λέγει· „Ἡμεῖς „πολλάκις εἴπομεν, ὅτι οἱ καιροὶ ἐκεῖνοι, καὶ τὰ ἤθη, τά τε χρηστὰ καὶ „τὰ πονηρὰ οὐδὲν καινὸν ἔχουσι τοῖς ἡμετέροις. τὸ πνεῦμα αὐτῶν οὐκ „ἔστι τὸ ἡμέτερον πνεῦμα, καὶ τὸ διακριτικὸν αὐτῶν οὐκ ἔστι τὸ διακρι„τικὸν τὸ ἡμέτερον. διὰ τοῦτον δὲ τὸν λόγον ἡ Πεντάτευχος, καὶ τὰ „βιβλία τοῦ Ἰησοῦ, καὶ τῶν Κριτῶν εἰσὶ χιλιάκις διδακτικώτερα τοῦ „Ὁμήρου, καὶ Ἡροδότου.

Ἐὰν οὖν τὰ βιβλία τῆς Ῥοὺθ, τοῦ Ἰησοῦ, τῶν Κριτῶν, καὶ τελευταῖον τῆς Πεντατεύχου ἐμφαίνωσιν ἡμῖν ἤθη ἁπλούστερα, καὶ εἰλικρινέστερα, καὶ ἀρχαιότερα οὐ μόνον τῶν ὑπὸ τοῦ Ἡροδότου ἐμφαινομένων, ἀλλὰ καὶ τῶν ὑπὸ τοῦ Ὁμήρου καὶ Ἡσιόδου, τῶν ἀκμασάντων ἔτη περί που χίλια πρὸ τοῦ Χριστιανικοῦ ἔτους, οἱ τούτων ἄρα συγγραφεῖς ἀρχαιότεροί εἰσι τῶν δύω τούτων περιφήμων Ποιητῶν, καὶ διὰ τοῦτο ὠφελιμώτεροι καὶ διδακτικώτεροι, ὡς αὐτὸς ὡμολόγησε. Ταῦτα ἄρα τὰ βιβλία, οὐδὲ ὑπὸ τοῦ Ἔσδρα, τοῦ τῷ Ἡροδότῳ συγχρόνου κατεσκευάσθησαν, οὐδὲ ἐπὶ τῆς Βασιλείας Ἰωσίου, τοῦ τετρακόσια ἔτη μετὰ τοὺς τοῦ Ὁμήρου χρόνους ἀναβάντος εἰς τὸν θρόνον, οὐδὲ τερατώδη εἰσὶ καὶ ἄτοπα, ὡς ὁ ἄπιστος περὶ τούτου τολμηρῶς διατείνεται, αὐτὸς ἑαυτῷ ἐπιδηλότατα ἀντιφάσκων, ὡς μετ' ὀλίγον ὀψόμεθα.

3. Ἄπρεπον δέ μοι τὸ προσποιηθῆναι καὶ παρασιωπῆσαι, ὅτι ὁ ἄπιστος οὐ δι' ἄλλο τι ἔδοξε τοσοῦτον δικαιοκρίτης ἐν τῷ τῆς Ῥοὺθ βιβλίῳ, ἐπαινέσας τὴν ἀπόκρισιν αὐτῆς, εἰ μὴ καθότι ἐνόμισεν ὁρᾷν ἀδιαφορίαν τινὰ ἐν τοῖς περὶ πίστεως, καὶ ἀπόδειξιν περὶ τοῦ ὅτι ἡ τῶν Ἰουδαίων θρησκεία, ἡ πάσας τὰς ἄλλας ἀποκλείουσα, ἀκμὴν τότε οὐκ ἦν στερεά. ἀλλὰ τὸ συμπέρασμα τοῦτο τοσοῦτον ἡμαρτημένον ἐστὶν, ὅσον κακῶς τεθεμελιωμένη καὶ ἡ εἰκασία αὐτοῦ περὶ τῶν τῆς Ῥοὺθ νοημάτων διότι κἂν τεθῇ ἀληθὲς τὸ, ὅτι τῇ Ῥοὺθ, τῇ ἐν τῇ χώρᾳ τῶν Μωαβιτῶν γεννηθείσῃ, ἀδιάφορον ἐδόκει τὸ ἀκολουθῆσαι ἤτοι τῇ τῶν Μωαβιτῶν, ἢ τῇ τῶν Ἰουδαίων θρησκείᾳ, οὐχ ὅμως ἔπεται καὶ τοὺς Ἰουδαίους εἶναι αὐτῇ ὁμογνώμονας. ὅτε δὲ ἡ Ῥοὺθ εἶπε τῇ Νοεμίν, „ὁ „λαός σου λαός μου, καὶ ὁ Θεός σου, Θεός μου· Τότε προτετιμηκεία ἦν ἤδη ἀποφαντικῶς τὸν Θεὸν τῶν Ἰουδαίων, καὶ τὴν τούτου λατρείαν τῆς τῶν Μωαβιτῶν θρησκείας, ἐν ᾗ ἀνετράφη· ἡ δὲ Νοεμὶν προτείνασα

τῇ

τῇ Ῥὰθ ἐπιστρέψαι πρὸς τὸν λαὸν, καὶ τὰς θεὰς αὐτῆς, πεποίηκε τοῦτο ὡς μὴ σέργουσα ἰδεῖν αὐτὴν διὰ μόνην ἀνθρωπίνην προσπάθειαν καταλιμπάνουσαν τὴν θρησκείαν αὐτῆς καὶ τὴν πατρίδα.

ΆΡΘΡΟΝ Β'.

Περὶ τῆς φύσεως τῆς ἐν τῇ Βηθλεὲμ γῆς.

1. Ὁ κριτικὸς βαθὺς διαπαντὸς δεικνύμενος Γεωγράφος, λέγει ἐνταῦθα τάδε. „Ἐν τῇ πλησίον τῆς Βηθλεὲμ ἐρήμῳ ἓν κεράμιον ὕδα„τος ἐλογίζετο δῶρον· πολλοὶ περιηγηταὶ, ὁμοίως καὶ Ἄραβες πολλοὶ „ἀπέθανον δι' ἔλλειψιν ὕδατος· ἐὰν εὑρίσκωνταί τινες ἐν αὐτῇ ῥύα„κες, οἵός ἐστιν ὁ τῶν Κέδρων χείμαρρος πλησίον τῆς Ἱερουσαλὴμ, ἐν „καιρῷ θέρους ξηραίνονται· πᾶσα ἡ τὴν Βηθλεὲμ περικυκλοῦσα γῆ „πεδιάς ἐστιν, ἄμμος δὲ λίθος πυρίτης πλήρης, μόλις δὲ μετὰ τὴν πολ„λὴν γεωργικὴν ἐπιμέλειαν καρποφορεῖ ὀλίγην κριθήν.

Μεγάλη ζημία ἐστὶ τὸ, ὅτι περιηγηταὶ ἀκριβείας ἀντεχόμενοι, οἷος ὁ Θεβενὸτ*), ἱερωμένοι ἄνδρωποι πολὺν διανύσαντες χρόνον ἐν Βηθλεὲμ, καὶ ἔτη ἓξ ὁλόκληρα διατρίψαντες ἐν τῇ ἁγίᾳ γῇ, ὡς ὁ πατὴρ ὁ Εὐγένιος, ἄνδρωποι πεπαιδευμένοι, συνοδοιπόροι ἑνὸς τῶν ἡμετέρων πρέσβεων, οἱ μετὰ πάσης ἀνέσεως τὴν γῆν ἐκείνην περιηγήσαντες, κἀκεῖ τὸ ζῆν ἐκμελετήσαντες, ὡς ὁ πατὴρ Ναὺ ὁ Ἰησοῦτης, πάντες συμφώνως ψεύσην ἀποδεικνύουσι τοῦτον τὸν ἀδόλεχον. πρῶτον μὲν γὰρ ἐμφαίνουσι τρεῖς πλουσιοπαρόχους πηγὰς ἀρίστου ὕδατος, ὧν ἡ μὲν πρὸς μεσημβρίαν τῆς Βηθλεὲμ κειμένη, καὶ ἀπ' αὐτῆς μίαν καὶ ἡμίσειαν λέγαν ἀπέχουσα, τοσοῦτον δαψιλής ἐστιν, ὥστε πληροῦν μὲν τρεῖς δεξαμενὰς, ποτίζειν δὲ μεγάλην τινὰ πεδιάδα, καὶ χορηγεῖν διὰ ἴνος σωλῆνος τρισὶ καὶ ἐπέκεινα λέγαις ἰσομήκους τὸ πρὸς τὴν χρείαν τῆς πόλεως Ἱερουσαλὴμ ὕδωρ· ἡ δὲ κατὰ δυσμὰς κειμένη, καὶ δύω περίπου λέγας ἀπ' αὐτῆς ἀπέχουσα, ποτίζει πᾶσαν τὴν τοῦ Σορὲκ πεδιάδα· ἡ δὲ τρίτη, ἡ κατὰ ἀνατολὰς, μίαν ἀπέχουσα λέγαν, καρποφόρον τελεῖ τὸν ἐκεῖ τόπον. πρὸς ταύταις ταῖς πλουσιοπαρόχοις πηγαῖς καὶ τετάρτην περιγράφει ὁ Πατὴρ Ναὺ, ἰδὼν αὐτὴν ἐν τῷ φοβερωτάτῳ τόπῳ τῆς ἐν Βηθλεὲμ ἐρήμου τρεῖς λέγας ἀπ' αὐτῆς τῆς πόλεως ἀπέ-

*) Θεβεν. ἐν τόμ. 2. κεφ. 47. καὶ 48. τῆς ἀνατολικ. Περιηγήσ. καὶ Εὐγέν. ὁ Ῥογὲρ. ἐν βιβ. 1. κεφ. 17. τῆς τοπογραφικ. περιγραφ. τῆς ἁγίας γῆς. καὶ ὁ Ναὺ ἐν κεφ. 14—19. τῆς ἐν τῇ ἁγίᾳ γῇ ὁδοιπορ.

ἀπέχουσαν, ᾗ λίαν ἐγγὺς οὖσαν τῆ Μονασηρίᾳ τῆ ἁγίᾳ Σάββα. σιωπῶ τὰ φρέατα, ᾗ τὰς κινστέρνας, τὰς πανταχοῦ ἐν αὐτῇ τῇ Βηθλεὲμ ᾗ περὶ αὐτὴν περιεσταρμένας, ᾗ ὕδωρ ποτιμώτατόν τε ᾗ ὑγιέστατον παρεχούσας. ὁ δὲ πατὴρ ὁ Εὐγένιος ἐσημείωσε λέοντας ἐντὸς τῆ περιβόλου τῆ Μονασηρίου τῶν ἐν Βηθλεὲμ Φραγγισκάνων. Δεύτερον δὲ αὐτοὶ οἱ τρεῖς αὐτόπται ᾗ μάρτυρες ἀποδεικνύουσι τὸν κριτικὸν ψευδόμενον ᾗ περὶ τῆς φύσεως τῆς ἐν τῇ Βηθλεὲμ γῆς. διότι κἂν ὁμολογῶσιν, ὅτι πολλὰ ὄρη εἰσὶν ἐκεῖ ᾗ πεδιάδες πετρώδεις, λέγουσιν ὅμως, ὅτι μέρος μὲν τῶν ὀρέων τούτων ἐστὶ ξυλοφόρον, ἐν δὲ ταῖς πεδιάσι, ταῖς ὑπ' αὐτῶν τῶν ὀρέων περικυκλουμέναις γῆ ἐστὶ καρποφόρος, ἐν ᾗ κριθαὶ ἐσπαρμέναι, ⁊ ἐλαῖαι πεφυτευμέναι, ᾗ ἄμπελοι σαφυλὰς φέρουσαι, δέκα ἢ δώδεκα λίτραις ἰσοβαρεῖς, ὧν αἱ ῥάγες ἰσομεγέθεις δακτύλῳ. ὁ μὲν ὢν Βοὸζ κατώκει ἐν τῇ Βηθλεὲμ. ὁ δὲ ἀγρὸς αὐτοῦ πλησίον ἦν τῆς πύλης τῆς πόλεως.

2. „Ὁ κριτικὸς φησιν, ὅτι ὁ μὲν Βοὸζ ἦν ἀγαθώτατος ἀνὴρ, ἡ „δὲ Ῥὺθ ἀγαθολάτη γυνὴ, οἱ δὲ ἐξ νομῷ τούτῳ οἰκισαὶ ἁπλούστατοι „τὸ ἦθος, ἦσαν ὅμως χείρονες τῶν ὀπαδῶν τοῦ Ἀττίλα, καὶ τοῦ Γεν„σερίκου. (171.)

Ἡμεῖς οὐκ ἀνελαμβάνομεν κόπον πρὸς τὸ συμφωνῆται τὰ παράδοξα ταῦτα, ἅπερ αὐτὸς οὐκ ἐνόμισε πρέπον αὐτῷ ἀποδεῖξαι.

ΑΡΘΡΟΝ Γ'.

Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τῆς τῶν Κριτῶν βίβλου.

1. Τῶν Κριτῶν ἡ βίβλος, ἣν ὡς κανονικὴν οἱ Ἰουδαῖοι διαπαντὸς ἐδέχοντο, τῷ μὲν Ἀποστόλῳ Παύλῳ παρέχε τὰ ὑπ' αὐτοῦ προτεθέντα αὐτοῖς παραδείγματα τοῦ Ἰεφθάε, ᾗ Βαρὰκ, ⁊ Σαμψών· τῷ δὲ ποιητῇ τοῦ ἑξηκοστοῦ ἑβδόμου ψαλμοῦ, δύω ἐδάφια ἐκ τοῦ Ἄσματος τῆς Δεβόρας ἐξαχθέντα· ὁ δὲ συγγράψας τὸ δεύτερον τῶν Βασιλειῶν βιβλίον, ὄχ ὕστερον τῆς τοῦ Ῥοβοὰμ Βασιλείας, ὡς ἀπέδειξα, μᾶλλον δὲ αὐτὸς ὁ Δαβὶδ ἐν τῇ πρὸς τὸν Ἰωὰβ ἐπιστολῇ αὐτοῦ, τῇ ἐν τῷ εἰρημένῳ βιβλίῳ κειμένῃ, ἔθηκε τὸ ἐξῆς ἀπόσπασμα· „Τὶς ἐπάταξε „τὸν Ἀβιμέλεχ, ὑὸν Ἱεροβαὰλ μὴ Νήρ; οὐχὶ γυνὴ ἔῤῥιψε κλάσμα „μύλου ἐπ' αὐτὸν ἀπὸ ἄνωθεν τοῦ τείχους, ᾗ ἀπέθανεν ἐν Θαμαά; Τελευταῖον αὐτὰ τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τῶν Κριτῶν ἀποδεικνύουσιν αὐτὸ συγγεγραμμένον πρὶν ἢ τὸν Δαβὶδ ἐξῶσαι τοὺς Ἰεβουσαίους ἐκ τοῦ ἐν τῇ Σιὼν φρουρίου, ὅπερ ἀπ' αὐτῶν ἀφείλετο, ὅτε ἤρξατο βασιλεύειν. ἰδοὺ τὰ ἐν αὐτῷ τῷ βιβλίῳ ἀναγινωσκόμενα· „Καὶ

Πράξ. 13. 20. Ἑβρ. 11. 32. Ψαλ. 67. 8, 9. Κριτ. 5. 4, 5. Β. 4. κ. 1. Ἀρθρ. 3. Ἀριθ. 1. Κριτ. 9. 55. 2. Βασ. 11. 21. Κριτ. 1. 21.

„τὸν

„τὸν Ἰεβουσαῖον τὸν κατοικοῦντα ἐν Ἱερουσαλὴμ οὐκ ἐξωλόθρευσαν υἱοὶ „Βενιαμίν. καὶ κατῴκησεν ὁ Ἰεβουσαῖος μετὰ τῶν υἱῶν Βενιαμὶν ἐν Ἱε„ρουσαλὴμ ἕως τῆς ἡμέρας ταύτης. Ἐκ τῆς ῥήσεως ταύτης, τῆς καὶ ἐν τῷ τοῦ Ἰησοῦ βιβλίῳ σχεδὸν αὐτολεξεὶ κειμένης, ἔδειξα κατὰ τοῦ ποιητοῦ τῆς περὶ τὴν ἱστορίαν φιλοσοφίας, ὅτι ταῦτα τὰ δύω βιβλία ὑπῆρχον, ὅτε ἡ πόλις Σιὼν ἀκμὴν ὑπεξούσιος ἦν τοῖς Ἰεβουσαίοις, ἑπομένως δὲ πρὸ τῆς Βασιλείας τοῦ Δαβὶδ, ὅστις ἐπίσημον κατέστησε τὴν ἀρχὴν αὐτῆς, ἀφελὼν τὴν Σιὼν ἀπὸ τῆς ἐξουσίας αὐτῶν. Ἰησ. 15. 63

Κατὰ δὲ τὸν κριτικὸν ἐκ τῆς ῥήσεως ταύτης τὸ ἐναντίον συμπεραίνεται. „Ἡ μαρτυρία λέγει αὐτὸς (ἐν τῇ εἰς τὸ βιβλίον τοῦ Ἰησοῦ „εἰκοστῇ πρώτῃ σημειώσει) περὶ τοῦ ὅτι οἱ Ἰεβουσαῖοι, οἱ ἐξουσιασταὶ τοῦ „χωρίου τῆς Ἱερουσαλὴμ, κατοικοῦσιν ἕως τῆς ἡμέρας ταύτης μετὰ τῶν „υἱῶν τοῦ Ἰούδα, δείκνυσιν, ὅτι τοῦτο τὸ βιβλίον οὐκ ἐγράφη εἰμὴ με„τὰ τὸ ἄρξασθαι τὸν Δαβὶδ οἰκοδομεῖν τὴν πόλιν Ἱερουσαλὴμ, καὶ με„τὰ τὸ προστεθῆναι τοὺς παλαιοὺς οἰκήτορας τοῖς νεωτέροις πρὸς πλη„θυσμὸν τῶν τῆς πόλεως πολιτῶν;

Ἡ Ἱερουσαλὴμ, ὅτε ὁ Δαβὶδ ὑπέταξεν αὐτὴν, οὐκ ἦν χωρίον, ἀλλὰ φρούριον· ὅπερ ἠναγκάσθη πολιορκῆσαι κατὰ τοὺς τοῦ πολέμου κανόνας, ἵνα τοὺς Ἰεβουσαίους ἐκβάλλῃ, ὡς ῥητῶς διαλαμβάνει τὸ δεύτερον τῶν Βασιλειῶν βιβλίον. „Καὶ ἀπῆλθεν ὁ Βασιλεὺς, καὶ πάντες „οἱ ἄνδρες αὐτοῦ εἰς Ἱερουσαλὴμ πρὸς τὸν Ἰεβουσαῖον, τὸν κατοικοῦντα „τὴν γῆν. Καὶ ἐῤῥέθη τῷ Δαβὶδ, οὐκ εἰσελεύσῃ ὧδε . . . Καὶ προκατελάβετο Δαβὶδ τὴν περιοχὴν Σιών. Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸν κριτικόν. „Κατ' αὐτὸν τὸ λέγειν σὺν τῷ βιβλίῳ τοῦ Ἰησοῦ καὶ τῶν Κρι„τῶν, ὅτι οἱ Ἰεβουσαῖοι ἔμειναν ἐν μέσῳ τῶν υἱῶν Βενιαμὶν καὶ Ἰούδα „ἐν Ἱερουσαλὴμ ἕως τῆς ἡμέρας ταύτης διὰ τὸ μὴ δυνηθῆναι ταύτας „τὰς δύω φυλὰς ἕως τότε ἐξῶσαι αὐτούς· ταυτόν ἐστι τὸ λέγειν, ὅτι οἱ Ἰεβουσαῖοι ἔμειναν ἐκεῖ, ἐπειδὴ ὁ Δαβὶδ σὺν ταῖς ὑπ' αὐτὸν δώδεκα φυλαῖς ἐν τῷδε τῷ τόπῳ σὺν βίᾳ ἐξέβαλεν αὐτούς. Ὦ προσήλυτοι τῆς ἀπιστίας, τοιουτοτρόπως τὸ ὑμέτερον μαντεῖον παίζει τὴν ὑμῶν εὐπιστίαν. 2. Βασ. 5. 6, 7

Ἄ Ρ Θ Ρ Ο Ν Δ'.

Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τοῦ βιβλίου τοῦ Ἰησοῦ.

1. Ὁ τῆς Σοφίας τοῦ Σειρὰχ συγγραφεὺς τὸν τοῦ ἥρωος Ἰησοῦ ἔπαινον ὑφαίνων, τὸ βιβλίον αὐτοῦ εἶχε πρὸ ὀφθαλμῶν, καὶ ἐξ αὐτοῦ ἐξήντλησε πάντα τὰ ἴχνη, δι' ὧν αὐτὸν χαρακτηρίζει. τοῦτο τὸ βιβλίον Σειρ. 46. 1. 4.

παρῆν

παρῆν τῷ τῦ Ἀββακὺμ πνεύματι, ὅτε ἔλεγεν ἐν τῇ ὠδῇ αὐτῦ.
Ἀββ. 3. 11. „Ἐπήρθη ὁ Ἥλιος, ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· εἰς φῶς
„βολίδες σε πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σε. Ἐν τούτοις
δὲ βλέπομεν σαφῶς σημαινόμενον τὸ θαῦμα, τὸ ἐν τῷ δεκάτῳ κε-
Γῆσ. 10. 13. φαλαίῳ τῦ βιβλίῦ τῦ Ἰησῦ ἱστορούμενον. τὸ αὐτὸ δὲ βιβλίον μνημο-
νεύεται κἂν τῷ τρίτῳ τῶν Βασιλειῶν διὰ τῶν δὲ τῶν ῥημάτων· „Ὠ-
3. Βασ. 16. 34. „κοδόμησεν Ἀχιὴλ ὁ Βαιθηλίτης τὴν Ἱερειχώ, ἐν τῷ Ἀβιρὼν πρω-
„τοτόκῳ αὐτῦ ἐθεμελίωσεν αὐτὴν, καὶ ἐν τῷ Σεγὼβ τῷ νεωτέρῳ
„αὐτῦ ἐπέστησε θύρας αὐτῆς, κατὰ τὸ ῥῆμα Κυρίῦ, ὃ ἐλάλησεν ἐν
„χειρὶ Ἰησῦ τῦ υἱῦ Ναυή. Ἰδὼ καὶ τὰ ἀναγινωσκόμενα ἐν τῷ βιβλίῳ τῦ
Γῆσ. 6. 26. Ἰησῦ· „Ἐπικατάρατος ἐναντίον Κυρίῦ ὃς ἀναστήσει, καὶ οἰκοδομήσει
„τὴν πόλιν ἐκείνην τὴν Ἱερειχώ. ἐν τῷ πρωτοτόκῳ αὐτῦ θεμελιώσει
„αὐτὴν, καὶ ἐν τῷ ἐλαχίστῳ αὐτῦ ἐπιστήσει τὰς πύλας αὐτῆς. Οὐ δύ-
ναμαι δὲ ἀποχρόντως θαυμάσαι περὶ τῦ πῶς τινες εἶπον, ὅτι τὸ τῦ
Ἰησῦ βιβλίον ἐνδεχομένως συνεγράφη καθ' ὃν καιρὸν καὶ τὸ τῶν Βασι-
λειῶν, ἢ ὀλίγον ὕστερον. Αἰνιττόμεθα ἀράγε τὰς ῥήσεις, ἢ μεταγρά-
Βασ. 3. κ. 3. Ἀρθ. 1. Ἀριθ. 1. φομεν αὐτὰς πρὶν ἢ γραφῆναι; Ἀναμνήσθητι τῆς ἀνωτέρω παρ' ἡμῶν
προτεθείσης δείξεως περὶ τῦ ὅτι τὸ τρίτον τῶν Βασιλειῶν βιβλίον συ-
νεγράφη πρὸ τῆς καταστροφῆς τῆς τῶν δέκα φυλῶν Βασιλείας, ἑπο-
μένως δὲ τὸ ὑπ' αὐτῦ μνημονευόμενον τῦ Ἰησῦ βιβλίον περιφανὲς ἦν
τοῖς Ἰουδαίοις ἰσαμένης ἔτι τῆς ῥηθείσης Βασιλείας.

2. Τὸ αὐτὸ βιβλίον ὑπῆρχε πρὶν ἢ τὸν Δαβὶδ ἀφελεῖν ἀπὸ τῶν
Ἰεβυσαίων τὸ τῆς Σιὼν φρούριον, ὡς δῆλον ἐκ τῶν δὲ τῶν ἐν αὐτῷ
Γῆσ. 15. 63. ἀναγινωσκομένων ῥημάτων· „Καὶ ὁ Ἰεβυσαῖος κατώκει ἐν Ἰερυσαλὴμ,
„καὶ οὐκ ἠδυνήθησαν οἱ υἱοὶ Ἰούδα ἀπολέσαι αὐτούς. καὶ κατώκησαν οἱ
„Ἰεβυσαῖοι ἐν Ἰερυσαλὴμ ἕως τῆς ἡμέρας ταύτης. Ἔτι δὲ ἀνωτέ-
ρω πόσον τερατωδῶς ἑρμηνεύει τὸ ῥητὸν τῦτο ὁ ἡμέτερος φιλόσοφος·
διότι ὁ δι' ἐφόδῦ κατακυριεύσας πόλεώς τινος, δύναται ἀναμφιβόλως
ἐξωθῆσαι καὶ ἐξολοθρεῦσαι τοὺς ἐν αὐτῇ οἰκοῦντας. Τελευταῖον τὸ αὐ-
τὸ βιβλίον ὑπῆρχε πρὸ τῦ τῶν Κριτῶν βιβλίῦ. διότι τὸ μὲν πρῶτον
Κριτ. 1. 10— κεφάλαιον τῶν Κριτῶν μεγίστην ἔχει σχέσιν τοῖς ἐν τῷ δεκάτῳ τε-
12. Γῆσ. 14. 6— τάρτῳ κεφαλαίῳ τῦ Ἰησῦ ἱστορουμένοις περὶ τῦ ζητήματος τῦ ὑπὸ
15. τῦ Χαλὲβ προτεθέντος αὐτῷ τῷ Ἰησῦ τῷ τῶν Ἰουδαίων προέδρῳ
περὶ τῦ ὀρεινῦ τόπυ τῆς Χεβρών. τὸ δὲ ἕκτον, καὶ ἕβδομον, καὶ ὄγδοον
Κριτ. 1. 5—8. Γῆσ. 24. 11. ἐδάφιον τῦ αὐτῦ κεφαλαίῦ τῶν Κριτῶν εἰσὶν ἡ ἀνακεφαλαίωσις τῦ
ἑκάτῦ κεφαλαίῦ τῦ Ἰησῦ.

3. Μετὰ τὸν Καλμέτον, ἄνδρα σοφὸν καὶ ἱερωμένον, τοσάκις δὲ καὶ
πάνυ ματαίως ὑπὸ τῦ κριτικῦ περιπεφρονημένον, παρατηρῶ κἀγώ,

ὅτι

ὅτι αἱ πολλαὶ λεπτολογίαι, ᾗ τὰ μετὰ τῶν περιςάσεων περιγραφόμενα ἔργα, τὰ ἐν ὅλῳ τῷ τῦ Ἰησῦ βιβλίῳ περιεχόμενα ἐμφαίνουσιν ἄνθρωπον γράψαντα τὰ ἐνώπιον τῶν ὀφθαλμῶν αὐτῦ γενόμενα. ἐκ τύτου δὲ συμπεραίνω, ὅτι τὸ βιβλίον τῦτο, κἂν μὴ ὅλον συνεγράφη ὑπ' αὐτῦ τῦ Ἰησῦ, συνετέθη ὅμως ἀναντιῤῥήτως πρὸ τῆς Βασιλείας τῦ Δαβὶδ, ἐπὶ τῦ βιβλίου τῶν Κριτῶν, ἐξ αὐτογράφων ὑπομνημάτων, ὑπ' αὐτῦ τε καταλειφθέντων τῦ Ἰησῦ· περὶ ὧν γέγραπται ἐν τῷ ὁμωσύμῳ αὐτῷ βιβλίῳ τάδε· Ἔγραψε τὰ ῥήματα ταῦτα εἰς βιβλίον „νόμων τῦ Θεῦ. ᾗ τῶν συμβιωτοῦσάντων αὐτῷ, οἵτινες ἦσαν μάρτυρες τῶν κατορθωμάτων, ᾗ τῦ θανάτου αὐτῦ. Ἰησ. 24. 26.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἐν ᾧ ἡ ἀπάντησις τῶν κατὰ τὸ βιβλίον τῦ Ἰησῦ ἐνςάσεων.

ΑΡΘΡΟΝ Α'.

Περὶ τῦ ἐὰν ὁ Ἰησῦς ὐκ ἐκτήσατο εἰμὴ πέντε, ἢ ἓξ λέγας γῆς.

1. Οὐ χρονοτριβῶ ἐπὶ τῇ ὑπὸ τῦ κριτικῦ προτεινομένῃ πρώτῃ ἐνςάσει κατὰ τῆς ὑπὸ τῦ Θεῦ πρὸς τὸς Ἑβραίυς ἐπαγγελίας τῦ δῦναι αὐτοῖς πᾶσαν τὴν γῆν, τὴν ἀπὸ Αἰγύπτου ἕως Εὐφράτου. διότι ἀποδείξας ἀνωτέρω, ὅτι ἡ ἐπαγγελία αὕτη κατὰ λέξιν πεπλήρωται ἐπὶ τῆς Βασιλείας Δαβὶδ ᾗ Σολομῶντος, ἀνεκάλυψα τὸ ἄτοπον τῶν συλλογισμῶν, τῶν ὑπὸ τῦ αὐτῦ τρὶς ἐπαναλαμβανομένων. ἀνάγκη δὲ ἐνταῦθα πολυπραγμονῆσαι μόνον τὸ, ἐὰν ἀληθὲς, ὡς αὐτός φησιν, „ὅτι ὁ Ἰησῦς ὐκ ἐκτήσατο, εἰμὴ πέντε, ἢ τὸ πλεῖσον ἓξ λέ„γας γῆς. Βασ. 3. κ. 3. Αρθρ. 5.

Ὁ Ἰησῦς κύριος ὢν τῆς Ἰεριχὼ ἐπὶ τῆς Γαὶ, πορεύεται βοηθῆσαι τοῖς Γαβαωνίταις, τοῖς ἀπέχυσιν ἀπὸ τῆς κατὰ δυσμὰς ὄχθης τῦ Ἰορδάνου λέγας ὀκτώ. καταςρέψας δὲ τὸς τῶν χαναναίων προέδρυς, ᾗ τύψας τὸν Βασιλέα τῆς Γαζὲρ, τὸν ἐρχόμενον βοηθῆσαι τῇ Λαχὶς, ὑποτάσσει αὐτὴν, ὁμοίως ᾗ τὴν Λεβνὰ, ᾗ τὴν Χεβρὼν, κτ. ᾗ κύριος γίνεται παντὸς τῦ μεσημβρινῦ μέρυς τῆς γῆς Χαναὰν, τῶν τε ὀρέων, ἐπὶ τῶν πεδιάδων ἕως Γάζης. ἔςι δὲ τὸ μὲν ἀπὸ ἀνατολῶν μέχρι δυσμῶν, ἀπὸ τῦ Ἰορδάνου μέχρι τῦ Γαζὲρ, διάςημα, λέγαι περὶ πεντεκαίδεκα· τὸ δὲ ἀπὸ βορρᾶ ἄχρι μεσημβρίας, ἀπὸ Γαζὲρ ἕως Γάζης, λέγαι εἴκοσι. Ἰδοὺ δὴ ὁ Ἰησῦς διὰ ταύτης τῆς πρώτης ἐκςρατείας κύριος γῆς εἴκοσι λεγῶν τὸ μῆκος, ᾗ δεκαπέντε Ἰησ. 10. 10, 40, κτ. 11. 11, κτ.

τὸ

τὸ πλάτ☉. Καὶ οἱ μὲν τὸ βόρρειον μέρ☉ οἰκοῦντες Χαναναῖοι συνάγουσι τὰς ἰδίας δυνάμεις πλησίον τῆς λίμνης Μερώμ· ὁ δὲ Ἰησοῦς ἔρχε☽ εἰς συνάντησιν αὐτῶν, ☽ καταςρέψας τε ☾ διώξας αὐτοὺς ἕως τῶν πυλῶν τῆς Σιδῶνος, ὑποτάσσει πᾶσαν τὴν γῆν ἐκείνην ἄχρι τῆς ὑπωρείας τοῦ ὄρους τοῦ Λιβάνου. ὅσ☉ ἦν τῆς δευτέρας αὐτοῦ ἐκστρατείας ὁ καρπός. μετὰ δὲ ταύτας τὰς δύο νίκας κύρι☉ γίνε☽ ὁ Ἰησοῦς γῆς μῆκ☉ μὲν ἐχούσης πλεῖον ἢ πεντήκοντα λέγας, ἀπὸ τοῦ ὄρους Ἑρμὼν ἕως Γάζης, πλάτ☉ δὲ πεντεκαίδεκα, ἀπὸ τοῦ Ἰορδάνου ἄχρι τοῦ Γαζέρ. ὑδὲν δὲ λέγω περὶ τῆς γῆς, ἣν ὁ Μωϋσῆς ἐκτήσατο πέραν τοῦ ποταμοῦ. Τίς ἂν οὐκ ἂν ὀργισθείη κατὰ τῆς τοῦ κριτικοῦ αὐθαδείας, τοῦ μηδὲν μὲν ἔχοντ☉ προτεῖναι κατὰ τῶν γεωγραφικῶν περιγραφῶν τῶν τοῦ Ἰησοῦ κτημάτων, τῶν μετὰ τοσαύτης ἀκριβείας ἐν τοῖς ὑπ' ἐμοῦ μνημονευθεῖσι δυσὶ κεφαλαίοις ἐκτεθαμένων, τολμήσαντ☉ δὲ εἰπεῖν, ὅτι ὁ Ἥρως οὐ☉ οὐκ ἐκυρίευσεν εἰμὴ πέντε, ἢ τὸ πλεῖσον ἓξ λεγῶν γῆς;

Α΄ ΡΘΡΟΝ Β΄.

Περὶ τοῦ ἐὰν ἡ Ἱερειχὼ ὑδέποτε ἦν ἄλλοτι, εἰ μὴ χωρίον.

1. Ὁ Ἰησοῦς πέμπων τοὺς κατασκόπους πρὸς τὴν Ῥαὰβ, δοκεῖ ἀπιέναι τῷ Θεῷ. διότι αὐτὸς μὲν εἶχε μετ' αὐτοῦ τὸν Θεὸν, ☾ τεσσαράκοντα χιλιάδας ἀνθρώπων εἰς ἄλωσιν μικρᾶς τιν☉ κώμης ἐν κοιλάδι κειμένης, ὁ δὲ περιφράττων αὐτὴν χάραξ ἔπεσε τῇ τῶν σαλπίγγων φωνῇ. ὑδεμία δὲ αὐτῷ ἀνάγκη ἀποσεῖλαι δύω κατασκόπους πρὸς γυναῖκα πόρνην ἐπὶ κινδύνῳ κρεμάσρας. Τοῦτό ἐσι τὸ σημείωμα, ὅπερ ὁ κριτικὸς ἐκ τοῦ Κολλίνου δανεσάμεν☉, ἐπάγει τὸν Φρερέτον, λέγοντα. „Ὁ Καλμέτ☉ ἐσὶν ἀθενὴς, ὡς καταναλίσκων τὸν καιρὸν περὶ „τὴν ἐρώναν τοῦ, ἐὰν ἡ λέξις ζονα χ σημαίνει πάντοτε πόρνην, ἢ ἄσωτον.

Μηδὲν φοβούμεν☉ ἐγὼ λογιωθῆναι ἀθενὴς διισχυρίζομαι, ὅτι πρέπον ἦν αὐτῷ, ἵνα μὴ λογιωθῇ ἐσκοτισμένος, ὡς κριτικῷ τε ☽ ἑβραΐζοντι ἐξετάσαι τοῦτο τὸ ζήτημα πρὶν ἢ ἀνακρῦσαι τὰ μισητὰ ὀνόματα τῆς πόρνης, ☽ ἀσώτου. πρέπον ἦν, φημὶ, ἐξελάσαι, μήτι ἡ λέξις ζονα χ, ἣν εἰς τὸ, πόρνης ὁ τῆς Βυλγάτης συγγραφεὺς μετήνεγκε παραγαγὼν αὐτὴν ἀπὸ τοῦ ζανα χ, ὅπερ ἐσὶ τὸ φθείρειν, τὸ πορνεύειν, ἐνταῦθα μᾶλλον προσφυῶς σημαίνει τὸν πανδοχέα, παραγομένη ἀπὸ τοῦ ζοων, ὅπερ ἐσὶ τὸ τρέφειν, τὸ σιτίζειν. εἴπερ οὖν ἐξέταζε, κατενόησεν ἄν, ὅτι ἡ δευτέρα ἔννοια ἁρμοδιωτέρα τῆς πρώτης δυσὶ ξένοις, οἵτινες φθάσαντες τὸ ἑαυτῶν ἐν πόλει, εἰς

ἣν

ἦν ὐδέποτε εἰσῆλθον, πλείονα ἀνάγκην εἶχον ζητῆσαι κατάλυμα ἀνθρώπῳ, τὰ πρὸς τροφὴν ἑτοιμάσοντος, ἥπερ πόρνης οἶκον. ἐμάνθανε δὲ ἢ τὸ ὅτι ἐπιδέξιοι κριτικοὶ, οἷός ἐστιν ὁ Βάταβλος, ἢ οἱ σοφοὶ συγγραφεῖς τῆς καθολικῆς ἱστορίας, μηδόλως ἀνάξιον τῆς προσοχῆς αὐτῶν κρίναντες τοῦτο τὸ ζήτημα, μετὰ τὸ πολυπραγμονῆσαι αὐτὸ, ἀπεφήναντο μεταφραθῆναι τὴν λέξιν εἰς τὸ, πανδοχέα, πωλητὴν τῶν πρὸς τὸ ζῆν. ἐκ τούτου δὲ ἴσως ἠδύναλο τὐλάχιστον συμπεράναι, ὅτι πρέπον ἦν αὐτῷ μετὰ πλείονος συσολῆς εἰδοποιεῖν τὰ πράγματα. (172) „ἐπὶ πᾶσι δὲ ἔδει αὐτῷ εἰδέναι, ὅτι ὐκ ἔστιν ἀπιστία εἰς „Θεὸν τὸ μετέρχεσθαι τὰς ὑπὸ τῆς φρονήσεως ὑπαγορευομένας συνήθεις τρόπους, ὅτε ὁ Θεὸς ἄλλως ὐκ ἐδήλωσεν. τὐναντίον δὲ, πειράζομεν τὸν Θεὸν, ὅταν μηδὲν πράλτωμεν, περιμένοντες νέα θαύματα, πρὸς αὐτὸν ἐπαγγελθῆναι ταῦτα.

2. Ἀξιοσημείωτον δὲ ἐνταῦθα, τὸ, ὅτι ὁ ἄπιστος κατηγορήσας τοῦ Ἰησοῦ, ὡς μὴ περιμείναντος θαῦμα πρὶν ἢ ὑποτάξαι τὴν Ἱεριχὼ, κρίνει κακὸν τὸ τὸν Θεὸν παραδοῦναι αὐτῷ ταύτην διὰ θαύματος. „Διατὶ δὲ κρίνει τοῦτο κακόν; Διότι ἡ Ἱεριχὼ κατ' αὐτὸν ὐκ ἦν ἄλλο „τι, εἰμὴ χωρίον διὰ πασσάλων περιπεφραγμένον. ἢ ἐν κοιλάδι κεί„μενον, ὅπου ἀδύνατόν ἐστιν ἀνεγεῖραι φρούριον. ἄλ„λως τε ὐδὲ ἐγίνωσκον οἱ ἐκεῖ οἰκοῦντες τὰ πολεμικὰ φρούρια. τε„λεσταῖον δὲ ἡ Ἱεριχὼ ἦν ἐν τοῖς τοῦ Δαβὶδ ἢ τῶν Ῥωμαίων χρό„νοις, ἔτι δὲ ὑπάρχει ὁποία ἦν διαπαντὸς, τυτέσι μικράτις κώμη „ἀπέχουσα ἀπὸ Ἱερουσαλὴμ λέγας ἓξ. δεδεγμένον ἄρα ἐστὶν, ὅτι ἡ Ἱεριχὼ ὐκ εἶχε τείχη δυνάμενα πεσεῖν τῇ τῶν σαλπίγγων φωνῇ.

Ἵνα πᾶσαν κατανοήσωμεν τὴν ὑπόθεσιν, ἀρξόμεθα ἀπὸ τοῦ γνῶναι τὴν ἐνεςῶσαν τῆς Ἱεριχὼ κατάσασιν. „Οὐδὲν ἕτερόν ἐσι φησίτις „τῶν περιέργων περιηγητῶν, ἡ Ἱεριχὼ, εἰμὴ σωρὸς καλυβῶν, ἐκ κα„λάμων ἐξ ἰλύος κατεσκευασμένων, ἐν αἷς κατοικοῦσιν Ἄραβες τοσοῦ„τον πτωχοὶ, ὥςε μόλις τὴν ἰδίαν δύνασθαι σκεπάζειν γύμνωσιν. ὐ„δὲ ἐπαλξεις ἔχει ἔτι, ὐδὲ τείχη. ὐδὲν δὲ ἕτερον ἐν αὐτῇ βλέπεις, „εἰμὴ τὰ τῶν ἐρειπίων αὐτῆς λείψανα. Βλέπε ὅμως τί ἦν ἡ πόλις αὕτη ἐν τοῖς τῶν Ῥωμαίων χρόνοις. Ἐν μὲν τοῖς παλαιοῖς τῶν Ἑλλη„νικῶν Σημειώμασι, τοῖς περὶ τῶν Πατριαρχείων τῆς Ἀνατολῆς, ἡ Ἱε„ριχὼ τάσσεται ἐν ταῖς τῶν Ἐπισκόπων πόλεσιν. ὁ δὲ ἐν ἁγίοις Ἐπι„φάνιος, ὁ ἐν τῇ γειτονίᾳ αὐτῆς γεννηθεὶς, περιγράφει τὴν περίμε„τρον αὐτῆς μείζονα τῶν εἴκοσι σαδίων, ὅπερ ἐστὶ χεδὸν λέγα μία· ὁ δὲ Ἰώσηπός φησιν, „ὅτι ἦν μία τῶν ἕνδεκα τοπαρχειῶν τῆς Ἰουδαίας, „ἱπποδρόμιον ἔχουσα, ἢ παλάτιον τοῦ μεγάλου Ἡρώδου, ἐν ᾧ ἢ ἐτε-

Ὀνομ. β. 4. κ. 3. τῆς περιγρ. τῆς αγ. γῆς.

Ἐπιφ. β. 2. κατὰ Ἀρείο.

Γεωγ. περὶ πολιμ. β. 3. κ. 4 & β. 1. κ. 21. & Ἀγχ. β. 17. §. 8.

Στράβ. β. 16. λεύτησεν. ὁ δὲ Στράβων ἐπιβεβαιοῖ, ὅτι δύω φρούρια ἦσαν ἐν ταῖς εἰσβολαῖς αὐτῆς ὑπὸ τῦ Πομπηΐυ κατεσκαφιωθέντα. Ἐν δὲ τοῖς τῦ Δαβὶδ χρόνοις οὐδὲ θύρας εἶχεν, οὐδὲ ἐπάλξεις κατὰ τὴν κατ' αὐτῆς κατάραν τῦ Ἰησοῦ. ἀνωτέρω ὅμως εἴδομεν αὐτὴν περιτειχιωθεῖσαν ἐπὶ τῆς Βασιλείας τῦ Ἀχαὰβ, Βασιλέως τῦ Ἰσραήλ. ἦν ἄρα ἡ Ἱεριχὼ ἄλλοτέ ποτε πολύτι πλέον, ἢ ἁπλῆ κώμη.

Ἄξιον δὲ τὸ ἀκούειν αὐτὸν διαχωριζόμενον, ὅτι ἐν κοιλάδι ἀδύνατόν ἐστιν ἐγεῖραι ὀχυρὸν φρούριον.

Ἡ Γαλλία πεπληρωμένη ἐστὶ πόλεων, ἐν κοιλάσι κειμένων, ὧν τὰ παλαιὰ ὠχυρώματα ἀκμὴν σώζονται. δύσκολον ἀληθῶς τὸ ἀνεγεῖραι δυνατὰ φρούρια κατὰ τῶν πυροβόλων ὅπλων, τῶν κατακαύσαι αὐτὰ δυναμένων. ἀλλ' ἐν τοῖς τῦ Ἰησοῦ χρόνοις οὐκ ἦσαν πυροβόλα ὅπλα. τύτοις πρόσθες ἢ τὸ ὅτι, κἂν ἡ πεδιὰς, ἐν ᾗ ἡ Ἱεριχὼ ἔκειτο, περιωρισμένη ἦν κατὰ δυσμὰς ὑπὸ ὀρέων, ὅμως τὸ ἀνατολικὸν αὐτῆς μέρος ἐστὶ πάντη ἀνακεκαλυμμένον, ἢ εἰς διάσημα μιᾶς ἢ ἡμισείας λέγας ἄχρι τῦ Ἰορδάνυ ἐπεκτεινόμενον.

Ὁ αὐτὸς πλείονα προστέτι κινεῖ τὸν γέλωτα, λέγων, ὅτι ἐν τοῖς τῦ Ἰησοῦ χρόνοις, τυτέστι περίπυ χίλια τετρακόσια ἔτη πρὸ τῆς χριστιανικῆς χρονολογίας, οὐκ ἐγίνωσκον τὰ πολεμικὰ φρούρια οἱ τῶν τόπων ἐκείνων οἰκήτορες, εἴτυν οἱ Σύροι, ἢ οἱ Φοίνικες, ἐκεῖνοι δηλαδὴ, ἐξ ὧν οἱ Ἕλληνες, οἱ τὴν Τρωάδα μετὰ ἔτη περίπυ διακόσια πολιορκήσαντες, παρέλαβον κατά τε τὴν κοινὴν, καὶ αὐτὴν δὴ τὴν τῦ σοφῦ τύτυ παλαιογράφυ γνώμην, τὰς τέχνας, ἢ ἐπιςήμας, ἢ αὐτὸ τὸ ἀλφαβητάριον.

ΑΡΘΡΟΝ Γ.

Περὶ τῦ ἐὰν διαβατὸς ἦν ὁ Ἰορδάνης, ὅτε διεπέρασεν αὐτὸν ὁ Ἰησοῦς.

1. Ἰδὺ πρόβλημα λύσεως δεόμενον· ὁ συγγραφεὺς, ὁ παρὰ τὰς τῦ Ἰορδάνυ ὄχθας γεννηθεὶς· εἰς ὃν ἀδιακόπω ἀκολυθίᾳ ἐπίςευσε γένος ὁλόκληρον ἐν ταῖς αὐταῖς ὄχθαις οἰκῆν ἔτη χίλια πενηκόσια, ὡσαύτως ἢ πάτες οἱ χριστιανοὶ. οἵτε μετὰ ταῦτα ἐκεῖ οἰκήσαντες, ἢ οἱ
Γεν. 3. 15. ὃ 4. 19. ἐπεσκεμμενως αὐτὰς περιηγησάμενοι. λέγει, ὅτι ἐν τῷ πρώτῳ τῦ Ἰουδαϊκῦ ἔτυς μηνὶ, ὅςις ἐστὶν ὁ πρῶτος μὴν τῦ ἔαρος, ἄρχει ὁ θερισμὸς ἐν τῇ Ἰουδαίᾳ, ἢ τότε ὁ Ἰορδάνης πληροῖ τὴν κηπίδα αὐτῦ· ἰχυροποιεῖ δὲ τὴν μαρτυρίαν τύτυ τῦ συγγραφέως ἡ τῦ πρώτυ τῶν Παραλειπομένων βιβλίυ, λέγοντος· Ἐπὶ τῆς Βασιλείας Δαβὶδ τινὲς

νὲς τῶν τῆς στρατιᾶς ἀρχόντων διαβάντες τὸν Ἰορδάνην ἐν τῷ μηνὶ τῷ πρώτῳ· „Καὶ οὗτος πεπληρωκὼς ἐπὶ πᾶσαν κρηπίδα αὐτοῦ· ἐξε- „δίωξαν τοὺς ἐκεῖ κατοικῆσαι ἐλθόντας Ἄραβας· συμφωνεῖ δὲ προ- σέτι ἡ αὐτὴ μαρτυρία τῷ τε συγγράψαντι τὸ βιβλίον τοῦ Σειρὰχ, καὶ τῷ Ἰωσήπῳ. ἆρά γε οὖν πρέπον ἐστὶ πιστεῦσαι, καθὼς καὶ οἱ πατέρες ἡ- μῶν, ταῖς μαρτυρίαις τούτων τῶν τεσσάρων συγγραφέων, τῶν γεννη- θέντων, ἢ ἐκεῖ ὅλον τὸν βίον αὐτῶν διανυσάντων; Ἀστεῖον, ἐρεῖτις, ἐστὶ τοῦτο τὸ ζήτημα, ἵνα ἀπιστήσῃ τὶς περὶ τούτου, ἀνάγκη ἐστὶν ὑπο- θέσθαι, ὅτι οὗτοι ἦσαν τέσσαρες ἄφρονες, οἷς ἄφρονες λαοὶ ἐπίστευσαν. τοῦτο δὲ αὐτό ἐστι περὶ οὗ ὁ κριτικὸς διισχυρίζεται.

1. Παρ. 12. 15.

Σειρ. 24. 26. Γάσ. β. 5. κ. 1. Ἀρχ.

„Ὁ συγγραφεύς, λέγει, λαλῶν περὶ τοῦ βιβλίου τοῦ Ἰησοῦ, πα- „ρίστησιν ἀνθρώπους διερχομένους τὸν Ἰορδάνην ἐν τῷ καθ' ἡμᾶς μηνὶ „Ἀπριλλίῳ, ἐν καιρῷ θερισμοῦ. ἐκεῖ δὲ οὐ θερίζουσιν, εἰμὴ κατὰ τὸν „Ἰούνιον μῆνα. οὐδέποτε δὲ κατὰ τὸν Ἀπρίλλιον ὁ Ἰορδάνης πλημ- „μυρεῖ. οὗτος ὁ μικρὸς ποταμὸς οὐκ ἐπαίρεται, εἰμὴ ἐν τῷ τοῦ μεγάλου „καύματος καιρῷ, καθ' ὃν ἡ ἐν τῷ ὄρει τοῦ Λιβάνου χιὼν ἀναλύεται.

Ποίας περὶ τούτου προτείνει μαρτυρίας; Οἱ κριτικοὶ, φησὶ τοῦτο ἐπιβεβαιοῦσιν. ἀλλὰ τίνες εἰσὶν οὗτοι οἱ κριτικοί; Οὐδενὸς τούτων μνη- μονεύει. Σὺ ἄρα μόνος, ὦ αὐθαδέστατε καὶ ἀναίσχυντε, τὸ πᾶν ἐπι- κυροῖς.

„Ἐν τῇ Παλαιστίνῃ οὐ θερίζουσιν, εἰμὴ κατὰ τὸν Ἰούνιον μῆνα.

Πῶς αὐθαδιάζεις ταῦτα λέγειν, δήλου ὄντος, ὅτι αἱ ἀπαρχαὶ τοῦ θερισμοῦ τοῦ σίτου προσεφέροντο τῷ θυσιαστηρίῳ κατὰ τὴν ἑορτὴν τῆς Πεντηκοστῆς, τῆς ὡς ἐπὶ τὸ πλεῖστον παρὰ τοῖς Ἰουδαίοις, καθὼς καὶ παρ' ἡμῖν, συμπιπτούσης κατὰ τὸν Μάϊον μῆνα; πρὸς τούτοις σὺ συγχέεις τὸν τοῦ σίτου θερισμὸν τῷ τῆς κριθῆς, ὅστις ἤρχετο μετὰ τὸ Πάσχα. ὁ πρῶτον θεριζόμενος στάχυς τῆς κριθῆς προσεφέρετο τῷ θυ- σιαστηρίῳ μετὰ τὴν ἐφεξῆς ἡμέραν ταύτης τῆς πανενδόξου ἑορτῆς. Ἐν τῇ Παλαιστίνῃ δὲ, κἂν τῇ Αἰγύπτῳ ἡ κριθὴ πρὸ τοῦ σίτου ἐθερίζετο.

Λευϊτ. 23. 15, 16.

Λευϊτ. 23. 11. Ἐξ. 9. 31, 32. Ρ' οὐθ. 1. 22.

„Ὁ Ἰορδάνης οὐδέποτε κατὰ τὸν Ἀπρίλλιον μῆνα πλημμυρεῖ.

Σὺ ὁ γράφων ταῦτα, ἀφεστηκὼς ὢν τοῦ Ἰορδάνου λέγας πλέον ἢ χιλίας, καὶ μηδέποτε ἐκεῖ πλησιάσας, πῶς ἐτόλμησας ἀντειπεῖν τοῖς γινώσκουσιν αὐτὸν μᾶλλον ἢ σὺ τὴν Σεκουάναν; Ἀρκεῖσοι μᾶλλον ἡ περιηγητοῦ τινος Γάλλου μαρτυρία; ἰδοὺ ἡ ἐν ταῖς τοῦ Ἰορδάνου ὄχθαις ἐν τῇ εἰκοστῇ δευτέρᾳ τοῦ Ἀπριλλίου μηνὸς γενομένη ὑπ' αὐτοῦ παρα- τήρησις. „Πῶς μὲν ἔχει ὁ ποταμὸς οὗτος ἐν τοῖς ἄλλοις τοῦ ἔτους και- „ροῖς οὐκ οἶδα, ἔστι δ' οὖν ὅμως βέβαιον τὸ, ὅτι ὅτε ἡμεῖς ἤμεθα ἐκεῖ, „ἦν λίαν βαθὺς, καὶ κατ' ἐξοχὴν σφοδρός. τὰ δὲ ὕδατα αὐτοῦ ἦσαν

Ὁ Δουβδάνος κ. 31. τῆς περιηγ. τῆς ἁγ. γῆς.

 „ωχρὰ

„ωχρὰ ἢ τεθολωμένα ὥσπερ τὰ τῦ Σεκυάνα ἐν καιρῷ χαμώνος διὸ „ἢ ἕτοιμος ἦν πλημμυρῆσαι. ἡμεῖα δὲ ἐκεῖ τῷ πρώτῳ μηνὶ, τῷ κα„λουμένῳ Νισὰν, , ἦν δὲ τότε καῦμα μέγα. Μετὰ ταῦτα σὺ λέγεις ἡμῖν, ὅτι κατὰ τὸν Ἀπρίλιον μῆνα ἢ γίνονται τοσῦτον μεγάλα καύματα, ὥσε ἀναλύειν τὴν ἐν τῷ Λιβάνῳ χιόνα, τὴν τὸν Ἰορδάνην ὑπερπληροῦσαν. Ἱκανώτατα τῷ κριτικῷ ἀπαντήσας, παρατηρῆσαι βύλομαι τὸ, ὅτι κατὰ τὰ ὑπὸ τῦ Θεβενότε, τῦ Λαὸ, ἢ τῦ Μαυνδρέλε ἰσορρόμενα ἡ τῦ Ἰορδάνε πλημμύρα ἐλάσσων ἐςὶ τῆς ἄλλοτέ ποτε. ὁ δὲ λόγος ἁπλῦς. Ὁ σφοδρὸς ὗτος ποταμὸς ἐπὶ πλεῖον τὴν ἰδίαν προσεπισκάψας αὔλακα, ἐλάττως τὰς πλημμύρας ποιεῖ ἀναλόγως τοῖς προσεπιγινομένοις βάθεσι. νῦν δὲ ὐκ ἐςὶ διαβατὸς εἰμὴ περὶ τὸ τέλος τῦ θέρες κατά τινας μόνον τόπες, ὡς μαρτυρεῖ ὁ πατὴρ Εὐγένιος, ἀλλ' ὐδὲ ἦν ποτε πάντως βατὸς ἐν τῷ τῆς πλημμύρας καιρῷ. ὐδὲν ὖν ἀλογώτερον τῦ δε τῦ ζητήματος, τῦ ὑπὸ τῦ ἀπίςε προτεινομένε. „Διατὶ ὁ Ἰησῦς, ἢ πᾶς ὁ λαὸς αὐτῦ ὁ διῆλθον τὸν Ἰορδάνην πε„ζοί; ὗτος ἐν μὲν τῇ περὶ τὴν ἰσορίαν Φιλοσοφίᾳ αὐτῦ μόνον τεσσαράκοντα ποδῶν πλάτος ἀπένειμε τῷ Ἰορδάνῃ, ἐνταῦθα δὲ ὁ προάξει αὐτὸ πορρωτέρω τῶν τεσσαράκοντα πέντε. ἀλλὰ τί ἐρεῖ κατὰ τῆς τῶν περιηγητῶν μαρτυρίας; τότων ὁ μὲν Μαυνδρέλος ἀπονέμει αὐτῷ πλησίον τῆς Ἱεριχῶ πλάτος ποδῶν ἑξήκοντα. ὁ δὲ πατὴρ Εὐγένιος, βημάτων περίπε πεντήκοντα· ὁ δὲ Δηβδάνος, λίθε βολῆς. ὁ δὲ Θεβενότος, ἴσον τῷ ἡμίσει τῦ Σεκυάνα. Ἀλλ' ἐρεῖτις τυχὸν τὰ τῶν δε τῶν περιηγητῶν διάφορα μέτρα τὸ πλάτες τῦ Ἰορδάνε δοκῦσιν ἀσύμφωνα. Ἀλλὰ πρῶτον μὲν πᾶσαι αἱ διαμετρήσεις, πλὴν τῆς τῦ Ἱερύκιπος Ῥατζιβίλε, συνάδυσιν, ἐπιγράφυσαι αὐτῷ πλάτος μεῖζον τῶν τεσσαράκονλα πέντε ποδῶν. δεύτερον δὲ ὐδεμίαν ἀληθῆ ἐναντιόλητα ἔχυσι μεταξὺ αὐτῶν. διότι κἂν οἱ εἰρημένοι περιηγηταὶ παρελήφησαν τὰς τῦ Ἰορδάνε ὄχθας περὶ τὸν καιρὸν τῦ Πάσχα, πάντες ὅμως εἶδον αὐτὸν ἐν διαφόροις ἔτεσιν, οἱ μὲν μᾶλλον προβαλόντα τῦ ἔαρος, οἱ δὲ ἧττον, ὧν εἷς ὁ Μαυνδρέλος. ὐδὲν ὖν παράδοξον, ἐὰν οἱ μὲν εὗρον αὐτὸν πλημμυρώτερον, ἢ ἑπομένως πλατύτερον, οἱ δὲ ἧττον. „Εἷς δὲ τῶν ἐν τῷ ἑβδόμῳ αἰῶνι συγγραφέων *), ὑπὸ τῦ Ῥε„λάνδε μνημονευόμενος, φησὶν, ὅτι ἦσαν ἀναγκαῖοι βραχίονες ἰσχυρῦ „ἀνδρὸς, ἵνα ἀπ' ἄκρε εἰς ἄκρον τῦ Ἰορδάνε φθάσῃ ὁ ὑπ' αὐτε ἐκ„σφενδονισθεὶς λίθος. Τῦτο δὲ τὸ πλάτος ὑπερβαίνει πάσας τὰς ὑπὸ τῶν

Ε'ν βιβ. κ. 14. περιηγ. τῆς ἁγ. γῆς.

*) Ὁ Ἀλαμάνος ἐν βιβ. 2. περὶ ἱερῶν τόπων, παρὰ Ῥελάνδῳ ἐν βιβ. 1. κ. 43. τῶν περὶ τῆς Παλαιςίν. διασαφήσ.

λῶν νεωτέρων περιηγητῶν παρατηρηθείσας διαμετρήσεις. συμβαίνει δὲ τοῦτο ἐκ τοῦ τὸν ποταμὸν Ἰόρδανον βαθύνειν διαπαντὸς τὴν ἰδίαν αὐλακα, ὡς ἀνωτέρω εἶπον, καὶ ἑπομένως βαθυτέραν νῦν εἶναι, ἢπερ πρὸ χιλίων ἐτῶν.

3. „Ἐπειδὴ ὁ Θεὸς, ὁ αὐτὸς λαλεῖ, προσέταξε μετὰ τὴν διά-„βασιν τοῦ Ἰορδάνου περιτμηθῆναι πάντα τὸν λαὸν, καὶ ἐκείνην ἄρα „τὴν ἡμέραν περιετμήθησαν ἑξακόσιαι καὶ μία χιλιὰς πολεμιστῶν. ἐὰν „δὲ ἕκαστος αὐτῶν εἶχε δύω τέκνα, τὸ ὅλον συνεκρότει ἓν μιλιόνιον, „καὶ ὀκτακοσίας καὶ τρεῖς χιλιάδας ἀκροβυστιῶν.

Ἀλλ' ἐὰν πολλοὶ τῶν Ἰσραηλιτῶν οὐκ ἦσαν συνεζευγμένοι γυναιξὶ, καίπερ πεφυκότες τὴν τοῦ ὁπλοφορεῖν ἡλικίαν; οἱ τῆς παλαιᾶς ἀρχαιότητος ὀψὲ δύτερον, ἢπερ τὴν σήμερον γυναικὶ συνεζεύγνυντο ἢ ἐὰν οὐκ εἶχον εἰμὴ θυγατέρας, τοῦ τότε ἴσως ὁ τοῦ φιλοσόφου ἀναλογισμός; (173).

4. „Διατὶ, φησὶν ὁ αὐτὸς, πάντες οἱ Γίγαντες Χαναὰν, καὶ πάν-„τες οἱ λαοὶ τῆς Βύβλου, τῆς Βηρυτοῦ, τῆς Σιδῶνος, καὶ τῆς Τύρου πα-„ρέβλεψαν τὴν εὐκαιρίαν τοῦ καταφάξαι τοὺς κατ' αὐτῶν ἐφορμή-„σαντας;

Διότι ἡ θαυμασία τοῦ Ἰορδάνου διάβασις, καὶ πάντα τὰ μετὰ τὴν ἐκ τῆς Αἰγύπτου ἔξοδον γενόμενα τεράσια κατέπηξαν πᾶσαν τὴν γῆν Γεν. 5. 1. Χαναάν. οὗτος ἐστὶ κατὰ τὸν ἱερὸν συγγραφέα ὁ τῆς ἀπραξίας τούτων τῶν λαῶν λόγος, ὅσις δὴ καὶ ἰσχυρός ἐστι, κἂν ὁ ἄπιστος χλευαστικῶς αὐτὸν ἀναφέρῃ.

ΆΡΘΡΟΝ Δ'.

Περὶ τῆς ἁλώσεως τῆς Ἰεριχώ.

1. „Τινὲς τῶν ὑπομνηματιστῶν ζητοῦσι, πῶς ἡ τῆς Ἰεριχὼ γῆ, ἡ „ὀσμοφόρα τινὰ φυτὰ, καὶ ὀλίγους φοίνικας καὶ ἐλαίας φύουσα, ἐδυνή-„θη διαθρέψαι πλῆθος πεινῶν, καὶ πρὸ πολλοῦ μηδὲν ἐσθίον, εἰ μὴ „μόνον τὸ μάννα; τὸ δὲ πλῆθος ἦτο, συμπεριληφθέντων γερόντων, „καὶ παιδίων, καὶ γυναικῶν, προάγει εἰς ἀριθμὸν ὑπερβαίνοντα τὰ „τέσσαρα μιλλιόνια.

Τοιοῦτός ἐστιν ὁ ἀναλογισμὸς τοῦ ἡμετέρου ἀναλογιστοῦ. ἀνάγκη δὲ ἐστιν ἀφελεῖν ἀπ' αὐτοῦ μόνον τὸ ἥμισυ. διότι ἑξακόσιαι καὶ μία χιλιὰς ἀνθρώπων ἐν ἡλικίᾳ ὁπλοφορεῖν δυναμένη ὑποτίθησιν ὡς πλεῖον τῶν δύω μιλλιονίων, συμπεριληφθέντων γερόντων, καὶ παιδίων, καὶ γυναικῶν. Ἀλλὰ, τελευταῖον, πόθεν διεῖρεφοντο ταῦτα τὰ δύω μιλλιόνια;

Ἐκ

Γεν. 5. 12. Ἐκ τῶν καρπῶν τῆς γῆς, λέγει τὸ ἱερὸν ὕφος, ἐξότε ἐξέλειπε τὸ μάννα. Πῶς; Ἐκ τῶν καρπῶν τινῶν φοινίκων, ἢ ἐλαιῶν; Ἡ γῆ τῆς Ἰεριχὼ ἐπλεόναζε παντὸς εἴδους καρπῶν κατά τε τὴν θείαν Γραφὴν, τὸν Ἰώσηπον, τοὺς περιηγητὰς*), ἢ καὶ αὐτὸν τὸν κριτικὸν, τὸν γράψαντα ἀλλαχοῦ τάδε· Αὕτη ἐστὶν ἡ μόνη ἀγαθὴ γῆ τῆς Χανα-„ναίας γῆς. Ἀλλ' ἆρά γε ἠγνόει αὐτὸς, ὅτι οἱ Ἑβραῖοι, ὅτε διῆλ-θον τὸν Ἰορδάνην ἦσαν κύριοι γῆς ἀγαθῆς, μῆκος μὲν ἐχούσης λέ-γας τεσσαράκοντα, πλάτος δὲ περίπου δέκα, ἀπὸ τῶν ὁρίων τῶν Μωαβιτῶν ἄχρι Ἰῶν τῆς Γαλαάδ; αὕτη δὴ ἡ γῆ ἐχορήγησεν αὐτοῖς πάντα τὰ σιτηρέσια, τὰ θησαυριζόντα ἐν ᾗ γῇ ἐκείνῃ ὑπὸ τῶν παλαιῶν οἰκητόρων, τῶν ὑπ' αὐτῶν ἀπολεσθέντων.

Δευτ. 2. 19. Γώσ. περὶ πολ. β. 1. κ. 5. ἢ β. 4. κ. 26.

2. „Ὀδυνηρῶς ἀναφέρομεν, φησὶν ὁ αὐτὸς, τὰς τῶ Λορδ Βο-„λιγγβροοκίῳ σκέψεις, τὰς μετὰ τὸν τούτου θάνατον ὑπὸ τῶ κυρίῳ „Μαλέτου τύπῳ ἐκδοθείσας. Τὸ ἐλθεῖν ἐξ ἐρήμου τινὸς ἀγνώστου πρὸς „τὸ ἐξαφανίσαι ὁλόκληρόν τινα ἄγνωστον πόλιν, κατασφάξαι ἐναν-„τίον πάντων τῆς φύσεως νόμων γυναῖκας, ἢ βρέφη, ἢ πάντα τὰ „ζῶα, κατακαύσαι τὰς οἰκίας, ἢ τὰ ἐν αὐταῖς κινητὰ πράγματα.... „Τοῦτο, εἴπερ ὄντως ἔστι τὸ ἀτοπώτερον πάντων τῶν διηγημάτων, ἔστιν ὅ-„μως τὸ μισητότερον. μόνον κλέπτης ἄνθρωπος, μεμεθυσμένος ὤν, „ἐδύνατο τοῦτο συγγράψαι, ἀσθενὴς δὲ ἢ μεμεθυσμένος τοῦτο πιστεῦ-„σαι... Ὁ Μηλόρδος, ἐπαναλαμβάνει ὁ κριτικὸς, λίαν καθωργισμέ-„νος ἦν, ὅτε τοῦτο τὸ σφοδρὸν ἀποσπασμάτιον συνέγραψε.

Τῷ ὄντι μεμεθυσμένος ἦν ὁ Μηλόρδος. ἀλλ' ὅπερ οὐκ ἠδυνήθη γράψαι, εἰ μὴ μεμεθυσμένος ὤν, ἢ ὅπερ οὐκ ἠθέλησε τύπῳ ἐκδοῦναι, σὺ τολμᾷς ἐπαναλαμβάνειν, ἢ προτείνειν ἐνώπιον τῶ κοινῶ, διαμαρ-τυρόμενος, ὅτι ὀδυνηρῶς τοῦτο ἀναφέρεις. τῇ ἀσεβείᾳ ἢ μανίᾳ τῶ Βολιγγβροοκίῳ σὺ προσθῆς πανουργίαν μεθ' ἀπιστίας, ἢ μεμελα-νωμένην κακίαν, ἧς σὺ μόνος ἐπιδεκτικός. Τί ἐποίησεν ὁ Ἰησοῦς κατὰ τῆς Ἰεριχώ; Τὸ λογιζόμενον συγχωρητὸν τοῖς νικηταῖς παρὰ πᾶσι τοῖς ἔθνεσι, ἢ ἀκμὴν δὲ συγχωρούμενον κατὰ τῆς δι' ἐφόδου ἁλωθεί-σης πόλεως, οἱ νικηταὶ, ἤτοι τοῖς τῶ νόμῳ πολέμοις ἑπόμενοι, ἢ τὰς τῶ ἡγεμόνος αὐτῶν ἐπιταγὰς ἐκτελοῦντες, φείδονται μὲν τῶν ζώων, ἢ τῶν κινητῶν πραγμάτων φιλαργυρίας χάριν ἢ κέρδους, συχνάκις ὅμως οὐδὲ γέροντας οἰκτείρουσιν, οὐδὲ νήπια, οὐδὲ γυναῖκας. Ὁ Ἰησοῦς ἐτέλει τὸ τῶ Θεῶ ἐκπεφασμένον πρόσαγμα κατὰ ἔθνους, ὅπερ μετὰ τὸ

*) Τὸν Θεβνέτον, Δεβδάνον, Εὐγένιον Ῥογίε. Ναύ. Ἐν τῇ περὶ τῆς ἰουδ. φιλοσοφ. κεφ. 40.

μολῦναι τὴν γῆν διὰ τῶν θεοςυγῶν θυσιῶν, ἐν αἷς τὸ ἀνθρώπινον αἷμα ἐξέχεε, καὶ διὰ τῶν τερατωδῶν ἀκαθαρσιῶν, τῶν κατὰ τῶν θεμελιωδῶν νόμων τῆς φύσεως ἀντιφερομένων, καὶ μετὰ τὸ καταχρήσασθαι ἔτη τετρακόσια τῆς τοῦ Θεοῦ ἀγαθότητος καὶ μακροθυμίας, τελευταῖον παρεδόθη τῷ ἀναθέματι.

3. „Ὁ Βολιγγβροόκιος προςίθησι τάδε· „Ταῦτα τὰ ῥήματα, „ἕως τῆς σήμερον ἡμέρας, Δεικνύουσιν, ὅτι τοῦτο τὸ βιβλίον οὐκ ἔςι „τοῦ Ἰησοῦ.

Ἐγὼ πιςεύω, ὅτι τὰ ῥήματα ταῦτα δεικνύουσιν, ἢ τὸ ὅτι ὁ Ἰησοῦς ἔγραψε ταῦτα μόνον περὶ τὸ τέλος τῆς ζωῆς αὐτοῦ, ἱκανοῦ διελθόντος καιροῦ, ἐξότου ἡ Ῥαὰβ, καὶ ὁ οἶκος αὐτῆς, διασωθέντες ἐκ τῆς καταςροφῆς τῆς Ἱεριχὼ, κατώκουν ἐν μέσω τῶν Ἰσραηλιτῶν. ἢ ὅτι ὁ τὰ ὑπομνήματα ταῦτα συλλέξας προσέθετο τὰ ῥήματα ταῦτα, Ἕως τῆς σήμερον ἡμέρας. (174)

4. „Ὁ Ἰησοῦς, λέγει ὁ αὐτὸς, καίπερ ἔχων μετ' αὐτοῦ ἑξακο„σίας χιλιάδας ςρατιωτῶν εὐτάκτων, εὑρίσκει ὅμως τρόπον τοῦ κατα„τροπωθῆναι ὑπὸ διακοσίων, ἢ τριακοσίων χωρικῶν, ὅτε τῷ χωρίῳ „αὐτῶν παρενέβαλλεν. ἀναδείκνυσι δὲ καὶ μάγον, μαντευόμενον, καὶ „λέγοντα, ὅτι κατετροπώθησαν διὰ τὴν ὑπὸ ςρατιώτου τινὸς γενο„μένην προλαβὸν ἁρπαγὴν μέρους τῶν λαφύρων (175).

Ἑξακόσιαι χιλιάδες ἀνδρῶν ὁπλοφορεῖν δυναμένων, εἰσὶ παρ' αὐτῷ ἑξακόσιαι χιλιάδες ςρατιωτῶν εὐτάκτων. κατὰ τοῦτον οὖν τὸν ἀναλογισμὸν τὴν σήμερον ἐν τῇ Γαλλίᾳ εἰσὶν ἑπτὰ μιλλιόνια ςρατιωτῶν εὐτάκτων. Ἐν τῷ ςρατεύματι, τῷ κατὰ τῆς Γαὶ παρεμβαλόντι οὐκ ἦσαν εἰμὴ ὡσεὶ τρεῖς χιλιάδες ἀνδρῶν. ματαίως δὲ ὁ ἄπιςος καταβιβάζει εἰς τριακοσίους μόνον ἀγρότας τὸν ἀριθμὸν τῶν τὴν Γαὶ φρουρούντων. Τῶν δὲ κλήρων ἡ συνήθεια οὐ κατεςάθη δεισιδαίμων καὶ ἁμαρτωλὸς, εἰμὴ ἐξότου ἤρξαντο μετέρχεσθαι αὐτὴν ἄνευ θείου προςάγματος, ἢ ἐπαγγελίας. ἡ οὖν δεισιδαιμονία μιμεῖσθαι ασεύδει τὴν ὑπ' αὐτῆς ἀλλοιουμένην ἀληθινὴν εὐλάβειαν· ἡ δὲ πανουργία ἐν τοῖς τοιούτοις ὑποτίθεται ἔργον παλαιόν τε καὶ ἀληθινὸν, ὅπερ ἐςὶ τὸ, ὅτι ὁ Θεὸς ἐνίοτε ἔδειξε τοῖς ἀνθρώποις τοὺς κλήρους, ὡς ἱκανοὺς ἀνακαλύψαι ἅπερ αὐτὸς δηλῶσαι αὐτοῖς ἤθελεν. ὅτε οὖν ὁ Θεὸς κελεύει, τότε μετερχόμενοι τοὺς κλήρους, ὑπακούομεν τῷ Θεῷ· ἐν ἄλλαις δὲ περιςάσεσι, πειράζομεν αὐτόν.

Ἰησ. 7. 4

ΆΡΘΡΟΝ Ε'.

Περὶ τῆς ἐν Γαβαὼν ἡμέρας

1. Προσδοκώμενον ἦν τὸ τὸν ἄπιστον προσηλῶσαι πᾶσαν τὴν εὐφυίαν αὐτῦ πρὸς δυσφημίαν τῶν θαυμάτων τῶν ἐν τῇ ἡμέρᾳ τῇ ἐν Γαβαὼν γεγονότων. τῷ ὄντι δὲ ὅτ' οὐδὲ τῆς τεχνυργίας, οὐδὲ τῦ ψεύδους ἐφείσατο. διὸ πρῶτον μὲν κατὰ τὸ ῥηθέντος ἐν τῷ τῦ Ἰησῦ βι-
Γην. 10. 3. βλίῳ περὶ τῦ, ὅτι ὁ Βασιλεὺς τῆς Ἱερυσαλὴμ ἦν ὁ συναγαγὼν τὸς ἄλλυς Βασιλεῖς ἐκ τῶν μεσημβρινῶν μερῶν τῆς Χαναὰν, ἵνα πάντες ὁμῦ συγκροτήσωσι πόλεμον κατὰ τῶν Γαβαωνιτῶν, προτείνει μετὰ τῶν κριτικῶν, „ὧν οὐδένα ὀνομάζει, τάδε. Τότε ἡ Ἱερυσαλὴμ χωρίον „ὄσα τῶν Ἰεβυσαίων, οἰκοδομῇ φρυρίῳ ἁρμοδιώτατον, Βασιλέα οὐκεῖ„χεν, ἠγνοεῖτο δὲ ᾗ ἡ λέξις Ἱερυσαλήμ. ὁ δὲ Ἰησῦς κατὰ τὸς ἐμ„πειροτέρυς ὑπομνηματισὰς ὁ συνέγραψε ταύτην τὴν ἱστορίαν.

Ἀρθρ. 4. Ἀριθ. 1. Ἐν τῷ προλαβόντι κεφαλαίῳ ἀπέδειξα, ὅτι τὸ τῦ Ἰησῦ βιβλίον συγγεγραμμένον ἦν πάντως πρὸ τῆς Βασιλείας τῦ Δαβίδ· κἂν δὲ τὸ ὅλον οὐχ ὑπάρχῃ ἔργον τῦ Ἰησῦ, συνετέθη ὅμως, καὶ ταῦτα πρὸ τῦ τῶν Κριτῶν βιβλίυ, ἐξ ὑπομνημάτων γεγραμμένων ὑπ' αὐτῦ, ἢ τῶν συγχρόνων αὐτῷ. Περὶ δὲ τῦ ὅτι ἐν τοῖς τῦ Ἰησῦ χρόνοις ἡ Ἱερυσαλὴμ οὐκ ἦν ἁπλῶν χωρίον, ἀπόδειξις ἀναντίῤῥητός εἰσιν οἱ Ἰεβυσαῖοι, οἵτινες ἢ μετὰ τὴν καταςροφὴν καὶ τὸν θάνατον τῦ Βα-
Γην. 15. 63. σιλέως αὐτῶν ἀντέςησαν τῇ βίᾳ τῇ κατ' αὐτῶν ἐνεχθείσῃ ὑπὸ τῆς τῦ Ἰούδα ἢ Βενιαμὶν φυλῆς, ἐξότυ ὁ Ἰησῦς κατ' αὐτῶν ἐςρατοπέδευσεν, ἄχρις ὃ ὁ Δαβὶδ ἐβασίλευσε. διὰ τῦτο ὢν ὁ Δαβὶδ, ἵνα διώξῃ αὐτὺς ἐκ τῶν ἐπιτειχισμάτων αὐτῶν, ἐν οἷς ἐνόμιζον ἑαυτὺς ἀνικήτυς, ἠναγκάσθη μετελθεῖν πᾶσαν τὴν δύναμιν τῶν μετ' αὐτῦ ἰσχυρῶν.

2. Μετὰ τήν δε τὴν προσβολὴν καταντᾷ εἰς τὰ ἔργα. „Πᾶσα, „φησὶν, ἡ ἀρχαιότης ἐλάλησε περὶ βροχῆς πετρῶν. πρώτη πετρῶν βρο„χή ἐςιν ἡ τῦ Διὸς πρὸς βοήθειαν τῦ Ἡρακλέυς ἐνεχθεῖσα.

Οὐ μόνον οἱ Ποιηταὶ, ἢ οἱ παλαιοὶ ἱςορικοὶ περὶ βροχῆς πετρῶν ἐλάλησαν, ἀλλὰ ἢ οἱ Φιλόσοφοι, οἷος ἐςιν ὁ Πλίνιος, ὁμοίως καὶ οἱ νεώτεροι, οἷον ὁ Καρδάνος, ὁ Γασένδης, καὶ οἱ λοιποὶ ὡς βέβαια παραδεδώκασι ταῦτα τὰ φαινόμενα. κἂν ὢν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῆς Γαβαὼν μετῆλθε τὰ δεύτερα αἴτια, διεύθυνεν ὅμως θαυμασιοτρόπως τὸ τύτων ἀποτέλεσμα. διότι ἡ ῥιπτομένη τῶν πετρῶν χάλαζα ἐπὶ

μόνυς

μόνυς τὺς φεύγοντας Χαναναίυς πίπτυσα, μηδὲ μικρὰν προεξένει βλάβην τοῖς διώκυσιν αὐτὺς Ἑβραίυς.

3. „Αἱ πέτραι, προσίθησιν ὁ αὐτὸς, μεγάλαι ὖσαι σφόδρα, ἀ„ναγκαίως συνέθλασαν πάντας τὺς Ἀμορραίυς, μηδένα καταλιπῦ„σαι ζῶντα. πολλοὶ ὖν σοφοὶ θαυμάζυσι περὶ τῦ, ὅτι ὁ Ἰησῦς μετὰ „ταῦτα κατέφυγεν ἐπὶ τὸ μέγα θαῦμα τῆς τῦ Ἡλίυ ἢ Σελήνης „στάσεως.

Πειθανώτατον δοκεῖμοι τὸ, ὅτι ἡ πτῶσις τῆς τῶν λίθων χαλάζης συνέβη μετὰ τὸ θαῦμα τὸ τὴν φαινομένην τῦ Ἡλίυ κίνησιν στῆσαν. ὑποσημαίνει τῦτο ὁ ἱερὸς συγγραφεὺς, λέγων. „Καὶ ἐγένον- Γ'ησ. 10. 11.
„το πλείυς οἱ ἀποθανόντες διὰ τὺς λίθυς τῆς χαλάζης, ἢ ὡς ἀπέκ„τειναν οἱ υἱοὶ Ἰσραὴλ μαχαίρᾳ ἐν τῷ πολέμω. Ὑπεμφαίνει δὲ, ὅτι ἡ χάλαζα ἀπώλεσε τὸ πλεῖσον μέρος τῶν ἐκφυγόντων τὴν μάχαιραν. ἀνέφερε δὲ τὴν τῆς χαλάζης πτῶσιν πρὸ τῆς προσευχῆς τῆς στησάσης τὸν Ἥλιον, ἵνα ἀπαρακόπως διηγηθῇ τὴν τῶν Χαναναίων καταστροφήν (176).

4. „Πάντες συνάθροι, φησὶν ὁ αὐτὸς, περὶ τῦ ὅτι μεσημβρίας „ὔσης, ἔστη ὁ Ἥλιος καὶ ἡ Σελήνη. ἀλλ' ἱκανὸν καιρῦ διάστημα ἦν τὸ „ἀπὸ μεσημβρίας ἀχρις ἑσπέρας εἰς τὸ ἀποκτεῖναι πάντας τὺς φεύ„γοντας, ἐπὶ τῇ ὑποθέσει τῦ ὅτι ἐφείσατο τινῶν ἡ τῶν πετρῶν „βροχή.

*Πολλοὶ τῶν ὑπομνηματιστῶν, ἐν οἷς καὶ ὁ σοφὸς Μάριος ἐσοχάθησαν, ὅτι ὁ Ἥλιος μετὰ τὴν μεσημβρίαν, ἢ πρὸς δυσμὰς προιὼν, ἔστη. Ἰδὲ ὁποία ἦν, κατὰ τὸ ἐμοὶ δοκῦν, ἡ τάξις τῶν ἐν ταύτῃ τῇ ἀξιομνημονεύτῳ ἡμέρᾳ συμβάντων. α'. Ὁ Ἰησῦς ἐρχόμενος ἐκ Γαλγάλων, ἵνα τῇ Γαβαὼν βοηθήσῃ, περιπατεῖ μὲν ὅλην τὴν νύκτα, ἠδύνατο ὅμως συμπλακῆναι τοῖς συνωμόταις Βασιλεῦσιν, εἰμὴ ἐν τῷ μέσῳ τῆς πρωΐας. διότι τὸ μὲν μεταξὺ τῶν Γαλγάλων καὶ τῆς Γαβαὼν ἀπόσημα λέγαι εἰσὶν ἑπτὰ ἢ ὀκτὼ, ἡ δὲ ὁδὸς, διὰ τὰ τέμνοντα αὐτὴν ὄρη, δυσδιάβατος. τὸ ὖν πολυάριθμον τῦ Ἰησῦ στράτευμα ἠναγκάσθη καταναλῶσαι καὶ μέρος τῆς πρωΐας, ἵνα τὴν κοπώδη ταύτην διέλθῃ ὁδὸν, ἣν νυκτὸς διέρχεσθαι ἤρξατο. β'. Οἱ Χαναναῖοι, ὅτε κατ' αὐτῶν ἐπέστη ὁ Ἰησῦς ἐξ ἀνάγκης παρετάξαντο ἐν τῷ κατὰ ἀνατολὰς μέρει τῆς Γαβαὼν, ἐν ᾧ τὰ Γάλγαλα. ὅτω δὲ αὐτὺς καταταγῆναι ὁ φυσικὸς ἔπειθε λόγος, ἵνα τὴν συγκοινωνίαν ἀνακόψωσι τὴν μεταξὺ τῶν Γαβαωνιτῶν καὶ Ἰσραηλιτῶν, τῶν ἐν Γαλγάλοις παραταχθέντων. γ'. Ὁ Ἰησῦς ὑπάρχων ἔτι ἐν τοῖς κατὰ ἀνατολὰς μέρεσι της Γαβαὼν, „εἶπε τὸ, Στήτω ὁ Ἥλιος κατὰ Γαβαών. ἐξ Γ'ησ. 10. 12.

δ δῆλον, ὅτι τότε ὁ Ἰησοῦς εἶχεν ἀπ' ἐναντίας τοῦ προσώπου αὐτοῦ τὸν Ἥλιον, καὶ τὴν Γαβαών· οἴδαμεν δὲ ὅτι ὁ συγκροτισμὸς ἔγινεν ἐν τοῖς κατὰ ἀνατολὰς μέρεσι ταύτης τῆς πόλεως. δ'. Κἂν ὁ Ἥλιος
Ἰησ. 10. 13. πολὺ ὑπερυψωμένος ἦν τοῦ ὁρίζοντος, „Κατὰ μέσον τοῦ οὐρανοῦ, ὅτε ὅμως ἐφάνη, ὅτι ἔδυ, ἔκλινε πρὸς δυσμάς. ε. Τοῦτο τὸ θαῦμα, καὶ
Ὅρα τὴν 176. σημείωσ. ἡ τοῦτο τελέσασα προσευχὴ τοῦ Ἰησοῦ ἔγιναν πρὸ τῆς πτώσεως τῆς χαλάζης, ἥτις οὐκ ἤρξατο, εἰμὴ ὅτε οἱ Χαναναῖοι φεύγοντες κατήντησαν εἰς τὸ κατωφερὲς τῆς Βεθωρὼν, τῆς ἐν τῷ δυτικῷ μέρει τῆς Γαβαὼν κειμένης, καὶ ἀπεχούσης ἀπ' αὐτῆς λέγας τέσσαρας, ἢ πέντε. Αὕτη τῶν συμβάντων ἡ διάταξις τεθεμελιωμένη ὅσα οὐ τῷ ὕφει τῆς θείας Γραφῆς, κἂν τῷ μεταξὺ τῶν τόπων διαζήματι, κατεδαφίζει πάσας τὰς τοῦ κριτικοῦ δολοκρισολογίας.

5. „Ὁ αὐτὸς ἀκολούθως φησίν· Οἱ βέβηλοι σημειοῦσιν, ὅτι ὁ „μὲν Διόνυσος ἔζησε προλαβὸν τὸν Ἥλιον καὶ τὴν Σελήνην. ὁ δὲ Ἥ„λιος ἐπεσράφη ἀπὸ τοῦ φόβου, ἰδὼν τὸ τοῦ Ἀτρέως καὶ τοῦ Θυέσου „δεῖπνον (177).

Βεβηλότατός ἐσιν ὁ παραβάλλων τὰς ἀλληγορίας, καὶ τὰ τῶν Ποιητῶν χήματα τῇ ἁπλῇ καὶ φυσικῇ καὶ περιεσατωμένῃ διηγήσει τῆς τοῦ Ἰησοῦ ἱσορίας.

6. „Οἱ φυσιολόγοι, φησὶ, συναντῶσί τινα δυσκολίαν εἰς τὸ διερ„μηνεῦσαι τὸ πῶς ὁ Ἥλιος ὁ μὴ κινούμενος ἔζησε τὸν δρόμον αὐτοῦ.

Οὐ πλείονα συναντῶσι δυχέρειαν τῆς συναντωμένης εἰς κατανόησιν τοῦ ὑπ' αὐτῶν καθ' ἑκάσην λεγομένου, ἤγουν τοῦ, ὅτι ὁ Ἥλιος ἀνατέλλει, καὶ δύνει, καὶ καταντήσας εἰς τὸν τροπικὸν τοῦ Καρκίνου, ἐπισρέφει πρὸς τὸν τοῦ Αἰγοκέρωτος. καλῶς οἴδασιν ὅτοι. ὅτι ἡ ἀνθρώπινος γλῶσα εὐθύνεσ κατὰ τὰ ἐν ταῖς αἰσθήσεσιν ὑποπίπτοντα.

7. „Ἄλλη περιπλοκή. Καὶ πῶς, φησὶν, ἡ ἡμέρα αὕτη διπλα„σία ὅσα τῶν ἄλλων ἡμερῶν συμβιβάζει τῇ τῶν Πλανητῶν κινήσει, „καὶ τῇ τῶν ἐκλείψεων εὐταξία;

Φιλόσοφος ἀράγε ἐσὶν ὁ λαλῶν; πῶς; ὁ τῆς Ἐγκυκλοπαιδίας ποιητὴς, ὁ τὸν μέγαν συντεμὼν Νεύτωνα, ὁ καυχησάμενος περὶ τοῦ ὅτι κατέσησεν ἡμῖν καταληπτὴν τὴν τοῦ ἀσρονόμου τούτου ὑψηλὴν θεωρίαν, ἠγνόει, ὅτι οὐκ ἐκ τῆς ἡμερησίου περιφορᾶς, εἴτουν ἐκ τῆς πρὸς τὸν ἴδιον ἄξονα περισροφῆς τῆς γῆς, ἀλλ' ἐκ τῆς ἐν τῷ Ζωδιακῷ προόδου, καὶ τῆς ἐτησίου κινήσεως αὐτῆς ἤρτηνται αἱ σχέσεις αὐτῆς, αἱ πρὸς τὴν τῶν ἄλλων Πλανητῶν κίνησιν, καὶ πρὸς τὴν τῶν Ἐκλείψεων εὐταξίαν; Τί ἦν τὸ ἀναγκαίως ἀπαιτούμενον πρὸς τὴν τῆς ἡμέρας παράτασιν; Τὸ τὴν γῆν παύσασθαι μὲν τῆς περὶ τὸν ἴδιον ἄξονα περιφο-

ριφορᾶς, μὴ λῆξαι δὲ τὴν τῇ δυνάμει τῆς ἐτησίου αὐτῆς κινήσεως γινομένην ἐν τῷ Ζωδιακῷ πρόοδον. ἀρά γε δὲ οὐκ ἰσχύει ἡ θεία δύναμις παῦσαι τὴν ἑτέραν τούτων τῶν δύο κινήσεων, μὴ βραδυπορησάσης τῆς ἑτέρας; τούτου κειμένου ἡ μὲν γῆ διατηρήσει τὴν ταυτότητα τῶν πρὸς τοὺς ἄλλους Πλανήτας σχέσεων αὐτῆς, αἱ δὲ Ἐκλείψεις μετὰ τῆς αὐτῆς ἐπακολουθήσουσιν εὐταξίας. δεικνύουσι δὲ αἱ κατὰ τῆς ὑποθέσεως ταύτης ἐνστάσεις τὸ κριτικὸν, ὅτι αὐτὸς ἤτοι οὐδέποτε ἔμαθεν, ἢ παντελῶς παρέβλεψε τὰ πρῶτα τοῦ ἀστρονομικοῦ συστήματος στοιχεῖα (178).

ΑΡΘΡΟΝ, ς'.

Περὶ τῆς βίβλου τοῦ Εὐθοῦς.

1. „Περὶ τῆς τοῦ Εὐθοῦς βίβλου, προσίθησιν ὁ αὐτὸς, τῆς προτει„νομένης εἰς μαρτυρίαν τῆς ἀληθείας τῆς ἐν τῇ ἱστορίᾳ ταύτῃ (τῇ „περὶ τῆς φάσεως τοῦ Ἡλίου) ὁ Δωρὸθ Βολιγγβροόκιος φησί· Τοῦτο „ἀποδείκνυσιν, ὅτι ἐκ ταύτης τῆς βίβλου ἐλήφθη ἡ τοῦ Ἰησοῦ ἱσο„ρία. (179.).

Οὐδαμῶς. Τοῦτο ἀποδείκνυσι μόνον, ὅτι ἡ συλλογὴ ἡ καλουμένη βιβλίον τοῦ Εὐθοῦς περιεῖχε συνθεμάτιον ποιητικὸν, σχέσιν ἔχον πρὸς τὴν τοῦ Ἰησοῦ ἱστορίαν, ἧς ὁ συγγραφεὺς παρέθηκέ τινα ἐξ αὐτοῦ ἴχνη.

2. „Ἀλλὰ τὸ αὐτὸ τοῦ Εὐθοῦς βιβλίον, ἐπαναλαμβάνει ὁ αὐ„τὸς, μνημονεύει ἐν τῷ δευτέρῳ τῶν Βασιλειῶν βιβλίῳ. πῶς δὲ τὸ „αὐτὸ βιβλίον ἐγράφη ἐν τοῖς τῶν Βασιλέων χρόνοις, ἢ πρὸ τοῦ Ἰη„σοῦ; ἡ δυσκολία αὕτη ἐστὶ μεγάλη.

Μικρότερα ἦν πάντως, εἴπερ τοῦτο τὸ βιβλίον ἔτι ἐσώζετο. ἐδηλοποίει δὲ τὰ τὴν ἔνστασιν ἐξαφανίζοντα. τὸ δὲ, ὅτι τὸ βιβλίον τὸ πρὸ τοῦ Ἰησοῦ γεγραμμένον, ἐν τῷ βιβλίῳ αὐτοῦ τοῦ Ἰησοῦ ἀναφερόμενον, ἐμνημονεύθη μετὰ ταῦτα ὑπὸ τοῦ συγγραφέως τοῦ βιβλίου τῶν Βασιλειῶν, οὐκ ἔστι δυσκατάληπτον. πᾶσα δὲ ἡ δυσκολία κεῖται ἐν τῷ δε τῷ ὕφει τοῦ τῶν Βασιλειῶν βιβλίου· „Δαβὶδ διέταξε τοῦ δι- 2. Βασ. I. 18
„δάξαι τόξον τοὺς υἱοὺς Ἰούδα, ὡς γέγραπται ἐν τῷ βιβλίῳ τοῦ Εὐθοῦς. (180). Ποῖόν ἐστι τοῦτο τὸ τόξον; ἀράγε ἡ ἀνάμνησις τοῦ βιβλίου τοῦ Εὐθοῦς ἀνάγει ἐπὶ τὴν διάταξιν τοῦ Δαβὶδ, ἢ μόνον ἐπὶ τὸ τόξον, κἂν ὁποιονδήποτε εἴη τοῦτο τὸ τόξον; Τοῦτο ὃν ἐστὶ τὸ τοὺς διερμηνευτὰς περιπλέκον. Ἔστι δὲ ἄρα τῆς ὀρθῆς διαλεκτικῆς ἔργον τὸ λαμβάνειν ἀφορμὴν ἐκ τοσούτου σκοτεινοῦ ὕφους πρὸς ἄρνησιν τοῦ ὑπὸ τοῦ Ἰη-

Α΄ββ. 8. 1. Σειρ. 46. 1. Ἰησῦ γεννομένῳ θαύματος, ᾗ διαφημισθέντος ὑπὸ τῦ Ἀββακὺμ, ᾗ τῦ Σεραχ, πιστευθέντος δὲ διαπαντὸς ὑπὸ τῶν Ἰουδαίων; Οἱ εἰκάζοντες, ὅτι τόξον ἐστὶ τὸ Ἆσμα τὸ ὑπὸ τῦ Δαβὶδ φιλοπονηθὲν ἐπὶ τῷ θανάτῳ τῦ Σαοὺλ ᾗ Ἰωνάθαν· ὅπερ ἐ πάνυ πιθανόν· λέγουσιν, ὅτι τὸ βιβλίον τῦ Εὐθῦς, συλλογήτις ἐστὶν Ἀσμάτων, τὰ τῶν ἑβραίων Ἡρώων περιεχόντων κατορθώματα· ἥτις ἀρχὴν λαβοῦσα ἐν τοῖς χρόνοις τῦ Ἰησῦ· ἔτιν τὰς νίκας ἐπήνεσάν τινες διὰ ποιητικῶν συνθεμάτων, ἐξ ὧν ὁ τῆς ἱστορίας αὐτῦ συγγραφεὺς λέξεις τινὰς μόνον ἀνέφερεν. ἠυξήθη ἀπὸ γενεᾶς εἰς γενεὰν διὰ πολλῶν ἄλλων συνθεμάτων, ἐν οἷς ἐτάχθη ᾗ τὸ περὶ τῦ Σαοὺλ θρηνητικὸν Ἆσμα τῦ Δαβίδ. Τῦτο κείμενον ῥᾳδίως καταγνοῖμεν, ὅτι μέρος μὲν τῦ βιβλίου τῦ Εὐθῦς ἐμνημονεύθη ἐν τοῖς τῦ Ἰησῦ χρόνοις, τὸ δὲ λοιπὸν μετὰ τὸν Ἰῦτα θάνατον· ᾗ ὅτι τὸ ὑπὸ τῦ Δαβὶδ συγγραφὲν Ἆσμα, ᾗ μνημονευθὲν ἐν τῷ δευτέρῳ τῶν Βασιλειῶν βιβλίῳ ἐστὶν ἓν τῶν εἰρημένων συνθεμάτων.

ΑΡΘΡΟΝ Ζ΄.

Περὶ τῦ Σαγχωνιάθωνος ᾗ τῶν Φοινίκων.

1. Μετὰ τὴν ὑπ' ἐμῦ φιλοπονηθεῖσαν ἀναίρεσιν *) τῦ περὶ τῶν Φοινίκων ᾗ Σαγχωνιάθωνος ἄρθρου τῆς περὶ τὴν ἱστορίαν φιλοσοφίας, ἤλπιζον, ὅτι ὁ συγγραφεὺς αὐτῆς ἂν ἐπιθυμήσει ἐπαναγαγεῖν αὐτὸς ἐπὶ τὸ θέατρον. αὐτὸς ὅμως ἐπανέρχεται πάλιν, λέγων ἐν τῇ ὑπ' αὐτῦ τελευταίᾳ διερμηνευθείσῃ Διαθήκῃ· „Ἡ Καριαθσηφὶρ „κεῖται μεταξὺ τῆς Χεβρὼν, ᾗ τῆς μεσογείου θαλάσσης, ἥτις ἐστὶν ἡ „ἀρχὴ τῆς Φοινίκης. ὁ δὲ ἱστορικὸς Ἰώσηπος σημειοῖ ὅτι τῦτο τὸ „τος οἱ Φοίνικες ἦσαν πάντοτε θεατόται, ὐδὲν δὲ ὐδέποτε ἐξ αὐτῦ υ„πῆρχεν ὑπὸ τὴν τῶν Ἰουδαίων ἐξουσίαν.

Πρὸ πάντων ἔδει αὐτῷ εἰπεῖν, ὅτι οἱ Φοίνικες ὐδὲν ἕτερον ἦσαν, εἰμὴ αὐτοὶ οἱ Χαναναῖοι. ᾗ κατὰ μὲν τὸ τῦ Σαγχωνιάθωνος ἀπόασμα ὁ Φοίνιξ ἐστὶν ὁ αὐτὸς τῷ Χνᾷ (181), κατὰ δὲ τὴν τῶν σοφῶν ἀνδρῶν γνώμην ἡ ἑβραϊκὴ διάλεκτος ἡ αὐτὴ ἦν κατὰ τὰ θεμελιωδέστερα αὐτῆς στοιχεῖα τῇ τῶν Χαναναίων. εἶτα ἔδει προσθεῖναι ᾗ τὸ, ὅτι οἱ αὐτοὶ Χαναναῖοι, οἱ τὴν γῆν τῆς ἐπαγγελίας κατέχοντες διὰ τὴν κατ' αὐτὸς ἔφοδον τῦ Ἰησῦ κατήγησαν εἰς τὴν στενωτά-

*) Ε΄ κεφ. 2. Ἄρθρ. 1. τῆς ὑπερασπ. τῶν βιβλ. τῆς παλ. Διαθ. κατὰ τῆς περὶ τὴν ἱστορίαν φιλοσοφίαν.

νωτάτην ἄκραν τὴν κατὰ μῆκος τῆς μεσογείου παραθαλασσίας, τὴν ὑπὸ τῶν Ἑλλήνων γνωριζομένην ὑπὸ τῷ ὀνόματι τῆς Φοινίκης· πρὸς τούτοις καὶ τὸ ὅτι ἡ μὲν Καριαθσηφὴρ, ἡ ἐν τοῖς πλησίον ὄρεσι τῆς Χεβρὼν κειμένη, καὶ ἀπέχουσα τῆς θαλάσσης πλέον ἢ λέγας δέκα, οὐκ ἔστι μέρος τῆς ἐν τῇ παραθαλασσίᾳ εἰρημένης ἄκρας. ἡ δὲ Χεβρὼν, ἐξότου ὁ Χάλεβ κατεκυρίευσεν αὐτῆς, ἀνῆκε διαπαντὸς τοῖς Ἑβραίοις. Οὐκ ἔδει δὲ αὐτῷ χωρίς τινος ὑποδιαστολῆς προτεῖναι, ὅτι κατὰ τὸν Ἰώσηπον οὐδὲν οὐδέποτε ἐν τῷ τόπῳ τούτῳ ἦν ὑπὸ τὴν τῶν Ἰουδαίων ἐξουσίαν· διότι ὁ ἱστορικὸς οὗτος ἐν τῷ περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου δευτέρῳ βιβλίῳ λέγει ῥητῶς, ὅτι ὁ Κέστιος εἷλε ταχέως τὴν πόλιν τῆς Ἰόπης ἐκ χειρὸς τῶν Ἰουδαίων. Ἄλλως τε, ἀναμφίβολόν ἐστιν, ὅτι οὗτοι, κατὰ τὴν τοῦ πρώτου βιβλίου τῶν Μακκαβαίων μαρτυρίαν, ἦσαν ἐξουσιασταὶ τοῦ τόπου τούτου ἐπὶ τῆς Ἀρχιερατείας τοῦ Σίμωνος.

Γώσ. β. 2. κ. 22. περὶ Ἰουδ. πολ.

1. Μακκ. 15. 28. 35.

2. „Ὁ Σαγχωνιάθων, προστίθησιν ὁ αὐτὸς, ὁ Φοίνιξ, ὁ ἐν τῇ „Βηρυτῷ γεννηθεὶς συνέγραψε κοσμογονίαν πρὸ πολλοῦ πρὶν τοῦ „Μωσοῦ, καὶ τοῦ Ἰησοῦ.

Ἀλλὰ κἂν κεκυρωμένον λογισώμεθα τὸ λίαν διαδικάσιμον τοῦ Σαγχωνιάθωνος ἀπόσπασμα, πῶς εὗρεν οὗτος ὁ σοφὸς παλαιογράφος ἀποδείξεις περὶ τοῦ ὅτι ὁ Σαγχωνιάθων ἀρχαιότερός ἐστι τοῦ Μωϋσέως, ὃν ἐμπαθῶς καλεῖ Μωσῆν, δεῖξαι θέλων ἑαυτὸν τῆς ἑβραΐδος ἔμπειρον; Εὗρεν ἄρά γε αὐτὰς ἐν αὐτῷ τῷ ἀποσπάσματι; Ἀλλ' αὐτὸ ἀνάμνησιν ποιεῖ τῆς νήσου Τύρου, ὡς ἤδη ὠκοδομημένης, ἡ δὲ ἐν τοῖς τοῦ Μωϋσέως καὶ Ἰησοῦ χρόνοις ἀκμὴν οὐκ ὠκοδόμητο. ἡ δὲ παλαιὰ Τύρος κατά τε τοὺς ἀρχαίους καὶ νεωτέρους ἔκειτο ἐν τῇ ἠπείρῳ. πρὸς τούτοις τὸ ἀπόσπασμα λαλεῖ περί τινος Ἱερομβάλου, ἱερέως τοῦ Θεοῦ Ἰευώ. λίαν δὲ πειθανὸν δοκεῖ, ὅτι οὗτός ἐστιν ὁ Γεδεὼν, ὁ ἐπικληθεὶς Ἱεροβαὰλ, καὶ Κριτὴς διορισθεὶς ὑπὸ τοῦ Ἰεχοβὰχ, τουτέστι τοῦ κατὰ φύσιν ὄντος, τοῦ μόνου ἀληθινοῦ Θεοῦ, ᾧ οἱ Ἰουδαῖοι ἐλάτρευον, ὁ δὲ Γεδεὼν καὶ θυσίας προσέφερεν. Εὗρεν ἄρά γε τὰς ἀποδείξεις παρὰ τοῖς συγγραφεῦσι, τοῖς τοῦ Σαγχωνιάθωνος επιμνησθεῖσιν; Ἀλλ' ὁ κατὰ πρῶτον δηλοποιήσας αὐτὸν τοῖς Ἕλλησιν ἐστὶν ὁ Φίλων ὁ Βύβλιος, ὁ ἐν τῇ ἀρχῇ τοῦ δευτέρου αἰῶνος τοῦ χριστιανικοῦ ἔτους μεταφράσας αὐτὸν, ὥς φησιν ὁ Πορφύριος. μετὰ δὲ τὸν Φίλωνα τὸν Βύβλιον ὁ αὐτὸς Πορφύριος φησὶν, ὅτι ὁ Σαγχωνιάθων ἤκμαζε μὲν περὶ τοὺς χρόνους (182) τοῦ Τρωϊκοῦ πολέμου, καὶ ἐν καιρῷ λίαν πλησιάζοντι τῷ τοῦ Μωϋσέως· ἐξ οὗ δῆλον, ὅτι τούτου μεταγενέστερός ἐστιν· ἀνέθηκε δὲ τὸ ἑαυτοῦ πόνημα Ἀβελβαλῷ τῷ Βασιλεῖ Βηρυτίων. Ἐὰν οὖν ὁ Ἀβελβαλὸς ὁ πατὴρ ἦν τοῦ τῷ Δαβὶδ συνακμάσαντος

Παρ. Εὐσ. β. 1. κ. 11. καὶ β. 10. κ. 9. προπαρ.

Κριτ. 7. 1.

Παρ. Εὐσ. β. 1. κ. 11. προπαρ.

τος Ἡρὰμ τȣ̃ ἐν τῃ Τύρῳ βασιλεύοντος, ϗ τȣ̃ Λιβάνȣ δεσπόζοντος, ȣ̃ ἐν τῇ ὑπωρείᾳ ἡ Βηρυτὸς κεῖται, λέγας ἀπέχȣσα δεκατρεῖς ἢ δεκατέσσαρας. ὁ Ἀβελβαλὸς ἄρα μετὰ τὸν Τρωϊκὸν ἤκμασε πόλεμον. ἐπὶ τίνι ȣ̃ν θεμελίῳ στηριζόμενος ὁ κριτικὸς φησὶν, ὅτε ὁ Σαγχωνιάθων ἀρχαιότερος ἦν τȣ̃ Μωϋσέως;

3. „Ὁ Εὐσέβιος, λέγει ὁ αὐτὸς, πολλὰς ταύτης τῆς κοσμογο„νίας προτιθεὶς ῥήσεις ȣ̓δεμίαν προβάλλει τοῖς Ἑβραίοις ἀνήκȣσαν. „ἐὰν δὲ τοιαύτη ὑπῆρχε ῥῆσις, δῆλον ὅτι ἐμνήσθη ἂν αὐτῆς, ὡς μαρ„τυρίας προτεινομένης ὑπὸ τȣ̃ ἀρχαιοτέρȣ συγγραφέως ὑπὲρ τῆς τῶν „Ἰȣδαϊκῶν βιβλίων ἀληθείας.

Τȣ̃ τῆς ἀναμνήσεως διεσπαρμένων τινῶν τȣ̃ Σαγχωνιάθωνος ῥήσεων περὶ τῶν Ἑβραίων, ἔργον μεῖζον πεποίηκεν ὁ Εὐσέβιος, προθεὶς τὴν μαρτυρίαν τȣ̃ μεγάλȣ τῆς Ἀποκαλύψεως ἐχθρȣ̃, ϗ πανηγυριστȣ̃ τȣ̃ Σαγχωνιάθωνος, εἴτȣν τȣ̃ Πορφυρίȣ, εἰπόντος αὐταῖς λέξεσιν ἐν τῷ κατὰ τῶν χριστιανῶν πονήματι αὐτȣ̃ τάδε· „Ἱστορεῖ δὲ „περὶ Ἰȣδαίων ἀληθέστατα, ὅτι ϗ τοῖς τόποις ϗ τοῖς ὀνόμασιν αὐτῶν „τὰ συμφωνότατα, Σαγχωνιάθων ὁ Βηρύτιος, εἰληφῶς τὰ ὑπομνή„ματα παρὰ Ἱερομβάλȣ τȣ̃ ἱερέως Θεȣ̃ Ἰευώ. Ταύτην δὲ τȣ̃ Πορφυρίȣ τὴν ῥῆσιν δὶς ἐπανέλαβεν ὁ Εὐσέβιος, ἔντε τῷ πρώτῳ αὐτȣ̃ βιβλίῳ, τῷ περὶ κοσμογονίας ϗ τῶν πρώτων τȣ̃ κόσμȣ αἰώνων, κἀν τῷ ἐννάτῳ, ἐν ᾧ σκοπὸς αὐτῷ ἀποδεῖξαι τῇ τῶν θύραθεν παλαιῶν συγγραφέων μαρτυρίᾳ τὴν τῶν Ἰȣδαϊκῶν βιβλίων ἀλήθειαν.

Ἐρεῖς ȣ̃ν ἀράγε σὺ, ὅτι ὁ Πορφύριος, ὁ ἔχων πρὸ ὀφθαλμῶν ὁλόκληρον τὸ τȣ̃ παλαιȣ̃ Φοίνικος ϗ συμπολίτȣ αὐτȣ̃ Σαγχωνιάθωνος πόνημα, παρέστησεν αὐτὸν εἰπόντα χάριν τῶν Ἰȣδαίων, ὅπερ τῇ ἀληθείᾳ ȣ̓κ εἶπεν; Ἄθλιε μιμητὰ τȣ̃ Πορφυρίȣ, ὁ καλύπτων, ὥσπερ ἐκεῖνος, ὑπὸ τὸν τῆς φιλοσοφίας μενδύαν τὸ Ἰοβόλον μῖσος κατὰ τȣ̃ χριστιανισμȣ̃, ȣ̃τινος ἀποστάτης ἐγένετο, ὥσπερ ϗ σὺ. εἰς τοιαύτην ȣ̃ν κατήντησας περίστασιν, ὥστε μὴ δύνασθαι ἐπιστηρίξαι τὴν γενικῶς ϗ καθολικῶς ψευδῆ ȣ̃σαν ἀπόφασίν σȣ, ἐὰν μὴ ὁμολογήσῃς, ὅτι ψευδής ἐστιν ἡ τȣ̃ τῆς ἀπιστίας διδασκάλȣ σȣ μαρτυρία. σὺ ἤθελες ἰδεῖν τὸν Εὐσέβιον ἀνακαλȣ̃ντα τὰς τȣ̃ Σαγχωνιάθωνος ῥήσεις, τὰς περὶ τῆς ὑπὸ τȣ̃ Ἰησȣ̃ γενομένης ἐφόδȣ. ἀλλὰ κατανοεῖς ἀράγε, ὅτι κατ' αὐτὴν τὴν ἰδίαν σȣ κρίσιν ȣ̓κ ἦν σκοπὸς τῷ Σαγχωνιάθωνι καθιστορῆσαι τὰ ἐπὶ Ἰησȣ̃ γενόμενα, ἀλλὰ κοσμογονίαν συγγράψαι; ȣ̃τω σὺ ὧδε καλεῖς τό τȣ́τȣ πόνημα, ἐν δὲ τῇ περὶ τὴν ἱστορίαν φιλοσοφίᾳ σȣ προσαγορεύεις αὐτὸ ἱστορίαν τῶν πρώτων αἰώνων· ἐὰν δὲ ὁ Σαγχωνιάθων ἐν τῷ συγγράμματι αὐτȣ̃ εἴρηκέ τι περὶ τῶν Ἰȣ-

δαίων

θαίων, ὡς ἠκόσαμεν τῦ Πορφυρίυ μαρτυρῦντος, τῦτο κατὰ συμβεβηκὸς πεποίηκεν. ἀσφαλὲς ὂν ἐςὶ καὶ βέβαιον κατά τε τὸ τῦ Σαγχωνιάθωνος ἀπόσασμα, καὶ κατὰ τὴν ἀναντίῤῥητον τῦ Πορφυρίυ καὶ Εὐσεβίυ μαρτυρίαν, ὅτι ὁ Σαγχωνιάθων ἠκμασε μὲν μετὰ τὸν Μωϋσέα καὶ Ἰησῦν, ἐγνώρισε δὲ τὰς Ἰουδαίυς. σὺ δὲ τὴν ἀλήθειαν κατετραυμάτισας, τὸ ἐναντίον ἐπικυρῶσαι θελήσας.

ΑΡΘΡΟΝ Η'.

Περὶ τῦ τόπυ. εἰς ὃν οἱ Χαναναῖοι κατέφυγον.

1. Ἰδὲ τὸ ὑπὸ τῦ αὐτῦ προτεινόμενον ἕκατον ζήτημα ἐκ τῦ βιβλίυ τῦ Ἰησῦ. „Οἱ ὑπομνηματισαὶ, φησὶν, ἐπιμελῶς ζητῦσι τὸ, πῦ κα„τέφυγον οἱ ὑπήκοοι τύτων τῶν λεγομένων Βασιλέων τῆς Χαναάν.

Τὸ ζήτημα ὐκ ἔςι τοσῦτον δύσκολον, ὅσον αὐτὸς ὑποτίθησιν. Οὗτοι ἐξωκισθέντες ὑπὸ τῦ Ἰησῦ ἐκ τῶν ἐνδοτέρων τῦ τόπυ μερῶν, πλὴν τινῶν ὀρυρίων, ἐν οἷς αὐτοὶ διεσώθησαν, κατέφυγον ἐπὶ τὴν ἄκραν, ὅπυ διέμεναν κύριοι τῆς Σιδῶνος, τῆς Τύρυ, τῦ ὄρυς τῦ Λιβάνυ, καὶ ἐνὶ λόγω πάσης τῆς γῆς, τῆς μετὰ ταῦτα ὑπὸ τῷ ὀνόματι τῆς Φοινίκης γνωριζομένης. ἑκταθέντες δὲ ἐπὶ τὴν ἄνω Συρίαν, κατέχον τὴν νῆσον Ἀράδ, καὶ τὴν ἐγγὺς παραθαλασσίαν ἄχρι τῆς Λαοδικίας, ἧς ἓν νόμισμα σώζε), Φοινίκων γράμμασιν ἐπιγεγραμμένον ὕτω· Λαοδικία μήτηρ, τύτεςι μητρόπολις, ἐν Χαναάν. Μετὰ δὲ τὸν τῦ Ἰησῦ θάνατον ἔτη περίπυ ἑκατὸν καὶ ἑξήκοντα ἐξελθόντες ἐκ τύτυ τῦ ἀσύλυ, παρενέβαλον, ὡς σημαῖ τὸ τῶν Κριτῶν βιβλίον, κατὰ τῶν Ἰσραηλιτῶν.

2. „Ἀλλ' ὁ Ἰησῦς ἀσυλάγχνως, φησὶν, ἀπέκτεινε πάντας.

Ναὶ, τὰς ἀνθισαμένυς. ἀλλ' ἐν ὅσω αὐτὸς ἐπετίθετο κατὰ τῶν ἐν τοῖς ὄρεσι φρυρίων, τὸ τῶν κατοίκων πλῆθος τρέχον πρὸς τὰς πεδιάδας, συνήγετο ἐν τῇ Ἄκρᾳ, καὶ κατέφευγεν ἐπὶ τὸν Λίβανον, καὶ πέραν τῦ Λιβάνυ. Πολλοὶ δὲ τύτων τῶν Φυγάδων διὰ τὴν τῆς γῆς ςενότητα μετὰ πολλῆς προσποριζόμενοι πόνυ τὰ πρὸς τὸ ζῆν, πλεύσαντες τὴν μεσόγειον ἀποικίας συνεκρότησαν ἐπὶ τὰ τῆς Ἀφρικῆς ἄκρα. τύτοις δὲ εἰκότως ἀνήκει ἡ ὑπὸ τῦ ἱςορικῦ Προκοπίυ μνημονευομένη ἐπιγραφὴ, ἡ γεγγραμμένη μὲν κατ' αὐτὸν χαρακτῆρσι Φοινικικοῖς, εὑρεθεῖσα δὲ ἐν Νομιδίᾳ πλησίον τῆς Τιγίσεως, περιέχυσα δὲ τάδε. „Ἡμεῖς ἐσμὲν οἱ Φυγόντες ἀπὸ προσώπυ Ἰησῦ τῦ λῃσῦ „τῦ Ναυῆ. Ὁ δὲ ἡμέτερος Φιλόσοφος, ὁ μετὰ τὸν Καλμέτον ταύ-

της μνημονεύσας, λέγει ἐμπαικτικῶς πως· „Οὐδεὶς ποτε ἐδυνήθη κα-„τανοῆσαι αὐτήν.

Ἄθλιε κριτικὲ, ὁ μὴ κατανοῶν, ὅτι συνέβη τότε τῇ ἐπιγραφῇ ταύτῃ τὸ συμβαῖνον ταῖς καθ' ἑκάστην εὑρισκομέναις ἐπιγραφαῖς, ἃς κἂν μὴ δύνωνται κατανοῆσαι οἱ ἐγχώριοι, ἀναπτύσσουσιν ὅμως οἱ σοφοί. τοῦτο συνέβη ταῖς Παλμηριαναῖς ἐπιγραφαῖς, τοῦτο ταῖς ἐν τοῖς ἐρειπείοις τῶν παλαιῶν τῆς Ἑλλάδος πόλεων εὑρεθείσαις, ταῖς διὰ παλαιῶν ἑλληνικῶν χαρακτήρων βουστροφηδὸν ἀναγεγλυμμέναις. ὅτι δὲ ἡ ἐν Τιγίσει ἐπιγραφὴ διηρμηνεύθη, δῆλον ἐκ τοῦ τὸν Προκόπιον τὴν μετάφρασιν αὐτῆς προτείνειν (183). καὶ ὁ ἱερὸς δὲ Αὐγουστῖνος μαρτυρεῖ, ὅτι ὅταν ζητῇς παρὰ τῶν ἐγχωρίων τῆς Ἐπαρχίας αὐτοῦ Ἱππόνης, πόθεν αὐτοὶ κατάγονται, ἀποκρίνονταί σοι, Χαναναῖοί ἐσμεν.

Αὐγ. ἐν κ. 4. τῆς ἀνα πτ. εἰς τὴν πρὸς Ῥωμ. πις.

3. Ἀνεπαισθήτως παρέδραμον τὸ τὴν προσοχὴν τοῦ κριτικοῦ ἐφελκύσαν ὕφος. τοῦτο δέ ἐστι τὸ τοῦ δεκάτου τετάρτου κεφαλαίου τοῦ Ἰησοῦ ἔσχατον ἐδάφιον, ὅπερ αὐτὸς μεταφράζει μὲν οὕτω. „Τὸ δὲ πα-„λαιὸν ὄνομα τῆς Χεβρὼν ἦν Καριαθαρβέ. καὶ Ἀδὰμ ὁ μείζων τῶν „Γιγάντων ἐτάφη ἐν τῇ Χεβρών. Σημειοῖ δὲ περὶ τούτου, ὅτι πολλοὶ „σοφοὶ ἀμφιβάλλουσι περὶ τῆς τοῦ Ἀδὰμ ταφῆς ἐν τῇ τοῦ Γίγαντος „πόλει Ἀρβέ.

Πρέπον ἦν αὐτῷ ἐπισυνάψαι τούτοις καὶ ταῦτα· Οἱ σοφοὶ παρετήρησαν, ὅτι ἡ μὲν ὑπ' αὐτοῦ πεποιημένη τοῦ ῥητοῦ τούτου μετάφρασις ἐστὶν ἐλλειπής. ἡ δὲ λέξις Ἀδὰμ, ἥτις ἐστὶν ὄνομα κύριον τοῦ πρώτου ἀνθρώπου, ἐστὶ καὶ ὄνομα προσηγορικόν. μετέρχονται δὲ αὐτὸ ἐνίοτε ἐν τῇ ἑβραΐδι διαλέκτω εἰς τὸ δηλῶσαι ἄνθρωπον γενικῶς. τὸ δὲ προκείμενον ὕφος κατὰ λέξιν οὕτως ἔχει· „Τὸ δὲ ὄνομα τῆς Χε-„βρὼν ἦν τὸ πρότερον Καριαθαρβὲ πόλις τοῦ Ἀρβαὶ, ἀνθρώπου ὀ-„νομαστοῦ ἐν τοῖς Ἐνακίμ (184). Ταύτην τὴν ἔννοιαν ἀπαιτεῖ τὸ ὕφος. μόνη δὲ πασῶν τῶν μεταφράσεων ἡ Βουλγάτα διετήρησε τὸ ὄνομα Ἀδὰμ, ὥσπερ ἂν εἰ ἦν ὄνομα κύριον. ἠδύνατο δὲ ἄραγε ἄνθρωπος πάντων εἰδήμων τοῦτο ἀγνοεῖν; ὑπεκρίνετο ἄραγε ἄγνοιαν ἄνθρωπος τίμιος; (185.)

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐν ᾧ ἡ ἀπάντησις τῶν ἐγκλήσεων κατὰ τὸ τῶν Κριτῶν βιβλίον.

ΑΡΘΡΟΝ Α'.

Περὶ τοῦ Ἀδωνιβεζὲκ, ὃς ἑβδομήκοντα Βασιλέων τῶν ἐσθιόντων ὑπὸ τὴν αὐτοῦ τραπέζην.

1. Ἵνα ἐπαναλήψεως ἀποφύγω ὁμοίας ἐκείναις, ἐν αἷς ὁ ἄπιστος πολλάκις ἐνέπεσε, σιωπῶ τὰς ἐν τοῖς προλαβοῦσι δυσὶ κεφαλαίοις, κἂν τοῖς εἰρημένοις περὶ τῶν βιβλίων τῶν Βασιλειῶν, ὑπ' ἐμοῦ ὑπερίκανα καταργηθείσας ἐγκλήσεις. Μεταξὺ τῶν αὐτοῦ ζητημάτων, οἷς ἀκμὴν ὑπ' ἀπήντησα, ἰδοὺ τὸ ἐν πρώτοις παρισάμενον. „Ζητεῖται, πῶς ὁ Ἀ-„δωνιβεζὲκ, ὕτινος ἡ Βασιλεία ἄγνωστος, ἠδύνατο ἔχειν ἑβδομήκον-„τα Βασιλεῖς ἐσθίοντας ἐν τῇ τραπέζῃ αὐτοῦ, ἢ ταῦτα ἄχειρας.

Τὸ ἀγνοεῖν τὸ πρὸ ὀφθαλμῶν, μεγάλης ἐστὶν ἀμαθείας τεκμήριον. αὐτὸ τὸ ὄνομα Ἀδωνιβεζὲκ σημαίνει κύριον τῆς Βεζέκ. ἐπειδὴ δὲ τὸ ὕστερον προσέθηκε τὸ, ὅτι οἱ Ἑβραῖοι κατέλαβον τὸν Ἀδωνι- Κριτ. 1. 5.
βεζὲκ ἐν τῇ Βεζὲκ, πρέπον ἦν αὐτῷ ἑβραΐζοντι μὴ τοσοῦτον ῥᾳδίως ἀπατηθῆναι. Ἡ πόλις Βεζὲκ κατά τε τὸν Εὐσέβιον, (186) καὶ τὸν θεῖον Ἱερώνυμον ἐν τῷ βορείῳ μέρει τῆς Σηχὲμ, ἡ Νεαπόλεως κειμένη, ἀπέχει ἀπ' αὐτῆς μίλια δεκαεπτά· οἴδαμεν ἄρα πῦ ἦν ἡ τοῦ Ἀδωνιβεζὲκ Βασιλεία. Τῶν δὲ αἰχμαλώτων ὑκ ἔλεμον εἰμὴ τὰ ἄκρα τῶν ποδῶν ἢ τῶν χειρῶν, ἵνα κατασῄσωσιν αὐτοὺς ἀνεπιτηδείους τῇ ὁπλοφορεῖν. Αὕτη δὲ ἡ συνήθεια, ἡ ἐνταῦθα ῥητῶς σεσημειωμένη ἐσώζε- Κριτ. 1. 6, 7.
το καὶ παρ' Ἕλλησι, καὶ παρὰ Ῥωμαίοις. Ὁ Οὐαλέριος ὁ Μάξιμος, καὶ Οὐαλ. β. 6. κ. 3. περὶ Αὐτηρότ.
ὁ Ἀμμιανὸς ὁ Μαρκελλῖνος φασὶν, ὅτι τινὲς ἦσαν τοσοῦτον ἀνανδροι, Ἀμμ. β. 15.
ὥσε ἀπέτεμον τὸν ἀντίχειρα, ἵνα τὴν στρατιωτικὴν παραιτηθῶσιν ὑπηρεσίαν. ἐντεῦθεν ἡ λέξις poltron, νωθρὸς, ὑποκοριστικὸν τῆς pollica truncatus, τῆς ἠκρωτηριασμένης τὸν ἀντίχειρα. (187) οἱ δὲ παρὰ τῷ Ἀδωνιβεζὲκ αἰχμάλωτοι, κἂν ἠκρωτηριασμένοι ἦσαν, ἠδύναντο ὅμως αἱ χεῖρες αὐτῶν ὑπηρετεῖν αὐτοὺς πρὸς τὸ ἐσθίειν.

2. „Ἀνάγκη ἦν, λέγει ὁ αὐτὸς, τὴν τράπεζαν ταύτην ἰσομή-„κη εἶναι ποσὶν εἴκοσι πρὸς τοῖς ἑκατόν.

Οὐδαμῶς. Ἐὰν ἡ τραπεζοδόχος πασὰς τοσοῦτον εἶχε μῆκος εἴτην, ἑβδομήκοντα ποδῶν, ἱκανὸν ἦν. ἐπὶ τῇ ὑποθέσει τοῦ, ὅτι ὁ Βασιλεὺς Βεζὲκ αἰχμαλώτους εἶχε πάντας ὁμοῦ τούτους τοὺς Βασιλεῖς. ὧν

οἱ μὲν πρότερον, οἱ δὲ ὕςερον ἕρποντες ὑποκάτω τῆς τραπέζης, συνέλεγον ὅπερ αὐτοῖς ἔῤῥιπτεν ὁ βάρβαρος νικητὴς αὐτῶν, ὁ ὥσπερ κύνας αὐτοὺς μετερχόμενος.

3. „Ἐν τόπῳ, ὁ αὐτός φησιν, ὀλίγον ςενῷ εὑρίσκουσιν οἱ κριτι„κοὶ Βασιλεῖς ἕναν πρὸς τοῖς ἑκατόν.

Ἔςω ὁ ἀναλογισμὸς τέλειος. Τὸ τῶν Κριτῶν, καὶ τὸ τοῦ Ἰησοῦ βιβλίον μαρτυρεῖ, ὅτι τότε πᾶσα πόλις, κἂν μικρὰ, εἶχε τὸν ἴδιον Βασιλέα, τουτέςι τὸν ἑαυτῆς προεςῶτα, τοῖς γείτοσιν αὐτοῦ μὴ ὑποκείμενον. τοιαύτη ἦν ἡ τῆς παλαιᾶς Ἑλλάδος κατάςασις, τοιαύτη δὲ καὶ ἡ τῆς μικρᾶς Ἀσίας, ὡς ὁρῶμεν ἐν τοῖς δυσὶ τοῦ Ὁμήρου ποιήμασιν. ἔςιν οὖν ἄρα θαυμαςὸν τὸ, ὅτι ἐν πάσῃ τῇ τῆς ἐπηγγελμένης γῆς ἐκτάσει εὑρίσκοντο μία πρὸς ταῖς ἑκατὸν πόλεις, ἢ μεγάλα πολύχνια; Ὅμοιαι ἐνςάσεις ἱκαναί εἰσιν ἐκπλήττειν μόνους τοὺς ὀλιγομαθεῖς, ὅπερ δὴ ὁ κριτικὸς σκοπεῖ.

Ἄ Ρ Θ Ρ Ο Ν, Β'.

Περὶ τοῦ Χουσαρσαθαίμ.

Κριτ. 3. 8. 1. „Ἄλλο ζήτημα. Τίς ἐςιν οὗτος ὁ Χουσαρσαθαὶμ, ὁ αἰφνιδίως ἐλ„θὼν ἀλύσεσι δῆσαι τοὺς υἱοὺς Ἰσραήλ;

Ἆρά γε τὸ ποιῆσαι ὑποτελεῖς ἐςὶ τὸ ἀλύσεσι δῆσαι;

2. „Πῶς ἦλθεν αὐτὸς τοσοῦτον μακρόθεν;

Ἡ γῆ τῆς ἐπαγγελίας μέρος ἐςὶ τῆς Συρίας, ὁ δὲ Χουσαρσαθαὶμ Βασιλεὺς ἦν τῆς ἐν τῇ Συρίᾳ Μεσοποταμίας. τοῦτο δὲ οὐκ ἐςι τὸ ἐλθεῖν μακρόθεν.

3. „Πῶς ἐδυνήθη οὗτος ὑποδουλῶσαι ἑξακοσίας χιλιάδας ἀνθρώ„πων, ἐν τῇ ἰδίᾳ αὐτῶν χώρᾳ, ἣν ὑποτάξαι παραγέγονεν;

Παρεληλυθότα ἦσαν ἔτη δέκα καὶ ἑπτὰ μετὰ τὴν τοῦ Ἰησοῦ τελευτὴν, ὅτε ὁ Χουσαρσαθαὶμ ἐξεςράτευσε κατὰ τοῦ βορείου τῆς Παλαιςίνης μέρους. ὁρῶμεν δὲ καθ' ἑκάςην ἑξακοσίας χιλιάδας ἀνθρώπων ὑπὸ μιᾶς δρακὸς ςρατιωτῶν εὐθέως ὑποδουλουμένων, ὅταν μηδὲν ἕτερον συλλογίζωνται, εἰμὴ τὴν ἐκ τῆς τερπνότητος τοῦ κλίματος ἀπόλαυσιν, καὶ τὴν ὑπὸ τῶν πατέρων αὐτῶν ἑτοιμασθεῖσαν αὐτοῖς ἄνεσιν. πόσον οὖν μᾶλλον εὐκολώτερον τὸ τοὺς Ἰσραηλίτας, παραβάτας γενομένους καὶ ςερηθέντας τῆς ἰσχυροποιούσης αὐτοὺς θείας προςασίας, ὑποδουλωθῆναι ὑπὸ Βασιλέως, νομοθετοῦντος ἐπὶ τὰ δύω τοῦ Εὐφράτου ἄκρα;

4. „Οὐδὲν διδάσκει ἡμᾶς περὶ τούτου τοῦ τοσοῦτον ἀξιολόγου πο„λέμου.

Οὐκ

Οὐκ εἶχε σκοπὸν ὁ Ἱερὸς συγγραφεὺς εὐαρεσῆσαι τῇ ματαίᾳ τῦ φιλοσόφυ περιεργείᾳ, ἀλλὰ διδάξαι χρήσιμον τοῖς Ἑβραίοις μάθημα, ὑποδεικνὺς αὐτοῖς τὸ ἀληθὲς αἴτιον τῶν δυσχιῶν, ἃς ἔπαχον ὁσάκις ἔπιπτον εἰς τὴν εἰδωλολατρείαν.

Α' ΡΘΡΟΝ Γ'.

Περὶ τῦ ἐὰν ὁ Βασιλεὺς τῆς Μωὰβ ἦν ὁ νόμιμος ἡγεμὼν τῦ Λ'ώδ.

1. „ Οὐκ ἔστιν ἐκπεφασμένον, φησὶν ὁ αὐτὸς, τὸ, ὅτι ὁ Θεὸς ἐκέ-„λευσε τῷ Λ'ὼδ, ἵνα ἀπελθὼν ἐμπήξῃ δίστομον μάχαιραν ἐν τῇ κοι-„λίᾳ τῦ Βασιλέως αὐτῦ, ὃ ὅμως ἀμοιβὴν ἔλαβε τὸ γενέσθαι κριτὴς „τῦ λαῦ τῦ Θεῦ (188).

Πῶς; ὁ Ἔγλωμ ἦν Βασιλεὺς τῦ Λ'ώδ; Διελογίζετο ἆρα ὁ φιλόσοφος τὸ τὶ λαλεῖ; ἆρα ἠ κατενόει, ὅτι πίπτει εἰς τὸ ὀλέθριον σφάλμα τῶν καταχρησαμένων τύτῳ τῷ ὑποδείγματι πρὸς δικαίωσιν τινῶν φανητιώντων, οἵτινες ἐτόλμησαν χεῖρας ἐπιθεῖναι ἐπ' αὐτῷ τῷ κεχρισμένῳ Βασιλεῖ αὐτῶν; Οὐχί. ὁ Βασιλεὺς τῆς Μωὰβ ὐδέποτε ἦν νόμιμος Βασιλεὺς ὐδὲ τῦ Λ'ὼδ, ὐδὲ τῶν Ἑβραίων. ὐδὲν δὲ ἕτερον ἦν πρὸς αὐτὺς, λαὸς ὄντας ἐλευθέρυς καὶ ἀσυλώτυς, κατοικήσαντας δὲ ἐν τῇ γατονίᾳ αὐτῦ. εἰμὴ ξένος τις δυνάστης, ὅστις μηδὲν ὑπ' αὐτῶν ζημιωθεὶς, ὥρμησεν ἐπὶ τὴν γῆν αὐτῶν, καί τινας τῶν τόπων αὐτῶν ῥυσάμενος, κατηνάγκαζεν αὐτὺς μεγάλας ἀποφέραν αὐτῷ δασμοφορίας. Λ'πολεσθήτω εἰς τὸν αἰῶνα ἡ φιλοσοφία ἣ μηδὲν μὲν ἕτερον γινώσκυσα δίκαίωμα, εἰμὴ τὸ τῆς ἰσχύος τῦ ἰσχυροτέρυ, πιστεύυσα δὲ, ὅτι ἡ μόνη δυναστεία ἄνευ συναλλαγμάτων καὶ τῆς συγκαταθέσεως ἢ ἡσυχίας τῦ δυναστευθέντος γένυς, συνίστησι τὰ δικαιώματα τῆς Βασιλείας, ἐπικυρωθείσης τῇ πολυχρονίῳ τῦ ἅρπαγος δεσποτείᾳ, κἂν μηδὲν προτείνωσιν οἱ δυναστευθέντες πρὸς τὸ ἀναδεῖξαι νόμιμον τὸ τῦ ἀδίκυ κτήτορος κράτος. Φιλοσοφία, ἥτις πολέμιος ὖσα τῆς ἀληθῦς ἐλευθερίας, καὶ τὰ θεμέλια δὲ κατακρύυσα τῆς τῶν ἀνθρώπων ὁμηγύρεως, ἐξυθενοῖ τὸ τῶν ἐθνῶν δικαίωμα.

2. „Οἱ Μωαβῖται, προσθήσιν ὁ αὐτὸς, οἱ ὑπὸ τῦ Ἰησῦ ἐξαφα-„νισθέντες, πάλιν ἀναφαίνον)

Οἱ Μωαβῖται, οἱ ὑπὸ τῦ Ἰησῦ ἐξαφανισθέντες; ἀληθῶς τῦτό ἐστιν ἐφεύρεσις. διέλθε ὅλον τὸ τῦ Ἰησῦ βιβλίον, σελιδολόγησε πασαν τὴν θείαν Γραφὴν, ἢ πρόβαλε, εἰ δυνατὸν, μίαν μόνην ῥῆσιν, ὁμοιόν τι περιέχυσαν· ἐκ τῦ ἐναντίυ δὲ βλέπομεν τὸν Θεὸν ῥητῶς ἀπαλο-

Αριθ. 2. 9. ρεύοντα τὸν κατὰ τῶν Μωαβιτῶν πόλεμον. „Μὴ ἐχθραίνετε τοῖς Μω-„βίταις, εἶπεν ὁ Κύριος τῷ Μωϋσῆ, καὶ μὴ συνάψητε πρὸς αὐτοὺς πό-„λεμον. ἐγὼ γὰρ μὴ δῶ ἀπὸ τῆς γῆς αὐτῶν εἰς κλῆρον. Οὗτος δὲ ὁ νόμος μετὰ τοσαύτης ἀκριβείας διετηρήθη, ὥστε τὸν στρατὸν τὸν διορισθέντα παιδεῦσαι τοὺς Μαδιανίτας, μηδὲν δυσμενὲς κατὰ τῶν Μωαβιτῶν πρᾶξαι, κἂν συνομωμόται αὐτῶν ἦσαν.

3. „Ἡ μικρὰ αὐτῶν χώρα, φησὶν ὁ αὐτὸς, οὐκ ἔστιν ἐν τῇ κυ-„ρίως λεγομένῃ Χαναὰν. ἀλλὰ λίαν μακρὰν ἀπ' αὐτῆς.

Ἡ αὐθάδεια αὐτοῦ αὔξει διαπαντός. Ἡ τῆς Μωὰβ γῆ οὐκ ἦν κεχωρισμένη ἐκ τοῦ κλήρου τῆς τοῦ Ῥουβὶμ φυλῆς, εἰμὴ διὰ τοῦ χειμάρρου Ἀρνῶν (189) ἡ δὲ Ἀρ ἡ μητρόπολις αὐτῶν, ἡ ὑπὸ τῶν Ἑλ-
Εὐσ. περὶ τοπ. ὀνομ. Θεοδώρητ. εἰς τὸν Ησ. κ. 15. Ἱερών. εἰς τὸν Ησ. κ. 15. λήνων καλουμένη Ἀρεόπολις (190) οὐκ ἀπεῖχε τῶν τοῦ Ἰορδάνου ὁρίων πλεῖον ἢ λέγας δέκα. ἣν δὲ κατὰ τὸν πέμπτον αἰῶνα ἐπισκοπή. διότι καὶ τῇ τότε ἀρχῇ εἷς τῶν ἐπισκόπων αὐτῆς ὑπέγραψεν ἐν τοῖς πρακτικοῖς Ἰῆς ἐν Ἐφέσῳ Συνόδου. τὰ δὲ τείχη αὐτῆς σεισμῷ γῆς ἔπεσον, ὅτε ἔτι νήπιος ἦν ὁ θεῖος Ἱερώνυμος. Ταῦτα δὲ ὑπερίκανά εἰσιν εἰς τὸ ἀποδεῖξαι ψεύστην τὸν κριτικὸν, τὸν τολμήσαντα εἰπεῖν, „ὅτι „οὐδέποτε ἦν ἐκεῖ οὐδὲ πόλις, οὐδὲ οἰκία ἐσηριγμένη.

ΑΡΘΡΟΝ Δ'.

Περὶ τοῦ Ἰαβὶν καὶ τῆς Ἰαήλ.

1. Ἰδοὺ προσέτι καὶ ἕν ἴχνος τῆς Γεωγραφίας αὐτοῦ. „Τὸ Θαβὼρ φη-„σὶν κεῖται, ἐν τῇ κάτω Γαλιλαίᾳ ἐπὶ τὸ βόρειον μέρος, λίαν μακρὰν „ἀπὸ τῆς πόλεως Ἀσώρ, ὅπου ὁ Ἰαβὶν κατῴκει. εἶχεν ἄρα τότε ὁ „Ἰαβὶν ὑπὸ Ἰὴν ἐξουσίαν αὐτοῦ πᾶσαν Ἰὴν γῆν Χαναάν.

Γενέσ. 11. 1. καὶ 19. 36. Τοῦτό ἐστι παραλήρημα. Ἡ πόλις Ἀσώρ. ἡ ὑπὸ τοῦ Ἰαβὶν τότε ἐξουσιαζομένη ἐκείνη ἦν, ἡ ὑπὸ τοῦ Ἰησοῦ πρὸ ἐτῶν ἑξήκοντα καὶ ἐπέκεινα κατασκαφεῖσα. ἐν δὲ τοῖς χρόνοις ἄλλου τινὸς Ἰαβὶν αὐτὴ ἦν ἐν
Γωσ. β. 5. κ. 6. Δ ρχ. 1. Βκσ. 15. 29. τῷ βορείῳ μέρει τῆς γῆς τῆς ἐπαγγελίας, κατὰ μὲν τὸν Ἰώσηπον ὑπερκειμένη τῆς Σαμοχωνίτιδος λίμνης, καλὰ δὲ τὸ βιβλίον τοῦ Ἰησοῦ ἐν τῷ κλήρῳ τῆς φυλῆς Νεφθαλείμ, συνορούσης κατὰ βορρᾶν τῇ τοῦ Ζαβουλών, ἐν ᾗ τὸ Θαβὼρ περιέχεται. ἦν δὲ Ἀσὼρ ἑκατὸν ἐν τῷ βορείῳ μέρει τοῦ Θαβὼρ, διὸ οὐκ ἦν δυνατὸν ἀπέχειν πλεῖον ἢ λέγας δέκα, ἴσως δὲ καὶ πέντε μόνον. Μετὰ τὸ τοσοῦτον ἀπερινόητον σφάλμα ἔρχεται ὁ αὐτὸς ἐν τῇ τολμηρᾷ πράξει τῆς Ἰαὴλ, τῆς φονευσάσης τὸν Σισάραν κοιμώμενον.

2. „Ἡ Ἰαὴλ, λέγει, οὐκ ἦν Ἰουδαία.

Πόθεν τοῦτο αὐτῷ δῆλον; „Αὐτὴ

„Αὕτη ἦν γυνὴ τῦ χαβὲρ τῦ Κιναίυ.

Ἀλλ' ἄρα γε ὁ Χαβὲρ, ὕτινος ἡ πατριὰ πρὸ ἐτῶν διακοσίων συνωμότις ἦν, ἢ κατά τινα τρόπον συμπεφυρμένη τοῖς Ἰσδαίοις, οὐκ ἠδύνατο λαβεῖν γυναῖκα Ἰσδαίαν; Κριτ. 4. 11.

3. „Ὁ Χαβὲρ εἰρήνην εἶχε μετὰ τῦ Ἰαβίν. ἡμεῖς δὲ, λέγει ὁ „αὐτὸς, ὃ πολυπραγμονῦμεν ὧδε, τὸ πῶς ἰδιώτης ἄνθρωπος εἰρήνην „εἶχε μετὰ Βασιλέως, τριακοσίας ἔχοντος χιλιάδας ἀνδρῶν ὁπλο„φόρων.

Ποία τῆς Γραφῆς ῥῆσις διαλαμβάνει περὶ τῦ, ὅτι ὁ Ἰαβὶν εἶχε τριακοσίας χιλιάδας ἀνδρῶν ὁπλοφόρων; Ἡ οἰκία τῦ χαβὲρ εἶχεν εἰρήνην μετὰ τῦ Ἰαβὶν, ὅπερ ἐστὶν, ὁ Χαναναῖος ὅτος Βασιλεὺς οὐκ ἐκακοποίει αὐτὴν ὥσπερ τὸς Ἑβραίυς.

4. „Ἡ Ἰαὴλ, ὁ αὐτὸς λαλεῖ, ἐν μὲν τῇ ᾠδῇ τῆς Δεβόῤῥας ἐπαινεῖ, παῤ ἡμῖν δὲ τὴν σήμερον οὐδὲ ἀμοιβὴν ἐλάμβανεν, οὐδὲ ἔπαινον.

Ἆρα βέβαιόν ἐστι τὸ ὅτι, ἐὰν γυνήτις ἐκ τῦ Κομητάτυ ἀπήλαττε τὴν Προβίγκιαν ἀπὸ τῦ ἐλθόντος ἐξαφανίσαι αὐτὴν ξένυ ἀρχιστρατήγυ, αἰφνιδίως αὐτὸν φονεύσασα, οἱ Προβίγκιοι οὐκ ἔψαλλον τὸς ἐπαίνυς αὐτῆς; κἂν δὲ ἐπαινῇ ἡ Ἰαὴλ ἐν τῇ τῆς Δεβόῤῥας ᾠδῇ ὑπὲρ τῆς ἀποφάσεως ταύτης ὑπερτέρας μὲν τῆς γυναικείας αὐτῆς φύσεως, ἐμπνευσθείσης δὲ αὐτῇ ὑπὸ τῆς πρὸς τὸς Ἑβραίυς προσπαθείας, ἡ ἀπάτη ὅμως, ἣν μετῆλθεν ὃ κεκανόνισαι.

ΆΡΘΡΟΝ Ε'.

Περὶ τῦ ἐὰν ἡ περὶ τῦ Γεδεὼν ἱστορία ὑπάρχῃ μῦθος.

1. „Ὁ Βόρσιος, φησὶν ὁ αὐτὸς, ἀποῤῥίπλων τὴν περὶ τῦ Γεδεὼν „ἱστορίαν, πιστεύει μὲν ὅτι ὑπὸ ξένης χειρὸς εἰσήχθη ἐν τῷ κανόνι, ἀ„νακηρύττει δὲ αὐτὴν ἀναξίαν τῆς τῦ Θεῦ μεγαλειότητος. (191.) „Οὐκ ἔστι δὲ ἡμέτερον τὸ διορίσαι ποῖόν ἐστι τὸ ἄξιον τῷ Θεῷ ... Ὁ „Θεὸς διαπαντὸς ἐλάλει πρὸς τὸς Ἰσδαίυς, εἴτε εὐεργετῆσαι θέλων, „εἴτε παιδεῦσαι αὐτύς. ὡς ἄνθρωπος δὲ διαπαντὸς αὐτοῖς ὀπτανό„μενος, σημεῖα ἐποίει ἐνώπιον αὐτῶν. ἀλλὰ πόθεν ἠδύναντο γνωρί„ζειν αὐτόν;

Ἐκ τῶν σημείων ἀναμφιβόλως, τυγχάνει ἐκ τῶν θαυμάτων, ἅπερ, ὡς ὁμολογεῖς, ἐποίει διαπαντός. Δύναται δὲ ἄρα γε ὁ ὁμολογῶν ἕνα Θεὸν, διςάζειν περὶ τῦ ὅτι αὐτὸς δύναμιν ἔχει δῆλον ποιεῖν τοῖς ἀνθρώποις, ὅτι αὐτός ἐστιν ὁ λαλῶν αὐτοῖς; Ἀνάξιον δὲ ἄρα τῆς τῦ

Θεῦ

Θεῦ μεγαλειότητος τὸ καθισᾶν τὴν παρουσίαν αὐτῦ αἰσθητὴν τοῖς πλάσμασιν αὐτῦ, ἵνα γινώσκοντα ᾖ ἀγαπῶντα αὐτὸν, ὑπακούωσιν αὐτῷ;

2. „Αἱ λαμπάδες, φησὶν, αἱ ὑπὸ τῦ Γεδεὼν τοῖς μετ' αὐτῦ δο-„θεῖσαι, οὐδὲν ἕτερον ἐποίουν, εἰ μὴ φανερώτερον τὸν ὀλίγον ἀριθμὸν „αὐτῶν· διότι ὁ λαμπαδηφόρος βλέπει μᾶλλον ἢ βλέπει. διὸ ἡ νί-„κη αὕτη θαυμάζεται, οὐχὶ δὲ ἐπιτήδειον πολέμου στρατήγημα.

Μακρὰν ἀπέχομεν ἀπὸ τοῦ μὴ συνιέναι, ὅτι τοῦτο θαῦμά ἐστιν ἐπικεκαλυμμένον τῇ ἀνθρωπίνῃ ἐφευρέσει. σημειῶμεν δὲ ὅτι αὐτὸς, ἵνα ἀπείθανον καταστήσῃ τὴν ἐφεύρεσιν, εὔλογον ἔκρινεν ἀλλοιῶσαι τὸ ὑφος τοῦ λέγοντος, ὅτι ἡ ἔφοδος ἔγινεν ἐν ἀρχῇ τῆς φυλακῆς τῆς μέσης τῆς νυκτός. (192.) διότι ἐν τῇ μεταφράσει αὐτῦ ἐσιώπησε ταῦτα τὰ ῥήματα, τῆς μέσης τῆς νυκτὸς, ἵνα δείξῃ, ὅτι ὁ Γεδεὼν παρέσῃ ἐν αὐτῇ τῇ ἀρχῇ τῆς νυκτὸς, ὅτε τὸ πλεῖον μέρος τῶν Μαδιανιτῶν ἀκμὴν ἐγρηγόρει. Ῥᾴδιον δὲ κατανοῆσαι, ὅτι ὁ ἐκ τῆς συντριβῆς τῶν ὑδρίων κτύπος, ὁ ἦχος τῶν σαλπίγγων, ἡ πολεμικὴ κραυγὴ, ἡ ἀκουσθεῖσα ἐν τῷ μέσῳ τῆς νυκτὸς, κύκλῳ τῦ βαθέως κοιμωμένου στρατοπέδου, προσιεμένης τῆς τῶν λαμπάδων ἀστραπῆς, εἰκότως ἀταξίαν προεξένησε καὶ θόρυβον ἐν τῷ στρατοπέδῳ, αἰφνιδίως τε καὶ ἐμφόβως ἐν τῷ μέσῳ τῆς νυκτὸς διεγερθέντι.

3. „Ὁ Βολσόνος, ὁ αὐτὸς λαλεῖ, διϊσχυρίζεται, ὅτι οἱ Ἰουδαῖοι „τότε ἦσαν εἰδωλολάτραι, λόγον προτείνων τὴν ἐλαίαν, λέγουσαν ἐν „τῷ ἀπολόγῳ τῦ Ἰωνάθαν τῦ υἱῦ τῦ Γεδεὼν, ἡ πιότης μου ἀρέσκει „Θεοῖς καὶ ἀνθρώποις.

Ἀθενὴς ὅτος ὁ λόγος, ὡς τεθεμελιωμένος μόνον ἐπὶ τὴν λέξιν Ελοημ, τὴν ἐπίσης καὶ ἑνικῶς, καὶ πληθυντικῶς ἐκλαμβανομένην. ὃκ οἶδα δὲ τίνος ἕνεκα ὧδε πληθυντικῶς μετηνέχθη ὑπὸ τῆς Βουλγάτης συγγραφέως, ὅσις ἐν τῷ αὐτῷ ἀπολόγῳ μετ' ὀλίγας σειρὰς ἑνικῶς τὴν αὐτὴν μεταφέρει λέξιν. Οἱ Ἑβδομήκοντα ὅμως ἐν ἑκατέρῳ
Κρι. 9. 9, 13. „ἐδαφίῳ μεθέρμησαν αὐτὴν εἰς τὸ ἑνικόν· Ἡ πιότης μου ἀρέσκει Θεῷ καὶ ἀνθρώποις. (193.) Ἄλλως τε, ὑποτιθεμένου τοῦ, ὅτι ὁ Ἰωνάθαν, ὅτε ἐποίησε τοῦτον τὸν ἀπόλογον, ἦν εἰδωλολάτρης, ἕπεται ἆρα ἐκ τούτου, ὅτι καὶ ὅλον τὸ Ἰουδαϊκὸν γένος ἐλάτρευε τοῖς εἰδώλοις;

ΑΡΘΡΟΝ ς'.

Περὶ τῦ Ἰεφθάε.

1. Περὶ τῦ λεγομένυ, ὅτι ὁ Ἰεφθάε διωχθεὶς ὑπὸ τῶν ἀδελφῶν αὐτῦ ἐκ τῆς Γαλαὰδ, κατέφυγεν εἰ τὴ γῆ Τὼβ, ὅπυ γέγονεν ἀρχηγὸς ὄχλυ πονήτων, ζώντων διὰ τῆς ληςρικῆς λαφυραγωγίας, ὁ αὐτὸς σημεῖοί τάδε· „Ὁ Τολλάρδ, ὁ Τίνδαλ, ὁ Βολσόν, ὁ „Λορδ Βολιγγβρόκιος, ἢ ὁ ἐκδὺς τὰ τέλυ πονήματα Μαλλέτος· ὀ„πτῖα ὀνόματα. διατείνονται, ὅτι οἱ Ἑβραῖοι ὐδὲν ἕτερον ἦσαν, εἰμὴ „Ἄραβες ληςαὶ, ἄπιςοι, ἄνομοι, μηδὲν ἴχνη φιλανθρωπίας ἔχον„τες, εἰ ἀσηλαίοις μόνον, ὧν ὁ τόπος ἐκεῖνη πλήρης, οἰκῦντες, ἢ „ἐξ αὐτῶν ἐνίοτε ἐξερχόμενοι εἰς τὸ ληςεύειν· ὡς ἄγρια δὲ θηρία „διωκόμενοι ὑπὸ τῶν πλησιοχώρων, τῶν ὁτὲ μὲν τὴν ἐχάτην παι„δείαν αὐτὸς παιδευόντων, ὁτὲ δὲ αἰχμαλωτιζόντων Οἱ αὐτοὶ δὲ Ἰσ„δαῖοι ἐν τοῖς ὑπ' αὐτῶν συγγραφεῖσι βιβλίοις ὁμολογῦσιν, ὅτι ὁ „Ἰεφθάε ἦν ἀρχηγὸς ληςῶν (194.). Κριτ. 11. 3.

Πῶς ὁ φιλόσοφ ὅτ ὐ καλυόησεν, ὅλι τὰ περὶ τῦ Ἰεφθάε εἰ τῷ ὑφε λεγόμενα ἀναςρέφυσιν ἐκ θεμελίυ ἣν βύλεται παραδῦναι περὶ τῶν Ἑβραίων ὑπόληψιν; Ἐὰν ὁ Ἰεφθάε ὐκ ἐγένελο ἀρχηγὸς ληςῶν, εἰ μὴ μελὰ τὸ ἐκδιωχθῆναι ἐκ τῆς παλρικῆς αὐτῦ οἰκίας, ἢ ςερηθῆναι τῆς μερίδος τῆς γῆς, τῆς ὑπὸ τῶν ἀδελφῶν αὐτῦ γεωργυμένης, ἢ καταφυγεῖν ἐπ' ἄλλον τινὰ ςενωπὸν, δῆλον, ὅλι ἡ ληςεία ὐκ ἦν ἐπάγγελμα ὐδὲ τῆς παλρίας, ὐδὲ τῆς φυλῆς, ὐδὲ τῦ γένυς αὐτῦ. οἱ κύριοι κληρονομίας διαμεμζομένης ἢ γεωργυμένης ὐδὲ ἀληταί εἰσιν, ὐδὲ κενοί, ὡς τό τε ἑβραϊκὸν ὕφ ἑ οἱ Ἑβδομήκοντα καλῦσι τὺς ἄνδρας, ὧν ἀρχηγὸς ἐγένελο ὁ Ἰεφθάε. λέξις δὲ σημαίνυσα τὸ τῆς Βυλγάλης, latrocinantes, εἴτυν ληςεύονλες, ὐδαμῦ εὑρίσκεται.

2. „Τὸ τῶν Κελτῶν βιβλίον, φησὶν ὁ αὐτὸς, συνεγράφη πο„λὺν χρόνον μετὰ τὸν Ἰεφθάε.

Ἀνωλέρω ἐδειξα, ὅτι τὸ βιβλίον τῦλο ἐγράφη πρὸ τῆς τῦ Δα- Β. 5. κ. 1. Ἄρθρ. 3.
βὶδ Βασιλείας, τῆς ἀρξαμένης ἔτη περίπυ ἑκατὸν τεσσαράκονλα μετὰ τὴν δικαιοκὴν ἀξίαν τῦ κελτῦ τῦ Ἰσραὴλ Ἰεφθάε. ἑπομένως δὲ μετ' αὐτὸν ὁ πλείονα χρόνον ἑνὸς αἰῶνος.

3. Ὁ αὐτὸς ἐν τῇ ἐφεξῆς σελίδι σημειοῖ ταῦτα· „Οἱ ὑπεναντίοι „ἡμῶν ὁ δύνανται ἐπικυρῶσαι τὸ ἴδιον σύςημα, ἐὰν μὴ ἔχωσι πάν„τα τὰ τῶν Ἑβραίων παλαιὰ βιβλία, ἢ ἀποδείξωσιν, ὅτι ταῦτα ὁ συνε-

„συνεγράφησαν εἰ μὴ καὶ τὰ αἰῶνας λίαν ἀφεσηκόσας ἐκείνων τῶν ἀ-
„γρίων καιρῶν (195.).

Ἡ ἀμφισβήτησις αὕτη, ἡ ἴσως τὸν ἄτοπον, ὅσον καὶ τὸ σύγημα τὸ ἐπ' αὐτῇ μόνη σημειζόμενον, ἐν τοῖς προλαβοῦσι κεφαλαίοις καὶ ἠργηθη (196). καὶ πόρον ἀνεγέρσεως εὑρεῖν ὃ δύναται. μένει δὲ ἀποδεδειγμένον, ὅτι οἱ ἄπιστοι μηδεμίαν ἔχοντες διαδικασίας ἐλπίδα, σωρεύσι ψεύδη ἐπὶ ψεύδεσι, συκοφαντίας ἐπὶ συκοφαντίαις, καὶ φαντάσματα ἐπὶ φαντάσμασι, πᾶν τὸ προστυχὸν ἐπιλαμβάνειν πειρώμενοι, καὶ μὴ δυνάμενοι σεραὰν εὑρεῖν βάσιν, ἐφ' ᾗ στῆναι.

4. Ἀλλ' ἰδοὺ ὁ μέγιστον τῶν ἀπίστων θρίαμβος· „Οὗτοι, ἐὰν τῷ
„κριτικῷ πεισθῶμεν, πιστεύσιν, ὅτι ὁρῶσι τελείαν ἰσότητα μεταξὺ
„τῆς Χαμὼς, θεοῦ τῶν Ἀμμωνιτῶν, καὶ τοῦ Ἀδωναὶ, θεοῦ τῶν Ἰου-
„δαίων.... Ταύτην τὴν ἀλήθειαν ἐντελῶς γνωρίσας ὁ Ἰεφθάε, εἶ-
„πε. τὸ δοθὲν ὑμῖν ὑπὸ τῆς χαμὼς, ὑμέτερόν ἐστι· τὸ δὲ δοθὲν ἡμῖν
„ὑπὸ τοῦ Ἀδωναὶ, ἡμέτερον..... Αὕτη ἐστὶν ἡ ἀρχὴ, ἣν ὁ Ἰεφθάε
„σαφῶς διορίζει, καὶ ἐπ' αὐτῇ σημειζόμενον συλλογίζεται.

Οὐχί. οὐκ ἔστι τοῦτο ἀρχὴ ὑπὸ τοῦ Ἰεφθάε διορισθεῖσα, ἀλλ' ἔστι συνέπεια, ἑπομένη μὲν ἐκ τῆς τῶν Ἀμμωνιτῶν ἀρχῆς, συγκεχωρημένη δὲ ὑπ' αὐτοῦ οὐ ἀκαρεῖ, ἵνα μελέλθῃ αὐτὴν ἐναντίον αὐτῶν. διὸ διαχυρίζεσθε ὑμεῖς, εἶπε πρὸς αὐτοὺς, ὅτι κατέχετε δικαίως ὃ δέδωκεν ὑμῖν ὁ χαμὼς ὁ Θεὸς ὑμῶν. ἄφετε οὖν ἡμᾶς κατέχειν ὅπερ ὁ Ἰεχοβὰδ, ὁ Θεὸς τοῦ Ἰσραὴλ παρέχεν ἡμῖν, νικητὰς ἀναδείξας ἡμᾶς τῶν ἐχθρῶν ἡμῶν; τοιοῦτός ἐστιν ὁ τοῦ Ἰεφθάε συλλογισμὸς, ὅστις ἀναπολογήτους μὲν καθίστησι τοὺς Ἀμμωνίτας, τοὺς διατεινομένους, ὅτι ὁ τόπος αὐτῶν ἐδόθη αὐτοῖς ὑπὸ τοῦ Χαμὼς, ἀβόλως δὲ δεικνύει, ὅτι ὁ Ἰεφθάε ἐδέχθη δύω ἰσοδυνάμους θεούς. (197). Τὴν ἔνστασιν ταύτην τρὶς προτείνας ὁ κριτικὸς, τρὶς ἔλαβε τὴν αὐτὴν ἀπόκρισιν, ἥπερ μὴ δυνάμενος ἐπ' εὐθείας ἀντισῆναι, ἀντικαθίστησι ματαιολογίας, ἃς αὐτὸς μόνος δύναται φαντασθῆναι, ἡμεῖς δὲ πόρρω ἀπέχομεν τῆς τούτων οἰκειοποιήσεως. *). Τοιαύτη οὖν ἐστὶν ἡ τοῦ θριάμβου αὐτοῦ ὕλη.

Ἀ P-

*) Ὅρα τὴν ὑπεράσπισιν τῆς παλαιᾶς Διαθήκης, καὶ τὰς πρὸς τὸν Βολτίρ. ἐπιστολ. τῶν Ἰουδαίων.

Ἄ Ρ Θ Ρ Ο Ν Ζ.

Περὶ τῆς θυσιασθείσης θυγατρὸς τοῦ Ἰεφθάε.

1. Ἐὰν οὗτος ὁ μέγας ἐταστὴς τῶν τῆς θείας Γραφῆς δυσκολιῶν ἐπεκύρου μόνον τὸ, ὅτι ἡ τοῦ Ἰεφθάε θυγάτηρ πράγματι καὶ ἀληθείᾳ ἐθυσιάσθη, οὐ διεσχυρίζετο δὲ, ὅτι τὸ ἔργον τοῦτο σύμφωνον ἦν τοῖς πρώτοις στοιχείοις τῆς Ἰουδαϊκῆς θρησκείας, καὶ ἀρεστὸν τῷ Θεῷ, ἐγκατελείπομεν ἂν ἡμεῖς αὐτὸν ἐν τῇ ἑαυτοῦ γνώμῃ· σημειώσαντες, ὅτι τοῦτό ἐστι λίαν ἀβέβαιον, καὶ παραπέμψαντες αὐτὸν πρὸς τὰς τοῦ Βατάβλου, Δρουσίου, Γροτίου, Μαρσχάμου, Κλέρκου, Οὐβιγάντου, καὶ τελευταῖον πρὸς τὰς τῶν Ἄγγλων, τῶν τῆς καθολικῆς ἱστορίας συγγραφέων, περιβοήτους ἑρμηνείας, τὰς εἰς τὰ ῥητὰ, ἐν οἷς ἡ τοιαύτη γνώμη στηρίζεται. οὐδὲ γὰρ πρέπον ἡγούμεθα ἐν τοιῷδε πονήματι, οἷόν ἐστι τόδε, πολυπραγμονεῖν τοῦτο τὸ πρόβλημα (198).

Ἀλλὰ τί ποιεῖ αὐτός; Ἄρχεται ἀπὸ τοῦ κιβδηλεύειν μίαν τῶν „τοῦ Λευϊτικοῦ ῥήσεων, ἵνα συμπεράνῃ τὸ, ὅτι κατὰ τὸ ἀναντίῤῥητον „τῶν ἁγίων βιβλίων ὕφος, ὁ Θεὸς ὁ ζωῆς καὶ θανάτου ἀπόλυτος „δεσπότης, ἐπέτρεψε μὲν, μᾶλλον δὲ ἐκέλευσε θύειν ἀνθρώπους, προ„σέταξε δὲ τῷ Ἀβραὰμ θύσαι τὸν μονογενῆ αὐτοῦ υἱὸν, καὶ προσε„δέξατο τὸ αἷμα τῆς τοῦ Ἰεφθάε θυγατρός.

Ὁ συγγραφεὺς τῶν ἐπιστολῶν τῶν Ἰουδαίων ἀπεκρίθη αὐτῷ οὕτως· „Ἐὰν ἀρεστὴ ἦν τῷ Θεῷ ἡ τοιαύτη θυσία, οὐκ ἂν αὐτὸς ἀνε„χαίτιζε τὴν τοῦ Ἀβραὰμ χεῖρα. ἡ τῆς θυσίας ταύτης ἀποποίησις, „μάθημα ἦν πληκτικὸν, δι' οὗ καθ' ὃν καιρὸν ἐδοκίμαζεν ὁ Θεὸς τὴν „τοῦ Ἀβραὰμ πίστιν, κατὰ τὸν αὐτὸν ἅμα ἐδίδασκε τοῦτον τὸν ἅγιον „ἄνδρα, καὶ τοὺς διαδόχους αὐτοῦ, πόσον ἀποποιεῖται ταύτας τὰς βαρβάρους „δεισιδαιμονίας... Ὁ δὲ Ἰουδαϊκὸς νόμος (Δευτ. κεφ. 12. ἐδ. 30, 31.) ἀπογορεύει ῥητῶς προσφέρειν τῷ Κυρίῳ τοιαύτας θυσίας. Πρέπον οὖν ἦν αὐτῷ πρὶν ἢ ἀνακαινίσαι τὴν ἔνστασιν, καταργῆσαι ταύτην τὴν ἀπόκρισιν.

Ἰδοὺ δὲ πῶς διὰ Ἰταλικῶν γραμμάτων, ἄνευ τινὸς σημείου παραδρομῆς δηλωτικοῦ, παρίστησι τὸ ὑπ' αὐτοῦ ἀλλοιωθὲν τοῦ Λευϊτικοῦ ὕφος περὶ οὗ αὐτὸν ἐνεκάλεσα. „Πᾶν ὃ ἐὰν ἀνατεθῇ τῷ Κυρίῳ εἴ„τε ἄνθρωπος, εἴτε κτῆνος οὐ λυτρωθήσεται, ἀλλὰ θανάτῳ θανατω„θήσεται. Ἀπεναντίας τούτου τίθεμεν ὅλον το ὕφος· „Πᾶν δὲ ἀνά„θεμα, ὃ ἂν ἀναθῇ ἄνθρωπος τῷ Κυριῷ ἀπὸ πάντων ὅσα αὐτῷ „ἐστὶν, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἀγροῦ καταστάσεως αὐτοῦ, Λευϊτ. 27.28, 29.

 οὐκ

„ὐκ ἀποδώσεται, ὐδὲ λυτρώσεται. Πᾶν ἀνάθεμα ἅγιον ἁγίων ἔσαι τῷ „Κυρίῳ. Καὶ πᾶν ὃ ἐὰν ἀναθεθῇ ἀπὸ τῶν ἀνθρώπων ὐ λυτρωθήσε) „ἀλλὰ θανάτῳ θανατωθήσε). Αὐτὸς δὲ, ὡς ὁρῶμεν μετὰ πανυργίας συ-νέχεε τὴν εὐχὴν, Νεδερ, τῷ ἀναθέματι, χερεμ. Τὸ δὲ τῦ Λευϊτικῦ ὕφος ἐνταῦθα λαλεῖ μόνον περὶ τῶν πραγμάτων Ϲ τῶν ἀνθρώπων, τῶν παραδοθέντων τῷ ἀναθέματι. Τῦτο δὲ τὸ ἀνάθεμα τὸ μὴ γινόμενον εἰμὴ πρὸς ποινὴν ἁμαρτημάτων, παιδεία ἦν ϗ ὐχὶ θυσία. τοιῦτον δὲ ἦν τὸ κατὰ τῶν Χαναναίων, τὸ κατὰ τῆς Ἱεριχὼ, τὸ κατὰ τῦ Ἀχαρ. τὸ δὲ προκείμενον ῥηθὲν κατ' ὐδένα τρόπον ἁρμόζει τῷ τῦ Ἰεφθάε ἔργῳ. διότι τὸ τῶν Κριτῶν βιβλίον λέγει δὶς, ὅτι ἦυξατο εὐχὴν, Νεδερ, μηδὲ λέξιν εἰπὼν περὶ ἀναθέματος, χερεμ. ἀλλ' ὐδὲ ἡ τῦ κριτῦ τάτυ θυγάτηρ ταύτῃ ὑπέκειτο τῇ ποινῇ, ἐπειδὴ ὐ μόνον αὐτὴ ἦν ἀθῶα, ἀλλ' ὐδὲ ἄλλοτι πταῖσμα πρὸς κειτο ποινῆς ἄξιον. κατὰ ταύτης ὖν τῆς αἰθητῆς ἀληθείας διαχωρίζεται ὁ κριτικὸς, ὅτι ἡ τῆς θυγατρὸς τῦ Ἰεφθάε θυσία κεκυρωμενη ἦν ὑπὸ τῦ ἐν τῷ Λευϊτικῷ νόμῳ.

2. Ἰδὲ δὲ ϗ αἱ ὐσάσεις, ἃς ὁ ἄπιϛος τῷ Βυλεγγέρῳ προσάπτει, τῷ τελευτήσαντι ἐν θερμῇ μετανοίᾳ, ϗ ἐπιϛροφῇ ἀπὸ τῦ κριμνῦ, εἰς ὃν ἐπέσερεν αὐτὸν ἡ πλάνη τῆς νεότητος. „Ὁ Ἰεφθάε ἦν χω-„ρίτης, ἐκ τῶν ὀρέων τῆς Γαλαὰδ καταγόμενος, τῶν τότε μὴ ὄντων „ὑπὸ τὴν τῶν Ἑβραίων ἐξυσίαν.

Ἀριθ. 26. 29, 30. ϗ 32. 29, 33. Δευτ. 3. 13, Ἰησ. 17. 1, 6. Κριτ. 19. 3, 4.

Ἡ Πεντάτευχος, τὸ τῦ Ἰησῦ, ϗ τὸ τῶν Κριτῶν βιβλίον μαρ-τυρῦσιν, ὅτι τὰ τῆς Γαλαὰδ ὄρη πολλῷ πρότερον τῆς τῦ Ἰεφθάε δικαϛικῆς ἐξυσίας, μᾶλλον δὲ ϗ πρὸ τῆς τῦ Ἰορδάνυ διαβάσεως, ὃ ἐν τῷ πέραν κεῖσαι, ἦσαν ὑπὸ τὴν τῶν Ἑβραίων ἐξυσίαν.

3 „Τὰ ἀβαθῆ τῦ Ἰορδάνυ μέρη δεικνύυσιν, ὅτι ὁ ἐπὶ Ἰησῦ γε-„νόμενϴ ἀναποδισμὸς ἐπὶ τὰ μέρη, ἐξ ὧν πηγάζε, θαυμάϛιον ἀ-„νωφελὲς, ϗ πάντη ψευδές.

Β. 5. κ. 2. Ἰησ. 3.

Ἀνωτέρω ἔδειξα, ὅτι ὁ Ἰορδάνης ὐδέποτε ἐϛὶ διαβατὸς κατ' ἐκεῖνον τὸν καιρὸν, καθ' ὃν ὁ Ἰησῦς διέβη.

4. „Ὁ μυθϴ τῶν τεσσαράκονθα ϗ δύω χιλιάδων ἀνθρώπων, „ὧν ἕτερϴ μετὰ τὸν ἕτερον ἐφονοκτονήθη, ὡς μὴ κατευθυνθεὶς εἰπεῖν „Σχιϐολεθ, ἐϛὶν ἄτοπον μεῖζον πάντων τῶν ποτὲ γραφέντων „ἀτοπημάτων.

Μόνοι οἱ ἄπιϛοι ἔγραψαν τὸ, ὅτι τεσσαράκονθα ϗ δύω χιλιάδες ἀνδρῶν ἐφονοκτονήθησαν ἕτερος μετὰ τὸν ἕτερον, μὴ καιευθυνθέντες εἰπεῖν Σχιϐολεθ. ἡ δὲ θεία Γραφὴ λέγει, ὅτι ὅσοι μὲν ἐκ τῦ πλήθυς τῦ νικηθέντος ϛρατῦ σῶσαι ἑαυτὺς ἐπειρῶντο, δῆλοι ἐγέ-

Κριτ. 12. 5—7

νοντο

νοντο ἐκ τῆς προφορᾶς· ὁ δὲ ὅλος ἀριθμὸς τῶν Ἐφραϊμητῶν, τῶν ἐν τούτῳ τῷ πολέμῳ μετὰ τὴν συμπλοκὴν τῆς τοῦ Ἰεφθάε στρατιᾶς φονευθέντων ἀναβαίνει εἰς δύω καὶ τεσσαράκοντα χιλιάδας. οἵτινες ἀπώλοντο διὰ τὸ μὴ κατευθυνθῆναι εἰπεῖν Σχιββολεθ, ἀλλὰ διὰ τὸ συγκροτῆσαι ἀδίκως πόλεμον κατὰ τοῦ Ἰεφθάε, καὶ τῶν ἀδελφῶν αὐτῶν τῶν Ἰσραηλιτῶν.

5. „Οὐδέποτε, οὐδὲ ἡ τοῦ Ἐφραὶμ φολὴ, οὐδὲ πᾶσαι ὁμοῦ αἱ τοῦ „ἐλεεινοῦ τούτου λαοῦ φυλαὶ ἠδύναντο συνάξαι στρατὸν δύω καὶ τεσσαρά„κοντα χιλιάδων.

Τῇ ἐλεεινῇ ταύτῃ ἐνστάσει ἀπήντησα ἤδη πέραν τοῦ δέοντος. B. 3. κ. 3. Ἀρθρ. 12. § β. 4. κ. 2. Ἀρθρ. 4.

ΆΡΘΡΟΝ Η'.

Περὶ τοῦ Σαμψών.

1. „Ἰδοὺ κατηντήσαμεν τελευταῖον, ὁ αὐτὸς λαλεῖ, εἰς τὴν τοῦ Σαμ„ψὼν περίφημον ἱστορίαν, τὸ αἰώνιον ἀντικείμενον τῆς τῶν ἀπίστων „χλεύης. Ὁ ζυρὸς ὁ κατ' ἐπιταγὴν μὴ ἀναβαίνων ἐπὶ τῆς κεφαλῆς „τοῦ Σαμψὼν συνίστησι μικράντινα δυσκολίαν.... Οἱ Ναζωραῖοι πα„ρὰ τοῖς Ἰουδαίοις ἐν ὅσῳ μὲν Ναζωραῖοι ἦσαν, οὐκ ἐξυρῶντο τὴν κεφα„λὴν. ἐξυρῶντο ὅμως τὴν πρώτην ἡμέραν τῆς καθιερώσεως αὐτῶν.

Ἐπειδὴ ἡ τοῦ Σαμψὼν καθιέρωσις ἤρξατο ἐκ κοιλίας μητρὸς αὐτοῦ, οὐδὲν παράδοξόν ἐστιν, ἐὰν αὐτὸς οὐκ ἐξυρίσθη κατὰ τὴν πρώτην ἡμέραν τῆς καθιερώσεως αὐτοῦ. ἡ ἔνστασις ἂν πλείονα ὕλην χλεύης χορηγεῖ, ἤπερ τὸ Ναζωραῖον τοῦ Σαμψὼν ἐπάγγελμα.

2. „Ὁ παλαιὸς μῦθος, φησὶν ὁ αὐτὸς, τῆς τειχὸς τοῦ τῶν με„γάρων Βασιλέως Νίζου, καὶ τῆς Κορμήνης θυγατρὸς τοῦ Πτερελάου „(199) ἐστὶν ἡ πηγὴ μέρος τινὸς τῆς τοῦ Σαμψὼν ἱστορίας, τὰ δὲ λοι„πὰ αὐτῆς ἐλήφθη ἐκ τοῦ μύθου περὶ τοῦ Ἡρακλέους. Ὁ Πετάου „ἱστορεῖ τὸν μὲν Ἡρακλέα γεγενῆσθαι τῷ 1289. ἐνιαυτῷ πρὸ τοῦ χρι„στιανικοῦ ἔτους, τὸν δὲ Σαμψὼν ἀρχόμενον μόνον κατὰ τὸν 1135 ἐνι„αυτὸν πρὸ τοῦ αὐτοῦ ἔτους. ἀποδεδειγμένον ἄρα δοκεῖ, ὅτι ὁ μῦθος „τοῦ ὑπὸ τῶν γυναικῶν προδοθέντος Σαμψὼν μίμησις ἐστὶ τοῦ μύθου „τοῦ περὶ τοῦ Ἡρακλέους.

Ὁ ἡμέτερος φιλόσοφος δοκεῖ πάνυ ὀλίγην ἔχων τὴν περὶ τῶν ἀποδείξεων γνῶσιν. διότι οὐ κατενόησεν, ὅτι πρὸς τὸ συστῆσαι τὴν περὶ τοῦ Σαμψὼν ἱστορίαν ἐκ τῶν τοῦ Νίζου καὶ Ἡρακλέους μύθων κατεσκευασμένην οὐκ ἀρκεῖ ἀποδεῖξαι, ὅτι οἱ δύω οὗτοι προγενέστεροι ἦσαν τοῦ Σαμψὼν, ἀλλ' ἀναγκαῖόν ἐστι προσέτι δεῖξαι, ὅτι οἱ περὶ τοῦ Νίζου

καὶ Ἡρακλέους ὑπὸ τῶν Ἑλλήνων ποιητῶν πλασθέντες μῦθοι ἐγράφησαν, καὶ εἰς τὴν Ἰουδαίαν μετηνέχθησαν πρὶν ἢ τὴν τοῦ Σαμψὼν ἱστορίαν ἐν τῷ τῶν Κριτῶν γραφῆναι βιβλίῳ. ἀνωτέρω δὲ ἀπέδειξα, ὅτι
B. 5. α. 1. Κρθρ. 3. τὸ βιβλίον τοῦτο οὐκ ἐγράφη ὕστερον τῆς Βασιλείας τοῦ Σαοὺλ τῆς ἀρξαμένης περὶ τὸν χιλιοστὸν ἑβδομηκοστὸν ἔννατον ἐνιαυτὸν πρὸ τοῦ χριστιανικοῦ ἔτους. ἐκ τούτου ἕπεται, ὅτι ὁ συγγραφεὺς τοῦ αὐτοῦ βιβλίου ἦν σχεδὸν σύγχρονος τῷ Σαμψών. δύνανται δὲ ἄρα αὐτός τε καὶ ὅσοι τῆς μερίδος αὐτοῦ εἰσὶ παραστῆσαί τινα ὑπομνήματα, εἴησαν ταῦτα καὶ ποιητικὰ, τῷ ἔτει τούτῳ σύγχρονα, ἀναμιμνήσκοντα τοὺς δύω μύθους, τοὺς περὶ τοῦ Νίζου καὶ Ἡρακλέους; Οἴδαμεν, ὅτι ὁ Ὅμηρος καὶ ὁ Ἡσίοδος, οἱ δύω παλαιότεροι τῆς Ἑλλάδος ποιηταὶ, εἰσὶ πολλῷ μεταγενέστεροι τῆς τοῦ Σαοὺλ Βασιλείας. Πάντες ἄρα οὗτοι οἱ ἄπιστοι κριτικοὶ, εἰσὶ διαλεκτικοὶ κάκιστοι. ἰδοὺ καὶ ἄλλη νέα περὶ τούτου ἀπόδειξις.

3. „Ὁποία, λέγουσιν οὗτοι, ἐστὶν αὕτη ἡ ἐλεεινὴ εὐήθεια; Ἡ „ζωὴ τοῦ Σαμψὼν τοῦ Ναζωραίου ἄρχεται ἀπὸ ἐπιδήλου παραβάσεως τοῦ „νόμου. αὐστηρότατα τοῖς Ἰουδαίοις ἀπηγόρευται λαμβάνειν ξένας γυ„ναῖκας, πολλῷ δὲ μᾶλλον Φυλιστιαίας. καὶ ὅμως ὁ Μανωὲ, καὶ ἡ τούτου „γυνὴ, οἱ τὸν Σαμψὼν ἀπὸ γεννήσεως αὐτοῦ καθιερώσαντες, διδόα„σιν αὐτῷ γυναῖκα Φυλιστιαίαν, καὶ ταῦτα ἐν τῇ μηδέποτε ὑπαρξάσῃ „πόλει Θαμναθᾷ.

Ἐὰν ὁ Ἑβραῖος, ὁ τῆς ἱστορίας τοῦ Σαμψὼν συγγραφεὺς, οὐκ ἐνόμισεν ἴδιον χρέος περιγράψαι ἀκριβῶς τὰ πράγματα, ἀλλ' ἠθέλησε πλάσσαι κατὰ τὴν ἑαυτοῦ ἀρέσκειαν τὴν τούτου βιογραφίαν πῶς
Ἐξ. 34. 16. Κριτ. 14. 3. ἆρά γε συγκατετέθη, προσάψαι αὐτῷ γάμον παράνομον; ἀληθῶς ὁ νόμος ἀποφαντικῶς ἀπαγορεύει τοὺς τοιούτους γάμους. διὰ τοῦτο δὲ, ὅ,τε Μανωὲ καὶ ἡ γυνὴ αὐτοῦ μετὰ τοσαύτης δυσκολίας τὸν τοιοῦτον γάμον ἔστερξαν. ἀλλ' ὁ μὲν Θεὸς, ὁ τοῦ νόμου ποιητὴς οὐχ ἅπαξ ἐν τοῖς τοιούτοις συγκατάβασιν ἔδειξε· τὰ δὲ τοῦ Σαμψὼν κινήματα ὑπὸ εἰδικῆς τινος προνοίας διευθύνοντο, ὡς ὁ ἱερὸς συγγραφεὺς ἐσημείωσεν.
Κριτ. 14. 4. Ἔστι δὲ ἄρα ἄλλο τι ἀτοπώτερον τοῦ παριστᾶν νομιζόμενον τινὰ Κουράτον (200) διϊσχυριζόμενον περὶ τοῦ ὅτι ἡ πόλις Θαμναθᾶ οὐδέποτε ὑπῆρξε, καὶ ταῦτα ἐναντίον τῆς μαρτυρίας τοῦ σχεδὸν συγχρόνου τοῖς πράγμασι συγγραφέως, καὶ ἐν ἐκείνῳ συγγράψαντος τῷ τόπῳ; Αὕτη δὲ ἀληθῶς ὑπῆρξε. διότι ὁ μὲν Ἰούδας (201) ὁ Μακκαβαῖος ἀνήγειρεν αὐτὴν καὶ καθωχύρωσε. κατὰ δὲ τοὺς τοῦ Εὐσεβίου χρόνους ὑπῆρχεν ἔτι κώμη μεγάλη, νομοῦ τινος πρωτεύουσα (202).

Ἄ Ρ Θ Ρ Ο Ν Θ'.

Περὶ τοῦ διασπασθέντος λέοντος, καὶ τῶν ἀλωπέκων, καὶ τῆς σιαγόνος τῆς ὄνου.

1. „Αἱ μέλισσαι, αἱ μέλι ποιοῦσαι ἐν τῷ τοῦ λέοντος στόματι εἰσὶ τῶν „ἐν κόσμῳ πραγμάτων τὸ ἀπρεπέστερον. αἱ μέλισσαι οὐδέποτε ἀλλα„χοῦ ποιοῦσι τὸν κηρὸν καὶ τὸ μέλι, εἰμὴ μόνον ἐν τοῖς σίμβλοις τοῖς „ὑπ' αὐτῶν κατασκευαζομένοις ἐν μόνοις τοῖς τῶν δένδρων κοιλώμα„σιν. ἐν δὲ τοῖς τοιούτοις σίμβλοις μετὰ παρέλευσιν ὁλοκλήρου ἔτους εὑ„ρίσκεται τὸ μέλι. καὶ αἱ μὲν μέλισσαι ἀνυπέρβλητον ἔχουσι κατὰ τῶν πτωμάτων ἀντιπάθειαν· ὁ δὲ τῆς ἐλεεινῆς ταύτης διηγήσεως συγγρα„φεὺς τοσοῦτον ἀμαθὴς ἦν, ὅσον καὶ ὁ κύριος ὁ Καλμέτος, ὅστις οὐ παί„ζων ἀναφέρει τὸν μῦθον τῶν μελισσῶν, τῶν ἐκ τοῦ δέρματος τοῦ „Ταύρου γεγεννημένων.

Οὐδεμία ἀνάγκη ἐστὶ σημειῶσαι, ὅτι ὁ κριτικὸς τίθησι τὰ λόγια ταῦτα ἐν τῷ στόματι ἱερέως τινὸς ἀποστάτου. 203) Ἐὰν δὲ ὁ Καλμέτος ἐπίστευε μόνοις τοῖς ποιηταῖς, μεμπτέος ἦν τυχὸν, ὡς πάνυ εὔπιστος, ἀλλ' αὐτὸς προβάλλει τὸν Βιργίλλιον, τὸν Ὀβίδιον, κτ. προστίθησι δὲ Βάρωνα, τὸν Κολουμέλλον, τὸν Πλίνιον, τὸν Σουίδαν. τοῦτο δ' αὐτὸ πεποίηκε καὶ ὁ σοφὸς Βοχάρτος.

Βριγγ. Γεωγρ. β. 4. Ὀβιδ. Φαστ. 3. 1. κ. Μεταμορφ. β. 15. Βάρ. περὶ χωρικ. ὕλης β. 1. κ. 2. Κολ. β. 9. Πλιν. β. 11. κ. 20. Σουίδ. εἰς τὸ Βουγενεῖς.

„Αἱ μάλισσαι κατασκευάζουσι τὰ ἑαυτῶν σίμβλα μόνον ἐν τοῖς „τῶν δένδρων κοιλώμασιν.

Τοῦτο τοῦ ἀμαθοῦς ἴδιον, τὸ ἀρνεῖσθαι πᾶν τὸ μὴ γινόμενον ἐν τῷ στενωπῷ αὐτοῦ, καὶ πᾶν τὸ μὴ ὁρώμενον ἐν τῷ οἰκίσκῳ αὐτοῦ. Ἀναμφίβολον δέ ἐστιν, ὅτι αἱ μέλισσαι ποιοῦσι τὰ σίμβλα αὐτων ἐν τοῖς ὑπογείοις σπηλαίοις, καὶ κοιλώμασιν, ὡς ἐν τῷ προλαβόντι βιβλίῳ ἀπέδειξα. εὑρέθησαν δὲ σίμβλα ἐν μνήμασι, καὶ ἐν ξηροῖς κρανίοις, ὡς μαρτυρεῖ ὅ,τε Ἡρόδοτος, καὶ ὁ Ἀλδοβράντος παρὰ Βονφρερίῳ καὶ Βοχάρτῳ. Ἀλλ' ἐρεῖτις τυχὸν, ὅτι τὸ τοῦ λέοντος κρανίον οὐκ ἠδύνατο ξηρὸν εἶναι, ὅτε ὁ Σαμψὼν εὗρε τὸ μέλι. διότι τοῦτο συνέβη ὀλίγας ἡμέρας μετὰ τὸ φονευθῆναι τὸν λέοντα. Ἀληθῶς ἐν τῇ Βουλγάτῃ κεῖται, μετ' ὀλίγας ἡμέρας, ἀλλὰ τὸ ὕφος, καὶ αἱ ἄλλαι μεταφράσεις (204) ἐκφράζουσι, μετὰ χρόνου τινὸς παρέλευσιν, μ ι ϊ α μ ι μ. οὗτος δὲ ὁ χρόνος ἀξιωσημείωτός ἐστιν, ὡς σημαῖνον ἐνίοτε, κατὰ τὰς χαλδαικὰς παραφράσεις καὶ τοὺς Ῥαββίνους, ἔτος ὁλόκληρον.

Β. 4. κ. 2. Ἀρθρ. 5. Ὅρα δὲ καὶ τὴν σημ. Ἡροδ. β. 5. κ. 114.

2. „Κομψῶς μὲν λέγει ὁ Καλμέτος, ὅτι τῆς Ῥώμης ὁ ὄχλος „τρέχειν παρεσκεύαζεν ἀλώπεκα, καιομένην λαμπάδα ἐν τοῖς ὤμοις

„φέ-

„φέρουσαν.... Ἀ δύνατον ὅμως ἐςὶν ἐν καιρῷ τινι ὡρισμένῳ εὑρεῖν τρι-
„ακοσίας ἀλώπεκας, καὶ τῇ κέρκῳ αὐτὰς συνδῆσαι. ἀνάγκη δὲ ἦν και-
„ρῦ πολλοῦ πρὸς τὸ τριακοσίας εὑρεῖν ἀλώπεκας. οὐδεὶς δὲ ἀλωπεκο-
„θήρας δύναται τοιουτοτρόπως συνδῆσαι τριακοσίας ἀλώπεκας.

Ἔκςασίς ἐςι καὶ αὕτη τοῦ λεγομένου Ἱερέως Μέσλιερ ὁ Καλμέτος
προτείνει τὸν Ὀβίδιον, λέγοντα ῥητῶς ὅτι ἐν Ῥώμῃ κατὰ τὸν Ἀπρίλ-
Ὀβιδ. ἐν Φάσοις β. 4. λιον μῆνα ἀπέλυον οὐχὶ μίαν, ἀλλὰ πολλὰς ἀλώπεκας μετὰ λαμπά-
δων ἐν ταῖς πηγαῖς αὐτῶν δεδεμένων. τοῦτο δὲ ἐγίνετο εἰς ἀνάμνη-
σιν μεγάλης τινὸς πυρκαϊᾶς γενομένης ἐν τῇ τοῦ Καρσεόλου πεδιάδι ὑ-
πότινος δωδεκαετοῦς παιδίου, θεμένου ἄχυρον καιόμενον ἐπὶ τῶν ὤμων
Ἀ σμ. 2. 15. Θρήν. 5. 18. Νεεμ. 4. 3. Βοχαρ. μέρ. 1. β. 3. κ. 13. τῆς ὑπ' αὐτοῦ ζωγρηθείσης ἀλώπεκος. Βέβαιον δέ ἐςιν ἐκ πολλῶν διη-
γήσεων τῶν ἐν τοῖς εβραϊκοῖς βιβλίοις, καὶ ἐκ τῶν ἱςορουμένων ὑπὸ τῶν
νεωτέρων περιηγητῶν, ὅτι ἡ Παλαιςίνη μυρμηκιᾷ ἀλωπέκων. ὁ Βελ-
λόνιος ὁ ὑπὸ τοῦ Βοχάρτου μνημονευόμενος, ἐπιβεβαιοῖ, ὅτι εἶδεν ἐν
αὐτῇ ἀγέλας διακοσίων Θοων, τουτέςι ζώων, μορφῆς ἀλώπεκος, καὶ
λύκου μετεχόντων. Ἡ Γραφὴ σιωπᾷ τὸν καιρὸν, τὸν ὑπὸ τοῦ Σαμ-
ψὼν καταναλωθέντα πρὸ τῆς τῶν τριακοσίων ἀλωπέκων συλλογῆς, ὡ-
σαύτως καὶ τὸ ὅτι μόνος αὐτὸς ἄνευ συμβοηθοῦ τὸ ἔργον τοῦτο ἐτέλεσεν.
αἱ δὲ ἀλώπεκες οὐ πᾶσαι ὁμοῦ, ἀλλ' ἀνὰ δύω συνεδέθησαν. ὁ δὲ ἀριθμὸς
αὐτῶν οὐ πολλαπλασιάζει τὴν δυσκολίαν, χρεία μόνον ἦν πλείονος και-
ροῦ καὶ χειρῶν. εὔκολον δὲ ἦν τῷ Σαμψὼν μετελθεῖν τὸν ἀναγκαῖον
καιρὸν, καὶ πάντα τὰ βοηθήματα πρὸς τελείωσιν τοῦ μελετωμένου ἔργου.

3. „Ἡ σιαγὼν τῆς ὄνου, δι' ἧς ὁ Σαμψὼν ἀπέκτεινε χιλίους τῶν
„κυρίων αὐτοῦ τῶν Φυλιςιαίων, τοσοῦτον αὐθάδη κατέςησε τὸν Μέσ-
„λιερ, ὥςε ἐτόλμησεν εἰπεῖν, ὅτι οὐδεμία ἄλλη σιαγὼν ὄνου ἐςὶν ἐν
„τῷ μύθῳ τούτῳ, εἰμὴ ἡ τοῦ εὑρετοῦ αὐτοῦ.... Χλευάζει δὲ καὶ τὴν πη-
„γὴν, ἣν ὁ Θεὸς ἐξήγαγεν ἐκ τοῦ σιαγωνίου ὀδόντος, ὁμοίως καὶ τὰ
„λοιπά.

Ἡ πηγὴ ἡ ἐκ τοῦ σιαγωνίου ὀδόντος τῆς ὄνου ἐξελθοῦσα οὐδεμίαν
ἄλλην ἔχει πηγὴν, εἰμὴ τὸ ἐλάττωμα τῆς μεταφράσεως τῆς Βουλ-
γάτης, ἧς ὁ συγγραφεὺς μετήνεγκε τὸ τόπου τινὸς κύριον ὄνομα εἰς
προσηγορικόν. Ἰδοὺ τὸ ὕφος κατὰ λέξιν. „Ὁ Σαμψὼν ἦλθεν ἕως Λε-
„χι. καὶ οἱ ἀλλόφυλοι ἠλάλαξαν, καὶ ἔδραμον εἰς συνάντησιν αὐτοῦ.
„τότε ἐνισχύθη πνεύματι Θεοῦ, καὶ συνέτριψε τὰ καλώδια, οἷς ἐδέδετο.
„καὶ ἔλαβε σιαγόνα ὄνου ἣν εὗρεν ἐν τῇ χειρὶ αὐτοῦ. καὶ ἀπέκτεινεν ἐν
„αὐτῇ χιλίους τῶν ἐχθρῶν αὐτοῦ. καὶ ἔρριψε τὴν σιαγόνα εἰς τὴν γῆν,
„καὶ ἐκάλεσε τὸν τόπον ἐκεῖνον Ῥαμεθ Λεχι, ὅπερ ἐςὶ ῥίψιν σια-
„γόνος. μετὰ ταῦτα ἐδίψησε σφόδρα, καὶ ἐπεκαλέσατο τὸν Κύριον,

„ἢ εἶπε. σὺ Κύριος εὐδόκησας ἐν χειρὶ τοῦ δούλου τοῦτο τὸ σωτηριῶ-
„δες θαῦμα. ἀλλὰ δίψει καμοῦμαι ἐν χειρὶ τῶν ἀπεριτ-
„μήτων. τότε ὁ Θεὸς ἤνοιξε τὸν ἐν Λεχι λάκκον. τὸ ὕδωρ ἐξῆλ-
„θε, ἢ ἐρρόισε τὸν Σαμψών· ἐκάλεσε τὴν πηγὴν ταύτην, πηγὴν
„τοῦ ἐπικαλουμένου, ἥτις ἐστὶν ἕτι ἐν Λεχι. (205) ὁ μὲν δὴ Θεὸς ἐν ταύ-
βα, ἵνα τὸν Σαμψὼν ἀπαλλάξῃ, δύω πεποίηκε θαύματα. ὁ δὲ τόπος,
ἐν ᾧ ταῦτα γεγόνασι, τὴν ὀνομασίαν ἔλαβεν ἐκ τοῦ πρώτου θαύματος.
διότι τὸ Λεχι σημαίνει σιαγόνα. Τί δὲ ἐν τούτοις ἀνάξιόν ἐστι τῆς τοῦ Θεοῦ
μεγαλειότητος, ἢ τοῦ καλάμου τοῦ ἐμπνευσθέντος συγγραφέως; Τοι-
αύτη, κατὰ πάντας σχεδὸν τοὺς κριτικοὺς, ἐστὶν ἡ ἔννοια τῆς ῥήσεως
ταύτης. ὕτω δὲ ἢ ὁ Ἰώσηπος πρὸ χιλίων ἢ ἑπτακοσίων ἐτῶν αὐτὴν
διηρμήνευσεν. ὐδεὶς δὲ ὑπὲρ τούτου ἐρυθριάζει, εἰμὴ οἱ τοὺς παχυλοὺς
ἐπίσης ἢ ἀσεβεῖς δεχόμενοι σαρκασμούς.

΄Α Ρ Θ Ρ Ο Ν Γ.

Περὶ τῶν τῆς Γάζης θυρῶν τῶν ὑπὸ τοῦ Σαμψὼν ἀρθεισῶν ἢ τοῦ ἀναγραφέντος βωμοῦ.

1. Ἰδοὺ ἡ κατὰ τοῦ Σαμψὼν ἐγκάτη τοῦ κριτικοῦ ἔνγασις. „Ἡ Χεβρὼν
„ἀπέχει τῆς Γάζης λέγας δώδεκα. ὐδεὶς δὲ δύναται ἀπὸ μεσονυκτίου,
„καθ' ὃ ὁ Σαμψὼν ἠγέρθη, ἕως πρωΐας βαδίζειν θύρας πόλεως. ἵνα
δὲ ἰχυροποιήσῃ τὴν ἔνγασιν αὐτοῦ, ἀλλοιώσας τὸ ἐν τῇ νομιζομένῃ με-
ταφράσει αὐτοῦ ὕφος, ἀντὶ τοῦ, „Ἤνεγκεν αὐτὰς ἕως τοῦ ὄρους τοῦ ἐπὶ
„προσώπου τῆς Χεβρὼν, ἀντικαθίςησι τὸ, Λαβὼν ὕτος τὰς δύω θύ-
„ρας τῆς πόλεως Γάζης, ἤνεγκεν αὐτὰς ἐν τῷ ὄρει Χεβρὼν (206).

Ἡ πόλις τῆς Γάζης κεῖται πλησίον τῆς θαλάσσης ἐν πεδίῳ ἀμ-
μώδει περιορισμένῳ κατὰ ἀναλολὰς ὑπὸ τῶν τῆς Ἰουδαίας ὀρέων, ὧν
ἐν τῷ μέσῳ κεῖται ἡ Χεβρών. ὁ δὲ Σαμψὼν ἤνεγκε τὰς δύω θύρας
τῆς πόλης τῆς Γάζης ἄχρι τούτων τῶν ὀρέων, τῶν ἐχόντων μὲν τὴν
ἀρχὴν αὐτῶν ἀ μακρὰν τῆς Γάζης, ἐκτεινομένων δὲ ἄχρι τῆς Χε-
βρὼν, ἢ ἐπέκεινα. διὸ ὐδὲ ἄχρι τῆς Χεβρὼν, ὐδὲ πλησίον αὐτῆς
ἤνεγκον αὐτὰς, ἀλλὰ μόνον ἄχρι τοῦ ἀνατολικοῦ τούτων τῶν ὀρέων μέ-
ρους, τοῦ πλησιεστέρου τῆς Γάζης. Δεχόμεθα δὲ ἀσμένως τὸ, ὅτι ὁ
Σαμψὼν θαυματουργικῇ δυνάμει μετεκόμισε τὰς δύω θύρας, διελθὼν
μίαν ἢ δύω λέγας· ἀρνούμεθα δὲ τὸ, ὅτι βαδίζων αὐτὰς ἀπὸ μεσονυ-
κτίου ἕως πρωΐας διήνυσε λέγας δώδεκα.

2. Θαυμάζω περὶ τοῦ πῶς ὁ ἡμέτερος φιλόσοφος ἐσιώπησε τὰς
τρεῖς χιλιάδας τῶν συνταφέντων τῷ Σαμψὼν ἐν τῇ πτώσει τοῦ ὑπὸ

τῶν

Κριτ. 16. 25. 26. τῶν δύω κιόνων βασαζομένη βωμῦ, ἐν αὐτὸς ταῖς χερσὶν αὐτῦ κατέσρεψεν. ἄπρεπον δέμοι παραβλέψαι τὸ ἔργον τῦτο, καθ' ὃ οἱ ἄπιστοι πολλάκις ἐπανέστησαν. Οἱ ὑπομνηματισαὶ παρετήρησαν τὸ ὑπὸ τῦ Πλιν. β. 36. κ. 15. Πλινίυ περιγραφόμενον παράδειγμα τῦ θεάτρυ τῦ Κυρίωνος, τῦ ὑπὸ ἑνὸς σήλυ βασάζομένυ, ἢ τὸ τῦ ἀμφιθεάτρυ, τῦ ὑπὸ δύω ἀξόνων, ὡς φησὶν αὐτὸς, βασαζομένυ σὺν παντὶ τῷ τῶν Ῥωμαίων πλήθει. Ἀλλ' ἴσως οἱ ἡμέτεροι Φιλόσοφοι ὃ ἔχονσι ἐν τοῖς πέρασι τῆς Παλαισίνης οἰκοδομήμασι τοσῦτον θαυμασὰ, ὅσον τὰ ἐν τῇ Ῥώμῃ ὁρώμενα ἐν ταῖς τῆς λαμπρότητος αὐτῆς ἡμέραις. προβάλλομεν δὲ αὐτοῖς τὸ ταῖς ἰδέαις αὐτῶν καταλληλότερον. „Ὁ διδάσκαλος ὁ
Γεωρ. τῆς Ἀκαδημ. τῶν Ἐπιγρ. Φ. Γ. 34 „Σαῦχ μαρτυρεῖ, ὡς φησιν ὁ Μ. Λ. ὁ Μιγνότος ἐν τῷ ἕκτῳ περὶ „τῶν Φοινίκων ὑπομνήματι, ὅτι εἶδεν ἐν τῇ Βαρβαρίᾳ πολλὰ τεμένη· „ἐν μιᾷ δὲ τῶν πλευρῶν τῦ ἐνδον τοίχυ αὐτῶν ἐστηρίζετο ὠκοδομημα, „ὁμοειδὲς μὲν σοῖ προκυπλύσῃ, Ϲ προσκηνίῳ μεγάλῳ ὁμοιον, βασα„ζόμενον δὲ κατὰ τὸ μέσον, ἢ κατὰ τὸ ἐμπρόσθιον μέρος ὑπὸ ἑνὸς, ἢ „δύω σήλων. χρησιμεύυσι δὲ τὰ τοιαῦτα ὠκοδομήματα τοῖς θεάμασι, „ἢ ταῖς ἑορταῖς. πολλάκις δὲ ἡ τῶν σοῶν ὀροφὴ, ἢ τὰ ἐπὶ τῶν σο„ῶν προσκήνια ἀναριθμήτυ πλήθυς θεατῶν εἰσὶ τεπληρωμένα. τιθε„μένης δὲ τῆς κατασκευῆς τῦ ναῦ τῦ Δαγὼν ὁμοίας τύτοις τοῖς ὠκο„δομήμασι, ῥαδίως καταλαμβάνομεν, τὸ πῶς ὁ Σαμψὼν, ἐν τῇ αὐλῇ ὢν, „ἢ ἐν τῷ αἰθρίῳ τόπῳ, τῷ ὑποκάτω τῶν ἀπωλεσθέντων, ῥίψας τὰς „κίονας, τὰς βασάζοντας τὸ ἐπὶ τῆς σοᾶς προσκήνιον, κατέσρεψεν αὐ„τήν. ἐκ ἔστι δὲ παράδοξον τὸ ἢ τὴν Παλαισίνην ἐπὶ Σαμψὼν ἔχειν ἱερὰ ὠκοδομήματα ὅμοια τοῖς ἐν τοῖς πέρασι τῆς Ἀφρικῆς ἀκμὴν σωζομένοις, ἐν οἷς αἱ ἐγγὺς τῶν τῦ Σαμψὼν χρόνων ἐκ τῆς Παλαισίνης ἐξελθοῦσαι ἀποικίαι κατώκησαν.

Λ' ΠΡΟΘΡΟΝ ΙΑ'.

Περὶ τῆς τῶν Δανητῶν ἐκρατείας κατὰ τῆς Λαισᾶς.

1. „Λαΐαν δυσκατάληπτόν ἐστι, φησὶν ὁ αὐτὸς, τὸ πῶς ὁ ἑβραϊκὸς „ὄχλος, ὁ ἐν τῇ γῇ ταύτῃ διεσπαρμένος τε ἢ αἰχμάλωτος ἐτόλμα ἀ„ποσείλλειν κατασκόπυς ἐν τῇ ὑπὸ τὺς Σιδωνίυς πόλει Λαισᾷ.

Οἱ Ἰσδαῖοι ὅτε τὴν Παλαισίνην κατώκυν ἐκ ἦσαν διεσπαρμένοι, ὅτε δὲ τὺς κατασκόπυς κατὰ τῆς Λαισᾶς ἀπέστειλαν, ὐδὲ αἰχμάλωτοι ἦσαν, ὐδὲ δασμοφόροι, ἀλλὰ τὺς Χαναναίυς τότε δαμάσαντες, τὰς κτήσεις αὐτῶν ἐξέτεινον ἕως τῶν πυλῶν τῆς Σιδῶνος· ἢ τὸ μὲν ἰσορῥέμενον ἔντε τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τῦ τῶν Κριτῶν βιβλίυ

ἢ

ἢ ἐν τοῖς τρισὶ τοῖς ἐφεξῆς, συνέβη ἐν τῷ μεταξὺ τοῦ θανάτου τοῦ Ἰησοῦ, ἢ τῆς δικαστηρίου ἐξουσίας τοῦ Ὀθονιὴλ. ἡ δὲ περὶ τοῦ Μαχὰ ἱστορία, ἢ ἡ τῆς Γαβαὰ ὑπόθεσις οὐκ ἐτέθησαν ἐν τῷ τέλει τοῦ αὐτοῦ βιβλίου, εἰμὴ ὡς ὑποθέσεις κεχωρισμέναι τῆς καθολικῆς περὶ τοῦ γένους ἱστορίας.

2. Πολὺν χρόνον περιεπλανῶντο οἱ Ἑβραῖοι ἐν τῇ Παλαιστίνῃ. Ἡ κατὰ τῆς Λαισᾶς ἐκστρατεία τῶν ἐκ τῆς Φυλῆς τοῦ Δὰν ἑξακοσίων ἀνδρῶν οὐκ ἐμφαίνει τὸ ὑπ' αὐτοῦ βεβαιούμενον. δείκνυσι δὲ μόνον, ὅτι διὰ τὸ κατοικεῖν τὴν Φυλὴν τοῦ Δὰν τὴν μεταξὺ τῶν ὁρίων τῆς Φυλῆς τοῦ Ἰούδα & τῆς γῆς τῶν Φυλιστιαίων στενωπίαν, τινὲς ἐξ αὐτῆς ἀπῆλθον πρὸς τὸ βόρειον τῆς Παλαιστίνης μέρος ἐπιβῆναι αἰφνιδίως ἔν τινι τῶν Χαναναίων πόλει, ὅπου & κατεσάβησαν.

3. „Οὗτοι ἦσαν, λέγει ὁ αὐτὸς, χειροδάναυστοι, ἐπίτροποι, ἐρ„γολάβοι, προξενηταὶ, κτήτορες γῆς μεμιωμένης, λησταὶ ἐν „ασηλαίοις κεκρυμμένοι, ἢ τοὺς ἐν τοῖς ὄρεσι στενωποὺς κατέχοντες.

Βαβαὶ τῆς τοῦ νοὸς εὐφυίας, τοῦ συνάψαντος εἰς ἕνα & τὸν αὐτὸν λαὸν χαρακτῆρας τοσοῦτον ἀντιφερομένους. λῃσταὶ τῷ ἐπαγγέλματι & κλέπται, ἢ ὅμως ἐμπιστευόμενοι τὰς οἰκιακὰς ὑπηρεσίας, τὰς δουλοπρεπείας, τὴν ἐμπορίαν, τὴν ἐπὶ ἐτησίῳ δασμοφορίᾳ γεωργίαν. ἔστιν ἆρά γε ἄλλο φάντασμα τούτου ὑπέρτερον,

4. „Οὗτοι δὲ ἀποστασίας, ἢ φονοκτονίας ἐκτήσαντο τὸν τόπον, „εἰ ὧ ἐξ ἀρχῆς οὐχ ὑπεδέξαντο αὐτοὺς, εἰμὴ ὥσπερ τοὺς εἰς τὴν Γαλ„λίαν παραγινομένους Σάρδεις, ἢ ὥσπερ τοὺς Δημοβίους, ἢ Ἀλβερ„νίους, τοὺς εἰς τὴν Ἰσπανίαν ἐρχομένους χάριν τοῦ θερίζειν.

Ὁποία ἡ περὶ τῆς Γαλλίας, ἢ τῆς Ἰσπανίας πρόγνωσις. Φύγετε οἱ τοὺς καπνοδόχους καθαίροντες Σάρδεις. διότι φοβούμεθα, μήτι καταστρέψαντες ἡμᾶς, συγκροτήσητε παρ' ἡμῖν Δημοκρατίαν. ὑμεῖς δὲ οἱ Ἀλβέρνιοι, ἢ Δημοβῖοι ἀκολουθεῖτε τοῖς πεπρωμένοις ὑμῖν, ὑψηλοῖς ὄσι· πορεύεσθε ἐπὶ τὰ τῶν παλαιῶν Ἑβραίων ἴχνη, ἵνα μοναρχίαν συσήσετε ἐν τῇ Ἰσπανίᾳ, ὡς ἄλλοτε ἐκεῖνοι τὴν ἑαυτῶν ἐν τῇ Χαναάν. Θαρρεῖτε ὑπὲρ τῆς τῶν πραγμάτων ἐκβάσεως. ὁ τῆς νεωτέρας φιλοσοφίας πρόμαχος συμφορωτάτην κρίνει ταύτην τὴν εἰκασίαν.

5. „Ἰδοὺ ἄλλο τι ἐμβριθέστερον. Δύσληπτός ἐστιν ἡ τοῦ ἱεροῦ συγ„γραφέως ἔννοια, λέγοντος, ὅτι τὸ τοῦ Μειχὰ εἴδωλον ἔμεινεν ἐν τῇ „τοῦ Δὰν Φυλῇ ἕως τῆς αἰχμαλωσίας. Πολλοὶ τῶν ὑπομνηματιστῶν „πιστεύουσιν, ὅτι τὸ συμβὰν τῷ Μαχᾷ ἠκολούθησεν εὐθὺς μετὰ τὸν Ἰησοῦν. ἀλλὰ κατὰ τὸν ἑβραϊκὸν ἀναλογισμὸν, ὁ μὲν Ἰησοῦς ἐτελεύ-

„τησεν ἔτει 2561, ἡ δὲ μεγάλη αἰχμαλωσία ἔτει 3283, ἀπὸ κτί-
„σεως κόσμȣ.

Ὑποτίθησιν ȣ̃τος, ὅτι ἡ αἰχμαλωσία, περὶ ἧς ἐνταῦθα ὁ
4. Βασ. 17. ϗ 18. λόγος, ἐςὶν ἡ τῶν δέκα φυλῶν, ἡ ἐπὶ Σαλμανασὰρ συμβάσα. ἀλλ'
ὧδε ὁ λόγος ἐςὶ περὶ τῆς ὑπὸ τῶν Φυλιςιαίων γενομένης καταχέσεως
1. Βασ. 4. τῆς κιβωτȣ̃, μετὰ τὸ, ἐπὶ τῆς ἀρχιερατείας τȣ̃ Ἠλὶ, μετακομισθῆναι
αὐτὴν ἀπὸ τῆς Σηλὼ, ὅπȣ ȣ̓δέποτε ἐπέςρεψε. Τȣ̃το δὲ σαφῶς ἐκ-
τίθησιν ὁ ἱερὸς συγγραφεὺς, λέγων, ὅτι τὸ τȣ̃ Μειχὰ εἴδωλον ἔμει-
νε παρὰ τοῖς Δανήθς, τοῖς τὴν Λαισᾶν οἰκȣ̃σιν ἐν ὅσῳ ἦν ὁ οἶκος τȣ̃
Κριτ. 18. 31. Θεȣ̃ ἐν Σηλώ. Ἐκ τȣ́τȣ δὲ ἕπεθ, ὅτι ὁ συγγραφεὺς τῆς τῶν Κριτῶν
βίβλȣ συνέγραφεν ἐπὶ τῆς Βασιλείας τȣ̃ Σαȣ̀λ μετὰ τὸ τεθῆναι
1. Βασ. 7. 1. ϗ 21. τὴν Κιβωτὸν ἐν Καριαθιαρεὶμ, ϗ μετὰ τὸ μετατεθῆναι τὸ ἁγιαςή-
ριον ἀπὸ τῆς Σηλὼ εἰς τὴν Νομβᾶ. *).

6. „Ἐπειδὴ ἡ περὶ τȣ̃ Λευίτȣ ἱςορία, φησὶν ὁ αὐτὸς, ἐτέθη
„ἐν τῷ κανόνι μετὰ τὴν περὶ τȣ̃ Μειχὰ, ἐξ ἀνάγκης ἕπεται, ὅτι τὰ
„ἐν αὐτῇ περιεχόμενα ἠκολȣ́θησαν ἐν τῇ ἐσχάτῃ δȣλείᾳ, τῇ ἐπαρκε-
„σάσῃ ἔτη τεσσαράκοντα.

Ἐλογιζόμην, ὅτι πᾶν τὸ ἐναντίον συμπεράναι ἐβȣ́λετο. „διότι
„εἰπὼν, πολλοὶ τῶν ὑπομνηματιςῶν πιςεύȣσιν, ὅτι τὸ συμβὰν τῷ
„Μειχᾷ ἠκολȣ́θησεν εὐθὺς μετὰ τὴν τȣ̃ Ἰησȣ̃ τελευτὴν, οὐδὲν προ-
„σέθετο ἐκνευρίσαι δυνάμενον ταύτην τὴν γνώμην, τὴν ἀνωτέρω ἀ-
ληθινὴν ἀποδειχθεῖσαν. ἀλλὰ διατὶ ἄραγε αὐτὸς ἐσυλλογίσθη κατε-
νεγκεῖν τὴν περὶ τȣ̃ Λευίτȣ ἱςορίαν, ϗ τὸν κατὰ τῆς Γαβαὰ πό-
λεμον ἐν τῇ ἐσχάτῃ δȣλείᾳ; ȣ̓κ ἀνέγνω ἐν τῷ τῶν Κριτῶν βιβλίῳ
τὸ ὅτι τȣ̃το γέγονεν, ὅτε ὁ Φινεὲς, ὁ τȣ̃ Ἐλεαζάρȣ υἱὸς, ϗ ἔγγονος
Κριτ. 20. 28. τȣ̃ Ἀαρὼν, παρεςηκὼς ἦν τῇ Κιβωτῷ; ὁ Φινεὲς εἰκοσαέτης ἦν τȣ̀-
λάχιςον, ὅτε ἐν αὐτῷ τῷ ἔτει τῆς εἰσόδȣ τῶν Ἰσραηλιτῶν ἐν τῇ
Ἀριθ. 25. 5. Χαναὰν ἀπέκτεινε τὸν Ἰσραηλίτην, τὸν μὴ αἰσχυνόμενον παῤῥησία
πορνεύειν μετὰ τῆς Μαδιανίτιδος. ἡ δὲ τεσσαρακονταετὴς δȣλεία ȣ̓κ
ἤρξατο εἰμὴ μετὰ τὴν δικαςήριον ἐξȣσίαν τȣ̃ Ἀβδὼν, εἴτȣν μετὰ
ἔτη

*) Ὁ Οὐβιγάντης εὐλόγως ἐνόμισεν, ὅτι ἀντὶ τῶν δὲ τῶν ῥημάτων Γελοθ χααρετς, μετοικεσία τῆς γῆς
Κριτ. 18. 39. τῶν σήμερον ἐν τῷ ὕφει ἀναγινωσκομένων, ἀνεγινώσκετο ἐν τῷ πρωτοτύπῳ, Γελοθ Λαρον μετοικεσία τῆς Κιβωτȣ̃. τὴν ἔννοιαν ταύτην ἀπαιτεῖ ἡ τȣ̃ λόγȣ συνάφεια, πάνυ δὲ ῥᾴδιον ἦν τὸν μεταγραφέα κατὰ παραδρομὴν σχηματίσαι ἐν τσαδε ληκτικὸν V ἀντὶ βαȣ, ϗ ἑνὸς ληκτικȣ̃ νȣ̃ν 27.

ἔτη πλείονα τῶν τριακοσίων, ἐξότε οἱ Ἑβραῖοι εἰσῆλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας. ἐπειδὴ ὃν ὁ ἐπιτήδειος ὅτος χρονολόγος εἰσάγει τὸν Φινεὲς ἀρχιερατεύοντα ἐπὶ τῆς ἐχάτης ἡλείας, δῆλον ὅτι ἀναγράφει αὐτῷ ἔτη ζωῆς πλείονα τῶν εἴκοσι πρὸς τοῖς τριακοσίοις. ἀληθῶς ὅτε ἡ ἱστορημένη περὶ τῦ Λευίτυ τραγωδία συνέβη, τότε ὁ Φινεὲς διῆγεν ἐνδεχομένως τὸ μεταξὺ τῦ πεντηκοςῦ καὶ ἑξηκοςῦ ἔτους τῆς ἡλικίας αὐτῦ. αὕτη δὲ ἡ τραγωδία ὁμοίως καὶ τὰ περὶ τῦ Μειχὰ συνέβησαν ὅτε οἱ Ἑβραῖοι μετὰ τὴν τῦ Ἰησῦ καὶ τῶν συγχρόνων αὐτῦ τελευτὴν ἤρξαντο πίπτειν εἰς τὰς τῶν κακῶν ὑπερβολὰς, τῶν ἐν τῷ δευτέρῳ κεφαλαίῳ τῦ βιβλίυ τῶν Κριτῶν σημειωθέντων. Οὕτως ὃν ἐξηδενώθησαν, μηδένα πόρον ἐγέρσεως λιπῦσαι αἱ ἐνςάσεις, αἱ ὑπὸ τῦ ἀπίςυ ἐπὶ μόνῃ ἀτόπῳ ὑποθέσει ςηριζόμεναι.

ΆΡΘΡΟΝ ΙΒ'.

Περὶ τῦ ἀληθῦς ἔτους τῆς κατὰ τῆς Γαβαὰ ἐφόδυ.

1. Παρίςησιν ὁ αὐτὸς τὸν Βολιγγβροόκιον λέγοντα· „Πάντη ἀδύ-„νατόν ἐςι τὸ, ὅτι ἱερεὺς, γυναικὶ συνεζευγμένος, καὶ ἑπομένως βαθυ-„γένειος, μακρόθεν ἀφικόμενος, ἐπιβεβηκὼς μὲν ἐπὶ τῆς ὄνυ αὐτῦ, „συνοδοιπορῦσαν ἔχων καὶ τὴν ἑαυτῦ γυναῖκα. κονιορτῦ δὲ ἀνάπλεως, „ἀσελγεῖς ἐξήγειρεν ἐπιθυμίας πάσῃ τῇ πόλει.

Ἀλλ' ὐχ ὁρῶμεν πολλάκις ἄθλιά τινα γυναικάρια, δοκῦντα ἐπιτήδεια μόνον πρὸς ἐξέγερσιν ἀηδίας καὶ ἀποςροφῆς, διεγείροντα ἀσελγεῖς ἐπιθυμίας ὁλοκλήρυ ςρατῦ; ἐκ τύτυ συμπεραίνει δεῖ, πόσον ἐν θερμῷ κλίματι παρὰ ἀνθρώποις ὀκνηροῖς ἰσχύει ἡ ἐξις τῆς ἁμαρτίας.

2. „Οὐκ οἴδαμεν, προσίθησιν ὁ αὐτὸς, πότερον ἐν Βηθλεὲμ, „ἢ ἐν Ἐφραΐμ ὁ Λευίτης ἤνεγκε τὴν ἑαυτῦ γυναῖκα.

Ἀσεία ἐςὶν ἡ ἀμφιβολία. Ὁ ἱερὸς συγγραφεὺς λέγει ῥητῶς, Κρ. τ. 19.
Ὅτι ὁ Λευίτης ἀναχωρήσας ἀπὸ τῆς Ἐφραΐμ, ἀπῆλθεν εἰς τὴν Βηθλεὲμ πρὸς ἀναζήτησιν τῆς κατ' αὐτῦ ὀργισθείσης, καὶ πρὸς τὸν πατέρα αὐτῆς ἐπισραφείσης γυναικὸς αὐτῦ. ἐκεῖ δὲ συγκαλλαγεὶς αὐτῇ, ἐν τῷ μεζακομίζειν αὐτὴν ἐν τῷ οἴκῳ αὐτῦ, ἠναγκάσθη ὑπὸ τῆς νυκτὸς μεῖναι ἐν τῇ Γαβαᾷ. τελευταῖον δὲ μετὰ τὸν τραγικὸν αὐτῆς θάνατον ἐπιφορτίσας τὸ πτῶμα αὐτῆς ἐπὶ τῆς ὄνυ αὐτῦ, ἤγαγεν αὐτὴν ἐν τῷ οἴκῳ αὐτῦ. ἔςι δὲ ἆρα τῦτο ἀμφίλογον;

3. „Θαυμάζομεν, ὁ αὐτὸς λαλεῖ, ὁρῶντες τὸν Κύριον διεκδι-„κῦντα τὺς Βενιαμίτας κατὰ τῶν Ἰσραηλιτῶν, καὶ ὑπὲρ ἐκείνυς ἔ-

πταισαν. πολλῷ δὲ μᾶλλον θαυμάζομεν, ὁρῶντες τὸς Ἰσραηλίτας πο-
„ρευομένους μὲν κατὰ τὸ ἀποφαντικὸν τῦ Θεῦ πρόσαγμα, πλητο-
„μένους ὅμως πάλιν σὺν ἀπωλείᾳ δέκα ᾗ ἑκτὼ χιλιάσιν ἀνδρῶν. ὅ-
„μως μέντοι μετὰ ταῦτα οἱ αὐτοὶ κατὰ κράτ☉ αἴρυσι τὰ νικητήρια.

Τῶν μὲν Βενιαμιτῶν ὐδέποτε προέσῃ ὁ Θεός. τὸς δὲ Ἰσραηλίτας, τὸς μὴ πρὸς αὐτὸν προσδραμόντας, (207) ἀλλ' ἐπὶ μόνῃ τῇ πεποιθήσει τῦ πλήθυς τῶν πολεμιῶν αὐτῶν ἐπιχειρήσαντας πολεμεῖν, ἐγκατέλειπεν ἐν τῇ προλήψει αὐτῶν. τὰ δὲ ἀκολυθήσαντα κακὰ ἦσαν τὸ πρῶτον τῦ Θεῦ ἐπιτίμιον κατὰ παντὸς τῦ λαῦ, τῦ ἀρξαμένου ἐπιλανθάνεσθαι αὐτῦ. ἐπὶ τύτοις δὲ ὕτοι μὴ προσεχηκότες, ἐπέσαρον ἐπ' αὐτὸς μείζονα δυσυχήματα. ἡ δὲ Χυζὰ ἔφοδος, ἡ μετ' ὀλίγα ἔτη ἐπισυμβᾶσα, προεξένησε τὴν πρώτην δυλείαν.

4. „Ὑποτίθε ὅλ☉ ὁ τῶν Ἰυδαίων λαὸς κατασφάτων πάντας
„τὸς κατοικῦντας μίαν τῶν ἰδίων πόλεων, (τὴν Ἰαβεὶς Γαλαὰδ) ἵνα
„δῶ γυναῖκας τοῖς ἐχθροῖς αὐτῶν. σφάττονται δὲ αἱ μητέρες, ἵνα
„λάβωσιν ἄνδρας αἱ θυγατέρες. (208).

Κριτ. 21. 8. Ἐνταῦθα κατέλειπεν ὕτος ὐσιώδη τινὰ περίσασιν. Ἡ πόλις Ἰαβεὶς παρέβλεψε παντελῶς τὴν καθολικὴν πρόσκλησιν, τὴν ἐπ' ὀνόματι τῦ γένυς πεποιημένην. αὕτη δὲ ἡ ἀνάνευσις ὡς ἔργον ἐχθρας ᾗ ἀποσασίας λογισθεῖσα, αὐσηρῶς κατὰ τὴν τότε συνήθειαν ἐπαιδεύθη. ὁρῶμεν δὲ ἐν τῷ πρώτῳ τῶν Βασιλειῶν βιβλίῳ ὁποῖαι ποιναὶ

1. Βασ. 11. 17. ὡρισμέναι ἦσαν κατὰ τῶν μὴ συνελθόντων ἐν ταῖς κοιναῖς συνελεύσεσιν.

5. Ἐπιῤῥεπὴς δοκεῖ ὧδε ὁ αὐτὸς εἰς δύω τινὰ ἀλλήλοις ἐναντία. ὁ μὲν πυῤῥωνισμὸς ᾗ ἡ ἐπιθυμία τῦ καταργῆσαι τὰ ἅγια ἡμῶν βιβλία ἀναγκάζυσιν αὐτὸν δεχθῆναι τὸ γνωμολόγημα τῶν λεγόντων, ὅτι ἀδύνατον ἦν ταῦτα πάντα γενέσθαι. τὸ δὲ κατὰ τῦ Ἰυδαικῦ γένυς μῖσος αὐτῦ πείθει αὐτὸν σημειῶσαι τάδε· „Ὅμως πάνυ καλῶς
„ἐξιχνιασμέν☉ ἐσὶν ὁ τῦ γένυς τύτυ χαρακτήρ.... Ὁ μὲν ἀφανι-
„σμὸς τῆς πόλεως Γαβαᾶ, ᾗ πάντων τῶν ἀνθρώπων ᾗ κτηνῶν ὐ-
„δόλως ἐκταράττει αὐτὸς, ἡ δὲ ἀπώλεια μιᾶς τῶν φυλῶν αὐτῶν
„μαλθακίζει αὐτύς. τῦτο δὲ ὑπὲρ πᾶν ἄλλο φύσει κατάλληλόν ἐσι
„γένει ἐλπίζοντι, ὅτι ἐν μιᾷ τῶν ἡμερῶν αἱ δώδεκα φυλαὶ ὑποδυλώ-
„συσι πᾶσαν τὴν γῆν. (209).

Ἄλλη τις σκέψις ἁπλυσάτη ἀνθίσαται τῇ πρώτῃ γνωμολογίᾳ, ᾗ ἑξῆς· ὅσον τὰ συμβάντα ταῦτα εἰσὶ παραδοξότερα, ᾗ τῷ Ἰυδαικῷ γένει ἐπιζήμια, τοσῦτον φανερώτερόν ἐσιν, ὅτι οἱ μὲν Ἰυδαῖοι ὐκ εἰσὶν οἱ τύτων ἐφευρεταί· ὁ δὲ συγγραφεὺς ὁ Ἑβραῖος ἐν ἱσορίᾳ τοσῦ-

τον

τον συντόμω ὅσον ἐςὶν ἡ ἑαυτȣ̃, ἐὰν τὸ φιλάληθες, ϗ ἡ πρὸς τὰ θεῖα προςάγματα ὑπακοὴ ȣ̓κ ἐθριάμβευον ἐν τῇ καρδίᾳ αὐτȣ̃ κατὰ πάσης ἀνθρωπίνης προσσαθείας, ἔκλινεν ἂν μᾶλλον εἰς τὸ παρασιωπῆσαι ἤπερ εἰς τὸ πλάσαι τὰ τοιαῦτα κατὰ τὴν ἑαυτȣ̃ ἀρέσκειαν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς τȣ̃ Ἰὼβ βίβλȣ.

Περὶ τȣ̃ βιβλίȣ τȣ́τȣ ὁ κριτικὸς ἐν μὲν τῇ τελευταῖον ὑπ' αὐτȣ̃ διερμηνευθείσῃ Διαθήκῃ ȣ̓δὲν λέγει· ἐν δὲ τῇ περὶ τὴν ἱςορίαν φιλοσοφίᾳ αὐτȣ̃ ὁμολογήσας. ὅτι ἐςὶν ἔργον παλαιοτάτης ἀρχαιότητος, „προτείνει τὸ, ὅτι τὸ βιβλίον τȣ̃το ἀλληγορία μένἐςιν ὑπὸ Ἀ„ράβων συγγραφεῖσα, ȣ̓κ ἔςι δὲ μέρος τȣ̃ ἑβραϊκȣ̃ κανόνος, ὡς μὴ „συγκαταλεχθὲν ἐν αὐτῷ ὑπὸ τȣ̃ ἱςορικȣ̃ Ἰωσήπȣ. Φιλοσ. ἱςορ. κ. 6. ϗ 48.

Ὁμολογῶ, ὅτι ὁ μὲν συγγραφεὺς τῆς τȣ̃ Ἰὼβ βίβλȣ ἀγνοεῖται, τὸ δὲ πρωτότυπον ἴσως συνεγράφη Ἀραβιςί (210). διότι τὰ πρῶτα κεφάλαια μαρτυρȣ̃σιν, ὅτι ὁ Ἰὼβ, ϗ οἱ φίλοι αὐτȣ̃ κατῴκȣν τὴν ἔρημον Ἀραβίαν. (211) διατείνομαι δὲ ὅτι ὁ μὲν Ἰὼβ· κἂν μὴ ἀκριβῶς γινώσκωμεν τὸν καιρὸν, καθ' ὃν ἤκμασε, κἂν αἱ μετὰ τῶν φίλων αὐτȣ̃ ὁμιλίαι ποιητικῶς ἐξεφράνθησαν· ȣ̓κ ἔςι πρόσωπον ἀλληγορικῶς ἐκλαμβανόμενον· οἱ δὲ Ἰȣδαῖοι ἐγνώριζον διαπαντὸς τὸ βιβλίον αὐτȣ̃ κανονικόν.

Ἄρθρον Α.

Περὶ τȣ̃ ὅτι ὁ μὲν Ἰὼβ τῷ ὄντι ὑπῆρχε, τὸ δὲ βιβλίον αὐτȣ̃ γνωςὸν ἦν τοῖς Ἰȣδαίοις.

1. Περὶ τȣ̃ ὅτι ὁ Ἰὼβ ἐςὶ πράγματι ϗ ἀληθείᾳ ἄνθρωπος, ȣ̓τινος ἡ ὑπομονὴ αὐςηρῶς δοκιμασθεῖσα, πρȣ̃τέθη ὡς παράδειγμα ταῖς μετέπειτα γενεαῖς, μαρτυρȣ̃σι συμφώνως ὅ,τε ἐν ἁγίοις Ἀπόςολος Ἰάκωβος ἐν τῇ κανονικῇ αὐτȣ̃ ἐπιςολῇ, ϗ ὁ συγγραφεὺς τῆς τȣ̃ Τωβὶτ βίβλȣ, παρατιθεὶς τὰς ἐνίων Νινευϊτῶν χλεύας τῶν καλῶν ἔργων τȣ̃ ἁγίȣ ἀνδρὸς Τωβὶτ τοῖς ἐπιφορτισθεῖσι τῷ Ἰὼβ ἐλέγχοις ὑπὸ τῶν φίλων αὐτȣ̃· (212) ϗ ὁ Ἰεζεκιὴλ, συντάξας αὐτὸν τῷ Νῶε ϗ τῷ Δανιὴλ, ϗ τοῖς τῷ Θεῷ δι' ὑπερεχȣ́σης ἀρετῆς κατ' ἐξοχὴν εὐαρεςήσασιν· οἱ συγγραφεῖς ȣ̓τοι κἂν λογισθῶσι ψιλοὶ μάρτυρες τῆς γνώμης τῶν τȣ̃ κατ' αὐτȣ̀ς αἰῶνος ἀνθρώπων, εἰσὶν ὅμως ἀπόδειξις ἀναντίῤῥητος περὶ τȣ̃ ὅτι ȣ̓χὶ μόνον ἐν τῷ τȣ̃ χριςιανικȣ̃ ἔτȣς Γαλ. 5. 11. Ἰεζ. 14. 14.

πρώ-

πρώτω αἰῶνι, ἀλλὰ καὶ πρὸ τούτου ἕξ καὶ ὀκτὼ αἰῶνας πεπεισμένοι ησαν οἱ ἄνθρωποι, ὅτι πραγματικῶς ὑπῆρξαν τὰ περὶ τοῦ Ἰωβ ἱστορούμενα.

2. Ὅτι δὲ οἱ Ἑβραῖοι ἔκτοτε κανονικὸν ἐλογίζοντο τοῦτο τὸ βιβλίον δέδεικται ἐξ αὐτῆς τῆς χρήσεως τῶν προειρημένων ἱερῶν συγγραφέων, οἵτινες οὐκ ἂν μετὰ τοσούτων ἐγκωμίων προέλεγον αὐτὸ τοῖς συμπολίταις αὐτῶν Ἰουδαίοις, εἴπερ οὐκ ἦν αὐτοῖς σεβαστόν. ἐπὶ τούτοις
1. Κορ. 3. 19. ὁ Ἀπόστολος Παῦλος ὡς θείαν Γραφὴν ῥητῶς αὐτὸ ἀναφέρει. „Γέ„γραπται γάρ, λέγει, ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν.
Ἰωβ 5. 13. Ποῦ δὲ τοῦτο γέγραπται; οὐκ ἀλλαχοῦ, εἰ μὴ ἐν τῷ ΙΕ Ἰωβ βιβλίῳ. ἐν δὲ τῷ Ἱερεμίᾳ, ταῖς Παροιμίαις, καὶ τοῖς Ψαλμοῖς τοσαῦτα γνωμικὰ τῶν ἐν τῇ βίβλῳ ταύτῃ συναντῶμεν διὰ τῶν αὐτῶν χημάτων καὶ φράσεων ἐκπεφασμένα, ὥσε δῆλην εἶναι τὴν πηγὴν, ἐξ ἧς οἱ συγγραφεῖς οὗτοι ταῦτα ἐξήντλησαν. (213.)

3. „Ὁ Ἰώσηπος ὁ Φλάβιος, φησὶν ὁ ἱστορικὸς φιλόσοφος, ὁ συν„καταλέγει αὐτὸ τοῖς λοιποῖς τοῦ ἑβραϊκοῦ κανόνος βιβλίοις.

Ἀλλ' ἄραγε ἐξέδωκεν ὁ Ἰώσηπος ὁ Φλάβιος κατάλογον τοῦ ἑβραϊκοῦ κανόνος, ἐν ᾧ καὶ συμπεριέλαβε τὴν τοῦ Ἰὼβ βίβλον; ὁ Ἰώσηπος
Ἰώσ. β. 1. κατ' ἀλ. π. σ. 1036. ἐν τῷ κατὰ Ἀπίωνος πρώτῳ αὐτοῦ λόγῳ φησίν. „ὁ τῶν Ἑβραίων „κανὼν σύγκειται ἐκ βιβλίων δύω πρὸς τοῖς εἴκοσι. τούτων πέντε μέν „ἐσι Μωϋσέως, ἱστορία δὲ καὶ δέκα ὑπὸ τῶν Προφητῶν συγγεγραμμέ„να, τέσσαρα δὲ ὕμνους εἰς τὸν Θεὸν, καὶ τοῖς ἀνθρώποις ὑποθήκας βίου περιέχοντα. Οὐ περιγράφει δὲ λεπτομερῶς οὐδὲ τὰ ὀνόματα, οὐδὲ τὰς ὑποθέσεις τῶν δέκα καὶ τρισὶν προφητικῶν βιβλίων, καὶ τῶν τεσσάρων ὑμνικῶν. τίς ἂν εἴπε τῷ φιλοσόφῳ τούτῳ, ὅτι τὸ τοῦ Ἰὼβ βιβλίον οὐκ ἐμπεριλαμβάνει ἐν τούτοις τοῖς δέκα καὶ ἑπτὰ τεύχεσιν; Ἀληθὲς ἐσι τὸ, ὅτι ὁ Ἰώσηπος ἐν ταῖς Ἀρχαιολογίαις αὐτοῦ περὶ τοῦ Ἰὼβ οὐδόλως λαλεῖ. ἀλλ' εἶχεν ἄραγε ἀνάγκην ὁ μηδὲν ἕλερον ἑαυτῷ προθέμενος, εἰ μὴ τὴν τῶν ἀρχαιολογιῶν τοῦ γένους αὐτοῦ περιγραφὴν, ἐπεισάξαι ἓν μοναδικὸν ἔργον, πάντη ξένον τῆς ἑαυτοῦ ἱστορίας; πᾶσα ἡ τοῦ ἀπίστου ἀπόδειξις ἐν τῇ τοῦ Ἰωσήπου ἱσταμένη σιωπῇ. ἀλλ' ἔχει ἄρα ἡ σιωπὴ αὕτη δύναμιν ὑπερέχουσαν τὴν μαρτυρίαν πάσης τῆς Συναγωγῆς, τῆς διαπαντὸς, ἄχρι καὶ αὐτῶν τῶν καθ' ἡμᾶς ἡμερῶν, συνταττούσης τὴν τοῦ Ἰὼβ βίβλον ταῖς κανονικαῖς αὐτῆς Γραφαῖς. καὶ τὴν τῶν ἁγίων Ἰακώβου καὶ Παύλου, τῶν συγχρόνων μὲν τῷ Ἰωσήπῳ, Ἰουδαίων δὲ τὸ γένος ὄντων καὶ αὐτὸς καὶ τὴν τοῦ Ἰεζεκιὴλ, καὶ τὴν τοῦ συγγραφέως τῆς τοῦ Τωβὶτ βίβλου, τῶν ἑπτὰ ἕως ὀκτὼ αἰώνας ἀρχαιοτέρων αὐτοῦ τοῦ Ἰωσήπου;

Ἀπο-

Α΄ ΠΡΟΘΡΟΝ Β΄.

Ἐν ᾧ ἡ εἰκασία περὶ τῦ καιρῦ, καθ' ὃν συνεγράφη ἡ τῦ Ἰὼβ βίβλος.

1. Περὶ τῆς ἀρχαιότητος τῆς τῦ Ἰὼβ βίβλυ συντόμως ἐρῶ τὸ δοκῦν μοι. Ἡ βίβλος αὕτη προγενεσέρα μέν ἐςι πάντως τῆς καταςροφῆς τῆς Βασιλείας τῶν δέκα φυλῶν. διόπ ἐπὶ Τωβὶτ γνωςὴ ἦν ἐν τοῖς τῦ Τίγρεως πέρασιν, ὅπυ συνεγράφη, ὡς δοκεῖ, τὸ τῦ Τωβὶτ βιβλίον· (214) μεταγενεσέρα δέ ἐςι, τὰλάχιςον ἔτη τινὰ, τῆς διὰ τῆς ἐρυθρᾶς θαλάσσης διαβάσεως. Ὁ μὲν Ἰὼβ ἐν τῷ ἑβραϊκῷ ὕφει λαλεῖ ὕτω· Τῇ ἰσχύϊ αὐτῦ ἔπληξε τὴν θάλασσαν, ἔπληξε τὸν ὑπερήφανον τῷ ἐμφυσήματι αὐτῦ, ἠθέλασε τὸν ὐρανὸν, ἡ κατέτρωσε τὸν ὄφιν τὸν σκολιόν. Ὁ δὲ Ἰεζεκιὴλ καλεῖ τὸν Βασιλέα τῆς Αἰγύπτυ δράκοντα μέγαν ἐγκαθήμενον ἐν μέσῳ ποταμῶν· ῥᾴδιον δὲ κατανοῆσαι διὰ τῦ ἐμφυσήματος τῦ αἰθερίζοντος τὸν ὐρανὸν, τὸν ἀνατολικὸν ἄνεμον, τὸν θείῳ προσάγματι πνεύσαντα ὅλην τὴν νύκτα, ἡ τὴν ἐρυθρὰν ξηράναντα θάλασσαν. ἡ οἶδα μὲν, ὅτι πολλοὶ τῶν ὑπομνηματιςῶν προκατειλημμένοι ὑπὸ τῆς τῦ Ἰὼβ προγενέσερον τῦ Μωϋσέως ὁμιζύσης ἰδέας, ςρέφυσι τὴν προκειμένην ῥῆσιν τῆς ἐκείνυ βίβλυ πρὸς ἀλλοδαπὰς ἐννοίας, περιφράζοντες αὐτὴν κατὰ τὴν ἰδίαν ἀρέσκειαν. οἶδα ὅμως, ὅτι ἐν τῷ ἑβραϊκῷ ὕφει ὕτω κατὰ λέξιν κεῖται ὡς ἐγὼ αὐτὴν μετέφρασα. (215) ἡ ὅτι ὁ Ἡσαΐας διὰ τῶν αὐτῶν λέξεων ἐκφράζει τὴν ῥῆσιν, τὴν κατὰ τὴν γνώμην χεδὸν πάντων τῶν ὑπομνηματιςῶν συμαίνυσαν τὸν Φαραὼ, ἐν τῇ ἐρυθρᾷ καταποντισθέντα θαλάσσῃ. „Ἐξεγείρυ, φησὶν ὁ Προφήτης ὗτος, ὦ βραχίων „Κυρίυ, καθοπλίσθητι πάσῃ τῇ ἰσχύϊ συ. ἐξεγείρυ ὡς ἐν τοῖς παρελ„θῦσιν αἰῶσιν, ἐν τοῖς καιροῖς τοῖς πλησίον τῶν ἐν τῷ κόσμῳ πρώ„των ἡμερῶν. ὃ σὺ εἶ ὁ ὅτε πλήξας τὸν ὑπερήφανον, ὁ τρώσας τὸν „δράκοντα, ὁ ξηράνας τὴν θάλασσαν, ἡ κατασκευάσας ἐν μέσῳ τῶν „ἀβύσσων ὁδὸν διαβάσεως τοῖς ἀνθρώποις, ὃς σὺ ἔσωσας; (216) Ἀξιοσημείωτον δὲ τὸ, ὅτι ὁ Προφήτης μετέρχεται ἐνταῦθα τὰς αὐτὰς ἑβραϊκὰς λέξεις, ἃς ἡ ἡ τῦ Ἰὼβ βίβλος, ἐξόχως δὲ τὴν λέξιν ραχαχ, ἣν ὑπὸ τῆς Βυλγάτης μετενεχθεῖσαν εἰς τὴν, ὑπερήφανον. παρατηρῦσι δὲ οἱ κριτικοὶ, ὅτι οἱ ἱεροὶ συγγραφεῖς ἥρμοσαν τὴν λέξιν ταύτην ἐν τοῖς περὶ τῆς Αἰγύπτυ λόγοις. Γώβ. 26. 12 13 Γεζ. 29. 3. Ησ. 51. 9.

2. Οἱ διιχυριζόμενοι, ὅτι ὁ Ἰὼβ προγενέσερος ἦν τῦ Μωϋσέως, ἕνα μόνον δεκτὸν ὑπὲρ τύτυ προβάλλυσι λόγον, τὸν ἑξῆς· Ἐν μὲν

τοῖς

τοῖς τῦ Μωϋσέως χρόνοις ὁ τῶν ἀνθρώπων βίος ὑ παρετείνετο πλέον τῶν ἑκατὸν ϗ δέκα, ἢ ἑκατὸν ϗ εἴκοσι ἐτῶν, ὡς ἦλον ἐξ αὐτῦ τῦ Μωϋσέως, ϗ τῦ Ἀαρὼν, ϗ τῦ Ἰησῦ· ὁ δὲ Ἰὼβ ἔζησε τὰλάχιςον ἔτη διακόσια. διότι ὅτε τῶν δέκα τέκνων αὐτῦ ἐςερήθη πεντηκοντάτης ἦν, ἢ ἑξηκοντάτης, ὄχι δὲ νεώτερος, ἔζησε δὲ μετὰ τὴν χάριτι Θεῦ ἐπανελθῦσαν αὐτῷ ὑγείαν ἔτη τεσσαράκονθα πρὸς τοῖς ἑκατόν. Ἀλλ' ὁ λόγος ὅτος λίαν ἀσθενὴς ἐςι. διότι ἡ τῦ Μωϋσέως ἀδελφὴ Μαριὰμ ἔζησεν ἔτη τριάκονθα πρὸς τοῖς ἑκατόν. Ἄλλως τε, λογισθῆναι ἔχεσι τὰ ἑκατὸν ϗ τεσσαράκοντα τῦ βίυ ἔτη, τὰ ὑπὸ Θεῦ τῷ Ἰὼβ μετὰ τὴν πληγὴν δωρηθέντα, ἰδιάζυσάν τινα τῦ Θεῦ εὐεργεσίαν, ἵνα αὐτὸν κἂν τῷ δε τῷ κόσμῳ ἀμείψῃ ὑπὲρ ὧν ὑπέςη κακῶν.

ΒΙΒΛΙΟΝ ε'.

Περὶ τῆς Πεντατεύχυ.

Ἐπειδὴ τὰ τῦ Μωϋσέως βιβλία, εἰς ἃ τελευταῖον κατηνλήσαμεν, εἰσὶν ἡ βάσις τῆς Ἰυδαϊκῆς θρησκείας, τῆς τὴν ἡμετέραν προπαρασκευασάσης, διὰ τῦτο δικαίως κατ' αὐτῶν ἐπιχειρῦσιν οἱ ἄπιςοι. ἑωράκαμεν δέ τινες εἰσὶν οἱ λόγοι, οἱ πείσαντες ἡμᾶς ὕςερον περὶ τῦ κύρυς αὐτῶν διαλαβεῖν. ἀνάγκη δὴ ἦν πρὶν ἢ ἀκῦσαι τὰς ὑπὲρ αὐτῶν μαρτυρῦντας, ἀποσκοπίσαι πάσας τὰς καλὰ τῶν μαρτυριῶν αὐτῶν ὑποψίας. τῦτο δὴ ϗ πεποιήκαμεν, προβάντες μὲν βαθμηδὸν ἀπὸ τῦ Ἰησῦ Χριςῦ, ϗ τῦ κηρύγματος τῦ Εὐαγγελίυ αὐτῦ, ἄχρι τῶν χρόνων τῆς τῦ Μωϋσέως νομοθεσίας, ἐξερευνήσαντες δὲ πάντα τὰ ἐν τῷ μεταξὺ τῦ καιρῦ τύτυ ὑπομνήματα, τὸ τύτων κῦρος ἐπεσηρίξαμεν. ἀνασκευάσαντες δὲ τὰς τῶν ἀπίςων ἐνςάσεις, ϗ διασκεδάσαντες τὰς ματαίας τύτων εἰκασίας, ἐξυδενώσαμεν πάσας τὰς προφάσεις τῦ διαδικάζεσθαι καλὰ τῆς ἄχρι τῦ Μωϋσέως ἀναγομένης Ἑβραϊκῆς παραδόσεως, εἴτυν ἀκολυθίας ϗ βεβαιότητος, αἵτινες εἰσὶν ἀναγκαῖαι εἰς ἀπόδειξιν τῶν ἐν καιρῷ ἴσυτον ἀφ' ἡμῶν ἀφεσηκότι γενομένων πραγμάτων· νῦν δὲ πολυπραγμονήσομεν τὴν αὐτὴν παράδοσιν ὑπὲρ τῦ Μωσαϊκῦ νόμυ γενικῶς, ϗ ὑπὲρ ἑκάςυ τῶν πέντε αὐτῦ βιβλίων εἰδικῶς, μὴ παραβλέψαντες ϗ τὰς τῶν ἀπίςων ἐνςάσεις, ἐξόχως δὲ προσηλώσομεν ἑαυτὺς ἐν ταῖς συλλεχθείσαις ἐν τῷ ὀλε-

ὀλεθρίω πονήματι, ὅπερ ἀνασκευάσαι προεθέμεθα. αἱ δὲ ἀποδείξεις τȣ̃ τῶν Μωσαϊκῶν βιβλίων κύρȣς ἀντιπαρατεθεῖσαι ταῖς ἐνςάσεσιν, ἃς πολλαπλασιάσαι ἐσπȣ́δασαν, διασκεδάζȣσι τὰ ὑπὸ τῆς ἀπιςίας συναχθέντα νέφη, ϗ ȣ̓τως ἡ θειότης τȣ̃ ὅλȣ σώματος τῶν θείων Γραφῶν καινῇ ἀποςίλβει λαμπρότητι.

ΚΕΦΑ'ΛΑΙΟΝ Α'.

Περὶ τȣ̃ Μωσαϊκȣ̃ νόμȣ γενικῶς.

ΑΡΘΡΟΝ Α'.

Περὶ τȣ̃ ὅτι ὁ Μωϋσῆς, ϗ οἱ νόμοι αὐτȣ̃ γνωςοὶ ἦσαν τῇ θύραθεν ἀρχαιότητι.

Ὅτι ὁ Μωϋσῆς ἦν ἀρχηγὸς, ϗ ὁδηγὸς ϗ νομοθέτης τῶν Ἑβραίων, ἐπικεκυρωμένον μέν ἐςιν ὑπ' αὐτȣ̃ τȣ̃ ἑβραϊκȣ̃ γένȣς ἐξ αὐτῆς τῆς πρώτης ἀρχῆς τῆς ὑπάρξεως αὐτȣ̃, ἐγνωσμένον δὲ τῇ θύραθεν ἀρχαιότητι. Ὁ Μανεθὼν ἔν τινι μακροσκελεςάτῃ ῥήσει, τῇ ἐν τῷ πρώτῳ κατὰ Ἀπίωνος λόγῳ τȣ̃ Ἰωσήπȣ κειμένῃ, φησί. „Λέγεται δὲ, „ὅτι ὁ τὴν πολιτείαν ϗ τȣ̀ς νόμȣς αὐτοῖς (τοῖς ἐξ Αἰγύπτȣ ἐξελθȣ̃„σι) καταβαλλόμενος ἱερεὺς ἡλιȣπολίτης, ὄνομα Ὀσαρσὶφ, ἀπὸ τȣ̃ „ἐν Ἡλίȣ πόλει Θεȣ̃ Ὀσίρεως, ὃς μετέβη εἰς τȣ̃το τὸ γένος, μετε„τέθη τȣ̃νομα, ϗ προσηγορεύθη Μωϋσῆς. Ὁ Χαιρήμων, συγγραφεὺς ϗ ȣ̓τος αἰγυπτιακῆς ἱςορίας παρὰ Ἰωσήπω, φησὶ, „τὸν Μωϋσέα ἡ„γεῖσθαι τῶν ὑπὸ τȣ̃ Ἀρμενόφεως τῆς Βασιλείας ἐξορισθέντων. Τὰ ὑπομνήματα ταῦτα τὰ ὑπὸ τȣ̃ ἱςορικȣ̃ τȣ́τȣ Ἰȣδαίȣ προτεινόμενα ἀνύποπτα καθίςαντο, διὰ τὸ ἀνασκευάζεσθαι ὑπ' αὐτȣ̃ τȣ́τȣς τȣ̀ς ὑπ' αὐτȣ̃ προβαλλομένȣς δύω Αἰγυπτίȣς. τὸ δὲ παρ' ἡμῶν ἐξαχθὲν ἐκ τῶν ἀποσπασμάτων τȣ́των τῶν δύω συγγραφέων, τὸ αὐτὸ μετ' αὐτȣ̀ς ἐπαναλαμβάνȣσιν ὅ τε Πτωλεμαῖος ὁ Μενδήσιος, (217) ὁ ἱςορίαν αἰγυπτιακὴν ὥσπερ ϗ ȣ̓τοι συγγράψας, ϗ Ἀπίων ὁ γραμματικὸς, ϗ Λυσίμαχος, ϗ Ἀπολλώνιος ὁ Μόλων, οἱ ὑπὸ τȣ̃ αὐτȣ̃ Ἰωσήπȣ ἀνασκευασθέντες. Ἀλέξανδρος ὁ Πολυίςωρ ἐν τῷ μακροσκελεῖ αὐτȣ̃ ἀποσπάσματι, τῷ διασωθέντι ὑπὸ Εὐσεβίȣ, πρὸ αὐτȣ̃ δὲ ὑπὸ Ἰωσήπȣ μνημονευθέντι, (218) προτείνει ῥήσεις τȣ̃ Εὐπολέμȣ, τȣ̃ Ἀρταπάνȣ, κτ. τῆς τȣ̃ Μωϋσέως νομοθεσίας ῥητῶς μνημονευȣ́σας. Ὁ Σικελιώτης Διόδωρος φησί. „Μωϋσῆς ὁ Ἰȣδαῖος διισχυρίζεται, ὅτι παρὰ τȣ̃ Θεȣ̃ Ιαχοχ παρέλαβε τȣ̀ς ὑπ' αὐτȣ̃ τῷ ἰδίῳ γένει παραδοθέντας νόμȣς.

Ἰωσ. β. 1. κατὰ Ἀπ. σ. 10. 53

Αὐτ. σ. 1057.

Διοδ. β. 1.

Γυσ. β. 36.

μυς. Ὁ Τρῶγος ὁ Πομπήϊος, καὶ ὁ συντομεὺς αὐτοῦ Ἰουστῖνος ὁμολογοῦσιν, ὅτι ὁ Μωϋσῆς ἦν ὁδηγὸς τῶν ἐκ τῆς Αἰγύπτου ἐξελθόντων Ἰουδαίων. Ὁ Δαμασκηνὸς Νικόλαος ἀνέφερε τὰ τοῦ Μωϋσέως συγγράμματα τοῦ νομοθέτου τῶν Ἰουδαίων. Ὁ Στράβων ὑψηλῇ τῇ φωνῇ ἐπῄνεσε τὴν ἁγιότητα τῆς θρησκείας τοῦ Μωϋσέως, τοῦ γενομένου ἀρχηγοῦ πλήθους ἀναριθμήτου, καὶ ἐκ τῆς Αἰγύπτου, ἧς τὰ βέβηλα ἤθη ἀπεστρέφετο. ἐξελθόντος, ἵνα κατοικήσῃ ἐν τῇ Ἰουδαίᾳ. Περιττὸν δέ ἐστι τὸ μεταγράψαι ἐνταῦθα τὸ ὑπὸ τοῦ Ἰουβεναλίου εἰρημένον περὶ τῶν νόμων, τῶν ἐν τῷ μυστηριώδει τεύχει τοῦ Μωϋσέως. ὡσαύτως καὶ τὸ τοῦ Λογγίνου περὶ τοῦ ὕψους, δι' οὗ ἡ Γένεσις συνεγράφη, καὶ τὴν τοῦ Νουμηνίου παρατήρησιν περὶ τῆς συμφωνίας τῆς μεταξὺ τῆς διδασκαλίας τοῦ Πλάτωνος καὶ τῆς τοῦ νομοθέτου τῶν Ἰουδαίων. σιωπῶ τὰ τοῦ Πλινίου, καὶ τὰ τοῦ Ἀπουλείου. οἵτινες καταπλαγέντες πάντως ὑπὸ τῶν θαυμάτων, τῶν ὑπὸ τοῦ Μωϋσέως ἐν Αἰγύπτῳ, καὶ ἐν τῇ ἐρήμῳ τελεσθέντων, ἀπεφήναντο αὐτὸν εὑρετὴν τῆς μαγείας· καὶ τὰ τοῦ συγγραφέως τοῦ διαλόγου τοῦ καλουμένου Φιλόπατρις, τοῦ διαλαμβάνοντος περὶ τῆς ἱστορίας τῆς Γενέσεως, τῆς ὑπὸ τοῦ νομοθέτου Μωϋσέως συγγεγραμμένης. τελευταῖον καὶ τὰ τοῦ Πορφυρίου, καὶ τὰ τοῦ ἀποστάτου Ἰουλιανοῦ, τῶν λαλησάντων μὲν πολλάκις περὶ τῶν Μωσαϊκῶν συγγραμμάτων, μηδέποτε δὲ περὶ τοῦ κύρους αὐτῶν ἀμφιβολίαν προτεινάντων. Ὁ Μωϋσῆς οὖν ἔδωκε τοῖς Ἰουδαίοις νόμους ὑπ' αὐτοῦ συντεθέντας. τούτους δὲ τὸ μὲν γένος αὐτοῦ διέσωσεν, ἡ δὲ θύραθεν ἀρχαιότης ἐπέγνω. Ποῦ δὲ ἦσαν οἱ νόμοι οὗτοι γεγραμμένοι; ἐν ποίοις δὲ βιβλίοις ἀνέγνων αὐτοὺς οἵτε Ἰουδαῖοι, καὶ οἱ Ἐθνικοί, εἰμὴ ἐν τῇ Πεντατεύχῳ, τῇ διαπαντὸς καλουμένῃ ὑπὸ μὲν τῶν Ἰουδαίων, βιβλία τοῦ νόμου, ὑπὸ δὲ τῶν Ἐθνικῶν, βιβλία τοῦ Μωϋσέως;

Παρὰ Ἰωσ. β. 12, κ. 3 ἀρχ. Στράβ. β. 16.

Γουβ. ἐν Σατόρ. 14.

Λογγ. περὶ ὕψους.

Νουμ. παρὰ πορφ. περὶ τοῦ Νομφ. ἄντρου. παρὰ Ὠριγ. κατὰ Κέλσ. β. 4. καὶ παρ' Εὐσ. β. 9. κ. 6. καὶ 7. Εὐαγγ. Προπ. Πλίν. β. 30 κ. 1 Ἀπ. ἐν. τῇ 2. Ἀπολ.

Ἄ Ρ Θ Ρ Ο Ν, Β'.

Περὶ τῶν ψευδοϋποθέσεων τῶν ἀπίστων περὶ τοῦ καιροῦ, ἐν ᾧ ἐγράφησαν οἱ Ἰουδαϊκοὶ νόμοι.

1. Οἱ ἄπιστοι τίθενται ὡς ἀναμφίβολον τὸ, ὅτι ἡ μὲν πρωτότυπος συλλογὴ τῶν Μωσαϊκῶν νόμων ἠφανίσθη, ἡ δὲ παράδοσις μόνη διέσωσε γνωμικάτινα ἐπεισαχθέντα ἐν τοῖς πέντε βιβλίοις, τοῖς παρ' ἡμῶν τῷ νομεθέτῃ Μωϋσῇ ἀπονεμομένοις, κἂν πολλοὺς αἰῶνας μετ' αὐτὸν συνεγράφησαν. Πρὶν ἢ καταργῆσαι ταύτην τὴν ψευδοϋπόθεσιν διὰ τῶν συνιστώντων τὸ κῦρος ἑκάστου τῶν πέντε βιβλίων τοῦ Μωϋσέως, ἀνθίσταμαι αὐτῇ διὰ τῆς ἑξῆς ἁπλουστάτης σκέψεως. Οὐκ ἀρκεῖ εἰπεῖν μόνον,

ὅτι

ὅτι ἠφανίσθη ἓν τῶν παλαιῶν συγγραμμάτων, μετὰ δὲ πολλὰς αἰῶνας ἀντὶ τούτου ἀντεκατεσάθησαν ἄλλα νεόδμητα, ἀλλ' ἀνάγκη ἐστὶ πρῶτον μὲν σημεῶσαι τὸ πότε τὸ παλαιὸν ἢ ἀληθὲς ὑπόμνημα ἐξέλειπεν, ἢ οὐκ ἀνεγινώσκετο, οὐδὲ ἐγνωρίζετο, οὐδὲ ἐνεργεῖτο· εἶτα ἢ τὸ πότε ἀντ' αὐτοῦ ἀντεισήχθησαν ἄλλα νεόκτιστα. οὐδὲν γένος ἀμνημονεῖ ἅμα τοῦ τῆς θρησκείας & τοῦ πολιτεύματος αὐτοῦ κώδικος, ἢ πεῖθε τοσοῦτον εὐχερῶς, ὅτι τὸ ὑπὸ ἀνθρώπων ὑποκριτῶν κατεσκευασμένον ψευδοτεῦχος, ἐστὶ τὸ παλαιὸν ὑπόμνημα, τὸ πολλῷ τῷ χρόνῳ ταῖς χερσὶν αὐτοῦ καλεχόμενον, & ὑπ' αὐτοῦ ἐξότου ἔλαβε τὸ εἶναι σεβαζόμενον.

2. Ὁ κριτικὸς δοκεῖ δεικνύων τρεῖς διαφόρους καιροὺς ταύτης τῆς νομιζομένης μεταβολῆς. α' Τὸν τῆς ἐπιστροφῆς ἀπὸ τῆς Βαβυλῶνος. β'. Τὸν τοῦ ἀνακαινισμοῦ τῆς Διαθήκης, τοῦ ἐπὶ τῆς Βασιλείας Ἰωσίου. γ'. Τὸν τῆς συγχύσεως τῆς Βασιλείας τῶν Ἰουδαίων.

Ἡ μόνη ἀορισία τοῦ ἀπίστου περὶ τῆς ὑποθέσεως ταύτης ἱκανή ἐστι δεῖξαι τὸ ψεῦδος τοῦ συγήματος αὐτοῦ. διατί ἀμφιβάλλει, εἰ μή διότι οὐκ οἶδε πῶς ἂν φήση τὸν πόδα αὐτοῦ; δῆλον δέ, ὅτι ἓν ἢ τὸ αὐτὸ βιβλίον ὁ δύνα) κατασκευασθῆναι μετὰ τὴν αἰχμαλωσίαν, & ἐπὶ τῆς Βασιλείας Ἰωσίου, ἢ ἐπὶ τῶν Βασιλειῶν τοῦ Σαοὺλ ἢ Δαβίδ.

3. „Οὐκ οἴδαμεν ἀκριβῶς, ὁ αὐτὸς λαλεῖ, ἐν ποίῳ καιρῷ ἡ Πεν- „τάτευχος ἐγράφη. περὶ τοῦ ἔτους αὐτῆς εἰσὶ πλέον ἢ ὀγδοήκοντα γνῶ- „μαι, ἀλλήλων διαφέρουσαι. Εν σημ. 31. εἰς τὴν Γεν.

Οὔτε Ἰουδαῖοι ἢ οἱ Χριστιανοὶ συμφώνως ἕνα & μόνον καιρὸν διορίζουσι, τὸν τοῦ Μωϋσέως, & τὸν τῆς Ἐξόδου ἐκ τῆς Αἰγύπτου. αἱ δὲ λοιπαὶ ἑβδομήκοντα ἢ ἐννέα εἰσὶ γνῶμαι τῶν ἀπίστων, τῶν καταλιπόντων τὴν ἀλήθειαν, ἢ περιπεσόντων εἰς σύγχυσιν ὁμοίαν τῇ ἐν τῷ Χαλάνης πύργῳ. ἐὰν ὁ ἄπιστος ἔλεγε μόνον, ὅτι εἰσὶ πλέον ἢ ὀγδοήκοντα γνῶμαι περὶ τοῦ ἐν ποίῳ ἔτει ἀπὸ τῆς κοσμοποιίας ἡ Πεντάτευχος συνεγράφη, ἀπεκρινάμην αὐτῷ, ὅτι οὐχ ἧττονες τὸν ἀριθμὸν ἦσαν αἱ ἀλλήλων διαφέρουσαι γνῶμαι, ἐὰν προσῆκετο διορίσαι ἐν ποίῳ ἀπὸ τῆς κοσμογενέσεως ἔτει συνέγραψεν αὐτὸς τὰς οἰκείας χέδας. αἱ τῶν χρονολόγων ἔριδες περὶ τοῦ ἀριθμοῦ τῶν τοῦ κόσμου ἐτῶν, τῶν πρὸ τῆς ὑπάρξεως βιβλίου τινὸς, ἀδημίαν εἰσάγουσιν εἰς τὰς μετὰ ταῦτα γενεὰς ἀμφιβολίαν περὶ τοῦ ἀληθοῦς ἔτους & τοῦ συγγραφέως τοῦ αὐτοῦ βιβλίου. Ἴδωμεν νῦν, εἴπερ ὁ φιλόσοφος ὅτος προβάλλει ἄλλο τι ἀποτομώτερον.

4. Ἐὰν πιστεύωμεν, φησὶν, εἰς τὰς αὐθάδεις σοφὸς, περὶ ὧν ἡ- „μεῖς τοσοῦτον ἐλαλήσαμεν, ἡ ἱστορία τοῦ Κορὲ, τοῦ Δαθὰν, ἢ τοῦ Ἀ- „βει- Σημ. 11. εἰς τοὺς Ἀριθμ.

„ϐειρὼν, ἡ ἐν τῷ τῆς Πεντατεύχȣ βιϐλίῳ τῶν Ἀριθμῶν, ἐγράφη „μετὰ τὴν τῶν Ἰȣδαίων ἐπιςροφὴν ἀπὸ τῆς αἰχμαλωσίας τῆς Βα„βυλῶνος. Πρὸς τȣ́τοις προςίθησιν ὁ αὐτὸς τά δε· οἱ διαλογιζόμε„νοι, ὅτι πάντα τὰ τῆς θείας Γραφῆς βιβλία, συμπεριλαμϐανομέ„νȣ ϗ τȣ̃ τῶν Βασιλειῶν, ȣ̓κ ἐγράφησαν εἰμὴ ἐν τοῖς τȣ̃ Ἔσδρα χρό„νοις, λέγȣσιν, ὅτι πρῶτοι οἱ τῆς Βαϐυλῶνος Βασιλεῖς εὐνȣ́χισαν „τȣ̀ς ἀνθρώπȣς. Ὡσαύτως κἂν τῇ περὶ τὴν ἱςορίαν φιλοσοφίᾳ αὐτȣ̃, „φησί. Τὸ μὲν βιϐλίον τȣ̃ Ἰȣδαϊκȣ̃ νόμȣ ἀπολεσθὲν σχεδὸν κατὰ κρά„τος, ὅτε οἱ Ἰȣδαῖοι ἦσαν αἰχμάλωτοι ἐν τῇ Χαλδαίᾳ, ἀνεκαινίσθη „μετὰ ταῦτα ὑπὸ τȣ̃ Ἔσδρα, δεδειγμένον δέ ἐςιν, ὅτι οἱ Ἰȣδαῖοι ȣ̓δέ„ποτε ἐκάλεσαν τὸν Ἰακὼβ, Ἰσραὴλ, εἰμὴ ὅτε ἦσαν αἰχμάλωτοι ἐν „τῇ Χαλδαίᾳ.

Κ'ν κεφ. 28. § 1.

Οὐκ ἐπαναλαμβάνω ὅπερ τότε αὐτῷ ἀντιπροέτεινον (219) ἵνα δείξω, ὅτι ἐν τῷ τῆς αἰχμαλωσίας καιρῷ ȣ̓κ ἀπώλοντο τὰ τȣ̃ νόμȣ βιϐλία. ἔδειξα δὲ τότε, ὅτι οἱ Προφῆται, Ἰεζεκιὴλ, Ἱερεμίας, ϗ Δανιὴλ εἶχον αὐτὰ πρὸ τῶν ὀφθαλμῶν αὐτῶν· αἱ δὲ τȣ́των ὁμιλίαι ἐπερείδοντο ἐπὶ τῇ ὑποθέσει τȣ̃ ὅτι οἱ Ἰȣδαῖοι εἶχον αὐτὰ ἐν ταῖς χερσὶν αὐτῶν. ἀδύνατον δὲ ἦν ἀπωλεσθῆναι ταῦτα, ἢ κἂν μεταϐληθῆναι ἐντὸς τοσȣ̃τον ὀλίγȣ καιρȣ̃, ὅσος ἦν ὁ μεταξὺ τῆς καταςροφῆς τȣ̃ ναȣ̃, ϗ τῆς ἐπιςροφῆς ἀπὸ τῆς Βαϐυλῶνος. ἡ δὲ τῶν Σαμαρειτῶν Πεντάτευχος σύμφωνος μὲν ȣ̓σα σχεδὸν κατὰ πάντα τῇ τῶν Ἰȣδαίων, γεγραμμένη δὲ χαρακτῆρσιν ἀρχαιοτέροις τῶν οἷς ἐχρῶντο οἱ Ἰȣδαῖοι μετὰ τὴν αἰχμαλωσίαν, ἐςὶν ἀναντίῤῥητος ἀπόδειξις περὶ τȣ̃ ὅτι τὰ βιϐλία ταῦτα ὁλόκληρα διεσώθησαν ἐν τῷ τῆς αἰχμαλωσίας καιρῷ. ὁ κριτικὸς κατὰ τȣ́των τῶν λόγων τῶν ἀποδεικνύντων τὸ ψεῦδος τῆς πρώτης αὐτȣ̃ ὑποθέσεως, ȣ̓δὲν ἀντιπροέτεινεν (220).

Ἀ Ρ Θ Ρ Ο Ν. Γ'.

Ἐν σημ. 167. εἰς τὰς Βασιλ.

Περὶ τȣ̃ ἀτόπȣ τȣ̃ κριτικȣ̃, τȣ̃ παριςάντος τὴν Πεντάτευχον ὑπὸ τῶν Σαμαρειτῶν κατεσκευασμένην.

1. Ἰδȣ̀ ϗ ἡ δευτέρα ὑπόθεσις, ἣν αὐτὸς πειθανωτάτην ἔκρινεν. „Ὁ „κύριος Βασνάγος, φησὶν, ἐν ταῖς ἑϐραϊκαῖς αὐτȣ̃ ἀρχαιολογίαις δι„δάσκει ἡμᾶς τὸ, ὅτι κατὰ τὴν τῶν πολλῶν σοφῶν γνώμην, ὁ τὴν „Πεντάτευχον συγγράψας ἐςὶ ὁ Ἑβραῖος ἱερεὺς, ὁ πρὸς τȣ̀ς νέȣς „τῆς Σαμαρείας οἰκήτορας πεμφθείς. θεμελιȣ̃σι δὲ ȣ̓τοι τὴν ἰδίαν „γνώμην ἐπὶ τοῖς λεγομένοις ἐν τῇ Πεντατεύχῳ περὶ τῆς παραγω-

„γῆς

„γῆς τῆς Βαβυλῶνος, καὶ ἄλλων τινῶν τῆς Μεσοποταμίας πόλεων, „ἃς ὁ Μωϋσῆς οὐκ ἠδύνατο γινώσκειν. καὶ ἐπὶ τῷ τοὺς ἀρχαίους καὶ με„ταγενεστέρους Σαμαρείτας μὴ δέχεσθαι τὴν Πεντάτευχον ἐκ χειρὸς „τῶν ἐκ τοῦ Ἰούδα καταγομένων Ἑβραίων, τῶν δὲ θανατηφόρων ἐχ„θρῶν αὐτῶν. καὶ ἐπὶ τῷ γεγράφθαι τὴν τῶν Σαμαρειτῶν Πεντά„τευχον τῇ ἑβραΐδι διαλέκτῳ, ἣν ὁ ῥηθεὶς ἱερεὺς ἐλάλει, τοῦ καιροῦ „μὴ ἐπιτρέψαντος αὐτῷ μαθεῖν τὴν χαλδαϊκήν. καὶ ἐπὶ ταῖς πραγ„ματιώδεσι διαφοραῖς, ταῖς μεταξὺ τῆς τε ἡμετέρας καὶ τῆς τῶν Σα„μαρειτῶν Πεντατεύχου. Καὶ ἡμεῖς μὲν λέγει, οὐκ οἴδαμεν τίνες εἰσὶν „οὗτοι οἱ σοφοὶ, ὁ δὲ κύριος Βασνάγος τὰ τούτων ὀνόματα παρα„σιωπεῖ.

Ἐγὼ δηλοποιῶ αὐτῶ τὰ τούτων ὀνόματα, ἅπερ εἰσὶ μόνος ὁ κύριος Κλὲρκ, λέγων τὰ εἰρημένα ἐν τῷ πονήματι αὐτοῦ τῷ ἐπιγεγραμμένῳ, Γνῶμαι τινῶν Ὁλανδῶν Θεολόγων. ἀλλ' ἠσχύνθη ὁ κριτικὸς οὗτος προτείνας εἰκασίαν τοσοῦτον ψευδῆ, καὶ κακῶς τεθεμελιωμένην. ὅθεν καὶ ἀπεῖπεν αὐτὴν ἐν τοῖς ὑπ' αὐτοῦ συντεθεῖσι προλεγομένοις εἰς τὴν Γένεσιν. οὐδεὶς δὲ ἐδέξατο αὐτὴν πρὸ τοῦ ἀπίστου, τοῦ καὶ μετάτινας σελίδας προσθεμένου τάδε. Ἐνσημ. 112 εἰς τὰς Βασιλ.

2. „Ὁ μέγας ἱερεὺς ὁ Χελκίας εἶπε πρὸς Σαπφὰν τὸν γραμ„ματέα, βιβλίον τοῦ νόμου εὗρον ἐν οἴκῳ Κυρίου. Καινήτις τοῦτο ἀπό„δειξις, ἢ τοὐλάχιστον, καινὴ ἰσχυροτάτη πειθανότης περὶ τοῦ ὅτι ὁ „Ἑβραῖος ἱερεὺς ὁ ἐλθὼν εἰς τὴν Σαμάρειαν, τελευταῖον πέρας ἔθε„το τῇ ἰδίᾳ Πεντατεύχῳ, ὁ δὲ μέγας ἱερεὺς ὁ Ἰουδαῖος εἶχον ἓν τῶν „αὐτῆς ἀντιγράφων. παράδοξον δὲ τὸ, ὅτι οὐκ αὐτὸς ὁ ἱερεὺς ἐκόμι„σε τὸ βιβλίον τῷ Βασιλεῖ, ἀλλ' ἀμελῶς τε καὶ ἀνευλαβῶς ἀπέστει„λεν αὐτὸ διὰ τοῦ γραμματέως Σαπφάν. ἐὰν δὲ ἐπίστευεν, ὅτι τὸ „βιβλίον τοῦτο ἐγράφη ὑπὸ τοῦ Μωϋσέως, ἐκόμιζεν ἂν αὐτὸ μετὰ ἐ„πισημοτάτης πομπῆς. ἐθεσπίζετο δὲ καὶ ἑορτὴ, ἵνα διαιωνίσῃ ἡ μνή„μη τῆς εὑρέσεως τοῦ νόμου τοῦ Θεοῦ, καὶ τῆς ἱστορίας τῶν πρώτων τοῦ „ἀνθρωπίνου γένους αἰώνων.

Βλέπομεν ἐνταῦθα τὸν ἄπιστον εἰς ψηλαφητὰς ἐμπίπτοντα ἀντιφάσεις. ὁτὲ μὲν λέγει, ὅτι ἡ τῶν Σαμαρειτῶν Πεντάτευχος ἐστὶ τὸ βιβλίον τοῦ νόμου Κυρίου, τὸ ὑπὸ τοῦ μεγάλου Ἱερέως τῶν Ἰουδαίων ἀποσταλὲν πρὸς τὸν Βασιλέα Ἰωσίαν, ὅστις ἀκούσας αὐτὸ ἀναγινωσκόμενον, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐβοήσεν. „Ἡ ὀργὴ τοῦ Θεοῦ ἐκκέ„καυται ἐν ἡμῖν ὑπὲρ οὗ οὐκ ἤκουσαν οἱ πατέρες ἡμῶν τῶν λόγων τοῦ „βιβλίου τούτου τοῦ ποιεῖν κατὰ πάντα τὰ γεγραμμένα ἐν αὐτῷ. Ὁτὲ δὲ λέγει, ὅτι ἦσαν διαφοραὶ πραγματιώδεις μεταξὺ ταύτης τῆς Πεντα- Βασ. 22. 13.

τατεύχω ἀ τῆς τῶν Ἰουδαίων, ἀ ὅτι ὁ Ἀρχιερεὺς ὁ Χελκίας μικρᾶς τιμῆς ἡγεῖτο ἄξιον τὸ πρὸς τὸν Βασιλέα ϛαλὲν τεῦχος. Κατ' αὐτὸν ἀπαράδεκτος ἦν τοῖς Σαμαρείταις ἡ ἐκ χειρὸς τῶν ἐκ τῆ Ἰούδα καλαγομένων Ἑβραίων Πεντάτευχος· ἀ ὅμως ὁ αὐτὸς διαχυρίζε), ὅτι ὁ μὲν Ἀρχιερεὺς, ἀ ὁ Βασιλεὺς, Ϛ ὁ λαὸς τῆ Ἰούδα εδέχθησαν τὴν Πεντάτευχον ἐκ χειρὸς τῶν Σαμαρειτῶν, τὸ δὲ μόνον βιβλίον τῆ νόμυ, ὃ ἐν τῇ φυλῇ τῆ Ἰούδα εὑρισκόμενον ἐπὶ τῆς Βασιλείας Ἰωσίυ, ἦν αὐτὸ τὸ ὑπὸ τῆ Ἀρχιερέως ϛαλὲν πρὸς τὸν αὐτὸν Βασιλέα. Μὴ περιορίσωμεν ἑαυτὰς εἰς τὸ ἀναϛηλῶσαι τὰς τῆ φιλοσόφυ τότυ ἀντιφάσεις, ἀλλὰ δείξωμεν ἐπ' εὐθείας, ὅτι τὸ σύϛημα αὐτῆ, τὸ περὶ τῆς Πεντατεύχυ, ἦν ὁ μὲν ϛχισματικὸς Ἱερεὺς τῶν δέκα φυλῶν κατεσκεύασεν ἐν τῇ Χαλδαίᾳ πρὸς χρῆσιν τῶν εἰς τὴν Σαμάρειαν μετενεχθέντων Χυθαίων, ὁ δὲ Βασιλεὺς, ἀ ὁ Ἀρχιερεὺς, ἀ πᾶν τὸ Ἰουδαϊκὸν γένο εδέχθη ἀ ὠκειοποιήθη, ἐϛὶ πλάσμα ἀτοπώτερον πάντων τῶν ποτὲ νοηθέντων πλασμάτων.

Σημ. 163 εἰς τὰς Βασιλ.

4. Βασ. 17. 24.

Ὁ Ἱερεὺς ὅτο ὁ νομιζόμενο ποιητὴς τῆς Πεντατεύχυ, ἦν Ἱερεὺς τῶν δέκα Φυλῶν, ἀ ἑπομένως τῷ τῆ Ἱεροβοὰμ ϛχίσματι, ἀ τῇ τῶν χρυσῶν βοῶν λατρείᾳ αὐτῆ προσηλωμένο. τῷ ὄντι δὲ οἱ Χυθαῖοι, οἱ τότυ μαθηταὶ, ὀπαδοὶ ἦσαν τῆ ϛχίσματο τῶν δέκα Φυλῶν, ὧν ἦσαν διάδοχοι. ὅτο ἂν ὁ Ἱερεὺς ὐδὲ ἐκ τῆς Φυλῆς τῆ Λευΐ ἦν, ὐδὲ ἐκ τῆς πατριᾶς τῆ Ἀαρὼν, αἵτινες τοσῦτον ϛαθερῶς ἐνέκεντο τῇ ἐν Ἱερυσαλὴμ λατρείᾳ, ὥϛε τὸν Ἱεροβοὰμ ἀναγκαθῆναι ἐπιφορτίσαι τὰς τῆς Ἱερωσύνης τελετὰς λαικοῖς ἀνθρώποις, Ϛ ἀδιακρίτως παντὶ τῷ βυλομένῳ δέχαθαι αὐτάς. Ἄρά γε ἂν ἱερεὺς, ὁ τῆς τῶν χρυσῶν βοῶν λατρείας προϊϛάμενο, κατεσκεύασε βιβλίον, ἐμφανῖον τὴν τῆ χρυσῆ βοὸς λατρείαν βδέλυγμα αὐϛηροτάτης παιδείας ἄξιον, ὡς ἀναγινώσκομεν ἐν τῇ Ἐξόδῳ; Ὁ ἱερεὺς, ὁ μηδὲ ἐκ τῆς Φυλῆς τῆ Λευΐ, μηδὲ ἐκ τῆς πατριᾶς τῆ Ἀαρὼν καταγόμενο κατεσκεύασε βιβλίον, δηλοποιῶν τὸ ἔργον τῆ Κορὲ, ἀ τῆ Δαθὰν, ἀ Ἀβειρὼν τόλμημα, δι' ὃ ὅτοι θαυματυργικῶς ἐπαιδεύθησαν; τῆτο δὲ ἀναγινώσκομεν ἐν τῷ τῶν ἀριθμῶν βιβλίῳ. ὁ ὀπαδὸς τῆς ἐν Σαμαρείᾳ λατρείας, ἐν ᾗ ὐδεμία χρῆσις τῆς Κιβωτῆ τῆς Διαθήκης, κατεσκεύασε βιβλίον, ἐμφανίζον τὴν Κιβωτὸν θρόνον τῆς θείας μεγαλειότητο, ἀ ὐσιῶδες ὑπόμνημα τῆς ἑβραϊκῆς θρησκείας; ταύτην τὴν ἔννοιαν ἐν ἀναριθμήτοις τόποις δηλῦσιν ἡμῖν τὰ τῆ Μωϋσέως βιβλία. πάντα δὲ τὰ νοήματα ταῦτα κεῖν) ἐν τῇ τῶν Σαμαρειτῶν, καθάπερ ἀ ἐν τῇ τῶν Ἰουδαίων Πεντατεύχῳ. ἐπειδὴ δὲ ὁ Ἱερεὺς ὅτο συντέθεικε τῆτο τὸ πόνημα ὑπὲρ τῶν νέων ἀποίκων, τῶν ἐν τῇ

Ἐξ. 32.

Κριθ. 16.

3. Βασ. 13 48.

3. Βασ. 13. 33.

τῇ πέραν τȣ̃ Εὐφράτȣ Σαμαρείᾳ ϛαλέντων, ἔδει συγγράψαι αὐτὸ τῇ τε διαλέκτω αὐτῶν, ϛ τοῖς κατ' ἔθος αὐτῶν ϛοιχείοις, ὅπερ ἐϛὶ τῇ χαλδαϊκῇ διαλέκτω, ϛ τοῖς χαλδαϊκοῖς ϛοιχείοις. ἡ δὲ τῶν Σαμαρειτῶν Πεντάτευχος ἑβραΐδι μὲν διαλέκτῳ, φοινικικοῖς δὲ ϛοιχείοις γέγραπται.

„Ἀλλ' ὁ ἱερεὺς ȣ̃τος, φησὶν ὁ αὐτὸς, ȣ̓κ ἔσχε καιρὸν μαθεῖν „τὴν χαλδαϊκὴν διάλεκτον.

Ἀλλ' ὁ Ἀσσαραδὼν, (221) εἷς τῶν διαδόχων τȣ̃ Σαλμανασὰρ, τȣ̃ τὴν Σαμάρειαν ἐξαφανίσαντος, ἐυηρεϛεῖτο ἆρά γε ἐξαποϛεῖλαι πρὸς τȣ̀ς ἑαυτȣ̃ Χȣθαίȣς διδάσκαλον μὴ εἰδότα τὴν φωνὴν αὐτῶν; ἔτη μὲν πεντήκοντα ϗ ὀκτὼ διῆλθον ἀπὸ τῆς πρώτης τῶν Ἰσραηλιτῶν μετοικεσίας, τῆς ὑπὸ τȣ̃ Θαγλαφαλλασὰρ γενομένης, ἄχρι τῆς ἀρχῆς τῆς Βασιλείας τȣ̃ Ἀσσαραδών. ἔτη δὲ ὀκτὼ πρὸ τῆς τȣ̃ Ἀσσαραδὼν Βασιλείας συνέβη ἡ διὰ τȣ̃ Σαλμανασὰρ καταϛροφὴ τῆς Σαμαρείας. ȣ̃τος ȣ̃ν ὁ καιρὸς ϗ πέραν τȣ̃ δέοντος ἱκανός ἐϛι πρὸς τὸ μαθεῖν τινα τὴν διάλεκτον τȣ̃ τόπȣ, ἐν ᾧ μετῳκίσθη. πρόσθες δὲ ταύταις ταῖς ἀσυϛάτοις παροδοξολογίαις τὸ, ὅτι τὸ ὑπὸ τȣ̃ ἱερέως τῶν χρυσῶν βοῶν ὑπὲρ τῶν Χȣθαίων τῶν εἰδωλολατρῶν κατασκευασθὲν βιβλίον ἐπὶ σκοπῷ τȣ̃ ποιῆσαι φατριαϛὰς τῷ τȣ̃ Ἱεροβοὰμ σχίσματι, μόλις ἐκ τῶν χειρῶν αὐτȣ̃ ἐξελθὸν, ἐδέχθησαν εὐθὺς οἱ ἐν Ἱερȣσαλὴμ, ϛ ἀνεγνώρισαν ὡς νόμον ἱερόν τε ϗ πολιτικὸν τȣ̃ κράτȣς αὐτῶν. ὅθεν ὁ μὲν Βασιλεὺς τὴν περὶ τῆς ἐπανορθώσεως τῆς θρησκείας φροντίδα ἀνέλαβεν, ὁ δὲ Ἀρχιερεὺς ἀρχηγὸς ἐγένετο τῶν ἀποϛαλέντων ἐκζητῆσαι τὸν Κύριον περὶ τȣ̃ πῶς ἀποσοβήσȣσι τὰς ἐν τῷ βιβλίῳ τȣ́τῳ περιεχομένας κατάρας. τελευταῖον δὲ χάριν τȣ̃ βιβλίȣ τȣ̃ ἐν τῇ Χαλδαίᾳ κατασκευασθέντος ϗ ὑπὸ χειρῶν σχισματικῶν ϗ εἰδωλολατρῶν αὐτοῖς παραδοθέντος, ἀνεκαίνισαν μὲν τὸν ἐν Ἱερȣσαλὴμ ναὸν, ἀνώρθωσαν δὲ τὴν παλαιὰν θρησκείαν. τὸ δέχεσθαι, φημὶ, τὰ τοιαῦτα ἀτοπήματα ἐϛὶ τὸ τῆς τυφλότητος ϗ ἰσχυρογνωμοσύνης πλήρωμα.

1. Παρ. 5. 26

4. Βασ. 22. 15 κτ.

Δευτ. 27.

3. „Πειθανόν ἐϛι; φησὶν ὁ αὐτὸς, ϗ σχεδὸν ἀποδεδειγμένον, ὅτι „αἱ δέκα φυλαὶ, ὅτε αἰχμάλωτοι μετηνέχθησαν εἰς τὰς τῆς Μηδίας „ϛ Περσίας ἐρήμȣς, ȣ̓δὲ ἓν βιβλίον τȣ̃ νόμȣ αὐτῶν εἶχον. διότι ȣ̓„δὲ ἓν εἶχεν ȣ̓δὲ αὐτὴ ἡ τȣ̃ Ἰȣ́δα φυλὴ ἐπὶ τῆς Βασιλείας Ἰωσίȣ, „ὅπερ ἐϛὶ πρὸ ἐτῶν περίπȣ ἑβδομήκοντα. Ἀναγνωϛέον ἀναμφιβόλως, μετὰ τὴν τῶν δέκα φυλῶν διασποράν.

Τολμῶ εἰπεῖν, ὅτι τὸ ἐναντίον τȣ́τȣ ἀποδεδειγμένον ἐϛίν. ȣ̓κ ἐπαναλαμβάνω δὲ τὰ ὑπ' ἐμȣ̃ περὶ τῆς ὑποθέσεως ταύτης ἀλλαχȣ̃

εἰρη-

εἰρημένα, (222) δι' ὧν ἀπέδειξα πλατύτατα, ὅτι τὸ μὲν τῦ νόμυ βιβλίον διαπαντὸς ἐγνωσμένον ἦν πρὸ τῆς Βασιλείας τῦ Ἰωσίυ ἐν τῇ τῶν δέκα φυλῶν, καὶ τῇ τῦ Ἰούδα Βασιλείᾳ. τὸ δὲ εὑρεθὲν ἐν τῷ θησαυροφυλακίῳ τῦ ναῦ ἐπὶ τῆς Βασιλείας Ἰωσίυ ἦν τὸ τῦ νόμυ πρωτότυπον τεῦχος, τὸ διὰ χειρὸς Μωϋσῆ γεγραμμένον κατὰ τὸ ὑπὸ τῦ αὐτῦ νομοθέτυ διατεταγμένον ἐν τῷ Δευτερονομίῳ. πιςεύειν δὲ πείθειμε ὁ λόγος, ὅτι ἱκανῶς περὶ τύτυ ἐλάλησα. διὸ τι ἔκτοτε δέκα ἔτη ὁλόκληρα ἤδη παρῆλθον, ὁ δὲ ἄπιςος ὐδὲν κατὰ τῶν ὑπ' ἐμῦ εἰρημένων ἀντιπροέτεινεν.

2. Παρ. 34. 14. Δευτ. 17. 18.

Ὄρα ἀνωτέρ. σελ. 2.

Ἀληθὴς δὲ ἡ παρατήρησις αὐτῦ περὶ τῦ ὅτι ὁ Χελκίας πέμψας τὸ βιβλίον πρὸς τὸν Βασιλέα, ὐδὲ λιτανικῶς αὐτὸ ἀπέςειλεν, ὐδὲ ἑορτὴν ὑπὲρ τῦ συμβάντος τύτυ γενέσθαι ὥρισε. καὶ δὲ εἰς τῦτο καταντᾷ ἡ νομιζομένη ἀπόδειξις αὐτῦ, ὅμως αὐτὴ κατ' αὐτῦ ἐπαναςρέφει, ὡς δεικνύυσα, ὅτι ἦτο τὸ βιβλίον ὃκ ἦν νέον, αὐτοὶ δὲ ἐγίνωσκον, ὅτι τὸ μὲν πρωτότυπον αὐτῦ ἐφυλάττετο πάντοτε ἐν τῷ ἁγίῳ τόπῳ. τὰ δὲ ἀντίγραφα ἦσαν διαπαντὸς τῷ κοινῷ προκείμενα. ἐπειδὴ δὲ αὐτὸς ὐδὲν πλέον τύτων λέγει, συμπεραίνω, ὅτι ὐδὲν ἔχει ἀντιπροτεῖναι κατὰ τῆς ἐμῆς ἀπαντήσεως. τῷ ὄντι δὲ ὁ μὲν ναὸς ὑπῆρχεν ἔτη τριακόσια καὶ ἑπτάκαινα πρὸ τῆς εἰς τὸν θρόνον ἀναβάσεως τῦ Ἰωσίυ. τὸ δὲ λευιτικὸν ἱεράτευμα, ἡ προφητικὴ ὑπηρεσία, ὡσαύτως καὶ ἡ διαδοχὴ τῶν ἐκ τῦ οἴκυ τῦ Δαβὶδ Βασιλέων ὐδόλως παρεκόπη. τὰ δὲ ἱερὰ καὶ πολιτικὰ τῶν Ἰουδαίων παρατηρήματα τοσῦτον πολυάριθμα ἦσαν, καὶ τοσῦτον πυκνῶς παρίσαντο, ὥςε ἀδύνατον ἦν μνημονεύειν αὐτῶν χωρὶς γραπτῦ τινὸς νόμυ. ἀλλαμὴν πᾶσαι αἱ παρατηρήσεις αὗται γνωσαὶ ἦσαν, ὡς μαρτυρεῖ ἡ τῶν Βασιλειῶν ἱςορία, πρὸ τῦ Ἰωσίυ. ἡ φυλὴ ἄρα τῦ Ἰούδα εἶχε βιβλίον νόμυ καὶ πρὸ τῆς Βασιλείας, καὶ ἐπὶ τῆς Βασιλείας τῦ Ἰωσίυ. γνωρίζει τῦτο ἀλλαχῦ (223) καὶ αὐτὸς ὁ διαπαντὸς ἀκαταςατῶν φιλόσοφος.

4. Οἱ Ἰουδαῖοι, φησὶ, καθαιρεθέντες μὲν ἐν Ἱερυσαλὴμ, πολεμούμενοι δὲ πάντοτε ὑπὸ τῶν πλησιοχώρων ἐθνῶν, ἠθέλησαν τελευταῖον σῆσαί τινα δικαιώματα ὑπὲρ τῆς διαδεκαζομένης γης. τότε δὲ, λέγυσιν οἱ κριτικοὶ, οἱ Λευῖται ἐξ ἀρχαίων τινῶν παραδόσεων ταῦτα συνεσκεύασαν τὰ βιβλία.

Οἱ Ἰουδαῖοι κατεςάθησαν ἐν Ἱερυσαλὴμ ἔτη ὀκτὼ καὶ τετρακόσια πρὸ τῆς εἰς τὸν θρόνον ἀναβάσεως τῦ Ἰωσίυ, ἑπομένως ὃ μόνον ἡ Πεντάτευχος, ἀλλὰ πάντα τὰ τῶν Ἑβραίων παλαιὰ βιβλία συνεσκευασμένα ἦσαν, κατὰ τὴν τύτυ ὁμολογίαν, πολὺν χρόνον πρὸ τῆς Ἰωσίυ Βασιλείας. Ἡ δὲ προκειμένη τελίτη αὐτῦ ὑπόθεσις, ἡ περὶ

ρὶ τῶν ἑβραϊκῶν βιβλίων, τῶν συσκευασθέντων κατ' αὐτὸν μετὰ τὴν ἐν Ἱερουσαλὴμ τῶν Ἰουδαίων κατάστασιν, κατήργηται ἤδη διὰ τῶν ἡμετέρων ἀποδείξεων, τῶν περὶ τῆς ἀρχαιότητος καὶ τοῦ κύρους τῶν βιβλίων τοῦ Ἰησοῦ, τῶν Κριτῶν, καὶ τῆς Ῥούθ. καταργηθήσεται δὲ ἡ αὐτὴ καὶ διὰ τῶν εἰδικῶς ῥηθησομένων περὶ ἑκάστου τῶν τῆς Πεντατεύχου βιβλίων περὶ ὧν κατὰ μέρος ἐροῦμεν.

ΚΕΦΑ'ΛΑΙΟΝ Β'.

Περὶ τοῦ Δευτερονομίου.

Ἄ'ΡΘΡΟΝ Α'.

Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τοῦ Δευτερονομίου.

1. „Οὐδὲν τῶν Ἰουδαϊκῶν βιβλίων, ἔφη ὁ κριτικὸς, μνημονεύει νό- Εν σημ. 9. εἰς τὸν Τωβίτ.
„μου, ἢ ῥήσεως τῆς Πεντατεύχου, ἀνακαλοῦν τὰς φράσεις, αἷς ὁ συγ-
„γραφεὺς αὐτῆς ἐχρήσατο.

Τὸ ἐναντίον ἀποδείξομεν, προϊόντες ἀπὸ τῶν ἐσχάτων Ἰουδαϊκῶν βιβλίων ἄχρι τοῦ Μωϋσέως, ὧδε μὲν προβάλλω μόνα τὰ ῥητὰ, τὰ ἐκ τοῦ Δευτερονομίου ληφθέντα, ἐν δὲ τοῖς ἑξῆς κεφαλαίοις ὀψόμεθα τὰ τῶν ἄλλων τῆς Πεντατεύχου βιβλίων. Τὸ μὲν δεύτερον τῶν Μακκαβαίων βιβλίον τίθησιν ἐν τῷ στόματι τῶν ὑπὸ τοῦ Ἀντιόχου τυραννουμένων ἑπτὰ ἀδελφῶν τὰ λόγια ταῦτα· „Διὰ τῆς κατὰ πρόσωπον 2. Μακκ. 7.6.
„ἀντιμαρτυρούσης ᾠδῆς διεσάφησε Μωϋσῆς λέγων. Καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. Δῆλον δὲ ὅτι ἡ τοῦ Μωϋσέως ᾠδὴ μέρος Δευτ. 32.36.
τοῦ Δευτερονομίου ἐστίν. Ἐν δὲ τῷ ἐσχάτῳ τοῦ Νεεμίου κεφαλαίῳ κεῖται ταῦτα· „Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεγνώσθη ἐν βιβλίῳ Μωϋσῇ ἐν ὠσὶ τοῦ Νεεμ. 13.1,2.
„Λαοῦ, καὶ εὑρέθη γεγραμμένον ἐν αὐτῷ, ὅπως μὴ εἰσέλθωσιν Ἀμ-
„μανῖται καὶ Μωαβῖται ἐν Ἐκκλησίᾳ Θεοῦ ἕως αἰῶνος, ὅτι οὐ συνήν-
„τησαν τοῖς υἱοῖς Ἰσραὴλ ἐν ἄρτῳ καὶ ὕδατι, καὶ ἐμισθώσαντο ἐπ' αὐτὸν
„τὸν Βαλαὰμ καταράσασθαι. Ταῦτα δὲ αὐτολεξεὶ ἀναγινώσκομεν ἐν
„τῷ εἰκοστῷ τρίτῳ κεφαλαίῳ τοῦ Δευτερονομίου. Ὁ αὐτὸς δὲ Νεεμίας Δευτ. 13. 3.
ἐν τῇ ὑπ' αὐτοῦ πρὸς τὸν Θεὸν προσενεχθείσῃ προσευχῇ τῇ ἐν τῇ αρχῇ τοῦ βιβλίου αὐτοῦ, λαλεῖ οὕτω· „Μνήσθητι διὰ τὸν λόγον, ὃν ἐ- Νεεμ. 1. 8,8.
„νετείλω τῷ παιδίσου Μωϋσῇ, λέγων, ὑμεῖς ἐὰν ἀσυνθετήσητε, ἐγὼ
„διασκορπιῶ ὑμᾶς ἐν τοῖς λαοῖς. καὶ ἐὰν ἐπιστρέψητε πρός με, καὶ φυ-
„λάξητε τὰς ἐντολάς μου, καὶ ποιήσητε αὐτὰς, ἐὰν ᾖ ἡ διασπορὰ ὑμῶν
ἀπ' ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξω αὐτούς. „Τοῦτο δὲ οὕτω ῥητῶς ἀ- Δευτ. 30.3,4.

 να-

ναγινώσκεται ἐν τῷ ἑβδομηκοστῷ τῆ Δευτερονομίᾳ κεφαλαίῳ. Ὁ Δανιὴλ
Βαρ. 1. 20. ϗ 2. 3. ϗ ὁ Βαρὺχ προφέρουσι τὰς ἐν τῷ νόμῳ τῆ Μωϋσέως γεγραμμένας
κατάρας, αἵτινες διαλαμβάνουσιν, ὡς ὁ Βαρὺχ σημαίνει, ὅτι οἱ Ἰουδαῖοι
πρὸς ποινὴν τῶν παραβάσεων αὐτῶν εἰς τοιαύτην καταντήσουσι κατά-
σασιν, ὥστε φαγεῖν τὰς σάρκας τῶν τέκνων αὐτῶν. τοιούτων δὲ ἀρῶν
Δευτ. 21. 15. ϗ 28. 53. πλήρη εἰσὶ τὸ εἰκοστὸν ἕβδομον, ϗ τὸ εἰκοστὸν ὄγδοον τῆ Δευτερονομίᾳ
κεφάλαιον. Τὸ τέταρτον τῶν Βασιλειῶν, ϗ τὸ δεύτερον τῶν Παρα-
4. Βασ. 4. 16. 2. Παρ. 25. 4. λειπομένων βιβλίον φησὶν, ὅτι ὁ Ἀμασίας οὐκ ἀπέκτεινε τοὺς υἱοὺς τῶν
πατραξάντων τὸν πατέρα αὐτῆ τὸν Βασιλέα, κατὰ τὴν Διαθήκην Κυ-
ρίου, τὴν γεγραμμένην ἐν τῷ τῆ Μωϋσέως νόμῳ, τῷ ἐντελλομένῳ,
„οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τῶν τέκνων, ϗ οἱ υἱοὶ οὐκ ἀποθανοῦν-
„ται ὑπὲρ πατέρων, ἀλλ᾽ ἢ ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται. Οὕτως δὲ ὁ νόμος κεῖται ῥητῶς ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τῆ
Δευτερονομίου. „Ἐν δὲ τῷ Ἰησοῦ βιβλίῳ ἀναγινώσκομεν τάδε· Οὗτος
„ᾠκοδόμησε θυσιαστήριον ἐν ὄρει Γαιβὰλ, καθότι ἐνετείλατο Μωϋσῆς
„ὁ θεράπων Κυρίου τοῖς υἱοῖς Ἰσραὴλ, καθὰ γέγραπται ἐν τῷ νόμῳ
„Μωσῆ. Τοῦτο τὸ ἐπίταγμα κεῖται αὐλαῖς λέξεσιν ἐν τῷ τῆ Δευτερο-
Δευτ. 24. 16. νομίου εἰκοστῷ ἑβδόμῳ κεφαλαίῳ. Ἰδοὺ ὃν πῶς ἡ μὲν τῆ κριτικῆ ἀπό-
φασις ἐναπεδείχθη ψευδὴς διὰ τῆ βιβλίου τῆ Ἰησοῦ, τῆ τετάρτου τῶν
Βασιλειῶν, τῆ δευτέρου τῶν Παραλειπομένων, τῆ Δανιὴλ, τῆ Βα-
ρὺχ, τῆ Νεεμίου, τῆ συγγραφέως τῆ δευτέρου τῶν Μακκαβαίων. τὸ
Δευτ. 27. 4. 5. δὲ τῆ Δευτερονομίου κυρίῳ μεμαρτυρημένον ὑπὸ σειρᾶς ἀμέμπτων μαρ-
τύρων ἄχρι τῆ Μωϋσέως ἀνιόντων.

Δευτ. 1. 1, 5. ϗ 4-8. ϗ 5. 1. ϗ 6. 1. ϗ 29. 1. ϗ 27. 1. 2. Τὸ βιβλίον τοῦτο αὐτὸ καθ᾽ ἑαυτὸ ἀποδείκνυσι συγγραφέα
αὐτῆ τὸν νομοθέτην Μωϋσῆν, ἀρχόμενον διὰ τῶν δὲ τῶν ῥημάτων·
„Οὗτοι οἱ λόγοι, οὓς ἐλάλησε Μωϋσῆς παντὶ Ἰσραὴλ. τῶν πολλάκις
„ἐπαναλαμβανομένων ἐν τῷ αὐτῷ βιβλίῳ. ἀναγινώσκομεν δὲ ἐν τοῖς
Δευτ. 31. 9, 22 24. 26. ἑξάτοις τούτου κεφαλαίοις τάδε· „Ὁ Μωϋσῆς ἔγραψε τὰ ῥήματα τῆ
„νόμου τούτου εἰς βιβλίον, ϗ ἔδωκεν αὐτὰ τοῖς Ἱερεῦσι, τοῖς υἱοῖς
„Λευί... Καὶ ἔγραψε Μωϋσῆς τὴν ᾠδὴν ταύτην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.
„Πρόσεχε σεαυτῷ ϗ ἄκουε Ἰσραὴλ. „Ἡνίκα δὲ συνετέλεσε Μωϋσῆς γράφων
„πάντας τοὺς λόγους τῆ νόμου τούτου εἰς βιβλίον ἕως εἰς τέλος, ἐνετεί-
„λατο, θῆσατε αὐτὸ ἐκ πλαγίων τῆς Κιβωτοῦ τῆς Διαθήκης Κυρίου.

ΑΡΘΡΟΝ Β'.

Ἐν ᾧ ἡ ἀναίρεσις τῶν τῆ κριτικῆ ἐνςάσεων κατὰ τὴ πρώτη κεφαλαίῳ τῆ Δευτερονομίου.

Ἐγκαλεῖ ὅτ@ ψεύδης ἢ αὐτὸν τὸν τῆ βιβλίου τίτλον. „Ψευδὲς, „λέγει, τὸ, ὅτι ὁ Μωϋσῆς ἐλάλησε πέραν τῆ Ἰορδάνου. διότι αὐτὸς „ὐδέποτε διεπέρασεν αὐτόν... Ψευδὲς ἢ ἀδύνατον τὸ, ὅτι αὐτὸς διέ„τριβε τότε ἐν τῇ ἐρήμῳ Φαράν. διότι ἐν ἐκείνῳ τῷ καιρῷ, πολεμῶν „ἐνίκησεν. ὡς φησιν ὁ συγγραφεὺς, ἐν τῇ ἐρήμῳ Μωὰβ, τῇ ἀπεχού„σῃ τῆς Φαρὰν πλέον ἢ λέγας πέντε. Ψευδὲς ἢ ἀδύνατον τὸ, ὅτι „αὐτὸς ἦν ἐν τῇ ἐρήμῳ Φαρὰν, τῇ γειτνιαζούσῃ τῇ ἐρυθρᾷ θαλάσ„σῃ. διότι ἡ Φαρὰν ἀπέχει τῆς ἐρυθρᾶς θαλάσσης πλέον ἢ πεντή„κοντα λέγας. ψευδὲς ἐςι τὸ, ὅτι πολὺ χρυσίον ἐςιν ἐν τῇ Ζηρὼθ, „ἢ ἐν τῇ Φαράν. ὁ ἄθλι@ ὅτ@ τόπος οὐκ ἔςι χρυσοφόρος, ἀλλὰ „πυριτοφόρ@. ματαίως δὲ ὁ κύριος Καλμέτ@ ἐπαναλαμβάνει τὰς „ἐξηγήσεις ἑνίων διερμηνευτῶν, εἰπόντων ἀφρόνως, ὅτι ἐκεῖθεν τῆ „Ἰορδάνου σημαίνει ἐντεῦθεν τῆ Ἰορδάνου.

Ἐπαναληπτέον ὅλον τὸ προκείμενον αὐτῆ τμῆμα. ἀναίσχυντ@ συκοφαντία ἐςὶ τὸ λέγειν, ὅτι ὁ Καλμέτος, ἢ ἄλλοι διερμηνευταὶ εἶπον, ὅτι τὸ ἐκεῖθεν σημαίνει τὸ ἐντεῦθεν. ὧδε τούτων εἴρηκε τοιοῦτον ἄτοπον, πάντες δὲ εἶπον, ☾ πολλοῖς ἀπέδειξαν παραδείγμασιν, ὅτι ἡ μὲν ἑβραϊκὴ λέξις, βεχεβερ, ἡ ὑπὸ τῆς Βυλγάτης ὧδε μετενεχθεῖσα εἰς τὴν, ἐκεῖθεν, σημαίνει τὸ, ἐν τῇ διαβάσει· (224) ἡ δὲ χρῆσις αὐτῆς ἔντε τοῖς τῆ Μωϋσέως βιβλίοις, ἢ ἐν ἄλλοις σημαίνει διαφόρως τότε ἐκεῖθεν, ἢ τὸ ἐντεῦθεν τῆ ποταμοῦ. τὸν δὲ περὶ τούτου ἀμφιβάλλοντα, εἰς τὰς γραμματικὰς πέμπομεν, ἢ εἰς τὰ λεξικά. ἐκ τούτου δὲ ἡμεῖς μετὰ πάντων τῶν ἑβραϊζόντων συμπεραίνομεν, ὅτι ὁ Μωϋσῆς γράφων ἐν τῷ ἀνατολικῷ μέρει τῆ Ἰορδάνου, ἐχρήσατο τῇ λέξει βεχεβερ, ἵνα σημάνῃ τὴν ἀνατολικὴν ὄχθην τούτου τῆ ποταμοῦ, ἢ οὐχὶ τὴν δυτικὴν, εἰς ἣν αὐτὸς ὁ διεπέρασεν.

Ψευδὲς δὲ ☾ ἄτοπον ἡ πεῖρα ἐναπέδειξεν ὅπερ αὐτὸς ἐφαντάσθη περὶ τῆ ὅτι ἡ ἄκαρπος, ἢ πυριτῶν λίθων πλήρης χώρα χρυσωρυχίας περιέχειν ὁ δύναται. διότι αἱ μεταλλωρυχίαι εὑρίσκονται ἐν τῷ τῶν ἀκάρπων ☾ ἀγεωργήτων ὀρέων κόλπῳ.

Ἡ δὲ ἔρημος, ἡ ἐγγὺς τῶν ὀρέων τῶν Μωαβιτῶν ἐφαπλῶται μὲν πρὸς δυσμὰς ἕως Φαρὰν, ἐξ ἧς λαμβάνει τὴν ὀνομασίαν, ἐκτείνεται δὲ ἐκεῖθεν πρὸς νότον ἄχρι τῆς ἐρυθρᾶς θαλάσσης· διὸ κἂν

ἀληθεῖς εἶναι δῶμεν τ᾽ς αὐτῆ διαμετρήσεις τε ϗ ὑποθέσεις, ὐδὲν ἧττον ὅμως κακῶς τεθεμελιωμένον ἔσαι τὸ ὑπ᾽ αὐτῆ ἐπιγραφόμενον ψεῦδος. Ἄλλως τε δὲ ὐδόλως ἀληθεύει τὸ, ὅτι πεντήκοντα λέγαι εἰσὶ τὸ μεταξὺ τῆς ἐρυθρᾶς θαλάσσης ϗ τῆς Φαρὰν ἀπόσημα. Ὁ Εὐσέβιός φησιν, ὅτι ἡ Φαρὰν ἀπέχει ὁδὸν τριῶν ἡμερῶν τῆς Ἀελὰ, ἥτις λιμήν ἐσιν ἐν τῆ ἐρυθρᾶ κειμένῳ θαλάσσῃ. (225).

Τελευταῖον, αἱ ὑπ᾽ αὐτῆ ἐνταῦθα ἀναθερμαινόμεναι μικραὶ δυσκολίαι ἐκ μόνης παράγονται τῆς μεταφράσεως τῆς Βυλγάτης. τῆς μετονεγκύσης ὀνόματα τοπικὰ εἰς κοινὰ, ϗ προσηγορικά. οἷον τὸ μὲν Σὰφ, εἰς τὸ, ἐρυθρὰ θάλασσα. (226). Τὸ δὲ Διζὰβ εἰς τὸ, πολὺ χρυσίον. Ποία δὲ ἀραγε ἡ τότε σκοτόμαινα ἐν τῶ προτείνειν ὑπὸ τῶ ὀνόματι σοφῶ τινος Προτεσάντε, οἵος ἐσιν ὁ Λα-Κρόζε, εἰσάσεις κατὰ τὸ ὕφος τῆς Γραφῆς, ἃς μόλις κατὰ μόνης τῆς Βυλγάτης προτείνειν ἔνεσιν. Ἰδὼ ἡ ῥῆσις ὑπὸ τῶν ἀείσων κριτικῶν τῶν δύω φατριῶν μεταφραθεῖσα. „Οὗτοί εἰσιν οἱ λόγοι, ἃς ἐλάλησεν ὁ Μωϋσῆς „τοῖς υἱοῖς Ἰσραὴλ πλησίον τῆς ὄχθης τῆ Ἰορδάνε ἐν τῶ πεδίῳ τῆς „ἐρήμε, ἀπεναντίας Σὰφ, τῆς ἐπεκτεινομένης ἀναμέσον Φαρὰν, Το„φὲλ, Λαβὰν, Χαζερὼθ, ϗ Διζάβ. Ἐνώπιον τῆς ῥήσεως ταύτης πίπτουσιν αἱ τῆ νομιζομένε κριτικῆ ἐνστάσεις.

2. Ἀπατῶμαι, διότι μία ἔτι ἐσὶ, δυναμένη ἀπαθανατίσαι τὴν τῆς ἀγχινοίας αὐτῆ μνήμην. Ὁ συγγραφεὺς, φησὶν αὐτὸς, ὁποιος„δήποτε ἂν εἴη, ἐμφανίζει τὸν Μωϋσῆν ἐν τῆ ἀκτῆ τῆς ἐρυθρᾶς „θαλάσσης λαλῆντα ἐν τῶ τεσσαρακοσῶ ἔτει, ϗ ἑνδεκάτῳ μηνὶ με„τὰ τὴν ἐκ τῆς Αἰγύπτε ἔξοδον. ϗ αὐτὸς μὲν ἐξῆλθεν ὀγδοηκον„τότης ὢν, ἡ δὲ θεία Γραφὴ, φησὶν, ὅτι ἐτελεύτησεν ἑκατονεικο„σαέτης. τετελευτηκὼς ἄρα ἦν, ὅτε τὸ Δευτερονόμιον ἐμφαίνει αὐ„τὸν λαλῆντα.

Ὁ ἀναγινώσκων ὐκ εὐθέως κατανοεῖ τὴν τῆς συνεπείας ταύτης εὐθύτητα· ἵνα δὲ ταύτην καταληπτὴν αὐτῶ ποιήσωμεν, ὐδενὸς ἑτέρε χρήζομεν, εἰμὴ τῆ θεῖναι ὡς θεμέλιον τὸ, ὅτι ὁ ἑνδεκατῳ μὴν τῆ τεσσαρακοσῆ ἔτει συγκροτεῖ τεσσαράκοντα ἔτη τέλεια, ϵ μῆνας ἕνδεκα. τότε ὕτω κειμένε, ἑπόμενον ἔσαι τὸ, ὅτι ὁ Μωϋσῆς ὀγδηκοντότης ἐξελθὼν ἐξ Αἰγύπτε, ϵ ἑκατονεικοσαέτης τετελευτηκὼς, ἐλάλει ἀκμὴν ἐν τῶ ἑκατοσῶ εἰκοσῶ ἔτει, ϵ τῶ ἑνδεκάτῳ μηνί. ἀληθὲς δὲ τὸ ὅτι ἐν τῆ ὁποιαδήποτε διαλέκτῳ ὁ ἑνδέκατος μὴν τῆ τεσσαρακοσῆ ἔτει συνίσησι μόνον τριάκοντα ϗ ἐννέα ἔτη, ϗ μῆνας ἕνδεκα. ὁ δὲ ἄνθρωπος ὁ ἀποθανὼν ἐν τῶ τεσσαρακοσῶ ἔτει τῆς ἡλικίας αὐτῆ κατὰ τὴν πρώτην ἡμέραν τῆ ἑνδεκάτε μηνὸς τῆ αὐτῆ ἔτες,

τῦ, ὃκ ἔζησεν εἰ μὴ τριάκοντα ϗ ἐννέα ἔτη, ϛ μῆνας δέκα. ἀλλὰ κατὰ τὸν κριτικὸν τῦτον ὃχ ὕτως, ἀλλ' ἄλλως ταῦτα ἔχυσι, διότι κατ' αὐτὸν ὁ ἄνθρωπος ὗτος ἔζησε τεσσαράκοντα ἔτη ϗ μῆνας ἕνδεκα. κατὰ τῦτον ἄρα τὸν τρόπον τῦ ἀναλογίζεσθαι, μεταχηματίσαι ἀνάγκη πάντα τὰ τῶν ὑποθέσεων πρακτικά.

Δευτ. 1. 3. "Οτε ὁ Μωϋσῆς ἐλάλει τοῖς υἱοῖς Ἰσραὴλ ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς Ἐξόδυ ἐκ τῆς Αἰγύπτυ, ἐν τῷ ἑνδεκάτῳ μηνὶ, κατὰ τὴν πρώτην ἡμέραν τῦ αὐτῦ μηνὸς, τότε εἶχε ἔτη ἡλικίας ἑνὸς καὶ δέκα πρὸς τοῖς ἑκατὸν, μῆνας δέκα, ϗ ἡμέραν μίαν. διότι ἐν μὲν τῷ πρώτῳ μηνὶ τῦ πρώτυ ἔτυς τῆς ἐξ Αἰγύπτυ ἐξόδυ ἦν ὀγδοηκοντύτης, Εξ. 7. 7. ἐτελεύτησε δὲ ἐκπληρώσας τὸ ἑκατοστὸν εἰκοστὸν ἔτος τῆς ἡλικίας αὐτῦ. ἔζησεν ἄρα τὰ λάχιστον μῆνας δύω μετὰ τὴν ἐν τῷ πρώτῳ κεφαλαίῳ τῦ Δευτερονομίυ σημειωθεῖσαν ὁμιλίαν, ἣν πεποίηκεν ὃκ ἐν τῇ ἀκτῇ τῆς ἐρυθρᾶς θαλάσσης, ὡς αὐτὸς καλὰ τὴν ἰδίαν αὐτῦ ἀρέσκειαν ὑποτίθεται, ἀλλὰ πλησίον τῆς ἀνατολικῆς τῦ Ἰορδάνυ ὄχθης. Δευτ. 34. 7. τὸ Δευτερονόμιον ἄρα ὃκ ἐμφανίζει τὸν Μωϋσῆν λαλῦντα μετὰ θάνατον. ὁ κριτικὸς ἄρα ἐςὶν ἀτοπολόγος, συκοφάντης, παροξυντικὸς τῶν ἀναγινωσκόντων αὐτὸν, ϛ μηδενὸς ἑτέρυ ἄξιος, εἰ μὴ τῆς τύτων περιφρονήσεως.

ΆΡΘΡΟΝ Γ.

Περὶ τῶν ἐν τῷ Δευτερονομίῳ προσθηκῶν, ϗ τῶν ἐν τῇ ἐρήμῳ ῥηματίων τῶν Ἑβραίων.

1. „Ὁ αὐτὸς προσίθησι τάδε, Ὁ Καλμέτος φησίν· οἱ τῶν ἡμετέ„ρων κριτικῶν ἄριςοι ὁμολογῦσιν, ὅτι ἐν τύτοις τοῖς βιβλίοις προσθή„καί εἰσιν, ἐπεσαχθεῖσαι, ἤτοι πρὸς διασάφησιν ῥήσεων τινῶν ἀσα„φῶν, ἢ πρὸς ἀναπλήρωσιν τῶν χορηγύντων τελείαν κατάληψιν τῶν „νομιζομένων ἐλλείψεων.

Ὤφειλεν ὅτος ἐπισυνάψαι τύτοις ϗ τὸ, ὅτι οἱ κριτικοὶ ταύτας τὰς προσθήκας ϗ ἑρμηνείας ἀπονέμυσι τῷ Ἰησῦ ϗ τοῖς Προφήταις, τοῖς ἐπίσης τῷ Μωϋσῇ ὑπὸ Θεῦ ἐμπνευσθεῖσιν. ἐκ τύτυ δὲ ὁλοκλήρως πίπτει ϗ τὸ μετὰ ταῦτα ἀντιπροτεινόμενον.

2. „Εἴπερ προσεθείκασιν ἐν τοῖς ἁγίοις βιβλίοις, ἃ πάντα τὰ „ἐν αὐτοῖς ὑπὸ τῦ ἁγίυ Πνεύματος ὑπηγόρευται. ἐὰν δὲ τὸ ὅλον „ὃχ ὑπάρχῃ ἔργον τῦ ἁγίυ Πνεύματος, πῶς δυνάμεθα διαγέλειν „τὸ τῦ Πνεύματος ἀπὸ τῦ τῶν ἀνθρώπων ἔργυ; ἔξεσιν ἄραγε

„ὑπο-

„υποτίθεσθαι, ὅτι ὁ Θεὸς πρὸς ὁδηγίαν τῆ ἀνθρωπίνη γένης ὑπηγό-
„ρευσε βιβλίον δεηθὲν προσθηκῶν, ἢ διορθώσεων;

Οἱ παρὰ τῶ Καλμέτω (227) κριτικοὶ διορθώσεις ἐν τοῖς τῆ Μωϋσέως συγγράμμασιν ὅλως ὑποτίθεσιν· αἱ δὲ δεκταὶ αὐτοῖς προσθῆκαι ἐμφαίνουσι κατ' αὐτὰς τόπων τινῶν ὀνόματα κύρια, διαφέροντα τῶν ἐν τῶ καιρῶ τῆ Μωϋσέως ὀνομάτων. Ἐπειδὴ δὲ μετεβλήθησαν τὰ ὀνόματα τότων τῶν τόπων, οἱ μεταγενέστεροι γινώσκειν αὐτὰς οὐκ ἠδύναντο, εἰ μὴ προσετίθετο ἡ νεωτέρα ὀνομασία. Ἢ φρᾶσις ἡ ἀναπτύσσουσα ἣν ὁ Μωϋσῆς μεθῆλθε λέξιν. Ὅπου δὲ τὸ κατ' ἐμὲ ὑδεμίαν ἐν τῶ Δευτερονομίω οἶδα προσθήκην, πλὴν τῆς ἐν τῶ ἐσχάτω κεφαλαίω τῆς τὴν διήγησιν τῆ θανάτη τῆ Μωϋσέως περιεχούσης. πιστεύων δὲ, ὅτι αὐτὸς ὁ Ἰησῆς πεποίηκεν αὐτὴν, διατείνομαι μετὰ πάντων τῶν Χριστιανῶν καὶ Ἰουδαίων, ὅτι τοσοῦτον ἔχει κῦρος, ὅσον καὶ τὸ ὅλον πόνημα.

3. „Ἰδὲ ἑτεροζυγής τις ἔνστασις. Τὸ Δευτερονόμιον δὶς ἐπαναλαμ-
„βάνει τὸ, ὅτι τεσσαράκοντα ἔτη τὰ τῶν Ἑβραίων ὑποδήματα ὐ κα-
„τετρίβησαν. τοῦτό ἐστι θαῦμα, ὥσπερ καὶ πάντα τὰ ἄλλα θαύματα.
„ἐπειδὴ δὲ κατὰ τὴν διὰ προσαγῆς τῆ Μωϋσέως γενομένην ἀριθμη-
„σιν ἔμειναν ἑξακόσιαι καὶ μία χιλιὰς, καὶ ἑπτακόσιοι καὶ τριάκοντα μα-
„χηταὶ, ἐπὶ τῆ ὑποθέσει τῆ, ὅτι πᾶς μὲν πολεμιστὴς εἶχε μίαν γυ-
„ναῖκα, πᾶς δὲ ἀνὴρ σὺν τῆ συζύγω αὐτῆ πατέρα ἕναν, καὶ μητέρα
„μίαν, πᾶσα δὲ οἰκία τέκνα δύω. ἀνάγκη ἦν ὑποθῆσαί τε καὶ εὑδῦσαι
„τέσσαρα μιλλιόνια, ὀκτακοσίας καὶ τρισκαίδεκα χιλιάδας, καὶ ὀκτακοσίους
„καὶ τεσσαράκοντα ἀνθρώπους. (228).

Τὸ ὅτι πᾶς πολεμιστὴς ἔχει γυναῖκα, καὶ πᾶσα συζυγία ἔχει πατέρα καὶ μητέρα, καὶ πᾶσα οἰκία δύω τέκνα, ὑποθέσεις εἰσὶν ἀνύπαρκτοι μὲν κἂν τῶ σμικροτάτω χωρίω, ἱερατώδεις δὲ ὡς πρὸς ἑξακοσίας χιλιάδας ἀνθρώπων. ὅτος ὢν θελων ἀναφανῆναι ἀσεῖ, ἀνε-
Δευτ. 8. 4. δείχθη γελοῖος· Ἡ τῆ Δευτερονομίω ῥῆσις διαλαμβάνει τάδε· „Τὰ
Δευτ. 29. 5. „ἱμάτιά σου οὐκ ἐπαλαιώθη ἀπὸ σοῦ· οἱ πόδες σου ἐκ ἐτυλώθησαν, ἰδὲ
„τεσσαράκοντα ἔτη. Καὶ ἀλλαχοῦ. Καὶ ἤγαγεν ὑμᾶς τεσσαράκοντα
„ἔτη ἐν τῆ ἐρήμω, οὐκ ἐπαλαιώθη τὰ ἱμάτια ὑμῶν, καὶ τὰ ὑποδήμα-
„τα ὑμῶν ὐ κατετρίβη. Βλέπομεν ὧδε τὸ τῆς προνοίας θαῦμα, ὅτι-
„νος ἄνευ δοκεῖ ἀδύνατον, τὸ τοσοῦτον πλῆθος διάγον ἐν τῆ ἐρήμω
ἔτη τεσσαράκοντα, μηδὲ ἱματίων, μηδὲ ὑποδημάτων δεηθῆναι. „τοῦτο
Νεμ. 9. 25. „δέ ἐστιν ὃ ὑπὸ τῆ Νεεμίου εἰρημένον ἐν τῆ πρὸς Θεὸν δεήσει. Τεσσα-
„ράκοντα ἔτη διέθρεψας αὐτοὺς ἐν τῆ ἐρήμω, οὐχ ὑστέρησας αὐτοῖς ὐ-
„δέν. ἱμάτια αὐτῶν οὐκ ἐπαλαιώθησαν, καὶ ὑποδήματα αὐτῶν ὐ διέρ-

„ρά-

ράγησαν. Τοῦτο δὲ, ὡς ἔοικεν, ὑποσημαίνει μόνον, ὅτι ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα οὐδὲν ἔλειψε τοῖς Ἑβραίοις, οὐδὲ ἱμάτια, οὐδὲ ὑποδήματα. Ἐὰν δὲ τὸ ῥητὸν ἐμφαίνῃ καὶ ἄλλο τί μεῖζονος θαύματος ἐμφανικὸν, ὅπερ ὁ δοκεῖ δεδιαγμένον, προθύμως δέχομαι καὶ τοῦτο τὸ τεράστιον. διότι οὐδέν ἐστι τῶν τῷ λαῷ τοῦ Θεοῦ ἀναγκαίων, ὅπερ ἐκτελέσαι ἡ κατεδέξατο ἡ θεία ἀγαθότης.

Α΄ ΡΘΡΟΝ Δ΄.

Περὶ τῶν νόμων τῶν κατὰ τῶν εἰδωλολατρῶν, καὶ ψευδοπροφητῶν.

1. „ Τὰ ῥήματα ταῦτα· Ἔτι δείκνυται ἡ κλίνη αὐτοῦ· δηλοῦσιν, ὅτι „ὁ μὲν συγγραφεὺς τούτων οὐκ ἦν σύγχρονος τῷ πράγματι· ὁ δὲ „Μωϋσῆς οὐκ ἠδύνατο ἰδεῖν αὐτὴν ἐν Ραββὰθ (229) ἥτις οὐκ ἐχερώ„θη εἰμὴ πολλῷ ὕστερον ὑπὸ τοῦ Δαβίδ.

Ἔνστασις ματαία, ἑκατοντάκις ἀναιρεθεῖσα. Ὁ Μωϋσῆς γράφων τὸ Δευτερονόμιον ὀλίγους μῆνας μετὰ τὸν θάνατον τοῦ Βασιλέως τῆς Βασὰν, πάνυ καλῶς ἠδύνατο προβάλλειν τοῖς μὴ εἰδόσιν αὐτὸν, ὡς δεῖγμα τοῦ γιγαντιαίου αὐτοῦ σώματος, τὴν σιδηρᾶν κλίνην, ἣν ὁ αὐτὸς Βασιλεὺς, ὁρῶν τοὺς Ἑβραίους κατ' αὐτοῦ ἐπιτιθεμένους, μετεκόμισε σὺν τῇ λοιπῇ αὐτοῦ περιουσίᾳ ἐν Ραββὰθ, ὅπου ἐγνώκει, ὅτι ἦν ἀσφάλεια. ἦν δὲ ἀράγε ἀνάγκη τὸ ὑπὸ τοῦ Δαβὶδ καταχεσθῆναι τὴν τῶν Ἀμμωνίτων μητρόπολιν Ραββὰθ, ἵνα δῆλον γένῃ, ὅτι μετελέθη ἐκεῖ αὕτη ἡ θαυμασία κλίνη τοῦ Βασιλέως τῆς Βασάν.

2. Ἀλλ' ἰδοὺ καινή τις ἔνστασις, ἣν ὁ κριτικὸς προσάψαι ἠθέλησε τῷ τοῦ Ἀρλαΐου προέδρῳ, ὃς εἰς διακριτικώτατος ὢν δικαστὴς, οὐκ ἂν τοσοῦτον κακῶς κατενόησε τὴν τοῦ Δευτερονομίου ῥῆσιν; ἀναγινώσκει γὰρ οὕτως· „Ἐὰν ὁ ἀδελφός σου, ἢ ὁ υἱός σου εἴπῃ σοι λάθρα, λατρεύσωμεν „θεοῖς ἑτέροις, ἀπόκτεινον εὐθὺς τὸν ἀδελφόν σου, ἢ τὸν υἱόν σου... „Πλῆξον αὐτὸν σὺ πρῶτος, καὶ πᾶς ὁ λαὸς πληξάτω μετὰ ταῦτα. „Περὶ τούτου ἂν ὁ κριτικὸς σκέπτεται οὕτω· Πρόχειρόν ἐστι φαντασθῆναι „ἄνθρωπόν τινα πεισθῆναι, ὅτι ἡ γυνὴ ἢ ὁ υἱὸς αὐτοῦ βούλονται ἀποκτεῖναι „αὐτὸν τῆς πίστεως. ἐὰν δὲ ἐπὶ ταύτῃ τῇ προφάσει ἀποκτείνῃ αὐτούς, „νομίσει ἑαυτὸν ἅγιον.

Τυφλὸς, ὁ μὴ ἰδὼν, ὅτι κατὰ τοῦτο τοῦ Μωϋσέως τὸ θέσπισμα ἔδει τὴν ὑπόθεσιν ἀναγγελθῆναι τῇ συνελεύσει παντὸς τοῦ λαοῦ· μηδὲ ἰδὼν τὸ, ὅτι ἐὰν δύσκολον ὑπάρχῃ τὸ φανταθῆναι τινὰ, ὅτι ἡ γυνὴ, ἢ ὁ υἱὸς αὐτοῦ προβάλλει αὐτῷ ὅπερ ὁ ἕτερος αὐτῶν ἐνόησεν, ἀδύ- Δευτ. 13. 9.

ἀδύνατον πάντως ἐςὶ τὸ ϗ τὰ κριτήρια σὺν τῷ λαῷ καταλιπεῖν τὸν φανητιῶντα ἐκεῖνον ἀποκτεῖναι τὴν γυναῖκα, ἢ τὸν υἱὸν αὐτȣ̃ πρὶν ἢ αὐτȣ̀ς ἐκφωνῆσαι τὴν τῆς κατακρίσεως αὐτῶν ἀπόφασιν.

3. „Ἐπίςευσάν τινες, προςίθησιν ὁ αὐτὸς, ὅτι ἄλλον βλέπȣσι „κίνδυνον ἐν τȣ́τοις τοῖς τȣ̃ Δευτερονομίȣ ἐδαφυοις· Ἐάντις Προφή„της πράγματα προλέγῃ θαυμαςὰ, τὰ δὲ προῤῥηθέντα ἔκβασιν λά„βῃ, αὐτὴ ἡ Θεότης ἄρα ἐςὶν ἡ αὐτὸν ἐμπνεύσασα. (230).

Οὐ πάντοτε, ȣ̀δὲ ἄνευ ἐξαιρέσεως· διότι εἰσί τινα ἔργα τερατώδη θαύματα καταχρηςικῶς λεγόμενα. ὑπερβαίνοντα μὲν τὴν τῶν ἀνθρώπων δύναμιν, ȣ̀χὶ δὲ ϗ τὴν τῶν Δαιμόνων. ταῦτα δὲ τὰ ἔργα αὐτὰ καθ' ἑαυτὰ ἄνευ τῶν ἰδίων περιςάσεων ȣ̀ δεικνύȣσιν, ὅτι ὁ ποιήσας αὐτὰ ἐςι θεόπνευςος.

4. Ἀλλ' ἐπαναλαμβάνει τὸν λόγον ὁ φιλόσοφος· ,Ὁ λέγων, „φησὶν, ὅτι οἱ μάγοι ἔχȣσι τὴν τȣ̃ θαυματȣργεῖν δυναμιν, παράλο„γός ἐςι ϗ βάρβαρος. (231) αὕτη, προςίθησιν, ἡ ἔνςασίς ἐςι πειθανή.

Ναὶ, ἐνώπιον τῶν ὀφθαλμῶν τῶν κȣ́φων ἀνθρώπων, τῶν μὴ εἰδότων διαςέλλειν τὰς γοητείας ϗ τὰ τέρατα, τὰ ὑπὸ τῶν κακοποιῶν πνευμάτων, καί περ τῷ Θεῷ ὑποκειμένων, τελȣ́μενα, ἀπὸ τῶν κυρίως λεγομένων θαυμάτων, τῶν ἀμέσως θείᾳ πάντοτε ἐξȣσίᾳ ἐνεργȣμένων. τὰ θαύματα κατὰ φύσιν μὲν πολλάκις, κατὰ δὲ τὰς περιςάσεις αὐτῶν διαπαντὸς, ἀπείροις ὑπερέχȣσι διαςήμασι τὰς ὑπὸ τῶν ψευδοπροφητῶν ποιȣμένας γοητείας. ὑπῆρχον μὲν μάγοι, δύνανται δὲ ϗ ἔτι ὑπάρχειν. κἂν πολλάκις οἱ ὑπὸ τȣ̃ κοινȣ̃ λαȣ̃ νομιζόμενοι μάγοι, ἄμοιροι τυγχάνωσι τῆς μαγικῆς τέχνης. ὁ δὲ φιλόσοφος ȣ̃τος ἐξαίσιον ἐμφαίνει ἔπαρσιν, παράλογον λογιζόμενος ϗ βάρβαρον τὴν πάσῃ τῇ οἰκȣμένῃ δεκτὴν γνώμην. καλῶς δὲ πᾶς τις κατανοεῖ, ὅτι πρὸς ἀναίρεσιν τῶν ἀναποδείκτων ϗ ἐναερίων αὐτȣ̃ λόγων ȣ̀κ ὀφείλω σύνταγμα φιλοπονῆσαι περὶ μαγείας, ϗ Δαιμόνων δυνάμεως.

5. Μεταφράζει ὁ αὐτὸς τὸ δωδέκατον, ϗ τὰ ἀκόλȣθα ἐδάφια τȣ̃ αὐτȣ̃ κεφαλαίȣ τȣ̃ Δευτερονομίȣ ȣ̃τως· ,Ἐὰν ἀκȣ́σῃς, ὅτι ἐν μιᾷ „τῶν πόλεών σȣ ἄνδρες πονηροὶ εἶπον, πορευθῶμεν, ϗ λατρεύσωμεν „θεοῖς ἀγνώςοις, εὐθέως ἀνελεῖς ἐν φόνῳ μαχαίρας πάντας τȣ̀ς κα„τοικȣ̃ντας τὴν πόλιν ἐκείνην, ϗ ἀπολέσεις αὐτὴν, ϗ πάντα τὰ ἐν „αὐτῇ ϗ τὰ κτήνη. Περὶ δὲ τȣ́τȣ προβάλλει τὸν Βολιγγβροόκιον, λέγοντα· „Τȣ̃τό ἐςι τὸ πλήρωμα τῆς βαρβαροαφροσύνης, τὸ φονοκ„τον σαι. πάντας τȣ̀ς κατοικȣ̃ντας τὴν ἀνήκȣσάν σοι πόλιν διὰ τὸ τί„νὰς τῶν ἐν αὐτῇ πολιτῶν μὴ εἶναι ὁμοθρήσκȣς σοι.

Προκείσθω τὸ ῥητὸν, ὅπως ἂν ἴδωμεν, ἐὰν ὁ λόγος ἀφορᾷ εἰς

τὸ

τὸ ἁμάρτημα ἐνίων μόνον πολιτῶν. „Ἐὰν ἀκούσῃς ἐν μιᾷ τῶν πόλεων, „ὧν ὁ Κύριος δίδωσί σοι, λεγόντων· ἄνδρες παράνομοι ἀπέστησαν πάν- „τας τοὺς κατοικοῦντας τὴν πόλιν, λέγοντες, πορευθῶμεν, καὶ λατρεύ- „σωμεν Θεοῖς ἑτέροις. ἐτάσεις, καὶ ἐρωτήσεις, καὶ ἐρευνήσεις σφόδρα, „καὶ ἰδὲ ἀληθὴς σαφῶς ὁ λόγος, γεγένηται τοῦτο τὸ βδέλυγμα ἐν ὑ- „μῖν, ἀναιρῶν ἀνελεῖς πάντας τοὺς κατοικοῦντας τὴν πόλιν ἐκείνην ἐν φό- „νῳ μαχαίρας, καὶ καθελεῖς αὐτήν.„ Ὁρῶμεν, ὅτι τὸ ῥηθὲν τοῦτο διαλαμβάνει οὐχὶ περί τινων πολιτῶν ἁμαρτίας, ἀλλὰ περὶ κοινῆς τῶν τὴν πόλιν κατοικούντων ἀποστασίας. ταῦτα δὲ τὰ ῥήματα ἐσιώπησεν οὕτως, ὁμοίως καὶ τὰ ἑξῆς. „Ἐλάσεις, καὶ ἐρωτήσεις, καὶ ἐρευνήσεις σφόδρα, κτ. ἵνα παραστήσῃ τὸν νόμον κελεύοντα ἀπολεσθῆναι πᾶσαν τὴν πόλιν, ἐ- πειδὰν ἀκουσθῇ τὸ, ὅτι πονηροί τινες ἄνθρωποι εἶπον· πορευθῶμεν, καὶ λατρεύσωμεν Θεοῖς ἀγνώστοις. Τὴν ἀποστασίαν οἱ Ἰουδαῖοι ἐλογίζοντο οὐ μόνον ἁμάρτημα κατὰ τῆς θρησκείας, ἀλλὰ καὶ προδοσίαν τῆς ἐ- πικρατείας, ἧς ὁ τῶν ἁπάντων δεσπότης Θεὸς ἠξίωσεν ἀνακηρύξαι ἑ- αυτὸν ἐξουσιαστήν.

6. „Ἄλλη ἔνστασις. Ἡ μὲν Βουλγάτα ἀριθμεῖ ἔτη τριακόσια καὶ „πεντήκοντα ἀπὸ τῆς τελευτῆς τοῦ Μωϋσέως ἄχρι τῆς τοῦ Σαοὺλ ἐκ- „λογῆς, ἄλλοι δὲ πολλῷ πλείονα. Πῶς οὖν ὁ Μωϋσῆς τότε, ὅτε ὁ „Θεὸς μόνος ἦν Βασιλεὺς τῶν Ἰουδαίων, ἠδύνατο λαλεῖν περὶ Βασι- „λέων;

Περιπεπλεγμένον ἦν τὸ ζήτημα, ἐὰν ὁ Μωϋσῆς ἐλάλει περὶ ἐνεστώτων Βασιλέων, αὐτὸς ὅμως ἐλάλησε περὶ τῶν μελλόντων, ὡς Deut. 17. 14. ἐν μιᾷ τῶν ἡμερῶν ζητῆσαι ἔμελλον οἱ Ἰσραηλῖται, φήσας τοὺς θεμε- κτ. λιώδεις νόμους περὶ τῆς τούτων ἐκλογῆς, καὶ περὶ τῆς τῶν ὁρίων αὐτῶν ἐξουσίας. τοιοῦτος δέ ἐστιν ὁ τοῦ Φρονίμου νομοθέτου χαρακτήρ. οὗτος οὐ μόνον καθιεροῖ τὴν ἰδίαν Φροντίδα περὶ τῶν ἐνεστώτων, ἀλλὰ προνοεῖ καὶ περὶ τῶν μελλόντων. πολλῷ ἂν μᾶλλον τοιοῦτον ἔδει εἶναι τὸν χα- ρακτῆρα τοῦ Μωϋσέως, τοῦ πρώτου καὶ μείζονος τῶν Προφητῶν, τοῦ καὶ ἰδόντος καὶ προαγορεύσαντος πάντα τὰ τῷ λαῷ αὐτοῦ συμβάντα ἄχρι τῆς τελείας αὐτοῦ καταστροφῆς.

7. „Ἐν τῇ ἐρήμῳ, φησὶν ὁ αὐτὸς, καὶ ἐν τῇ Χαναὰν οὐκ ἦν ἐπι- „τεταμμένον τοῖς Ἰουδαίοις πολεμεῖν, εἰμὴ τοὺς ἀλλοφύλους. ἀπηγόρευ- „το δὲ αὐτοῖς μετὰ ἀπειλῆς θανάτου ἀλλοφύλοις συζεύγνυσθαι γυναι- „ξί. καὶ ὅμως ἰδοὺ τὸ Δευτερονόμιον ἐπιτρέπον αὐτοῖς τὸν μετ' αὐτῶν „γάμον. τοῦ δὲ γάμου μόνη τελεία ἦν τὸ μετ' αὐτῶν συγκαθευδῆσαι.

Ἄθλιος κριτικὸς, μὴ εἰδὼς, ὅτι ἡ μὲν ἀπαγόρευσις τοῦ γάμου τῶν ἀλλοφύλων ἐσκόπει μόνας τὰς Χαναναίας, καὶ Μωαβίτιδας, καὶ Ex 34, 11 — 16.

Δευτ. 20.17. Ἀμμωνίτιδας γυναῖκας. ἡ δὲ τῦ θανάτυ ποινὴ ὥρισο κατὰ μόνων τῶν συζευγνυμένων μετὰ τῶν ἑπτὰ Χαναναίων λαῶν, τῶν τῷ ἀναθέματι παραδοθέντων. ἑπομένως δὲ ἐξῆν αὐτοῖς λαμβάνειν γυναῖκας Ἰσμαηλίτιδας, Ἰδυμαίας, Ἀραμαίας, κτ. μάλιςα ὅτε ὐδεὶς ἦν Φόβ☉, μήτι αἱ τοιαῦται γυναῖκες ἀναγκάσωσιν αὐτὸς εἰδωλολατρεύειν. τῦτο δὲ ὐδὲ νοήσειεν ἄντις περὶ γυναικῶν αἰχμαλώτων, ὑσερημένων μὲν πάσης τῆς μετὰ τῆς πατρίδας αὐτῶν συγκοινωνίας, διαλελθαμένων δὲ ὑπὸ τῆς καταςάσεως αὐτῶν τὴν τῶν δεσποτῶν αὐτῶν θρησκείαν ἐναγκαλίσασθαι, μᾶλλον ἢ ἀνυδάζειν ἐφελκύσαι αὐτὸς πρὸς τὰς ἰδίας δεισιδαιμονίας.

ΆΡΘΡΟΝ, Ε'.

Περὶ τῦ ἐὰν τὸ Δευτερονόμιον ὐκ ἐγράφη εἰ μὴ μετὰ τὴν τῆς Σαμαρείας πολιορκίαν.

1. „Ἡ μείζων κατάρα, λέγει ὁ αὐτὸς, τῶν ἐν τῷ Δευτερονομίῳ „περιεχομένων ἐςὶν ἡ τῦ φαγεῖν τὰ τέκνα αὐτῶν. τῦτο δὲ συνέβη „αὐτοῖς. ὡς ἡ περὶ αὐτῶν ἱςορία ἐπιβεβαιοῖ, ἐν τῇ τῆς Σαμαρείας „ἑξάτῃ πολιορκίᾳ. ἀλλαμὴν ὁ μέγας ἱερεὺς ὁ Χελκίας ὐχ εὗρε τὴν „Πενταπεύχον, εἰμὴ ἔτη περίπυ ὀκτακόσια μετὰ τὴν ῥηθεῖσαν πο„λιορκίαν. τῦτο ἄρα ἐνδελῶς πείθα, ὅτι εἷς τῶν Λευίτων συνέγρα„ψεν ὅλον τὸ Δευτερονόμιον, ὅσις ᾗ εὐχερῶς μετὰ τὴν ἔκβασιν προ„εῖπε τὰ τῆς πολιορκίας ἐκείνης φοβητρα.

Τοιῦτόν ἐςι τὸ κατὰ τῦ Δευτερονομίυ ἕκατον τῦ ἀπίςυ νεανίευμα. ἀλλ' ἀπέδειξα ἐν τῇ τῦ κεφαλαίυ τύτυ ἀρχῇ, ὅτι τὸ Δευτερονόμιον ἐμνημονεύθη ῥητῶς πρὸ τῆς ἐν Σαμαρείᾳ πολιορκίας, ὐ μόνον ἐπὶ τῆς Βασιλείας Ἀμασίυ, τῆς προϋπαρξάσης διακοσια ἔτη πρὸ τῆς Ἀρχιερατείας τῦ Χελκίυ, ἀλλὰ ☪ ἐν τοῖς τῦ Ἰησῦ χρόνοις. ἑπομένως πόνημά ἐςι Προφήτυ ταῦτα προειπόντος τὰ φοβητρα, τῆς τύτων ἐκβάσεως πολλῷ πρότερον. τὸ ὖν ἀνεπιβόλως τοξευθὲν ὑπὸ τῦ κριτικῦ βέλ☉, ἐπ' αὐτὸν ἐπαναςρέφει. τοσῦτον δὲ ὖτ☉ ἐδυςύχησεν ἐρευνῶν τὴν περὶ τῶν Ἰδαίων ἱςορίαν, ὥςε συνέχεε τὴν τῆς Σαμαρείας πολιορκίαν, τὴν γενομένην ἐπὶ Ἰορὰμ Βασιλέως Ἰσραὴλ ὑπὸ Βενάδαδ Βασιλέως τῆς Συρίας, τῦ ᾗ ἆραι αὐτὴν ἀναγκαθέντος, ☪ μετὰ αἰχύνης φυγεῖν, τῇ ἐπὶ Ὡσηὲ ἑξάτῃ πολιορκίᾳ τῆς αὐτῆς πόλεως, τῇ τέλος χύσῃ διὰ τῆς τελείας καταςροφῆς τῆς τῦ Ἰσραὴλ
Βασ. 6.28.29. Βασιλείας, ☪ τῆς καθολικῆς τῶν δέκα φυλῶν διασορᾶς. Ἐν τῇ πρώτῃ πολιορκίᾳ βλέπομεν γυναῖκά τινα ἐποδυρομένην τῷ Ἰορὰμ κα-

τὰ

τὰ τῆς γείτονος αὐτῆς, ὡς μὴ βουλομένης ἀποκτεῖναι τὸν υἱὸν αὐτῆς, ἵνα φάγῃ αὐτὸν μετ' αὐτῆς, κἂν αὐτὴ πρώτη τὴν προλαβοῦσαν ἡμέραν ἔδωκεν αὐτῇ μέρος τοῦ κρέατος τοῦ υἱοῦ αὐτῆς, ὃν ἀπέκτεινον καὶ συνέφαγον. οὐδὲν δὲ τοιοῦτον εὑρίσκεται ἐν τοῖς ἱεροῖς βιβλίοις ἐν τῇ περὶ τῆς ἐσχάτης πολιορκίας διηγήσει. ἐναντίον δὲ πάσης ἀληθείας ἐστὶν ὅπερ αὐτὸς λέγει, εἴτουν τὸ, ὅτι ἡ περὶ τῶν Ἰουδαίων ἱστορία τοῦτο ἐπιβεβαιοῖ. Αἱ δὲ ἐν τῷ Δευτερονομίῳ κατάραι οὐδεμίαν ἔχουσι σχέσιν πρὸς τὴν πρώτην τῆς Σαμαρείας πολιορκίαν. αὕτη γὰρ ἐγένετο ὑπὸ ἔθνους οὐ μακρόθεν ἐλθόντος, ὡς ἐκτίθησι τὸ Δευτερονόμιον, ἀλλ' ὑπὸ τοῦ ἔγγιστα ὄντος Βασιλέως τῆς Δαμασκοῦ. ἥτις διεπεράνθη οὐ διὰ τῆς τῶν Ἰσραηλιτῶν καταστροφῆς τε καὶ διασπορᾶς, ἀλλὰ διὰ τῆς τῶν ἐχθρῶν αὐτῶν διαφθορᾶς καὶ φυγῆς. οὐκ ἄρα ζητητέον τὴν κατὰ τὸ γράμμα ἐκπλήρωσιν τῶν ὑπὸ τοῦ Δευτερονομίου ἐκφωνουμένων ἀρῶν ἐν ταῖς τῆς Σαμαρείας, ἀλλ' ἐν ταῖς τῆς Ἱερουσαλὴμ δυσὶ πολιορκίαις, τουτέστιν ἔντε τῇ ὑπὸ τοῦ Ναβουχοδονόσορ, κἂν τῇ ὑπὸ Τίτου γενομένῃ. Ὁ Ἱερεμίας λαλῶν περὶ τῆς πρώτης, σημειοῖ τάδε. „Χεῖρες γυ„ναικῶν οἰκτιρμόνων ἥψησαν τὰ παιδία αὐτῶν, ἐγενήθησαν εἰς βρῶ„σιν αὐταῖς ἐν τῷ συντρίμματι τῆς θυγατρὸς τοῦ Λαοῦ μου. Τὶ δὲ πε„ρὶ τῆς δευτέρας διηγεῖται ὁ ἱστορικὸς Ἰώσηπος, τοῖς πᾶσι δῆλον.

4. Βασ. 17. 6.

Δευτ. 28. 49. 50.

Θρην. 4. 10. Βαρ. 2. 3.

Γωσ. β. 6. κ. 21. περί πολ

ΚΕΦΑ'ΛΑΙΟΝ Γ'.

Περὶ τοῦ τῶν Ἀριθμῶν βιβλίου

Ἄ Ρ Θ Ρ Ο Ν Α'.

Ἐν ᾧ αἱ ἀποδείξεις τοῦ κύρους τῆς τῶν Ἀριθμῶν βίβλου.

1. Ὁρῶμεν κατὰ τὸν πρῶτον τοῦ χριστιανικοῦ ἔτους αἰῶνα τὸν μὲν Ἰώσηπον μεταγράφοντα ἐν ταῖς ἀρχαιολογίαις αὐτοῦ ὅλον τὸ τῶν Ἀριθμῶν βιβλίον, τὸν δὲ συγγραφέα τῆς ἀποκαλύψεως, καὶ τοὺς ἁγίους Ἀποστόλους Πέτρον καὶ Ἰούδαν προτιθεμένους τὰ περὶ τοῦ Βαλαὰμ μετὰ πασῶν τῶν περιστάσεων, τῶν ἐν τῷ αὐτῷ σεσημειωμένων βιβλίῳ. τελευταῖον δὲ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἐξ αὐτοῦ ἐξήγαγε τὰ τοῦ Χαλκοῦ ὄφεως, τοῦ ὑπὸ τοῦ Μωϋσέως ἐν τῇ ἐρήμῳ ὑψωθέντος. ἀπὸ δὲ τοῦ ἔτους τοῦ Ἰησοῦ Χριστοῦ ἀνιόντες ἄχρι τῶν πρώτων τῆς Ἰουδαικῆς Ἀριστοκρατίας χρόνων, εὑρίσκομεν ἅπαντας περὶ τοῦ κύρους τοῦ τῶν Ἀριθμῶν βιβλίου μαρτυροῦντας. Τὸ μὲν πρῶτον βιβλίον τῶν Μακκαβαίων ἀναμιμνήσκει τὸ εἰρημένον ὑπὸ τοῦ δὲ τοῦ βιβλίου περὶ τοῦ ζήλου τοῦ Φι-

Γωσ. β. 3. καὶ 4. Ἀρχ. Ἀποκ. 2. 14. 1. Πετρ. 2. 15. κτ. Ἰούδ. 11. Γωάνν. 3. 14. 1. Μακκ. 2. 54.

Ἀριθ. 25. νεὲς, καὶ τῆς ἀνταποδόσεως, ἣν αὐτὸς ἔλαβε. τὸ δὲ τοῦ Σειρὰχ προ-
Σειρ. 45. 23. κτ. τείνει ἀκριβῆ περίληψιν τῆς αὐτῆς ὑποθέσεως, προσέτι δὲ καὶ τὴν τοῦ
Ἀριθ. 16, 16. 18. δεκάτου ἕκτου, δεκάτου ἑβδόμου, καὶ δεκάτου ὀγδόου κεφαλαίου τῶν περιε-
Ἀριθ. 22, 13. 24. χόντων τὰ περὶ τοῦ Κορὲ, καὶ τὰ μετὰ ταῦτα συμβάντα. ὁδὲ Μιχαί-
Μιχ. 6. 5. ας ἐν ταῖς Προφητείαις, καὶ ὁ Νεεμίας ἐν τῷ βιβλίῳ αὐτοῦ τὴν τοῦ Βα-
Νεεμ. 13. 2. σιλέως Μωὰβ ἀποστολὴν πρὸς Βαλαὰμ, καὶ τὴν τούτου ἀπόκρισιν οὕτω
παρατίθεντο, ὡς κεῖνται καὶ ἀναγινώσκοντο ἐν τῷ τῶν Ἀριθμῶν βιβλίῳ.
Ἀριθ. 21. 6. τὸ δὲ ἐν τῷ αὐτῷ βιβλίῳ λεγόμενον περὶ τῶν πτερωτῶν ((232) ὄφε-
ων, τῶν τοῖς δήγμασιν αὐτῶν ἀποκτεινάντων τοσοῦτον πλῆθος Ἰσραη-
λιτῶν, καὶ περὶ τοῦ Χαλκοῦ ὄφεως, τοῦ διὰ τοῦτο ὑπὸ τοῦ Μωϋσέως ὑ-
4. Βασ. 18. 4. ψωθέντος, ἐπαναλαμβάνει τό,τε τέταρτον τῶν Βασιλειῶν, καὶ τὸ
Ὠσ. 9. 10. τῆς Ἰουδὶθ βιβλίον. (233) Ὁ μὲν Ὠσηὲ τίθησιν ἐνώπιον τῶν ὀφθαλ-
Ἀριθ. 25. 6. μῶν τῶν Ἰσραηλιτῶν τὰ τεχνουργήματα, ἅπερ μετῆλθον αἱ Μαδια-
νιτίδες πρὸς τὸ ἐφελκύσαι τοὺς πατέρας αὐτῶν ἐπὶ τὴν τοῦ Βεελφε-
Ψαλ. 105. 17. 18. γὼρ λατρείαν. ὁ δὲ Δαβὶδ ἐν τῷ Ψαλμῷ, τῷ ἐν τῇ τελετῇ τῆς με-
τακομιδῆς τῆς Κιβωτοῦ ψαλέντι ἐπισυνάπτει τὸ αὐτὸ ἔργον τῇ τοῦ Δα-
θὰν καὶ Ἀβειρὼν ἐπαναστάσει, καὶ τοῖς διαφόροις τῶν Ἰσραηλιτῶν γογ-
Τωβ. 7. 13. γυσμοῖς. Ὁ μὲν Ῥαγουὴλ ἐν τῷ τοῦ Τωβὶτ βιβλίῳ ἀναφέρει ὡς νό-
Ἀριθ. 36. 6. μον Μωσαϊκὸν, τὸν ἐν τῷ βιβλίῳ τῶν Ἀριθμῶν τοῖς Ἑβραίοις περὶ
γάμων παραδοθέντα νόμον. Ὁ δὲ Ἰησοῦς ἐν τῇ πρὸς τοὺς Ἰσραηλίτας
ὁμιλίᾳ προβάλλει ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν τὸ ἐν τῷ αὐτῷ
βιβλίῳ περὶ τοῦ Βαλαὰμ καὶ τῆς τῶν Μαδιανιτῶν καταστροφῆς ἱστορού-
Δευτ. 1, 2, 3, κτ. μενον. τελευταῖον δὲ, τὸ Δευτερονόμιον ἐπαναλαμβάνει τὸ ὑπὸ τοῦ
αὐτοῦ βιβλίου εἰρημένον περὶ τῶν ἐκστρατειῶν τῶν Ἑβραίων, τῆς ἀπο-
στολῆς τῶν κατασκόπων, τῆς καταστροφῆς τῶν Βασιλέων τῶν Ἀμορ-
ραίων, καὶ τῆς Βασὰν, ἐξόχως δὲ τῆς ἐπαναστάσεως τοῦ Κορὲ, καὶ Δα-
Δευτ. 11, 6. 7. θὰν, καὶ Ἀβειρὼν, καὶ τῆς τοῦ Βαλαὰμ προφητείας. „Μνήσθητε, λέ-
„γει ὁ Μωϋσῆς, ὅσα ἐποίησε τῷ Δαθὰν καὶ Ἀβειρών.... οὓς ἀνοί-
„ξασσα ἡ γῆ τὸ στόμα αὐτῆς κατέπιεν αὐτοὺς, καὶ τοὺς οἴκους αὐτῶν,
„καὶ τὰς σκηνὰς αὐτῶν, καὶ πᾶσαν τὴν ὑπόστασιν τὴν μετ' αὐτῶν. οἱ ὀφ-
„θαλμοὶ ὑμῶν ἑώρακαν πάντα τὰ ἔργα Κυρίου τὰ μεγάλα. Καὶ ἀλ-
Δευτ. 23. 4, 5. „λαχοῦ. Καὶ ἐμισθώσαντο τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἐκ τῆς Μεσοποτα-
„μίας καταρᾶσθαί σε. καὶ οὐκ ἠθέλησε Κύριος ὁ Θεός σου εἰσακοῦσαι τοῦ
„Βαλαάμ. Καὶ μετέστρεψε Κύριος ὁ Θεὸς τὰς κατάρας εἰς εὐλο-
„γίας, ὅτι ἠγάπησέ σε Κύριος ὁ Θεός σου.

ΑΡ-

Ἄρθρον Β'.

Περὶ τȣ̃ ἐὰν ἡ περὶ τȣ̃ Κορὲ ἱςορία ȣ̓κ ἐγράφη εἰμὴ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπιςροφὴν, ἡ δὲ τȣ̃ Βαλαὰμ προφητεία μετὰ τὰς τȣ̃ Ἀλεξάνδρȣ κτήσεις.

1. Τὶς ἂν πιςεύσειεν, ὅτι μετὰ τὴν τοσȣ̃τον βεβαίαν παράδοσιν, ϗ τὰς τοσȣ̃τον σαφεῖς μαρτυρίας εὑρέθη ἄνθρωπος τοσȣ̃τον παράλοιος, „ὥςε εἰπεῖν, ὅτι ἡ μὲν περὶ τȣ̃ Κορὲ ἱςορία, μία ϗ ἡ αὐτὴ ȣ̓σα τῇ „τȣ̃ Δαθὰν ϗ Ἀβειρὼν, ȣ̓ συνεγράφη, εἰ μὴ ὅτε μετὰ τὴν αἰχ„μαλωσίαν τῆς Βαβυλῶνος διεδικάζοντο ἐν Ἱερȣσαλὴμ ὑπὲρ τȣ̃ τό„πȣ τȣ̃ μεγάλȣ Ἱερέως. ἡ δὲ περὶ τȣ̃ Βαλαὰμ πολλῷ ὕςερον, ἥτις „εἰσήχθη ἐν τῇ Πεντατεύχῳ μετὰ τὰς τȣ̃ Ἀλεξάνδρȣ κτήσεις; Τȣ̃„το ὅμως ἔγραψεν ὁ ὑπ' ἐμȣ̃ ἀνασκευαζόμενος συγγραφεύς.

Κατὰ τȣ̃το ȣ̓ μόνον τὰ βιβλία τȣ̃ Ἔσδρα, αἱ τȣ̃ Μιχαίȣ ϗ Ὠσηὲ προφητεῖαι, οἱ ὑπὸ τȣ̃ Δαβὶδ συντεθέντες Ψαλμοὶ, ϗ ἐν τῇ μετακομιδῇ τῆς Κιβωτȣ̃ ψαλέντες, ἀλλὰ ϗ τὸ τȣ̃ Ἰησȣ̃ βιβλίον, ϗ αὐτὸ τὸ Δευτερονόμιον, τὰ τῆς περὶ τȣ̃ Κορὲ ϗ Βαλαὰμ ἱςορίας μνημονεύοντα, ȣ̓ συνεγράφησαν εἰ μὴ ἕνα αἰῶνα ϗ ἐπέκεινα μετὰ τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἐπιςροφὴν, βέλτιον δὲ φάναι, μετὰ τὰς τȣ̃ Ἀλεξάνδρȣ κτήσεις. ἀλλὰ πλὴν τῶν ἀναντιῤῥήτων ἀποδείξεων, δι' ὧν τὸ τῶν βιβλίων τȣ́των κῦρος, ϗ τὴν παλαιὰν αὐτῶν ἀρχαιότητα ἐςηρίξαμεν, ȣ̓κ ἠκȣ́σαμεν τὸν ἄπιςον λέγοντα, ὅτι ἡ Πεντάτευχος, ἐξόχως δὲ τὸ Δευτερονόμιον ὑπῆρχον ἐν τοῖς τȣ̃ Ἰωσίȣ χρόνοις; Καὶ ἀλλαχȣ̃ πάλιν, ὅτι τὰ βιβλία ταῦτα, ϗ τὸ τȣ̃ Ἰησȣ̃, τῆς Ῥȣ̀θ, ϗ τῶν Κριτῶν εἰσὶ προγενέςερα τȣ̃ Ἡροδότȣ, ϗ αὐτȣ̃ τȣ̃ Ὁμήρȣ; τȣ́των δὲ ὁ μὲν ἤκμαζεν ἔτη ἑκατὸν πρὸ τȣ̃ Ἀλεξάνδρȣ, ὁ δὲ ἔτη ϗεδὸν τετρακόσια πρὸ τῆς αἰχμαλωσίας. Ποίῳ ȣ̓ν σκοτοδινιάσεως πνεύματι ȣ̓τος ἰσχυρῶς ὢν συνδεδεμένος, αὐτὸς ἑαυτῷ διαπαντὸς ἀντέφασκεν; αὔξει ἡ περὶ τȣ́τȣ ἀπορία, ὅταν τȣ̀ς λόγȣς, ἐφ' οἷς ςηρίζεται, ζυγοςατήσωμεν· Ἰδȣ̀ ὁ ὑπ' αὐτȣ̃ προτεινόμενος λόγος πρὸς τὸ πεῖσαι, ὅτι ἡ περὶ τȣ̃ Κορὲ ἱςορία κατεσκευάσθη, ὅτε ἐπὶ τῆς Βασιλείας Ἀρταξέρξȣ τȣ̃ Μνήμονος ὁ Ἰησȣ̃ς διαδικαζόμενος περὶ τῆς Ἱερωσύνης Ἰωάννῃ τῷ ἀδελφῷ αὐτȣ̃, ἀπέκτεινεν αὐτὸν ἐν τῷ ναῷ.

Ἐν σημ. 12. εἰς τὸ Δευτερ.

Σημ. 1. ϗ 2. εἰς τὴν Ἡȣθ.

Ἰωσ. β. 11. κ. 7. Ἀρχ.

„Ὑποτίθεται, φησὶν αὐτὸς, ὅτε τότε Ἰȣδαῖός τις τὴν ἱςορίαν „ταύτην συνέγραψεν, ἵνα τὴν Ἱερωσύνην σεβασμιωτέραν ἀναδείξῃ.

Ἀλλ'

Ἀλλ᾽ ἡ κατὰ τὸν Ἀαρὼν ἐπανάστασις τοῦ Κορὲ καὶ τῶν συμφατριαστῶν αὐτοῦ ὑδεμίαν ἔχει πρόσχεσιν πρὸς τὴν φιλονεικίαν τοῦ μεγάλου Ἱερέως Ἰωάννου ἢ τοῦ ἀδελφοῦ αὐτοῦ Ἰησοῦ. διότι ἑκάτερος αὐτῶν κατήγετο ἐκ τῆς τοῦ Ἀαρὼν πατριᾶς, διὸ ὑδέτερος ὠφελεῖτο ἐκ τοῦ πίθεσθαι τὸν Κορὲ ὑρανόθεν παιδευθέντα, ὡς ἁρπάσαι θελήσαντα τὸ θυμιατήριον. ἡ δὲ ποινὴ τότου τοῦ Λευίτου ὑδὲν περὶ τῶν δύο διαδικαζομένων ἀπεφαίνετο. πρὸς τούτοις πιθανόν ἐστι τὸ, ὅτι μετὰ τὴν ἀπὸ τῆς Βαβυλῶνος ἐπιστροφὴν ἀκμὴν ἐσώζοντο μεταξὺ τῶν Λευιτῶν
Ἀριθ. 26. 11. 1. Παρ. 6. 10, 2. Παρ. 20. 19 Ἔσδ. 14. ἀπόγονοι τοῦ Κορέ. διότι ἡ πατριὰ αὐτη, ἡ μηδαμῶς μεταχθεῖσα τῆς ἐπαναστάσεως τοῦ ἀρχηγοῦ αὐτῆς, ἐξετέλει ἀναμφιβόλως κατ᾽ ἀκολουθίαν τὰς Λευιτικὰς τελετὰς. ἢ ἡτοίμαζεν ἄσματα πρὸς ὑπηρεσίαν τοῦ ναοῦ. ἀλλὰ ἢ οἱ Ψαλμοὶ, ὅτε τεσσαρακοστὸς τέταρτος, ἢ ὁ ὀγδοηκοστὸς τέταρτος, ἢ ὀγδοηκοστὸς ἕκτος, οἱ δοκοῦντες συγγεγραμμένοι μετὰ τὴν ἅλωσιν, ἐπιφέρουσι τὸ τῶν υἱῶν τοῦ Κορὲ ὄνομα. ὑπέφερον ἂν ἄραγε οἱ Λευῖται ὅτοι ἐξαλοιωθῆναι τὸ τῶν ἀριθμῶν βιβλίον διὰ τῆς εἰσαγωγῆς μύθου τινὸς, ὀνειδισμῷ περικαλύπτοντος τὴν τοῦ κοινοῦ πατρὸς αὐτῶν μνήμην;

2. Μὴ ἐγκαλέσωμεν τὰς τοῦ κριτικοῦ ἀποδείξεις· „Ἡ λέξις,
Ἀριθ. 26. 9. „φησὶν αὐλὸς, Συναγωγὴ, δείκνυσι τὸ βιβλίον τοῦτο συνεθεμένον „ἐν τῷ τῆς Συναγωγῆς καιρῷ, οὐχὶ δὲ ἐν τῇ ἐρήμῳ, ὅπου οὐκ ἦν Συ„ναγωγή. ἐξέφυγεν ἡ λέξις αὕτη τὸν ψευδοπλάστην, τὸν ἐπιγρά„ψαντα τὸ πόνημα τοῦτο τῷ τοῦ Μωϋσέως ὀνόματι.

Ἐνταῦθα ἡ αὐθάδεια ἴση ἐστὶ τῇ ἀμαθείᾳ. διότι τίς ἀγνοεῖ, ὅτι ἡ μὲν λέξις συναγωγὴ ἐστὶν ἑλληνικὴ, σύναξιν σημαίνουσα, οἱ δὲ Ἑβραῖοι ἐν τῇ ἐρήμῳ στρατοπεδεύοντες, ἐξ ἀνάγκης ἦσαν συνηγμένοι; ἐλήφθη δὲ αὕτη ὑπό τε τῆς ἑλληνικῆς μεταφράσεως ἢ τῆς Βυλγάτης εἰς τὸ σημαίνειν οὐκ οἰκοδόμημά τι, ὅπερ Συναγωγὴν καλοῦμεν, ἀλλὰ πᾶν τὸ Ἰουδαϊκὸν γένος.

3. Σκεψώμεθα νῦν τὴν ἀπόδειξιν, ἐφ᾽ ᾗς αὐτὸς στηριζόμενος, λέγει, ὅτι ἡ περὶ τοῦ Βαλαὰμ ἱστορία ὑ συνεγράφη, εἰ μὴ μετὰ τὰς τοῦ Ἀλεξάνδρου κτήσεις. „Ὁ συγγραφεὺς, φησὶν αὐτὸς, λαλῶν πε„ρὶ Κηττιὶμ, ἤτις, ὡς διισχυρίζονται, (234) ἐστὶν ἡ Ἑλλὰς, λέγει, „ὅτι ὁ Ἀλέξανδρος εἶχε στόλον κατὰ τοῦ Δαρὰχ, (235) ὃν ἡμεῖς „καλοῦμεν Δαρεῖον.

Ἵνα τὴν τοῦ συλλογισμοῦ τούτου δύναμιν καταγνοήσῃς, παράβαλλε αὐτὸν τῇ τοῦ βιβλίου τῶν ἀριθμῶν ῥήσει· „Ἐλεύσονται ἐκ χώρας Κη„τιὶμ καὶ ναυσί. αὐτοὶ ταπεινώσουσιν Ἀσσυρίους, καθελοῦσιν Ἑβραίους, „καὶ αὐτοὶ τελευταῖον ὁμοθυμαδὸν ἀπολοῦνται), (236) Ἰδοὺ, ἔφη ὁ ἄπι-

ος,

„ς, προλέγουσι τὰ ἐν τῇ Ἀσίᾳ κλήματα τῶν Ἑλλήνων, περὶ ὧν
„προφητεῦσαι πρὶν τῆς ἐκβάσεως ἦν ἀδύνατον· τὸ βιβλίον ἄρα τὸ
„τὴν πρόρρησιν ταύτην περιέχον μεταγενέστερόν ἐστι τῶν τοῦ Ἀλεξάν-
„δρου κτήσεων.

Ἀλλὰ διατί ἴσασι ἐν ὀλίγῳ τοσοῦτον εὐδοκιμήσαν; διὰ τί δὲ συμπεραίνεται, ὅτι τὸ βιβλίον τοῦτο δὲ συνεγράφη εἰμὴ ἐπὶ τῆς Βασιλείας τοῦ Αὐγούστου, μετὰ τὴν καταστροφὴν τῆς τῶν Σελευκίδων καὶ Πτολεμαίων Βασιλείας; ὁ Προφήτης προλέγει δὲ μόνον τὰς τῶν Κητταίων νίκας κατά τε τῶν Ἀσσυρίων, καὶ τῶν τοῦ Ἕβερ ἀπογόνων, ἀλλὰ πρὸς τούτοις καὶ τὸν τέλειον ἀφανισμὸν τῆς Βασιλείας, τῆς ὑπὸ τῶν κτητόρων τούτων συσταθείσης, προσθεὶς τὸ, καὶ αὐτοὶ τελευταῖον ὁμοθυμαδὸν ἀπολοῦνται. ἀλλαμὴν ἡ Βασιλεία τῶν Ἑλλήνων, τῶν τοῦ Ἀλεξάνδρου διαδόχων, ἐπήρκεσεν ἄχρι τῆς τοῦ Αὐγούστου Βασιλείας, ἆρα τὸ τῶν Ἑβδομήκοντα βιβλίον, καὶ ἡ ἐν αὐτῷ περιεχομένη προφητεία δὲ συνεγράφησαν εἰμὴ ἐπὶ Αὐγούστου. τοιαῦτά εἰσι τὰ ἀφυκτως ἑπόμενα ἄτοπα ἐκ τῆς καλῆς ἀρχῆς, ἣν οἱ ἄπιστοι τίθενται, λέγοντες ὅτι δὲ δεῖ πιστεύειν, ὡς οἱ τῆς παλαιᾶς Διαθήκης συγγραφεῖς εἶχον πνεῦμα προφητείας, ἢ ἔμπνευσιν θείαν. (237).

ΛΟΓΟΣ Γ.

Ἐν ᾧ αἱ μάθαιαι τοῦ κριτικοῦ ἐνστάσεις.

1. Μεταβῶμεν ἐπὶ τὰς ἄλλας δυσκολίας. εὐθὺς κατ' ἀρχὰς κακὸν νομίζει ὅτι τὸ τοῦ νόμου θεσπισμα, τὸ περὶ τοῦ χωρίζεσθαι ἐκ τῶν θαπτόντων νεκρὸν, καὶ ἐκ τῶν γονορρυῶν. δηλώσας δὲ τῆς γονορροίας τὰς θεραπείας, ἀφορμὴν ἐκ τούτου λαβὼν, προσδιαλέγεται περὶ τῶν φυσικῶν αὐτῆς ἰδιωμάτων, καὶ περὶ τῆς ἐκ τοῦ ἀφροδισίου νοσήματος γινομένης ῥοῆς. ἐν ταύτῃ δὲ τῇ ὑποθέσει καταλιπόντες τὰς λεπτομερεῖς περιγραφὰς, τὰς μὴ ἡμῖν, ἀλλὰ μόνῳ χειρουργίας γυμνασίῳ ἀνηκούσας, παρατηρήσωμεν, ὅτι τὰ ὁμοειδῆ νοσήματα προσεπικτῶνται διάφορα ἰδιώματα κατὰ τὴν τῶν κλιμάτων διαφοράν. ὅθεν τὰ ἀμεταδοτα ἐν ταῖς τῶν Ἀλπεων ὑπωρείαις, μεταδοτικὰ γενέσθαι δύνανται ἐν τῇ Ἀραβίᾳ. ὑδεὶς δὲ τῶν εὐφρονούντων πέπεισται, ὅτι ὁ Μωϋσῆς διὰ ψιλὰ τῆς φαντασίας αὐτοῦ ἐφευρέματα ἄνευ λόγων εἰς τὴν εὐταξίαν ἀφορώντων καὶ τὴν θρησκείαν, (238) αὐστηρὸς διέταξεν ὅρους περὶ τῶν νομικῶν ἀκαθαρσιῶν.

2. Ὅτε ὁ Καλμέτον ἐπέκρινεν, ἐξέφυγε τότε τὸ σώμα-

τος

τος αὐτȣ τὰ ῥήματα ταῦτα· „Οἱ Ιȣδαῖοι ἐν τῇ ἐρήμῳ ȣ̓κ εἶχον το εκ „τῶν Ἰνδιῶν μετακομιζόμενον σάκχαρ.

Εὐγέν. ὁ Ῥ' ὀγερ πι. β. 2. κ. 2. περιγρ. τῆς ἁγίας γῆς.

Ἀλλ' ἐγὼ ἀνέγνων βιβλίον, διαλαμβάνον, ὅτι ὀλίγη τȣ́τȣ ποσότης εὑρίσκεται πλησίον τȣ̃ ὄρȣς τȣ̃ Λιβάνȣ, ϗ τῆς Γάζης. μικρόν ἐςι τȣ̃το τὸ σφάλμα, ὅμως μέντοι ἐν ταῖς ἐπικρίσεσιν ἀναγκαία ἐςὶν ἡ ἀκρίβεια ϗ ἡ προσοχή.

3. Ἰδȣ̀ ϗ ἕτερον βέλος, τὴν τȣ́τȣ ἀτιμάζον πολυμάθειαν. „Τὸ „μὲν ῥητὸν φησὶν, ὅτι ἡ γυνὴ τȣ̃ Μωϋσέως ἦν Αἰθιόπισσα... Ἡ „Γραφὴ λέγει, ὅτι αὐτὸς ἔλαβε γυναῖκα τὴν Σεπφόραν, τὴν Μα„διανίτιν, τὴν τȣ̃ Ἰοθὼρ θυγατέρα. ἐνδεχομένως ȣ̓ν ἔλαβε δύω γυ„ναῖκας.

Ἀριθ. 12. 1. Ἐξ. 2. 21.

Ταῦτα σημειοῖ, μὴ εἰδὼς μηδὲ ὅπερ πασίδηλόν ἐςιν, εἴτȣν τὸ, ὅτι τὸ μέρος τῆς Ἀραβίας, ἐν ὦ κατώκει ὁ Ἰοθὼρ, συχνάκις καλεῖται Αἰθιοπία, ἢ γῆ τȣ̃ Χȣ̃ς, „ἐκ τȣ́τȣ δὲ ὁ Ἀββακȣ̀μ ἐν τῷ ᾄσμα„τι αὐτȣ̃ ἔψαλλεν· Ἀντὶ κόπων εἶδον σκηνώματα Αἰθιόπων, πτοη„θήσονται ϗ αἱ σκηναὶ γῆς Μαδιάμ. Ἰδȣ̀ ἡ Μαδιὰμ, ϗ ἡ Χȣ̀ς, ἢ ἡ Αἰθιοπία συνεζευγμέναι. ἡ ȣ̓ν Σεπφόρα ἡ Μαδιανίτις ἐκλήθη Αἰθιόπισσα ἐκ τȣ̃ τόπȣ, ἐν ὦ κατώκει.

Ἀββ. 3. 1.

Παρατηρήσας ὁ αὐτὸς τὸ εἰρημένον ἐν τῷ δεκάτῳ τρίτῳ κεφαλαίῳ τȣ̃ αὐτȣ̃ βιβλίȣ τῶν Ἀριθμῶν περὶ τȣ̃ ὅτι οἱ ὑπὸ τȣ̃ Μωϋσέως πεμφθέντες κατάσκοποι ἀνέβησαν ἐκ τȣ̃ μεσημβρινȣ̃ μέρȣς, ἐμπαίζει αὐτὸ λέγων· (239). Τȣ̃τό ἐςι παραδρομὴ τῶν μεταγραφέων, ἐκλα„βόντων τὰ ἀρκτῶα μέρη ἀντὶ τῶν μεσημβρινῶν.

Οὐδαμῶς. τȣ̃το ȣ̓κ ἔςι παραδρομὴ τȣ̃ μεταγραφέως, ἀλλὰ σφάλμα τȣ̃ φιλοσόφȣ, τȣ̃ μὴ κατανοήσαντος, ὅτι τὰ ῥήματα ταῦτα. „Αὐ„τοὶ ἀνέβησαν ἐκ τȣ̃ μεσημβρινȣ̃ μέρȣς, ȣ̓κ ἀνάγονται πρὸς τὸ τȣ̃ ȣ̓ρανȣ̃ σημεῖον, πρὸς ὃ οἱ κατάσκοποι διευθύνοντο, ἀλλὰ πρὸς μόνον τὸ μέρος τῆς γῆς τῆς ἐπαγγελίας, πρὸς ἣν πορευθῆναι προσετάχθησαν, ὅπερ ἦν τὸ μεσημβρινὸν μέρος. „Ἀνάβητε διὰ μεσημβρίας, „εἶπε πρὸς αὐτȣ̀ς ὁ Μωϋσῆς, εἰσέλθετε εἰς τὸ ὄρος, ἐξετάσατε πᾶσαν τὴν γῆν. ἐπειδὴ δὲ ἡ γῆ τῆς ἐπαγγελίας ἐν τῷ βορείῳ μέρει ἔκειτο τῆς ἐρήμȣ, ἐν ὦ οἱ Ἑβραῖοι ἐςρατοπέδευσαν, διὰ τȣ̃το οἱ ὑπ' αὐτῶν ἀπεςαλμένοι θέλοντες εἰσελθεῖν εἰς αὐτὴν, ἀνάγκην εἶχον ἀναβῆναι ἐκ τȣ μεσημβρινȣ̃ μέρȣς, ἵνα εἰς τὰ ὄρη τῆς Χεβρὼν καταντήσωσι,

5. „Ζητεῖται, προςίθησιν ὁ αὐτὸς, τὸ πῶς οἱ φοβεροὶ γίγαντες „ἀφῆκαν τȣ̀ς κατασκόπȣς λαβεῖν μεθ' ἑαυτῶν τȣ̀ς αὐτῶν βότρυας, „ϗ τὰς ῥοιὰς, ϗ τὰ σῦκα;

Ζή-

Ζήτημα παιδαριώδες, ϗ ἀνάξιον ἀποκρίσεως. τοῦτο ταὐτόν ἐστι τῷ, ὥσπερ ἂν εἰ ἐζήτει τὸ πῶς ὁ δεσπότης ἀμπέλῳ τινὸς, ἢ μηλαίας, ἀφήσι τὸν διερχόμενον λαβεῖν μεθ' ἑαυτοῦ βότρυν ἕνα, ἢ ἓν μῆλον. ἀνωτέρω δὲ λαλῶν περὶ τῆς Ῥὼθ βιβλίου ἀπέδειξα, ὅτι οἱ μεταγενέστεροι περιηγηταὶ ἐκ συμφώνου μαρτυροῦσιν, ὅτι εἶδον ἐν τῇ Ἰουδαίᾳ βότρυας σταφυλῆς ἰσοβαρεῖς λίτραις ὀκτὼ, ϗ ἐγγὺς τῶν δώδεκα. ὧν αἱ ῥάγαι δακτύλων ἴσαι. „εἰς δὲ ἐξ αὐτῶν διαπιστῶσαι, ὅτι „κατὰ τὸ 1634. ἔτος εὑρέθη βότρυς ἐν τῇ τοῦ Σορὲκ (240) πεδιάδι ἰσοβαρὴς πέντε ϗ ἡμισείᾳ πρὸς ταῖς εἴκοσι λίτραις. Εὐγέν. ὁ Γ'ογίερ. β. 1. κ. 2.

6. „Ἐξίσταίτις, φησὶν ὁ αὐτὸς, περὶ τοῦ πῶς οἱ καθ' ἑκάστην „ἡμέραν ὁρῶντες τὸν μὲν Θεὸν λαλοῦντα τῷ Μωϋσῇ, ἑαυτοὺς δὲ ἐν μέ„σῳ θαυμάτων περιπατοῦντας, ἐδυνήθησαν φανταθῆναι καθελεῖν τὸν „αὐτὸν Μωϋσέα, τὸν τοσάκις ἀνακηρυχθέντα Θεοῦ ὑπουργόν.

Λέγει τὸ θάμβος, ὅταν συλλογιζώμεθα τὰ δὲ λὰ ῥήματα· „Δῶ„μεν ἀρχηγὸν, ϗ ἀποστρέψωμεν εἰς Αἴγυπτον. Ἐν τούτοις ὁρῶμεν τὸν χαρακτῆρα λαοῦ εἰθισμένου διάγειν βίον ἐφήμερον, ϗ πάσχοντος ὑπὸ τῆς τότε ἐν μέσῳ τῆς ἐρήμου κοπώδους ὁδοιπορίας. ὁ φόβος, ὃν προεξένει αὐτοῖς ἡ ἄπις τῶν ἀπεσταλμένων διήγησις ἦν τὸ μόνον ἀντικείμενον τὸ πλῆττον ἀνθρώπους παχεῖς τὸν νῶν ϗ ἀπερισκέπτους. οὐχ ὁρῶμεν δὲ ἡμεῖς καθ' ἑκάστην ἡμέραν τὸν κοινὸν λαὸν ἄνευ αἰτίας παροξυνόμενον, εἶτα πάλιν ἄνευ λόγου καθησυχάζοντα; Ἀριθ. 14. 4.

7. Μετὰ δέπινας, κατὰ τῆς ὑπὸ τῶν Ἀμαληκιτῶν ϗ Χαναναίων γενομένης τῶν γογγυζόντων καταστροφῆς, ϗ κατὰ τῆς τεσσαρακονταετοῦς ἐν τῇ ἐρήμῳ διατριβῆς, ὑτιδανὰς ἐνστάσεις, (241) πλῆττούσας μόνους τοὺς ἰσχυρογνώμονας, τοὺς μὴ θέλοντας γνωρίσαι ἰδικήν τινα τοῦ Θεοῦ πρόνοιαν ἐν τῷ ἑβραικῷ γένει, συμπεραίνει ὁ ἄπις τάδε. „Ὁ Μωϋσῆς ἑκατοντούτης γενόμενος, ἐνδεχομένως ἦν ἀρχι„στράτηγος κάκιστος, ϗ νομοθέτης ἀμαθής. ἐὰν δὲ τῷ Θεῷ ὑπήκου„σεν, εὐλαβεῖσθαι αὐτὸν ὀφείλωμεν.

Οὐκ ἐπαναλαμβάνω τὰς εἰκοσάκις προτεθείσας ἰσχυρὰς ἀποδείξεις περὶ τῆς τῶν Μωσαϊκῶν νόμων σοφίας τῆς ϗ ὑπὸ τῶν ἐθνικῶν γνωσθείσης, ϗ τῆς θείας τοῦ Μωϋσέως ἀποστολῆς, τῆς ὑπὸ χιλίων ἀναμφιβόλων ἔργων διαπιστωθείσης. ὅτι ὃν οὐκ ἦν ἑκατοντούτης ἀλλ' ογδοηκοντούτης ἐν τῷ καιρῷ τοῦ περὶ οὗ ὁ λόγος συμβάντος. ἡ δὲ ἱστορία τοῦ Ἀριθμῶν βιβλίου οὐκ ἔστι μῦθος κακοπεπλασμένος, ὡς τολμῶν λέγει ὁ βλασφήμος, ἀλλ' ἐφημερὶς πάσας τὰς περιστάσεις τῆς τῶν Ἑβραίων ὁδοιπορίας, ϗ τὰς χρονολογίας, ϗ ἐκστρατείας μετὰ πάσης περιέχουσα ἀκριβολογίας. ἐξ οὗ δῆλον, ὅτι οὐκ ἀλλοθέπου

συνεγράφη, εἰμὴ κατ' αὐτὰς τὰς τόπους, ἢ χρόνους, τὰς ὑπ' αὐτῆς σημαινομένους. Τοιαύτην ἐπάγει κρίσιν πᾶς ἐχέφρων ἄνθρωπος μετὰ τὴν ἁπλῆν αὐτῆς ἀνάγνωσιν. ἀλλ' οἱ ἄπιστοι εἴτε ὑπὸ τῶν ἰδίων παθῶν τυφλόμενοι, εἴτε ὑπὸ τῶν ἰδίων ἐφελκόμενοι προκαταλήψεων, εἰδισμένοι ὄντες ἰχυρογνωμεῖν, ἀναγνώσκειν μετὰ ἀπροσεξίας, ἀποφαίνεσθαι προπετῶς, σκολίζεσθαι ὑπὸ πάντων τῶν δυναμένων ἀπολλάξαι αὐτὰς τῆς πλάνης, ἄλλως πως κρίνουσιν.

8. „Ἐὰν ἐπελέγετο, φησὶ, κρίνειν τὰς τῦ Κυρίυ νόμυς ἐκ τῶν „νόμων τῶν καθ' ἡμᾶς πεπολιτευμένων λαῶν, ἐδόκει ἴσως μικρόντι σκλη-
Ἀρι. 15. 36. „ρὸν τὸ ἀποκτεῖναι ἄνθρωπον διὰ τὸ συλλέξαι ὀλίγα ξύλα.

Οἱ νόμοι τῶν καθ' ἡμᾶς πεπολιτευμένων λαῶν, θανάτῳ καταδικάζυσι τὸν ὅλον τὸν κλέψαντα πέντε βολὰς τῦ κυρίυ αὐτῦ. ὡσαύτως ἢ τὸν σταλιώτην τὸν προβάντα ἓν βῆμα ποδὸς ἐπέκεινα τῶν ὁρισθέντων αὐτῷ ὁρίων. Ἡ ἀκρίβεια τῦ σαββάτυ τήρησις ἀναγκαιοτάτη ἦν τῇ πολιτικῇ ἢ τῇ τῆς θρησκείας καταστάσει τῶν Ἑβραίων· διὸ ἀναγκαῖα ἦσαν τῷ στηρίγματι αὐτῆς τὰ αὐστηρὰ ὑποδείγματα. ὁ ἄνθρωπος ἐκεῖνος δεδιδαγμένος ἦν τὰ περὶ τῆς προετοιμασίας, ἣν ἔμελλε ποιῆσαι τὴν προλαβῦσαν ἡμέραν διὰ τὴν τῦ σαββάτυ ἑορτήν. κἂν δὲ ὁ προητοιμάσθη, ὅδεν ἕτερον ἔδει αὐτῷ ποιῆσαι, εἰμὴ περιμεῖναι τὴν ἡλίυ δύσιν. ἡ δὲ παράβασις ἦν ἐπιτηδευτὴ τῦ νόμυ περιφρόνησις.

Ἀρι. 15. 38. 9. „Οἱ κριτικοὶ, φησὶ, ταράττονται, ὁρῶντες τὸ περὶ τῶν κρα-
„σπέδων ἢ κλωσμάτων ἄρθρον, ἑπόμενον εὐθὺς τῷ συνημμένον τῇ θα-
„νατηφόρῳ καταδίκῃ.

Ταράττονται ἄρα μᾶλλον ἢ ἡμεῖς, ὁρῶντες καθ' τὴν αὐτὴν ἡμέραν ἐκ τῦ αὐτῦ δικαστηρίυ ἐκδιδομένην ἀπόφασιν θανάτυ, ἢ κανόνα περὶ τῶν τὰς λημνίσκυς πωλούντων;

Λ" ΡΘΡΟΝ Δ'.

Περὶ τῦ ἐὰν βέβαιον ὑπάρχῃ τὸ, ὅτι οἱ Ἑβραῖοι παρέλαβον παρὰ τῶν Αἰγυπτίων σχεδὸν πάσας τὰς τελετὰς αὐτῶν, ἐξόχως δὲ τὸν Χαλκῶν ὄφιν.

1. „Ὁ μὲν Μαρσάμ ἐν τῷ ἑαυτῦ κανόνι, ὁμοίως ἢ ὁ Σπενκέ-
Ἀρι. 19. „ρ, δείκνυσι τὴν τῆς ἐρυθρᾶς θαλάσσης τελετὴν ληφθεῖσαν ἐξ ὁ-
Λευιτ. 16. „λοκλήρυ ἐκ τῶν Αἰγυπτίων, ὡσαύτως ἢ τὸν χίμαρον τὸν ἀποπομπαῖ-
„ον, ἢ σχεδὸν πάντα τὰ Ἑβραϊκὰ ἔθιμα. ὁ δὲ Κιρκέρ φησί. ῥᾳδί-
„ως ἄντις θαλέρῳ τύτων πιστεύσῃ, τυτέστιν, ἤτοι τὸς Ἑβραίυς καὶ

„πάν-

„πάντα αἰγυπτιάσαι, ἢ τοὺς Αἰγυπτίους ἑβραΐσαι. πολλοὶ δὲ πειθανὸν „νομίζουσιν, ὅτι ὁ ὀλίγος λαὸς μετερυθμίσθη εἰς τοῦ ἐγγὺς αὐτοῦ με„γάλου γένους τὰ ἔθη, κἂν ἦν αὐτῷ πολέμιον.

Σκέψεώς τινος ἀξία ἦν αὕτη τοῦ κριτικοῦ ἡ ἔνστασις. εἴπερ δεδειγμένον ἦν, ὅτι τὰ ἔθιμα ταῦτα τοσοῦτον ἀρχαῖά εἰσι παρὰ τοῖς Αἰγυπτίοις, ὅσον καὶ παρὰ τοῖς Ἰουδαίοις. ἀλλὰ τίνες εἰσὶν οἱ συγγραφεῖς οἱ ταῦτα δεικνύντες παρὰ τοῖς Αἰγυπτίοις; ὁ Πλούταρχος, καὶ ὁ Κλήμης ὁ Ἀλεξανδρεὺς, καὶ ὁ Σένεκας, καὶ ὁ Πορφύριος, πάντες δὲ οὗτοι μετὰ Χριστόν. τῶν δὲ ἀρχαιοτέρων, τῶν διαλαβόντων περί τινων τῆς Αἰγύπτου συνηθειῶν εἰσὶν ὁ Διόδωρος ὁ Σικελλιώτης, ὁ ἐπὶ Αὐγούστου, ὁ Μανέθων, ὁ ἐπὶ τῶν Πτωλεμαίων, καὶ ὁ πάντων ἀρχαιότερος Ἡρόδοτος, ὅστις ἤκμασεν ἔτη ἑκατὸν μετὰ τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἐπιστροφήν. οἱ δὲ τῶν Ἰουδαίων νόμοι καὶ τὰ ἔθιμα περιέχονται ἐν ὑπομνήμασιν ἀρχαιοτέροις τῆς αἰχμαλωσίας ταύτης ἔτη ἐννεακόσια.

2. „Οἱ μεταγραφεῖς, φησὶν ὁ αὐτὸς, καὶ ἐνταῦθα σφάλλουσι. „τοῦτο περὶ τοῦ ἱεροῦ συγγραφέως ὑποπτευθῆναι οὐ δυνάμεθα. τουτέ„στιν ἐκλαμβάνουσι διαπαντὸς τὸν βοῤῥὰν ἀντὶ τῆς μεσημβρίας. Ὁ Ἀ„ράδ ἐστὶν ἐν αὐτῇ τῇ ἀνατολικῇ ἐσχατιᾷ, ὅπου οἱ Ἑβραῖοι ἦλθον, ὡς „διαλαμβάνει τὸ ῥητὸν, ἀναχωρήσαντες ἀπὸ τῆς ἐρήμου Σίν (242).

Τοῦτό ἐστι σφάλμα τοῦ κριτικοῦ, τοῦ μὴ κατανοήσαντος τὰ λόγια ταῦτα. „Ὁ Βασιλεὺς Ἀράδ, ὁ κατοικῶν ἐν τῇ μεσημβρίᾳ· τὰ δηλοῦντα τὸ μεσημβρινὸν μέρος τῆς γῆς Χαναὰν, ὅπου ὁ Βασιλεὺς οὗτος κατώκει, οὐχὶ δὲ τὸ μεσημβρινὸν τοῦ τόπου σημεῖον ἐν ᾧ διέτριβε τὸ τῶν Ἑβραίων στρατόπεδον, τὸ ὂν τότε ἐν τῷ μεσημβρινῷ μέρει τῆς γῆς τῆς ἐπαγγελίας.

3. „Οὗτοι τύπτουσι, προστίθησιν αὐτὸς τοῦτον τὸν μικρὸν ἀρχη„γὸν, ὃν καλοῦσι Βασιλέα τοῦ Χαναναίου λαοῦ. ἰδοὺ οὖν ἡ γῆ τῆς ἐ„παγγελίας, καὶ ὅμως οὐκ ἀπολαμβάνουσιν αὐτῆς. ἀλλ' ἐξαφανίσαν„τες τὰς ἐν αὐτῇ πόλεις, ἐπιστρέφουσιν ἐπὶ τὰ μεσημβρινὰ μέρη πρὸς „τὴν ἐρυθρὰν θάλασσαν. τοῦτό ἐστιν ἀκατάληπτον.

Τοῦτο οὐδόλως ἐστὶν ἀκατάληπτον. Ὁ Βασιλεὺς Ἀράδ ἐπορεύθη εἰς τὴν ἔρημον, ἵνα ἀντιστῇ τοῖς Ἰσραηλίταις, οἵτινες ὡδοιπόρουν, σκοπὸν ἔχοντες περιελθεῖν τὴν Ἰδουμαίαν. μέρος δὲ τῶν Ἰσραηλιτῶν πρῶτον μὲν κατεπρονομεύθη ὑπὸ τοῦ Βασιλέως Ἀράδ, εἶτα ἐπάταξεν αὐτόν. κἂν δὲ ἡ Βουλγάτα λαλῇ ἐνταῦθα περὶ πόλεων ἐξαφανισθεισῶν, ὅμως τὸ ὕφος οὐδὲν περὶ τούτου λέγει. (243) διαλαμβάνει δὲ μόνον περὶ τοῦ ὅτι οἱ Ἰσραηλῖται παρέδωκαν τὸν Ἀράδ, καὶ τὰς πό-

Βριθ. 26.14. κτ.
Ἀριθ. 21. 1.

λεις αὐτῦ τῷ ἀναθέματι, ὅπερ τότε ὐ διεπεράνθη. ὁ δὲ Ἰσραὴλ μετὰ τὸν συγκροτισμὸν τὴν ὁδὸν αὐτῦ πορευόμενος, ἵνα μὴ διέλθῃ διὰ τῆς γῆς Ἐδὼμ, ἔκλινε μικρόντι πρὸς μεσημβρίαν. ἥτις ἱκανῶς ἐπεκτείνετο πρὸς τὸ τῆς ἐρυθρᾶς θαλάσσης μέρος. περιοδεύσαντες δὲ τὴν Ἐδὼμ, ἡτοιμάθησαν εἰσελθεῖν εἰς τὴν Χαναὰν διὰ τῶν ἀνατολικῶν αὐτῆς ὁρίων. „πῦ ὖν εἰσὶν αἱ μεγάλαι δυσκολίαι, ἃς ὐδεὶς ἐδυνήθη διαλύσαι; αὗται εἰκοσάκις διελύθησαν.

4. Ἰδὺ ἄλλη τὶς ἑτεροειδὴς ἔνστασις ἐκ τῦ ὑπὸ τῦ Μωϋσέως ὑψωθέντος Χαλκῦ ὄφεως ἀφορμὴν λαβῦσα. „Οἱ Αἰγύπτιοι, φησιν, „εἶχον ἐν τῷ τῦ Μέμφεως ζωμῷ ὄφιν ἀργυρῦν, τὴν ὁρὰν αὐτῦ δάκ„νοντα, ὅσις κατὰ τὴν τῶν Αἰγυπτίων ἱερέων γνώμην σύμβολον ἦν „τῆς αἰωνιότητος.

Ὁ τῦ Μωϋσέως ὄφις ὐδὲ τὴν ὁρὰν αὐτῦ ἔδακνεν, ὐδὲ κύλον ἐσχημάτιζε, σύμβολον ὄντα τῦ ἀπείρου. διὸ ὐδεμία μεταξὺ τούτου κἀκείνου ὁμοιότης.

5. „Οὐκ οἴδαμεν, λέγει, τίνες εἰσὶν ὅτοι οἱ Φλογεροὶ ὄφεις (244). Ἀ πάλας σεαυτόν. ὅτοι λίαν γνωσοί εἰσιν ἐν τῇ Ἀραβίᾳ. Ὧ αἱ μὲν πτέρυγες αὐτῶν ὁμοιαί εἰσι ταῖς τῶν νυκτερίδων, τὰ δὲ ὀῆγμαῖα θανατηφόρα, ἐξόχως ἐν ὥρᾳ θέρους. ἵνα τὶ δὲ σεαυτὸν ὐ διδάσκεις, διδασκάλῳ χρησάμενος τῷ Βοχάρτῳ, Ὧ τοῖς ὑπ' αὐτῦ προτεινομένοις συγγραφεῦσιν.

6. „Ὁ Γρότιος, προσθησιν ὁ αὐλὸς, φησίν, ὁ Χαλκῦς ὄφις „ἀντίκειται τοῖς ὑπὸ τῶν ὄφεων διηχθεῖσιν.... Ἐὰν ὖν ὁ Γρότιος με„τὰ λόγου τῦτο εἶπεν, ὁ Μωϋσῆς ὑψῶν τὸν Χαλκῦν ὄφιν, ἐναντία „τῷ σκοπῷ αὐτῦ ἔπραττεν.

Ἀλλὰ διαχυρίθη ἄρα γε ὁ Γρότιος, ὅτι ὁ Μωϋσῆς μετῆλθε τὸν Χαλκῦν ὄφιν, ὡς φυσικὸν φάρμακον τῶν τετραυματισμένων; ὅτος ὁ μέγας ἄνθρωπος λίαν πεφωτισμένος ὢν, τοιαύτην ἰδέαν ὐκ εἶχε. μαχόμενος δὲ κατὰ τῶν τῦ τότε καιρῦ ἀπίστων, ἐπεκύρωσε τῦτο αὐτὸ ὅπερ ἡ ἡμεῖς κατὰ τῶν καθ' ἡμᾶς μαχόμενοι, τυτέστι τὸ, ὅτι ἡ θεραπεία τῶν τοιούτων ὀῆγμάτων ἦν θαυμάσιον μέγα ἄματε Ὧ σημεῖον ἄλλο ἔτι μεῖζον θαύματος, τῦ διὰ τῦ σταυρῦ τῦ Ἰησῦ Χριστῦ τελεσθέντος. τῦτο δὲ τὸ θαῦμα, τὸ διαρκῦν αἰῶνας δεκαεπτὰ ἡ ἐπέκεινα ἐστὶν ἡ τῦ σύμπαντος κόσμου ἐλπὶς ἐν τῷ σταυρωθέντι Ἰησῦ.

7. „Ὁ Ἐζεκίας ἐχώνευσε τῦτον τὸν ὄφιν, ὡς εἰδωλολατρείας „ἡ μαγείας ὑπόμνημα, τὸν Ἰουδαικὸν βεβηλῦν ναόν.

Ὁ

Ὁ Ἐζεκίας, ὡσαύτως καὶ οἱ τούτῳ σύγχρονοι, δεδιδαγμένοι ὄντες τὸν σκοπὸν, δι' ὃν ὁ Μωϋσῆς ὕψωσε τὸν ὄφιν τὸν Χαλκοῦν, μακρὰν ἀπεῖχον τοῦ νομίζειν αὐτὸν εἰδωλολατρείας, καὶ μαγείας ὑπόμνημα. ὅτε δὲ ὁ Εὐσεβὴς οὗτος Βασιλεὺς κατενόησεν, ὅτι οἱ δεισιδαίμονες κατεχρῶντο τοῦ σεβασμίου τούτου ὑπομνήματος, κατέστρεψεν αὐτὸ, ἵνα ἀποσοβήσῃ τὴν προσφερομένην αὐτῷ κακολατρείαν. 4. Βασ. 18. 4.

Ἄ Ρ Θ Ρ Ο Ν Ε.

Περὶ τῆς ἱστορίας τῆς περὶ τοῦ Βαλαάμ.

1. Μετὰ ταῦτα ἀκολουθεῖ ἡ περὶ τοῦ Βαλαὰμ ἱστορία. „Ἡμεῖς, λέ„γει ὁ αὐτὸς, ἐσημειώσαμεν, ὅτι ἀπὸ τοῦ Εὐφράτου, ἄχρι τοῦ τόπου, „ἐν ᾧ ἦσαν τότε οἱ Ἑβραῖοι εἰσὶ μίλια τριακόσια καὶ ἐπέκεινα.... „Πῶς ὁ Βαλὰκ, μικρός τις ὢν ἀρχηγὸς ἑνὸς τῶν Ἀράβων κόμμα„τος, διωκόμενος ὑπὸ δώδεκα ἑκατοντάδων χιλιάδων ἀνθρώπων ἠ„δύνατο ἀποστεῖλαι εἰς ἀναζήτησιν Προφήτου ἐκ τῆς χαλδαίας, ἀ„φεστηκυίας ἀπ' αὐτοῦ λέγας πεντήκοντα πρὸς ταῖς ἑκατὸν, πεποιθὼς „ἐπὶ τῇ τούτου βοηθείᾳ;

Ὑπὸ δώδεκα ἑκατοντάδων χιλιάδων ἀνθρώπων; ποία ἐστὶν ἡ τοιαύτη ἀναισχυντία; Ἡ μετὰ τὸ συμβὰν τοῦτο ἀμέσως γενομένη ἐπίσκεψις ἐμφαίνει μόνον ἑξακοσίας εἰκοσιτέσσαριας χιλιάδας, καὶ ἑπτακοσίους καὶ τριάκοντα ἄνδρας (245) δυναμένους ὁπλοφορεῖν, συμπεριλαμβανομένων καὶ τῶν Λευϊτῶν.

„Ἑκατὸν πεντήκοντα λέγας;

Ἀλλ' ἔδει ἄρα, ἀληθείας δικαζύσης, οὐ ταύλῃ τῇ πρὸς τὸν Δάρδανυν ἐπιςολῇ, τῇ ὑπαγορευθείσῃ, ὡς φῆσιν ὗτος ὁ Ἱερὸς διδάσκαλ@, „βεβιασμένως, ϗ οὐ ὀλίγοις ῥήμασιν, εἰς ταχυτάτην ἀπό„κρισιν τῆς κατ' ἐκείνην τὴν ἡμέραν ἐπιδοθείσης αὐτῷ ἐπιςολῆς ὑπὸ „τῦ ἐπίτηδες ςαλέντ@ ταχυδρόμυ, Ϛ περιμένοντ@ τὴν ἀπάντησιν· ἔδει, λέγω, τῷ κριτικῷ ζητεῖν ἐν ταύτῃ τῇ ἐπιςολῇ τὰς ἀκριβεῖς εἰδήσεις τῆς ἐκτάσεως τῆς γῆς τῆς ἐπαγγελίας; διατὶ ὐκ ἐσκέφθη αὐτὸς τὰ σοφὰ ὑπομνήματα, ἐν οἷς ὗτ@ ὁ μέγας ἀνὴρ εὐκαίρως τε ϗ ἡσύχως διέλαβε περὶ τῆς ὑποθέσεως ταύτης; Ἐν αὐτοῖς ἀνέγνω ἂν αὐτὸς τὸ, „ὐδὲν καρποφορώτερον τῆς γῆς τῆς ἐπαγγελίας, ἐαν „μὴ προχόντες τοῖς ὀρεινοῖς ϗ ἐρήμοις τόποις, ἐκλάβωμεν πᾶν τὸ πλά„τ@ αὐτῆς ἀπὸ τῦ ῥύακ@ τῆς Αἰγύπτυ ἕως τῦ Εὐφράτυ κατὰ ἀ„νατολὰς, Ϛ τὴν πρὸς βορρᾶν ἔκτασιν αὐτῆς ἕως τῦ ὄρυς Ταύρυ, ϗ „τῦ ἀκρωτηρίυ τῦ Ζεφυρίων@, τῦ ἐν τῇ θαλάσσῃ τῆς Κιλικίας „κειμένυ. Εὑρισκε δ' ἂν Ϛ ἄλλα πολλὰ ῥητὰ ὅμοια τῷ προκειμένῳ.

Γερ. εἰς τὸ 5. κεφ. τῦ Η'υ.

΄ΑΡΘΡΟΝ ς'.

Περὶ τῆς τῦ Θεῦ ἐμφανείας ἐν τῇ καιομένῃ βάτῳ.

1. „Οἱ κριτικοὶ, φησὶν ὗτ@ ὁ μέγας φιλόσοφ@, ἐλέγχυσι τὸν „Μωϋσέα, ζητήσαντα παρὰ τῦ Θεῦ τὸ ὄνομα αὐτῦ. ὁ Θεὸς ὐδὲ Ἰω„άννης καλεῖ), ὐδὲ Ἰάκωβ@.

Σύμφημι. ἀλλ' ἐκ τῶν λέξεων, δι' ὧν οἱ ἄνθρωποι σημαίνυσι τὸ ὕψιςον ὄν, ὐκ ἄρά γε ἑτέρα μᾶλλον τῆς ἑτέρας ἐμφαίνει μείζονά τε ϗ εὐθυτέραν ἔννοιαν; ταῦτα τὰ ῥήματα, ἐγώ εἰμι ὁ ὤν, ὐκ ἐμφανίζυσί τι μᾶλλον ἀνεπτυγμένον ϗ φωτιςικὸν, ἢπερ τὸ, Θεός; τῦτο δέ ἐςιν ὅπερ σημαίνει ἡ λέξις Ε χ ε ῖ ε χ. ἀντ' αὐτῆς δὲ ὁ κριτικὸς τίθησι τὴν Ε χ ε ῖ χ. τῦτο δὲ βαρβαρισμός ἐςι ὅμοι@ οἷς ἐκεῖν@ ἐνέπεσε τοσάκις χεδὸν, ὁσάκις ἐπεχείρησε γράψαι ἑβραϊκὴν λέξιν. μετὰ δὲ τὸ σφάλμα τῦτο λέγει ἡμῖν, ὅτι ἡ λέξις Ε ι ε ῖ χ μετεβλήθη ἔπειτα εἰς τὴν Ι ε χ ο β α χ, τὴν κατ' αὐτὸν μὲν σημαίνυσαν ὀλοθρευτὴν, κατάτινας δὲ, ποιητήν.

Ἡ λέξις Ε χ ε ῖ ε χ ὐ μετεβλήθη εἰς τὴν Ι ε χ ο β α χ, ἀλλ' ἔςιν ἡ ἑρμηνεία αὐτῆς. ἡ δὲ Ι ε χ ο β α χ ὐ σημαίνει ὀλοθρευτὴν, ἀλλὰ

τὸ

τὸ κατ' ὐσίαν ὄν, τὴν πηγὴν τῶν ὄντων. τοῦτο δέ ἐςι τὸ ἄῤῥητον ὄνομα, ὅπερ ὁ Θεὸς διηρμήνευσε τῷ Μωϋσῇ εἰπών, ἐγώ εἰμι ὁ ὤν.

2. Ὁ κριτικὸς ἑλληνιςὴς ὤν, ἐπίσης δὲ καὶ ἑβραϊςὴς προσθεὶς λέγει. Ὁ ἅγιος Κλήμης Ἀλεξανδρείας ἐν τῷ πέμπτῳ βιβλίῳ τῶν „στρωμάτων αὐτοῦ βεβαιοῖ, ὅτι επειδάντις προφέρῃ τὸ ὄνομα τοῦτο πρὸς „τὸ ὂς ἀνθρώπου τινὸς, ὅτος παραχρῆμα πίπτει καὶ ἄψυχος νεκρός. „ὁ δὲ Νεχεφρεὺς, ὁ τῆς Αἰγύπτου Βασιλεὺς ἀπέθανε παραχρῆμα, ὅτε ὁ Μωϋσῆς προέφερεν αὐτὸ πρὸς τὸ ὂς αὐτοῦ.

Ὁ κύριος Λάρχερ, ὁ τῆς Ἀκαδημίας τῶν Ἐπιγραφῶν ὑπερασπιςὴς ἐσημείωσεν ἐν τῷ παραπληρώματι αὐτοῦ τῆς περὶ τὴν ἰσορίαν φιλοσοφίας, ὅτι ὁ συγγραφεὺς ἐν ταύταις ταῖς τρισὶ σειραῖς, ταῖς ὑπ' αὐτοῦ ἐνταῦθα ἀπαναλαμβανομέναις περιέχουσι πέντε σφάλματα, ὧν τὰ μέν εἰσιν ἀκριβολογίας, τὰ δὲ ἀξιοπιςίας. παραιτήσασθέ με τῆς τῶν ἁμαρτάδων τούτων ἐκθέσεως. δοκεῖ δέ μοι, ὅτι ὁ φιλόσοφος ὀφείλει τὴν ὑπὲρ τούτων δικαιολογίαν προτεῖναι πρὶν ἢ ταυτὰ ἐπαναλαβεῖν (274).

3. Ἰδὲ δυσκολία τις, ἢ ὀρθότερον εἰπεῖν, ψεῦδος, ὑπὸ τοῦ αὐτοῦ ἐκφωνηθέν. „Ὁ Μωϋσῆς ἀντὶ τοῦ ὑπακοῦσαι, φησὶ, τῷ Θεῷ, ὡς „ἀπελθεῖν εἰς τὴν Αἴγυπτον, ἀπέρχεται εἰς τὴν Μαδιὰμ πρὸς τὸν „πενθερὸν αὐτοῦ. ὁ δὲ Θεὸς ὁ κελεύσας αὐτὸν καταφοβῆσαι ἐν τῷ ὀ„νόματι αὐτοῦ τὸν τῆς Αἰγύπτου Βασιλέα, ἐλθὼν εἰς τὴν Μαδιὰμ, „λέγει αὐτῷ, ὅτι ὅτος μὲν ὁ Βασιλεὺς τέθνηκεν, αὐτὸς δὲ μετὰ „ἀσφαλείας πορευθῆναι δύνα εἰς τὴν Αἴγυπτον.

Ἀναπετάσωμεν τὸ ὕφος. Ἰδὲ τί παρίςησιν ἀμέσως μετὰ τὴν διήγησιν τῆς ἐν τῷ ὄρει ὡς χωρὶς ἐμφανείας τοῦ Θεοῦ. „Ἐπορεύθη Εξ 4. 18. 20.
„δὲ Μωϋσῆς, ὡς ἐπέςρεψε πρὸς Ἰαθὼρ τὸν πενθερὸν αὐτοῦ· καὶ εἶπεν „αὐτῷ πορεύομαι, καὶ ἀποςρέψω πρὸς τοὺς ἀδελφούς μου, τοὺς ἐν Αἰγύπ„τῳ, καὶ ὄψομαι, εἰ ἔτι ζῶσι. Καὶ εἶπεν Ἰοθὼρ πρὸς Μωϋσῆν, βά„διζε ὑγειαίνων. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν ἐν Μαδιὰμ, βάδιζε, „ἄπελθε εἰς Αἴγυπτον. τεθνήκασι γὰ πάντες οἱ ζητοῦντες τὴν ψυ„χήν σου. Ἀναλαβὼν δὲ Μωϋσῆς τὴν γυναῖκα αὐτοῦ καὶ τὰ παιδία, „ἀνεβίβασεν αὐτὰ ἐπὶ τὰ ὑποζύγια, ὡς ἐπέςρεψεν εἰς Αἴγυπτον. Ὁ „Μωϋσῆς ὢν ὁ σπεύδων μετὰ τὸ πρόσαγμα τοῦ Θεοῦ ἐπαναγαγεῖν τὴν ὑπ' αὐτοῦ ἐν τῇ πλησίον ἐρήμῳ ποιμαινομένην ποίμνην ἐν τῇ οἰκίᾳ τοῦ πενθεροῦ αὐτοῦ, καὶ εὐθὺς σὺν τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ πορευόμενος εἰς τὴν Αἴγυπτον, ἀμελεῖ, ἢ ἀργοπορεῖ ὑπακοῦσαι τῷ Θεῷ;

4. „Ἐπανασατοῦσιν οἱ καθ' ἡμᾶς κριτικοὶ, ὁ αὐτὸς λαλεῖ, ἀκού-

ονται

Ἐξ. 7. 3. „ονλες τὸν Θεὸν λέγοντα. Ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραώ. Τοῦτο „δοκεῖ αὐτοῖς πνεύμα☉ κακοποιὸν ἔργον.

Ἐὰν οὖτοι εἰς ἑαυτοὺς ἔλθωσι, γνώσον☽μὲν, ὅτι ὁ Θεὸς σκληρύνει τοὺς ἀσεβεῖς, οὐκ ἐμπνέων αὐτοῖς ὑπερηφανίαν, ἢ ἀσέβειαν, ἢ βλασφημίαν, ἀλλ' ἐγκαταλιμπάνων αὐτοὺς ἐν τῇ διαστροφῇ τῆς καρδίας αὐτῶν, ☾ ἐν τῇ τολμηρᾷ αὐτῶν προκαταλήψει. ἢ ταῦτα μετὰ τὸ ἀπωθῆσαι αὐτοὺς πολλάκις τὸ ἐνοχλοῦν αὐτοὺς φῶς τῆς ἀληθείας. κατανοήσωσι δὲ, ὅτι τοῦτο οὐ πνεύματ☉ κακοποιοῦ, ἀλλὰ δικαίου ἐσὶ κριτοῦ ἔργον.

5. „Ὁ Θεὸς ὁ τὸν Μωϋσῆν συναντῶν ἐν τῷ καπηλείῳ, ἢ ζή„λων αὐτὸν ἀποκτεῖναι, ὡς μὴ περιτεμόντα τὸν υἱὸν αὐτοῦ, λίαν πα„ροξύνει τὸν Βολιγγβροόκιον.

Ὁ τόπος, ἐν ᾧ οἱ ὁδοιπόροι συνήθως ἴσαν☽, ἵνα ἀναπαυθῶσιν, ἢ φάγωσιν, ἐν τῷ λεξικῷ τοῦ Βολιγγβροοκίου, κἀν τῷ τοῦ Ἀθλίου μεταγραφέως αὐτοῦ σημαίνει καπηλεῖον ἐν τῇ Ἀνατολῇ, καθάπερ ἢ ἐνιαχοῦ τῆς παρ' ἡμῶν οἰκουμένης Δύσεως. ἵνα τί δὲ ἑκάτερος τούτων ὁ διδάσκε☽ ὑπὸ τῶν ἐφημερίδων τῶν τῆς Ἀραβίας περιηγητῶν; ἐν αὐταῖς ἐμάνθανεν ἑκάτερ☉ τὸ, ὅτι οἱ τόποι, ὅπου εἰσὶ τὰ ξενοδοχεῖα, ἢ τὰ καπηλεῖα ἄλλοτε μέν εἰσι μικράτις φυτεία, ἄλλοτε δὲ πηγῆς ἢ φρέατ☉ περιοχὴ, ἢ ἄλλοτε μὲν κοιλότης ἀποτόμου πέτρας, ἄλλοτε δὲ ἀκρότομ☉ πέτρα, προτεινομένη ἐπὶ τόπου πεδινοῦ, ἢ ἐπισκιάζουσα τὸν ὁδοιπόρον.

Ορᾳ κ. 25. ἢ 31. τῆς Ἀνατολ. περιηγ. τοῦ Ειβιν.

6. „Λίαν εὐφυὴς ἦν, προσθῆσιν ὁ αὐτὸς, ὁ Λόρδ☉ οὗτος, πε„ρὶ τοῦ Βολιγγβροοκίου λαλῶν.

Ἱκανὴ ἀπόδειξις τῆς εὐφυΐας αὐτοῦ τὸ καπηλεῖον, ὅπερ συνέσησεν ἐν τῇ ἐρήμῳ τῆς Ἀραβίας, ἐν τῇ πρὸς τὸ Σινᾶ ὄρος ὁδῷ. ἐπελάθοντο δὲ οὗτοι οἱ δύω διακριτικοὶ ἢ ὑπερεξηρημένοι ἄνδρες τάξαι ἐν τῇ ἐκεῖ γειτονίᾳ ἐπισάξας τῶν καπηλείων ἢ συναρῴωγὸς, ὅπως ἂν ἡ πέραια Ἀραβία ὁμοιοτέρα ἦ τῇ Γαλλίᾳ ἢ Ἀγγλίᾳ.

7. „Οὐδεὶς τῶν ἐν τῇ Αἰγύπτῳ Ἰουδαίων ἦν περιτετμημένος.

Πάντες οἱ ἐξ Αἰγύπτου ἐξελθόντες περιτετμημένοι ἦσαν, ὡς σαφῶς μαρτυρεῖ τὸ τοῦ Ἰησοῦ βιβλίον. (255) πῶς οὖν περιετμήθησαν; ἀλλὰ τίς περιέμενε τοιαύτην ἔνστασιν προβληθεῖσαν ὑπ' αὐτοῦ τοῦ διϰ. 22. κριβωθέντος ἐν τῇ περὶ τῆς ἱστορίας φιλοσοφίᾳ αὐτοῦ, ὅτι οἱ Ἰουδαῖοι παρέλαβον τὴν περιτομὴν παρὰ τῶν Αἰγυπτίων; ὅτως οὖν αὐτὸς αντιπίπτων διαπαντὸς τῇ ἀληθείᾳ, ἀντιφάσκει ἑαυτῷ ☾ ἐν αὐτοῖς τοῖς σφάλμασιν αὐτοῦ.

Α'Ρ-

ΆΡΘΡΟΝ Ζ'.

Περὶ τῆς τῦ κριτικῦ πλάνης τῦ δικαιολογῦντος τὸν Φαραὼ, μὴ πιςεύσαντα τῷ ἀληθινῷ Θεῷ.

1. Ἠδύνατό τις ἆρα φανταθῆναι, ὅτι ὁ φιλόσοφος, ὁ τῦ ὀρθῦ λόγυ ὀπαδὸς, προβάλλεν ἔμελλον, ὅτι ὐκ ἁμαρτάνει ὁ μὴ εἰδὼς ἕνα Θεὸν ποιητὴν ὐρανῦ καὶ γῆς, καὶ μετάγων τὴν ὀφειλομένην αὐτῷ λατρείαν εἰς ζῶα εὐτελῆ καὶ ἑρπετά; τοιαύτη δὲ ἀνενδοιάςως ἦν ἡ τῆς Αἰγύπτυ κατάςασις, ὅτε ὁ Μωϋσῆς παρέςη τῷ Φαραώ. ἰδὲ δὲ ἡ τῦ φιλοσόφυ τύτυ σκέψις περὶ τῆς ὑποθέσεως ταύτης. „Δῆλον, ὅτι „ἡ Αἰγυπτος ὐκ ἐγνώριζεν ἔτι τὸν Θεὸν τῶν Ἑβραίων. διὸ πιςεύο- „μεν, ὅτι κατὰ τῦτο ὐδόλως ἥμαρτανεν ὁ Φαραὼ, λέγων, τίς ἐςιν Ex. 5. 2. „ὗτος ὁ Θεός;

Ἀλλὰ πᾶσα ἡ κτίσις ὐκ ἀνήγγελλε τὸν Θεὸν τότε φωνῇ τοσῦτον ἰσχυρᾷ, ὅσον καὶ τὴν σήμερον; ἠγνόυν ἆρά γε ἐν τῇ Συρίᾳ καὶ τῇ Αἰγύπτῳ, ὅτι ὁ Θεὸς τῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ἦν ὁ Θεὸς ὁ ὕψιςος, ὁ ποιήσας τὸν ὐρανὸν καὶ τὴν γῆν; τὸ λέγειν, ὅτι ὐκ ἔςιν ἁμαρτωλὸς, ὁ μὴ εἰδὼς τῦτον τὸν Θεὸν, ταυτόνεςι τῷ ἀτοπολογεῖν ἅμα καὶ βλασφημεῖν.

2. „Ὅταν συλλογιζώμεθα, φησὶν ὁ αὐλὸς, ὅτι οἱ ἐν Αἰγύπτῳ „μάγοι μετέβαλλον τὰς ῥάβδυς αὐτῶν εἰς ὄφεις, καὶ πάντα τὰ ὕδα- „τα ὥσπερ καὶ οἱ τῦ ἀληθινῦ Θεῦ πρέσβεις, καὶ ὥσπερ ὗτοι, ὕτω κἀ- „κεῖνοι ἐξήγαγον βατράχυς, πειραζόμεθα συγχωρῆσαι τῷ Βασιλεῖ „τὴν σύγχυσιν, ἐν ᾗ τότε εὑρίσκετο.

Λαλεῖ ὥσπερ ἂν εἰ χρεία ἦν θαυμάτων πρὸς τὸ κατασῆσαι ἀνα- πολόγητον τὸν ἄνθρωπον, τὸν ἐπιλανθανόμενον τῦ ποιητῦ αὐτῦ, καὶ κωφεύοντα μὲν πρὸς τὴν φωνὴν τῦ λόγυ, δυλεύοντα δὲ Θεοῖς τοσῦτον εὐτελέσιτε καὶ πολλοῖς, ὅσοι ἦσαν οἱ ὑπὸ τῶν Αἰγυπτίων λατρευόμενοι. ὁ ἀναγνώςης πάντως ὐκ ἐπελάθετο τῆς ὁμολογίας αὐτῦ περὶ τῦ ἐν Μένδῃ λατρευομένυ τράγυ, καὶ τῶν ἐκεῖ τελυμένων βδελυγμάτων. μηδόλως ὖν ἐρευνήσαντες ὁποία τις ἦν ἡ τῶν τῦ Φαραὼ μάγων μίμησις τῶν τερῶν πρώτων τῦ Μωϋσέως θαυμάτων. τῦτο δὲ ζήτημά ἐςιν ἀκανθώδες μᾶλλον ἢ ἀναγκαῖον ἐνταῦθα. λέγομεν, ὅτι ἡ εἰς ὄφιν μεταβληθεῖσα τῦ Μωϋσέως ῥάβδος κατέπιεν ἀναμφιβόλως τὰς ὄφεις τῶν μάγων. οἵτινες ὐδὲ τὰ ὕδατα, ἅπερ εἰς αἷμα μετέβαλον, ἐδυνήθησαν μεθενεγκεῖν εἰς τὴν πρώτην κατάςασιν, ὐδὲ τὺς ὑπ' αὐτῶν ἐξαχθέντας βατράχυς ἀποκτεῖναι. τῦτο δὲ ὑπερίκα-

νον

νον ἦν ἐνώπιον ὀφθαλμῶν μὴ προκατειλημμένων ἐξελέγξαι τοὺς τῶν Δαιμόνων καὶ τῆς εἰδωλολατρείας ὑπασπιστὰς, τοὺς τολμήσαντας παραβαλεῖν ἑαυτοὺς τοῖς ὑπὸ τοῦ ὑψίστου ἀπεσταλμένοις.

3. „Τότε μόνον, φησὶν, οἱ μάγοι οὐκ ἠδυνήθησαν μιμηθῆναι τοὺς „δύω Ἑβραίους, ὅτε οὗτοι ἐξήγαγον τοὺς φθείρας.

Τὰ ἔντομα ταῦτα, ἅπερ μετὰ τοὺς Ἑβδομήκοντα μεταφραστὰς ἡ Βουλγάτα καλεῖ σκνίφας, κώνωπας, οἱ δὲ ἀνατολικοὶ μεταφρασταὶ φθεί-
Ἐξ. 8. 17. ρας, ὕπαρξιν ἔλαβον ἐκ τοῦ χώματος τῆς γῆς τῆς τὰ σπέρματα αὐτῶν μὴ περιεχούσης, καθάπερ αὐτὴ μὲν περιέχει τὰ τῶν ὄφεων ᾠὰ, τὰ δὲ ὕδατα τὰ τῶν βατράχων. ἐν τούτοις οὖν ἡ μὲν δημιουργικὴ δύναμις ἐξήστραψε, προάξασα ἐν ῥιπῇ ἄπειρον πλῆθος ἐξωργανισμένων ὄντων ἄνευ τῆς ἐκ τῶν σπερμάτων αὐτῶν συνεργείας. οἱ δὲ ὑπηρέται τῶν Δαιμόνων, ὁρῶντες τὴν ἑαυτῶν δύναμιν ἐς τὸ παντελὲς ἐκ-
Ἐξ. 8. 19. λείψασαν, ἠναγκάσθησαν γνωρίσαι ἐν τούτῳ τῷ θαύματι τὸν τοῦ Θεοῦ δάκτυλον.

4. „Θαυμάζομεν, προστίθησιν ὁ αὐτὸς, ὁρῶντες τὸν Θεὸν πά„σης τῆς κτίσεως τοσοῦτον ταπεινούμενον, ὥστε ἀντιπαρεξετάζεσθαι τοῖς „μάγοις.

Οὐχ ὁ Θεὸς πάσης τῆς κτίσεως ἐστὶν ὁ μετὰ τῶν μάγων τοῦ ὑπερηφάνου Βασιλέως Φαραὼ καταβαίνων ἐπὶ τὸ στάδιον, ἀλλ' οἱ τούτου μάγοι εἰσὶν, οἱ κατὰ προτροπὴν αὐτοῦ τολμῶντες παραβάλλειν ἑαυτοὺς τοῖς ὑπὸ Θεοῦ ἀπεσταλμένοις εἰς τὸ ἀναγγεῖλαι αὐτῷ τὰ προστάγματα αὐτοῦ. ἔστι δὲ ἄρα θαυμαστὸν τὸ ὅτι ὁ Θεὸς πάσης τῆς κτίσεως συγχέει τούτους τοὺς ὑποκριτάς;

Ἄ Ρ Θ Ρ Ο Ν Η'.

Περὶ τῆς δοκούσης κλοπῆς τῆς ὑπὸ τῶν Ἑβραίων γενομένης, καὶ τοῦ θανάτου τῶν τῆς Αἰγύπτου πρωτοτόκων.

1. Ἰδοὺ ἄλλη τις μέμψις. Φέρειν οὐ δύνανται, φησὶν, „οἱ κριτικοὶ ἀ„κούειν τὸν Θεὸν τοσοῦτον πυκνῶς τε καὶ ἐμφαντικῶς κελεύοντα ἄρχεσθαι „κλέπτειν πάντα τὰ χρυσᾶ καὶ ἀργυρᾶ τοῦ τόπου σκεύη.

Ἐὰν τῇ Βουλγάτῃ, ὥσπερ αὐτὸς, ἐπώμεθα, διαλαμβανούσῃ. ὅτι οἱ Αἰγύπτιοι ἐδάνεισαν (276) τοῖς Ἑβραίοις τὰ σκεύη ταῦτα, βλέπομεν οὐχὶ κλοπὴν, ἀλλὰ σφετερισμὸν, ὑπὸ Θεοῦ ῥητῶς συγχωρηθέντα τῷ καταπιεσθέντι γένει κατὰ τῶν ἀδίκως αὐτὸ τυραννησάντων ἀλλὰ τὸ ὕφος οὐδὲ περὶ τοῦ δανείζειν, οὐδὲ περὶ τοῦ δανείζεσθαι, ἀλλὰ περὶ τοῦ αἰτῆσαι καλεῖ τοὺς Ἰσραηλίτας παρὰ τῶν Αἰγυπτίων σκεύη

χρυ-

χουσᾶ, „ἡ ἀργυρᾶ, ἡ ἱματισμόν. ἡ ἔδωκε Κύριος χάριν τῷ λαῷ „αὐτῆς ἐναντίον τῶν Αἰγυπτίων. ἐπλήρωσαν τὸ αἴτημα αὐτῶν. Οὐ„δὲν δὲ θαυμαστὸν. ἐὰν οἱ Αἰγύπτιοι ὁρῶντες ἑαυτοὺς διὰ τὴν ἐπανά„ληψιν τῶν ἐκ τῆς θείας δυνάμεως πληγῶν ἐν τοῖς ἑξάτοις κινδύ„νοις, ἐδωρήσαντο τοῖς Ἑβραίοις πάντα τὰ παρ' αὐτῶν αἰτηθέντα, ἵνα τάχιον ἐξέλθωσιν. ὕτω τὴν ῥῆσιν ταύτην ἐνόησεν ὁ ἱστορικὸς Ἰώσηπος (277).

2. „Δυσαναλόγιστος, φησὶν, ὁ ἀριθμὸς τῶν ἐν μιᾷ νυκτὶ ὑπὸ „τοῦ Θεοῦ ἀναιρεθέντων βρεφῶν.

Λίαν ἀνωφελὴς ὅτι ὁ ἀναλογισμός. ὁ Θεὸς δεσπότης ὢν ζωῆς καὶ θανάτου, ὅταν αὐτῷ δόξῃ ἐν ῥιπῇ ἀνὰ χιλιάδας ἀνθρώπων ἐν τοῖς μνημείοις κατάγει. πάντων μὲν ἔχει τῶν ὅλων ἐξουσίαν, ἀπαραβιάστως δὲ ἐνεργεῖ πάντα τὰ δοκοῦντα ἡμῖν ἀκαταπόητα. ἀλλ' ἴδωμεν τελευταῖόν τι ἐκ τῶν ἀναλογισμῶν τούτων τοῦ φιλοσόφου προκύπτει, ἔτι δὲ καὶ τὰς ἀρχὰς, ἐν αἷς αὐτὸς ἐπιστηρίζει.

3. „Οἱ Ἑβραῖοι, φησὶν, οἱ ἐκ τῆς γῆς Γεσὲμ φυγόντες ἦσαν „ἑξακόσιαι χιλιάδες πολεμιστῶν.

Λέγε, ἑξακόσιαι χιλιάδες ἀνθρώπων δυναμένων ὁπλοφορεῖν.

„Τοῦτο ὑποτίθησιν ἑξακοσίας χιλιάδας οἰκιῶν.

Τί λέγεις; Οὐχ ὁρῶμεν καθ' ἑκάστην ἐν μιᾷ οἰκίᾳ πατέρα μήπω ἑξηκοντούτην ἔχοντα πολλοὺς υἱοὺς εἰκοσαέτεις καὶ ἐπέκεινα;

„Ἡ γῆ Γεσὲμ ἐστὶ τὸ τεσσαρακοσημόριον τῆς Αἰγύπτου.

Τίς τοσοῦτον καλῶς ἐδίδαξέ σε τὰς τῆς γῆς Γεσὲμ διαμετρήσεις; ἐγὼ διισχυρίζομαι, ὅτι ὁ μόνον λαλεῖς ὡς ἔτυχεν, ἀλλὰ καὶ αὐτὴν τραυματίζεις τὴν παθαινότητα. πάσης τῆς Αἰγύπτου, ἀπὸ τοῦ Πηλουσίου ἄχρι τῆς Συήνης τῆς ἐγγὺς τῶν καταράκτων, ὅλον μὲν τὸ μῆκος ἴσόν ἐστι λέγαις μόνον διακοσίαις. τὸ δὲ μέγιστον πλάτος τῆς γεωρυχθείσης γῆς λέγαις πεντήκοντα. αὗται δὲ αἱ διαμετρήσεις τόπον ἔχουσι μόνον ἐν τῷ Δέλτα. ἀνωτέρω δὲ τούτου ἡ γῆ συνεχομένη μεταξὺ τῶν κατὰ ἀνατολὰς καὶ δυσμὰς περιοριζόντων αὐτὴν πετρωδῶν ὀρέων, καὶ διαχωριζόντων ἀπὸ τῶν ἐρημικῶν, ἔκτασιν ἔχει λεγῶν εἴκοσι, ἢ εἰκοσιπέντε· ἐν δὲ τῇ ἄνω Αἰγύπτῳ πολλῷ μᾶλλον περισελλομένη, ἴσως γίνεται λέγαις πέντε, ἢ ἓξ. δεῖξον νῦν σὺ, ὅτι ἡ γῆ Γεσὲμ οὐκ ἦν εἰμὴ τὸ τεσσαρακοσημόριον τούτου τοῦ διαγράμματος· δεῖξον προσέτι ὅτι οὐκ ἦν καρποφορωτέρα, καὶ ἐπομένως μᾶλλον πολυάνθρωπος τῶν ἄλλων νομῶν. δεῖξον τὸ ἐναντίον τοῦ ὕψους τῆς Γενέσεως, τοῦ διαλαμβάνοντος ῥητῶς, ὅτι αὕτη ἦν ἡ βελτίστη γῆ τῆς Αἰγύπτου. Γν. 47. 6. 11.

„Κατὰ γῶν, λέγεις προσέτι, τὴν τῶν τριῶν μέθοδον δυνάμε-
„θα ὑποτίθεσθαι τὸ, ὅτι τὸ λοιπὸν τῆς Αἰγύπτου μέρος περιεῖχε μιλ-
„λιόνια οἰκιῶν εἰκοσιτέσσαρα.

Ἡ μὲν ὑπόθεσίς σου ἐστὶ ψευδὴς, ἡ δὲ ἀριθμητική σου σφαλερά. διότι κἂν δῶμέν σοι πάντα τὰ καθ' ὧν ἐγὼ τοσοῦτον εὐλόγως διαμαρτύρομαι, οὐκ ἔστιν ὅμως δυνατὸν εὑρεῖν τὸ κεφάλαιον τοῦ ἐν τῇ γῇ Γεσὲμ λαοῦ, πολλῷ δὲ μᾶλλον τὸ τοῦ ἐν τῇ λοιπῇ Αἰγύπτῳ πλήθους. ἐσημείωσα δὲ ἀνωτέρω, ὅτι οἱ Ἑβραῖοι, οἱ ἀπ' ἀρχῆς οἰκήσαντες ἐν γῇ Γεσὲμ τοσοῦτον ἐπληθύνθησαν, ὥστε ἐπὶ πᾶν διεσπάρησαν τὸ πρόσωπον τῆς Αἰγύπτου, ὡς τὸ τῆς Ἐξόδου βιβλίον διαλαμβάνει. οὐκ ἄρα
Ἐξ. 1. 7. 9. πάντες οἱ ταῖς ἑξακοσίαις χιλιάσιν ἰσάριθμοι, οὐ λόγῳ ἡλικίας πολεμεῖν ἐπιτήδειοι, ἐγγύτατα κατῴκουν τῆς γῆς Γεσὲμ, ἀλλὰ συνήρχοντο ἐκ πάντων τῶν τῆς Αἰγύπτου νομῶν, προσκαλούμενοι ὑπὸ τοῦ Μωϋσέως, ἐπιδραξαμένου τῆς εὐκαιρίας, ἣν παρέχον αὐτῷ εἰς τὸ συναλαγεῖν αὐτοὺς ἦλε κατάπληξις, ἡ ὑπὸ τῶν τοῦ Θεοῦ μαστίγων τοῖς Αἰγυπτίοις ἐπενεχθεῖσα, οὐ ἡ ἀπραξία, εἰς ἣν ὅτοι ὑπ' αὐτῶν κατηνέχθησαν. ὁ τῶν εἰκοσιτεσσάρων ὃν μιλλιονίων τῶν Αἰγυπτιακῶν οἰκιῶν ἀναλογισμός σου ἐστὶ χίμαιρα, οὐ τὰ εἰκοσιτέσσαρά σου μιλλιόνια τῶν πρωτοτόκων ἄλλη χίμαιρα ἐστὶ, τῇ πρώτῃ ἀνάρμοστος ἦσαν δὲ εἰκότως παρὰ τοῖς Αἰγυπτίοις, καθάπερ οὐ παρὰ πᾶσι τοῖς ἔθνεσιν, οἰκίαι, ὧν τὸ πρωτότοκον οὐκ ἦν ἄρρεν, ὁμοίως οὐ τοσαύτῃ τελάχιστον πρωτοτόκου ἀμοιροι.

4. „Πάνυ ἄτακτον λογίζεται αὐτὸς τὸν Θεὸν ὑποχεθῆναι μὲν
„τοσάκις δοῦναι τοῖς Ἰσραηλίταις τὴν γῆν Χαναὰν, μὴ ἀγαγεῖν δὲ αὐ-
„τοὺς ἐκεῖ κατ' εὐθείαν.

Οὕτως οὖ τῇ καλυμένῃ μεταφράσει αὐτοῦ κρύπτει τὸν ὑπὸ τῆς Γραφῆς ἀποδιδόμενον περὶ τῆς ὁδοιπορίας ταύτης λόγον. „Οὐχ ὡδή-
Ἐξ. 13. 17. „γησε, γέγραπται, αὐτὸς ὁ Θεὸς ὁδὸν γῆς Φυλιστιείμ, ὅτι ἐγγὺς ἦν. εἶπε δὲ ὁ Θεὸς, μήποτε μεταμελήσῃ τῷ λαῷ ἰδόντι πόλεμον, οὐ ἀποστρέψῃ εἰς Αἴγυπτον. Βάλει ὁ Θεὸς ἀφελεῖν ἀπὸ τοῦ παχυλοῦ, οὐ τῇ μακρᾷ αἰχμαλωσίᾳ νοθευθέντα λαὸν πάντα πειρασμὸν, οὐ πᾶσαν πρόφασιν, οὐ αὐτὸ δὴ τὸ δύνασθαι ἐπιστρέψαι εἰς τὴν Αἴγυπτον. εἰς τοῦτο δὲ ἀφορῶν, ἀντὶ τοῦ ἀγαγεῖν αὐτοὺς διὰ τοῦ ἰσθμοῦ τοῦ συζευγνύντος τὴν Αἴγυπτον τῇ Ἀσίᾳ, ἄγει διὰ τῆς ἐρυθρᾶς θαλάσσης ἐν τῇ ἐρήμῳ τῆς πετραίας Ἀραβίας, τῆς ὑπὸ τῆς αὐτῆς θαλάσσης διαστελλομένης ἀπὸ τῆς Αἰγύπτου. ἐκεῖ δὲ ἠθέλησε, πρὶν ἢ ἀγαγεῖν αὐτοὺς ἐν τῇ γῇ Χαναὰν, εὐθετίσαι αὐτοὺς, οὐ νόμους παραχεῖν, ἐθίσαι τε καὶ καθαρῆσαι αὐτοὺς δεκτικοὺς νοημάτων ἐλευθέρων πρεπόντων λαῷ. ὁ

δὲ τύτυς τὰς τῇ σοφίᾳ τῦ Θεῦ τοσῦτον ἀξίυς παρεσιώπησε σκοπὰς, ἵνα γελοιώδη ἀντεισάξῃ λόγον, ὅτινος, καταψευδόμενος, προβολέα ὑποβάλλει τὸν κύριον Καλμέτον. (278) εἶτα τὴν ἐξῆς προτίθησιν ἔνσασιν.

5. „Οἱ ἄπισοι εἶπον. ὅτι ὁ σῦλος τῆς νεφέλης τὴν ἡμέραν ἦν „ἀνωφελής. ὐδὲν δὲ ἕτερον τοῖς Ιυδαίοις ἐποίει, ἢ μὴ ἐμπόδιον τῦ τὴν „ὁδὸν καθορᾶν.“ (279)

Ὅρατά εἰσι πάντως ἐν ταῖς τῆς Ἀραβίας ἐρήμοις ἴχνη μεγάλων δρόμων. ἐκ δὲ τῶν περάτων αὐτῶν μακρόθεν ὁρᾶς χωρία ἔ πόλεις, ὅπυ χρὴ καταλύσαι. τυφλοὶ, μὴ εἰδότες, ὅτι ἐν τάυταις ταῖς ἀμμώδεσιν ἐρήμοις δύω μιλλιόνια ἀνθρώπων, τῇ ἀποσκευῇ αὐτῶν πεφορτισμένων, οἷς ἔ μεγάλα συνεπορέυοντο ποίμνια, ἔχρηζον εἰς τὸ συνάγεσθαι σημείυ τινὸς, διαπαντὸς ἐνώπιον τῶν ὀφθαλμῶν αὐτῶν κειμένυ.

Α΄ ΡΟΘΡΟΝ Θ΄.

Περὶ τῆς διαβάσεως διὰ τῆς ἐρυθρᾶς Θαλάσσης.

1. Κατηντήσαμεν εἰς τὴν τῆς ἐρυθρᾶς θαλάσσης διάβασιν. „Πάν„τες, φησὶν ὁ αὐτὸς, οἱ Γεωγράφοι ἔθεντο τὴν Βεελσεπφὼν ὑπε„ράνω τῆς Μέμφεως, ἐπὶ τὴν δυτικὴν παραλίαν τῆς ἐρυθρᾶς θα„λάσσης, ἀνωτέρω τῆς Γεσὲμ πλέον ἢ λέγας πεντήκοντα.“

Ἡ τῆς Βεελσεπφὼν θέσις ὡς πρὸς τὴν Μέμφιν ὐδὲν ἐντᾶυθα συντέινει. διότι ὐκ ἐκ τῶν τῆς Μέμφεως, ἀλλ' ἐκ τῶν τῆς Τάνεως πεδίων, ὡς ἀνωτέρω ἀπέδειξα, οἱ Ἑβραῖοι ἀνεχώρησαν. ἡ δὲ Ῥαμεσσῆ, ἡ τῆς Γεσὲμ μητρόπολις, (280.) ἔκειτο ἐν τῷ ἀνατολικῷ μέρει τῆς κάτω Αἰγύπτυ, ἀπὸ δὲ τῆς Ῥαμεσσῆ ἄχρι τῆς παραλίας τῆς ἐρυθρᾶς θαλάσσης, ἐν ᾗ οἱ Ἑβραῖοι ἐστρατοπέδευσαν ἀπεναντίας Βεελσεπφὼν, ὁδοιπορία ἡν μόνον τριήμερος. ἡμέρας δὲ ὁδοιπορίαν ἐνταῦθα νοητέον, ὃ τὴν ὑπὸ ἑνὸς, ὐδὲ τὴν ὑπὸ τῶν κατ' ἔθος συνοδοιπόρων, ἀλλὰ τὴν ὑπὸ δύω τὐλάχιστον μιλλιονίων παντὸς γένυς ἔ κατασάσεως ἀνθρώπων σὺν τῇ ἀποσκευῇ ᾗ τοῖς ποιμνίοις αὐτῶν διανυομένην. πάντη ἄραψευδὲς τὸ ἀπὸ Γεσὲμ ἄχρι Βεελσεπφὼν διάστημα λέγας εἶναι πεντήκοντα. διότι ὐκ ἦσαν ὐδὲ τριάκοντα. Εξ. 12. 37. ☞ 13. 20. ☞ 14. 2.

2 Κατὰ τὸ εἰρημένυ περὶ τῶν ἑξακοσίων ἁρμάτων τῶν ὑπὸ τῦ Φαραὼ ληφθέντων εἰς τὸ καταδιῶξαι τὺς Ἑβραίυς ἀντιπροτείνει τά „δὲ πάντα μὲν τὰ ἀχθοφόρα κτήνη ἀπώλοντο διὰ τῆς ἔκτης πλη„γῆς, πάντα δὲ τὰ πρωτότοκα ἀπέθανον διὰ τῆς ἐσχάτης (81).

Πρέπον ἦν αὐτῷ ἀνακαινίσαι θελήσαντι ταύτην τὴν τετριμ-
Κ. 39. μένην ἔνςασιν, τὴν ὑπ' αὐτοῦ προτεθεῖσαν ἐν τῇ περὶ τὴν ἱςορίαν φι-
λοσοφίᾳ αὐτοῦ, καταργῆσαι πρῶτον τὴν ἐμὴν πρὸς αὐτὸν, ἀπάντησιν.
Κ. 3. Ἀρθρ. 9. τὰς περὶ τὴν ἱς. φιλοσ. Εἶπον πρὸς αὐτὸν, ὅτι ὁ θάνατος ὁ κατακυριεύσας τότε τῶν πολυει-
δῶν ζώων, „εἴτουν ἵππων, καμήλων, βοῶν, προβάτων, κτ. οὐκ ἀπώ-
„λεσε πάντα τὰ ζῶα. καθ' ἑκάςην δὲ ☾ ἡμεῖς, ὅτε ἐπιδημητικὴ νόσος
„παντοίων ζώων πλῆθος φθείρει, λέγομεν, ὅτι θνήσκουσι πάντα τὰ
„ζῶα. κατὰ ταύτην δὲ τὴν ἔννοιαν ἐκλαμβάνεται ἡ τοῦ Μωϋσέως Φρᾶ-
Κ'ε. 9. 6. „σις, Ἐτελεύτησε πάντα τὰ κτήνη. δῆλον δὲ τοῦτο ἐκ τῶν εὐθὺς ἑπο-
„μένων τοῦ νομοθέτου ῥημάτων, δηλούντων, ὅτι μετὰ τὴν πέμπτην πλη-
„γὴν ἄλλα μὲν τῶν κτηνῶν, καὶ ταῦτα πολλὰ, καθηλκώθησαν, ἄλλα,
„δὲ ἀπέκτεινεν ἐν τῷ πεδίῳ ἡ χάλαζα. Ἡ ἀπάντησις αὕτη, ἧς αὐτὸς
„οὐχ ἥψατο, ὑφιςαμένη σὺν πάσῃ τῇ ἰσχύϊ αὐτῆς, προτίθησιν ἀπό-
δειξιν ἐμφαίνουσαν κατ' αὐτὸ τὸ γράμμα τὴν τούτου κακοπιςίαν."

3 „Ὁ Ἰώσηπος, προςίθησιν ὁ αὐτὸς, ὡς οὐδὲν λογιζόμενος τὸ
„θαῦμα τῆς διαβάσεως διὰ τῆς ἐρυθρᾶς θαλάσσης, λέγει, τὸ αὐτὸ
„σχεδὸν συνέβη, ὅτε ὁ μέγας Ἀλέξανδρος διεπορεύετο διὰ τῆς πα-
„ραλίας τοῦ Παμφυλίου πελάγους."

Λαλεῖ ὥσπερ ἂν εἰ ἡ κατὰ πάντα ἐλλειπὴς παράθεσις, ἡ ὑπο
τοῦ ἱςορικοῦ συγγραφέως Ἰωσήπου, τοῦ ἐπὶ Οὐεσπισιανοῦ ἀκμάσαντος,
κατασκευασθεῖσα, ἠδύνατο ἐξουδενῶσαι τὸ θαῦμα, τὸ ὑπὸ τοῦ αὐτοῦ
ἱςορικοῦ πιςευόμενον, ὑπὸ δὲ τῶν Ἑβραίων συγγραφέων ἐπιφημιζόμε-
νον κατὰ ἀδιάκοπον ἀκολουθίαν ἄχρις αὐτῆς ἀνιοῦσαν τῆς ἡμέρας, καθ'
ἣν γέγονε. δῆλον δὲ ἐξ αὐτῆς τῆς φράσεως αὐτοῦ πεπεισμένον εἶναι
τὸν Ἰώσηπον, ὅτι θαυμασιώδης ἦν ἡ διὰ τῆς ἐρυθρᾶς θαλάσσης διά-
βασις. „Τοσαῦτα, φησὶν, ἐπιθειάσας, (ἴσ. ἐφοσιώσας) τύπτει τῇ βακ-
„τηρίᾳ τὴν θάλασσαν. ἡ δ' ὑπὸ τῆς πληγῆς ἀνεκόπη, ☾ εἰς εαυτὴν
„ὑποχωρήσασα, γυμνὴν ἀφίησι τὴν γῆν, ὁδὸν Ἑβραίοις εἶναι καὶ φυγήν.
„Μωϋσῆς δὲ ὁρῶν τὴν ἐπιφάνειαν τοῦ Θεοῦ, καὶ τὸ πέλαγος ἐκκεχωρηκὸς
„αὐτῇ τῆς ἰδίας ἠπείρου, πρῶτος ἐνέβαινεν αὐτῇ, καὶ τοὺς Ἑβραίους
„ἐκέλευεν ἕπεσθαι διὰ θείας ὁδοῦ ποιουμένους τὴν πορείαν, καὶ τῷ κινδύνῳ
„τῶν παρόντων πολεμίων ἡδομένους, καὶ χάριν ἔχοντας διὰ τὴν παρά-
„λογον οὕτως ἐξ αὐτοῦ σωτηρίαν ἀναφανεῖσαν." Τὶς δ' ἄρα δυναται
δι' ἐμφαντικωτέρων ῥημάτων ὁμολογῆσαι τὸ θαῦμα; ἐὰν δέ μετὰ
ταῦτα ὁ Ἱςορικὸς οὗτος κακῇ εἶξας ἐπιθυμίᾳ τοῦ ἀποδείξαι τοῖς ἐθ-
νικοῖς πειθανοτέραν τὴν τῶν ἱερῶν συγγραφέων διήγησιν, ἠθέλησε
παραβαλεῖν αὐτὴν τῇ τῶν Ἑλλήνων Ἱςορίᾳ τῇ περὶ τῆς διαβάσεως
τοῦ Ἀλεξάνδρου διὰ τῆς Παμφυλίου θαλάσσης, (282) τοῦτο οὐ πεποίη-

κεν.

κεν, εἰμὴ αὐτὸς ἑαυτῷ ἀντειπών. τῷ ὄντι γὰρ, πῶς ἄντις παρεβάλλη δύω ϗ ἐπέκεινα μιλλιόνια ἀνθρώπων, ἀβρόχοις ποσὶ διελθόντων ἐν μιᾷ νυκτὶ σὺν τοῖς ποιμνίοις ϗ τῇ ἀποσκευῇ αὐτῶν μέρος πελάγους ὑποπλατὺ λέγαις δυσὶ, τῆς θαλάσσης διχῇ διαιρεθείσης, ϗ καταλιπούσης αὐτοῖς ἐλευθέραν τὴν διάβασιν, τριάκοντα ϗ πέντε χιλιάσι στρατιωτῶν, οἵτινες μέχρις ὀμφαλῦ βαπτιζόμενοι, ὅλην τὴν ἡμέραν διεπορεύοντο, ἵνα διέλθωσι τὴν ἐπὶ τῷ ἀιγιαλῷ στενὴν πάροδον, τὴν ὑπὸ τῶν κυμάτων καλυπτομένην; οὐ τοῦτο καταντᾷ αὐτὴ ἡ τοῦ Ἀλεξάνδρου διάβασις κατά τε τὸν Στράβωνα, ϗ τὸν Ἀρριανὸν, (283) ὧν ὁ μὲν φησιν ὅτι ὅλη ἡ στρατιὰ διέβη, ὁ δὲ μόνον τὸ ἥμισυ. τὸ δὲ λοιπὸν διὰ τῶν ὀρέων.

4. Οἱ ἄπιστοι διὰ τῶν παλιρροιῶν διερμηνεῦσαι θέλοντες τὴν διὰ τῆς ἐρυθρᾶς θαλάσσης διάβασιν, ἀντιλέγουσι τῇ τοῦ Μωϋσέως διηγήσει, ϗ τῇ βεβαίᾳ τοῦ γένους παραδόσει. καὶ τοὺς μὲν τοῦ τότε καιροῦ ἀνθρώπους ὑποτίθενται ὡς ἀνεσταλμένας ἔχοντας ἐννοίας, Ϛ πάσαις ταῖς τῆς Ἱσραϊτικῆς βεβαίτητος ἀρχαῖς ἀντιφερομένας, αὐτὴν δὲ τελευταῖον τὴν διὰ ταύτης τῆς θαλάσσης διάβασιν φυσικῶς μὲν ἀδύνατον, γενομένην ὅμως ἄνευ θαύματος.

Ἀντιλέγουσι τῷ Μωϋσῇ, Ϛ τῇ βεβαίᾳ, τῶν Ἰουδαίων παραδόσει.

„Ὁ Μωϋσῆς λέγει, ὅτι Ἐξέτεινε τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν Ἐξ. 14. 21.
„Ϛ ἐπῆγαγε εἰς τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκτα, 22.
„Ϛ ἐποίησε τὴν θάλασσαν ξηράν. καὶ ἐσχίσθη τὸ ὕδωρ. καὶ εἰσῆλ-
„θον οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν. καὶ τὸ
„ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων.“ Ἐν δὲ ταῖς παλιρροίαις τὸ ὕδωρ ἀφίσταται ἀπὸ τῆς γῆς, ἵνα τάχιστα ἐπανέλθῃ, ϗ διαιρεῖται δὲ διχῇ, οὐδὲ σωρεύεται ἐπὶ τὰ δεξιὰ καὶ ἀριστερὰ μέρη, οὐδὲ συνίστησι τεῖχος. περὶ δὲ τοῦ μεγάλου τούτου συμβάντος ὁ, τε Δαβὶδ ἐν τοῖς Ψαλμοῖς, καὶ ὁ Ἡσαΐας, καὶ ὁ Ἀββακοὺμ, καὶ ὁ συγγραφεὺς τῆς βίβλου τῆς Σοφίας λαλοῦσι καθάπερ καὶ ὁ Μωϋσῆς. ψαλ. 76. 16. ϗ 77. 13, 14. Ησ. 43. 16, 17. Ἀββ. 3. 15. Σοφ. 19. 7, 8.

Ὑποτίθενται οἱ ἄπιστοι τοὺς τοῦ τότε καιροῦ ἀνθρώπους ἰδέας ἔχοντας ἀνεσταλμένας Ϛ ἐξωδενώσας πᾶσαν ἠθικὴν βεβαιότητα.

Αἱ τῆς ἐρυθρᾶς θαλάσσης παλιρροιαι, Ϛ ἡ ὥρα τῆς πλημμύρας εἰκότως τοσοῦτον γνωσταὶ ἦσαν τοῖς Αἰγυπτίοις, τοῖς ἐν ταῖς παραλίαις οἰκοῦσι, ϗ τοῖς πολυχρόνοις τὴν Μαγδαλωντε ϗ Βεελσεπφῶν, τοὐλάχιστον ὅσον ϗ τοῖς παχυλωτέροις χωρικοῖς, τοῖς τὰς ἡμετέρας οἰκοῦσι παραθαλασσίας γνῶσιν ἔχει τοῦτο τὸ φαινόμενον. ἀλλὰ ϗ οἱ ἐν τάνει ϗ Γεζὲμ ἐγίνωσκον τοῦτο οὐχ ἧττον, ἢπερ οἱ ἐν Παρισίῳ, ϗ οἱ ἐν ταῖς πέριξ αὐτοῦ, τὰς ἐντῷ Βρετανικῷ ὠκεανῷ παλιρροίας.

ὅμως

ὅμως μέντοι οἱ Αἰγύπτιοι, λαὸς ὢν κατὰ τὴν κοινὴν γνώμην τοσοῦτον ἀρχαῖος, καὶ συνετὸς, καὶ εὐφυὴς, τοσοῦτον δὲ καὶ ὑπ' αὐτοῦ εὐφημούμενος τοῦ κριτικοῦ, ἐπὶ Μωϋσέως, συνέκειτο πάντως ἐξ ἀμετρήτου πλήθους μωρῶν, κατακρημνισθέντων εἰς τὴν θάλασσαν, ὅτε ἐπαναστρέφειν ἤρχετο, μηδὲ τὴν παλίρροιαν αὐτῆς συλλογισθέντες, μηδὲ τὸν φωτίζοντα αὐτοὺς πανσέληνον καιρὸν, μηδὲ τὰς ἐν ταῖς ἰσημερίαις παλιρροίας. οὐδεὶς δὲ οὐδὲν τούτων ἐδήλωσεν οὐδὲ τῷ Βασιλεῖ, οὐδὲ τοῖς ἀρχηγοῖς, ἀλλὰ πάντες ἀπώλοντο. οἱ δὲ Ἑβραῖοι ὄχλος ἦσαν ἀνοήτων, οἵτινες καίπερ οὐ μακρὰν τῆς ἐρυθρᾶς θαλάσσης γεννηθέντες, καὶ αὐτόπται γεγονότες τὴν καθ' ἑκάστην ἡμέραν συμβαινούσης παλιρροίας, ἐξ αὐτῆς ὅμως τῆς ὥρας, ἐν ᾗ αὐτὴν διῆλθον, ἄχρις οὗ εἰς τὸ ὄρος κατήντησον τὸ Σινᾶ, θαῦμα ἐλογίζοντο τὸ κατὰ πᾶσαν ἡμέραν εὐτάκτως γινόμενόντε καὶ ὁρώμενον, καὶ τοιοῦτον γνωριζόμενον παρὰ πάντων τῶν τὴν παραλίαν οἰκούντων. ἀλλὰ τὸ ὑποτίθεσθαι πάντας τοὺς δύω πολυάριθμα γένη συγκροτοῦντας, οὕτως ἀνεσραμμένα διαλογιζομένους, ταυτόν ἐστι τῷ ἐξουδενεῖν πάσας τὰς τῶν ὁμηγύρεων ἀρχὰς.

Τελευταῖον οἱ ἄπιστοι ὑποτίθενται τὸ κατὰ φύσιν ἀδύνατον, ὅπερ ἐστὶ τὸ, ὅτι ἄνθρωποι πάσης ἡλικίας, ἄρρενός τε καὶ θηλυκοῦ γένους, δυσὶ τοὐλάχιστον μιλλιονίοις ἰσάριθμοι, πεφορτισμένοιτε ταῖς ἀποσκευαῖς αὐτῶν, καὶ ἐπακολουθούμενοι ὑπὸ πολυαρίθμων ποιμνίων ἐδυνήθησαν ἐν ὥραις ἕξ, καθ' ἃς ἡ ἐρυθρὰ θάλασσα καταλείπει ξηρὰν τὴν τὸν κόλπον αὐτῆς περατοῦσαν ψάμμον, ὑπερπηδῆσαι τούτου τοῦ κόλπου τὸ βάθος, καὶ οὕτως ἐκπεράσαι ἀπὸ τῆς Αἰγύπτου εἰς τὴν Ἀραβίαν.

ὁρα τὴν Διάλ. τοῦ Καλμ. περὶ τῆς διαβ. τῆς ἐρυθρ. θαλ.

Κατὰ τὸν Βερνιούρον ἐν τῇ πρὸς τὸν κύριον Δε-χαυμόντιον ἐπιστολῇ αὐτοῦ, καὶ τὸν Μορίζονα ἐν τῇ τοῦ ὄρους Σινᾶ περιηγήσει αὐτοῦ, καὶ τὸν Βελλόνιον ἐν ταῖς ἰδίαις παρατηρήσεσιν, ἡ ἐρυθρὰ θάλασσα ἐν ταῖς μεγάλαις αὐτῆς παλιρροίαις ἀνακαλύπτει ψαμμώδη ἀκτὴν διακοσίων πεντήκοντα, καὶ τριακοσίων ποδῶν, ὥστε τὰς ἐν τῷ Συεσίῳ λιμένι ναῦς, ἐν ὅσῳ ἡ παλίρροια διαρκεῖ, ἐν τῇ ξηρᾷ κεῖσθαι. ἔστι δὲ κατὰ τὸν Βελλόνιον ἐν τῷ τόπῳ τούτῳ τὸ τῆς ἐρυθρᾶς θαλάσσης πλάτος ἴσον τῷ μεταξὺ τοῦ Ἀρφλέουρ, καὶ τοῦ Οὐρφλεοὺρ, εἴτουν μιᾷ τελείᾳ λέγᾳ. διισχυρίζομαι δὲ, ὅτι κατὰ φύσιν ἀδύνατόν ἐστιν, ἀνθρώπους ἰσαρίθμους δυσὶ τοὐλάχιστον μιλλιονίοις σὺν πολυπληθεστέρῳ ζώων αριθμῷ. ἐν τούτοις γάρ ἵστατο ὁ τῶν Ἑβραίων πλοῦτος. καὶ σὺν τῇ ἀναγκαίᾳ τοσούτῳ πλήθει ἀποσκευῇ ἐν ἓξ ὥραις παραταχθῆναί τε καὶ διαπεράσαι τὸ ἀπὸ ἄκρας εἰς ἄκραν διάστημα, ὅπερ ἰσοπλατὲς μὲν ποσὶ διακοσίοις καὶ πεντήκοντα, ἰσόμηκες δὲ λέγᾳ μιᾷ, ἣν διελθεῖν ἔμελλον

κόλεις τῆς Νορμανδίας.

ἐν

ἐν ὥραις ἓξ. ἀνάγω δὲ τὴν περὶ τούτου κρίσιν πρὸς πάντας τοὺς μαθηματικοὺς, καὶ στρατιωτικοὺς καὶ ἐπιτηρητὰς τῶν γεφυρῶν καὶ γαιολόφων. τὸ δὲ νομίζειν τὴν διὰ τῆς ἐρυθρᾶς θαλάσσης διάβασιν κατὰ φύσιν ὑπὸ τῆς παλιρροίας γεγονεῖαν ἐκ χίμαιρα ὑπὸ τῶν ἀπίστων ἐφευρεθεῖσα, ἀπελπισθέντων μὲν παντὸς λόγου, συναισθανθέντων δὲ, ὅτι ἀδύνατόν ἐστιν ἀνασκευάσαι τὸ ὑπὸ τοῦ Μωϋσέως ἱστορούμενον, καὶ ὑπὸ τοῦ ἰουδαϊκοῦ γένους διαπαντὸς πιστευόμενον.

ΆΡΘΡΟΝ Β'.

Περὶ τῆς νομιζομένης τῶν θύραθεν σιωπῆς περὶ τῆς διαβάσεως διὰ τῆς ἐρυθρᾶς θαλάσσης.

1. Ταῦτα κατανοήσας ὁ κριτικὸς, εὐδεμίαν ἄλλην εὗρε καταφυγὴν, εἰμὴ τὸ ἀποδάσαι διαστεῖραι ἀμφιβολίας περὶ αὐτῆς τῆς ἔργου ὑπάρξεως. „Ἄλλο, φησὶ, θαῦμά ἐστι τὸ, μηδένα μὲν τῶν Αἰγυπτίων „συγγραφέων μηδέποτε λαλῆσαι μηδὲ περὶ τοῦ φοικώδους τούτου θαύ„ματος, μηδὲ περὶ τῶν ἄλλων τῆς Αἰγύπτου πληγῶν. μηδὲν δὲ τῶν „ἐν κόσμῳ ἐθνῶν ἀκοῦσαίποτε λόγον, μηδὲ περὶ τούτου τοῦ συμβάντος, „μηδὲ περὶ τῶν πρὸ αὐτοῦ γεγονότων. (284.)

Ἐπαναλαμβάνει ἀνερυθριάσως τὸ ὑπ' ἐμοῦ πρὸ δυωκαίδεκα ἐτῶν ἀνασκευασθέν. εἶπον αὐτῷ τότε. „Ἐπειδὴ δὲ ἀγνοεῖ τὰ συμβεβη„κότα τὰ ἐξαφανίσαντα πολλὰς τῶν Αἰγυπτιακῶν ἀρχαιοτήτων, (τοιοῦτον κατ' αὐτὸν (285) ἡ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης κατάφλεξις) θαυμάζειν αὐτῷ δὲ χρὴ περὶ τῆς σιωπῆς τῶν ὑπομνημά„των. ἅπερ διεφύλαττον ἂν ταῦτας, εἰ μὴ τοῦ πυρὸς ἐγένοντο πα„ρανάλωμα. γελοιῶδες δέ ἐστι τὸ ζητεῖν, διατὶ οἱ Αἰγύπτιοι, ἔθνος „τοσοῦτον ματαιόφρον καὶ δεισιδαίμον, ὥστε καὶ μύθους ἐπὶ μύθων ἔπλα„σαν, ἵνα ὑπὲρ τὰ ἄλλα ἔθνη ὑψωθῶσιν, οὐκ ἦσαν τοσοῦτον εἰλικρι„νεῖς, ὥστε καὶ τὰ ταπεινοῦντα αὐτοὺς καθιερῶσαι, τὰ καὶ δεικνύντα „τοὺς μὲν Θεοὺς αὐτῶν ἀσθενεῖς, τὴν δὲ θρησκείαν αὐτῶν ψευδῆ. προ„θεὶς δὲ τὸ, τὴν ἀλήθειαν καὶ κατ' αὐτῶν τῶν τεχνευμάτων τῶν πα„λαιῶν Αἰγυπτίων ὑπερισχύσασαν μαρτυρηθῆναι καὶ ὑπὸ τῶν ἐθνικῶν „συγγραφέων, εἰς μέσον πρόθηκα Διόδωρον τὸν Σικελιώτην λέγον„τα. (286) τὰ ἰχθυοφάγα γένη, τὰ τὴν πρὸς θυσμὰς παραλίαν τῆς „ἐρυθρᾶς θαλάσσης οἰκοῦντα, ἐκ παραδόσεως ἴσασιν, ὅτι ἄλλο τέ πο„τε αὐτὴ μὲν ἡ θάλασσα σφοδρᾷ ἀμπώτιδι ἠνοίγη, τὸ δὲ βάθος αὐ„τῆς ξηρὸν ἀνεφάνη, καὶ χλόῃ κεκαλυμμένον. εἶτα σφοδρᾶς πάλιν

Κ. 3. Ἀρθρ. Τοπερασθ. τῶν βιβλ. τῆς καλ. Διαθ.

Διοδ. β. 3. κ. 3.

ἐπι-

„ἐπιγενομένης παλιρροίας, ἐπισυνήφθη τὰ ὕδατα. Σημειώτας δὲ ὅτι
„αἱ μὲν συνήθεις παλιρροιαι, κἂν ὁποιαισῆποτε ὦσιν, ὰ διαχωρίζυσι
„τὰ ὕδατα. ἡ δὲ, περὶ ἧς λαλεῖ ὁ Διόδωρος, ἐπειδὴ τὴν θάλασσαν
„ἤνοιξε, ϗ διχῆ αὐτὴν διεῖλεν, ἐμφαίνει προδήλως τὸ παρ' Ἑβραίοις
„πολυθρύλλητον θαῦμα. παρεθηκα ϗ τὴν τῦ Ἀρταπάνυ ῥῆσιν,
Exod. 8. 9. c. 27. coll. 1 Esdr. „διαλαμβάνυσαν τάδε. Καὶ Μεμφίτας μὲν λέγειν, ἔμπειρον ὄντα
„τὸν Μωϋσῆν τῆς χώρας, τὴν ἄμπωτιν τηρήσαντα, διὰ ξηρᾶς
„τῆς θαλάσσης τὸ πλῆθος περαιῶσαι. Ἡλιοπολίτας δὲ λέγειν, ἐκ-
„καταθραμεῖν τὸν Βασιλέα μετὰ πολλῆς δυνάμεως, ἅμα ϗ τοῖς κα-
„θιερωμένοις ζώοις, διὰ τὸ τὴν ὕπαρξιν τὰς ἱερὰς τῶν Αἰγυπτίων
„χρησαμένυς διακομίζειν. τῷ δὲ Μωϋσῆ, θείαν φωνὴν γενέσθαι, πα-
„τάξαι τὴν θάλασσαν τῇ ῥάβδῳ, τὸν δὲ Μώϋσον ἀκόντα ἐπι-
„θήγειν τῇ ῥάβδῳ τὸ ὕδατος, ϗ ὕτω τὸ μὲν νᾶμα διαςῆναι, τὴν δὲ
„δύναμιν διὰ ξηρᾶς ὁδὸν πορέυεσθαι, κτ. Πρὸς τύτοις δὲ ϗ τὸν ἱερέ-
Ios. c. 36. „νον εἰς μέσον ἤγαγον, λέγοντα μετὰ τὸν Πομπήιον ϗ τὸν Τρῶγον.
„Ὁ Μωϋσῆς φεύγων, ἥρπασε τὰς τῶν Αἰγυπτίων θεὰς, οἱ δὲ κατε-
„δίωξαν μὲν αὐτὸν, ἠναγκάσθησαν δὲ ὑπὸ τῶν καταιγίδων ϛραφῆναι
„εἰς τὰ ἴδια." Τελευταῖον ἔδειξα, ὅτι τύτων τῶν μεγάλων συμβάν-
1. Βασ. 4. 8. Ἰωδ. 11 12, 13. Ez. 2. 10. „των ἡ μνήμη σέσωςαι παρὰ τοῖς Φυλισταίοις ϗ Ἀμμωνίταις, τοῖς
„διηνεκέσι τῶν Ἑβραίων ἐχθροῖς. Τί δὲ πρὸς ταῦτα ἀπεκρίθη ὁ ἰσο-
„ρικὸς Φιλόσοφος; ὐδὲ ἓν ῥῆμα. τὶς ὢν μὴ θαυμάσει, ὁρῶν μεθ'
„ὅσης τῆς αὐθαδείας προβάλλει ἐνταῦθα, ὅτι ὐδὲν τῶν ἐν κόσμῳ,
„ἐθνῶν ὐδέποτε ἤκυσε λόγον, ὐδὲ περὶ τύτυ τῦ συμβάντος, ὐδὲ πε-
„ρὶ τῶν πρὸ αὐτῦ προγεγονότων;"

2. Τελευταῖον ὃ πάνυ πειθανὸν αὐτῷ δοκεῖ, ὅτι οἱ Ἑβραῖοι φυγόντες τοιῦτον μέγαν κίνδυνον, παραχρῆμα ἐδυνήθησαν ᾆσαι τὴν „ᾠδὴν, τὴν τότε εὐθὺς ὑπὸ τῦ Μωϋσέως συντεθεῖσαν." (287)

Ὁ Φιλόσοφος ὗτος, ὡς ἔοικεν, ἐπειδὰν φόβῳ συνείχετο, πολλῦ ἔχρηζε χρόνυ πρὸς τὸ ἐπανελθεῖν ἐν τῇ ἀφόβῳ αὐτῦ καταςάσει. ἐπικρινας δὲ, ὡς δοκεῖ, ἐκ τῆς ἰδίας αὐτῦ εὐφυίας τὴν τῦ Μωϋσέως, ἐμέτρησε τὸ ποσὸν τῦ ὑπὸ τῦ νομοθέτυ τῶν Ἑβραίων καταβληθέντος πόνυ ὑπὲρ τῦ θαυμασίυ αὐτῦ ἄσματος, τῷ καιρῷ, ϗ τῇ ἐπιμελείᾳ, ἣν αὐτὸς καταναλίσκει πρὸς τὸ συγγράψαι μίαν ᾠδήν. ἀλλ' ὐκ ἔδει ἄραγε αὐτῷ εἰδέναι, ὅτι οἱ ἱεροὶ συγγραφεῖς ἦσαν ψάλται, ἧς καταςάσεως αὐτῦ κατὰ πάντα διαφέροντες; ἐςὶ δ' ἄρα θαυμαςὸν τὸ, ὅτι οἱ Ἑβραῖοι ὁδοιπορήσαντες ὥρας δώδεκα, ὅπερ ἐςὶν ἀπ' ἀρχῆς τῆς νυκτὸς ἄχρι πρωΐας, ϗ διελθόντες τὸ μεταξὺ τῶν δύω παραλίων διάςημα, τῆς τε ἀφ' ἧς ἀνεχώρησαν, ϗ τῆς ἐν ᾗ ἦλθον, ἤτοι τὸ ἐν μέσῳ Μαγ-

δώλυ

δώλου καὶ Βεελσεπφὼν, ὅπερ ἐστὶ λεγῶν περί που δύω, εἶχον ἱκανὴν ἰσχύν καὶ ῥώμην εἰς τὸ ἐπαναλαμβάνειν τοὺς στίχους τῆς ᾠδῆς ταύτης οὕτως ὥσπερ ὑπὸ τοῦ Μωϋσέως ἐξεφωνοῦντο, καὶ ψάλλειν τε καὶ ἑορτάζειν τὴν ἀπολύτρωσιν αὐτῶν; ἀληθῶς δὲ ἠναγκάσθη ὁ κριτικὸς προσαγορεῦσαι τὴν ἔνστασιν ταύτην εὐτελῆ τε καὶ γελοῖαν, ὥσπερ καὶ τὰς δύω ἑπομένας. (288) διὸ δὲ ἀπήλλαξέ με οὐ μόνον ἀπὸ τοῦ ἀνασκευάσαι, ἀλλὰ καὶ ἀπὸ τοῦ ἀναμνησθῆναι αὐτῶν.

ΚΕΦΑ'ΛΑΙΟΝ ϛ'.

Περιέχον τὴν ἀκολουθίαν τῶν ἀπαντήσεων πρὸς τὰς κατὰ τοῦ βιβλίου τῆς Ἐξόδου προτεθείσας δυσκολίας.

Α῎ΡΘΡΟΝ Α'.

Περὶ τῆς ὑπὸ τοῦ κριτικοῦ κακῶς τοῖς Ἑβραίοις ἁρμοζομένης τοῦ Σικελιώτου Διοδώρου ῥήσεως, τῆς περί τινων Αἰγυπτίων λῃστῶν.

1. „Ὁ Σικελιώτης Διόδωρος (βιβ. 1. κεφ. 12.) διηγεῖται, φησὶν „αὐτὸς, ταῦτα· Εἷς τῶν τῆς Αἰγύπτου Βασιλέων, Ἀκτισάνης κα„λούμενος, τεμών ποτε τὰς ῥίνας λῃστῶν τινῶν, πᾶσαν τὴν Αἴγυπ„τον ταῖς λῃστείαις αὐτῶν ἐπηρεασάντων, ἐξορίστους ἀπέστειλεν ἐν τῷ „τῶν ἐμφυλίων πολέμων καιρῷ εἰς τὸ Ῥινοκόλουρον, τὸ ἐν τῇ εἰσόδῳ „κείμενον πασῶν τούτων τῶν ἐρημιῶν· Ῥινοκόλουρον δὲ ἑλληνιστὶ σημαί„νει τὸν κολοβόῤῥιν. ἔλαβε δὲ, ὡς ἔοικεν, ὕπαρξιν ἡ λέξις αὕτη, ἀπὸ „τοῦ αἰγυπτιακοῦ ῥήματος Ῥινοκόλουρον μετενεχθεῖσα. οὗτοι δὲ οἱ λῃσταὶ „οἰκήσαντες, ὥς φησιν ὁ Διόδωρος, τὴν ἔρημον Σὶν, νήματα κατε„σκεύασαν πρὸς τὸ θηρεύειν τὴν διὰ τῶν κλιμάτων τούτων διερχομέ„νην ὀρτυγομήτραν. οἱ δὲ ἄπιστοι καταχρώμενοι τῶν τοῦ Διοδώρου ῥη„μάτων, καθάπερ καὶ τῶν τῆς θείας Γραφῆς, νομίζουσιν ὁρᾷν ἐν τῇ „διηγήσει ταύτῃ τὴν ἀληθῆ τῶν Ἰουδαίων ἱστορίαν.

Ὅτε πρῶτον ἀνέγνων ταύτην τὴν σημείωσιν αὐτοῦ, ὑπώπτευσα, ὅτι αὐτὸς ἤτοι οὐ καλῶς ἀνέγνω τὸν Διόδωρον, ἢ ἠλλοίωσε τὰ ῥήματα αὐτοῦ. ὅτε δὲ τὴν βίβλον τούτου τοῦ ἱστορικοῦ ἤνοιξα, τότε εἰς βεβαιότητα μετεβλήθη ἡ ὑποψία μου. ἰδοὺ ἡ τούτου ῥῆσις ὁλόκληρος· „Ὁ „Ἀκτισάνης συνετὸς ὤν, εὖ χρησάμενος τῇ ἰδίᾳ εὐτυχίᾳ, καλῶς τε „διοικήσας τοὺς νέους αὐτοῦ ὑπηκόους, ἐπίσημον παρέσχε μετριοφροσύνης „ὑπόδειγμα τῇ περὶ τῶν λῃσταρχούντων ἐπιταγῇ αὐτοῦ. παιδεύσας γὰρ „αὐτοὺς, τῆς ζωῆς οὐκ ἐστέρησεν. ἀλλὰ συλλαβὼν αὐτοὺς πάντοθεν ὅπου

„ἦσαν διεσταρμένοι, καὶ ἀκριβῶς ἀνακρίνας, εἰς ἕνα τε συναγαγὼν τό-
„πον, καὶ ῥινοτομήσας, ἐξορίστους ἀπέστειλεν ἐν τῇ ἐσχατιᾷ τῆς ἐρήμου,
„κελεύσας αὐτοὺς οἰκοδομῆσαι ἐκεῖ, ἐν τοῖς ὁρίοις τῆς Αἰγύπτου καὶ τῆς
„Συρίας, πόλιν, Ῥινοκόλουρον, ἐκ τῆς ποινῆς, ἣν οἱ ἄθλιοι οὗτοι ὑ-
„πέστησαν, κληθεῖσαν. ἔστι δὲ ἡ μὲν πόλις ἐλλειπὴς πάντων σχεδὸν
τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, ἡ δὲ ἐν αὐτῇ γῆ ἄκαρπος καὶ ἁλατώ-
„δης, τὸ δὲ ἐκ τῶν ἐν τῇ περιοχῇ τῶν τειχίων αὐτῆς φρεάτων ἐκ-
„βλύζον ὕδωρ ἁλμυρόντε καὶ κατάπικρον. ἐπίτηδες δὲ μετέφερεν αὐ-
„τοὺς ἐκεῖ, ὅπως ἂν κεχωρισμένοι ὄντες τῶν ἄλλων πολιτῶν, μηδένα
„βλάπτειν δύνωνται, κρύπτοντες ἑαυτοὺς ἐν μέσῳ τοῦ ὄχλου. ἀλλ' ἡ ἀ-
„νάγκη, ἡ τῶν ἐπιτηδευμάτων μήτηρ ἐδίδαξεν αὐτοὺς εὑρεῖν ἐν αὐτῇ
„τῇ καθηρημωμένῃ πόλει τρόπον πορισμοῦ τῶν ἀναγκαίων. κατα-
„σκευάσαντες γὰρ ἐκ τοῦ ἐν τοῖς πλησίον πεδίοις φύοντος στυππίου νή-
„ματα, καὶ τείνοντες αὐτὰ παρὰ τὴν παραλίαν, θηρεύουσι τὴν ἀγελη-
„δὸν ἀπὸ τῆς θαλάσσης προσφοιτῶσαν ὀρτυγομήτραν, καὶ οὕτω τὰ
„πρὸς τὸ ζῆν πορίζονται (289).

Ἐν τοῖς δὲ τοῖς ῥήμασιν, ὡς ὁρῶμεν, οὐδεμίαν ὁ Διόδωρος ποι-
εῖται μνείαν τῆς ἐρήμου Σὶν, κἂν ὁ κριτικὸς παρέστησεν αὐτὸν, λέγον-
τα, ὅτι οἱ λῃσταὶ οὗτοι κατώκησαν τὴν ἔρημον Σίν. ἡ μὲν ἔρημος, δι'
ἧς οἱ Ἰσραηλῖται διερχόμενοι ἔφαγον τὴν ὀρτυγομήτραν ἔκειτο ἐν τῇ
Ἐξ. 16.1.13. τῆς ἐρυθρᾶς θαλάσσης ἀκτῇ, ἀναμέσον Αἰλεὶμ καὶ ἀναμέσον Σινά.
τὸ δὲ Ῥινοκόλουρον, ὅπου ὁ Ἀκτισάνης ἐξορίστους ἀπέστειλε τοὺς κακοποιοὺς,
πόῤῥω τῆς μεσογείου παραλίας, λέγας πεντήκοντα καὶ ἐπέκεινα. οἱ μὲν
λῃσταὶ, οἱ ὑπὸ τοῦ Ἀκτισάνου παιδευθέντες, ἐκρύπτοντο ἐν τῷ ὄχλῳ,
ἐν ᾧ οὐκ ἦν δυνατὸν εὑρεῖν αὐτοὺς, εἰμὴ μετὰ πολλῆς διαζητήσεως.
οἱ δὲ Ἰσραηλῖται διεγνωσμένοι τε ἦσαν, καὶ ἀπὸ τῶν Αἰγυπτίων ὑπο-
διεσταλμένοι, καὶ μηδόλως αὐτοῖς συμφύρεσθαι θέλοντες. οἱ μὲν λῃσταὶ
παιδευθέντες, καὶ φρουρηθέντες, ἔμειναν ὑπὸ τὴν χεῖρα τοῦ τῆς Αἰγύπ-
του Βασιλέως, τοῦ ἐν κώμῃ τινὶ περιφρουροῦντος αὐτοὺς, ὅπως ἂν μὴ δύνωνται
βλάψαι. οἱ δὲ Ἰσραηλῖται, οὐ μόνον κατὰ τὴν τοῦ Μωϋσέως διήγησιν, ἀλλὰ
καὶ κατὰ τὸν Μανεθόνα, καὶ κατὰ τὸν Τρῶγον τὸν Πομπήϊον, καὶ τὸν Ἰου-
στῖνον, καὶ τοὺς ἱερεῖς τῆς Μέμφεως. ὧν τὰς μαρτυρίας ἀνωτέρω παρέθηκα·
ἐξῆλθον ἐκ τῆς Αἰγύπτου πεφορτισμένοι τῶν σκύλων αὐτῆς, κἂν ὁ
Βασιλεὺς πάσαις δυνάμεσιν ἠγωνίσατο κατασχεῖν αὐτούς· τελευταῖον
Διόδ. β. 1. οἱ Ἰσραηλῖται, κατὰ τὸν Διόδωρον, εἶχον ἀρχηγὸν καὶ νομοθέτην τὸν
Μωϋσῆν, διισχυριζόμενον, ὅτι παρέλαβε τοὺς νόμους, καὶ τὰ προστάγ-
ματα παρὰ τοῦ Ἰαχόχ. ἁρμόζει οὖν τοῦτο τοῖς λῃσταῖς, περὶ ὧν ὁ αὐ-
τὸς Διόδωρός φησιν, ὅτι περιεφρουροῦντο ἐν τῷ Ῥινοκολούρῳ, ὅπως ἂν
μηδέ-

μηδένα βλάψαι δύνων); ἀληθῶς ἦν ὁ κριτικὸς ἀσκώδη ἀλλοίωσιν πεποιηκεν ἐν τοῖς τῦ Διοδώρυ ῥήμασι, μηδέποτε τὸ πρωτότυπον αὐτῶν ἀναγνύς.

2. Παρίσησι προσέτι ὁ αὐτὸς τὰς ἀπίσυς αὐτῦ ἐνισαμένυς, ἢ λέγονλας. „Εἴπερ οἱ Ἰσραηλῖλαι τρεῖς ὁλοκλήρυς ἡμέρας ἄποτοι ἐπο„ρεύοντο διὰ τῆς ἐν τῇ ἐρήμῳ Σὶν κεκαυμένης ἄμμυ, ἐξέπνευσαν ἂν „ἐκ τῆς δίψης αἱ γυναῖκες αὐτῶν ἢ τὰ παιδία.

Ἀλλὰ πῦ σεσημείῳ), (290) ὅτι οἱ Ἰσραηλῖλαι ἐπορεύθησαν ἡμέρας τρεῖς ἄποτοι; τῦλο μόνον εἴρη). „Καὶ παρενέβαλον ἐν Ῥαφι- Ἐξ. 17. 1.
„δεὶν· ὐκ ἦν δὲ ὕδωρ τῷ λαῷ πιεῖν. Τῦτο δὲ ἆρά γε ἐςὶ τὸ σημαῖνον, ὅτι ὐκ ἔπιον ἐν ταῖς προλαβύσαις τρισὶν ἡμέραις;

3. „Οἱ ἄπισοι προσιθέασι ἢ τό δε. Ὁ Κατὰ τῦ Ἀμαλὴκ πό„λεμ@ ὐδεμίαν προεξένησε τοῖς Ἰυδαίοις ὠφέλειαν.

Λαλεῖ ὥσπερ ἂν εἰ ἀνωφελὲς ἦν τῷ λαῷ τοξευομένῳ καθ' ὁδὸν Ἐξ. 17. 8.
ἀντιπλήττειν εὐτόχως τὺς ἐπιχειρῦνλας ταράτλειν αὐτόν· ἢ ὥσπερ ἂν ἢ ἀνωφελὲς ἦν τῷ λαῷ μικρόντι ἐξησκημένῳ ὄντι ἐν τοῖς ὅπλοις, μαθεῖν τὴν ἐπωφελῆ τύτων χρῆσιν, κινδύνυ προκειμένυ· ἢ ὥσπερ ἂν εἰ ἀνωφελὲς ἦν τῷ λαῷ γνῶναι, ὅτι ἄνευ τῆς ἐπιμόνυ προσασίας τῦ μονάρχυ & ὑπερασπισῦ αὐτῶν, τῦ ἀνακηρύξαν@ ἑαυτὸν ὁδηγόν τε ἢ Βασιλέα αὐτῶν, ὃ δύναλαι διαφυλάξαι αὐτὸν τὸ τῶν πολεμιῶν πλῆθος.

Ἄ ΡΘΡΟΝ Ε.

Περὶ ἧς ἐλάλυν διαλέκτυ οἱ ἐξ Αἰγύπτυ ἐξελθόνλες Ἑβραῖοι.

1. Ἀπορία συνεχόμεν@ δοκεῖ ὁ φιλόσοφ@ περὶ τῆς διαλέκτυ, ἣ ἧς ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ὄρει τῷ Σινᾷ, θέλων καλαληπτὰ γενέσθαι τοῖς Ἑβραίοις τὰ ὑπ' αὐλῦ λεγόμενα. „Χρὴ, φησὶν, ὑποθέσθαι τὸν „Θεὸν λαλῆσαι αἰγυπτίᾳ διαλέκτῳ. διότι ἐῤῥέθη ἐν τῷ ὀγδοηκοςῷ „Ψαλμῷ, ὅτι οἱ Ἰυδαῖοι ἐξέτησαν, μὴ καλανοῦντες τὴν πέραν τῆς ἐ„ρυθρᾶς θαλάσσης λαλυμένην γλῶσσαν. (291) ..... Ἐὰν ἡ Πενλά„τευχ@ ἐγράφη ἐν τῇ ἐρήμῳ, ὐκ ἄλλως ἐγράφη, εἰμὴ Αἰγυπτίᾳ „διαλέκτῳ. διότι οἱ Ἑβραῖοι μήπω εἰσελθόντες εἰς τὴν γῆν Χαναάν, ὐκ ἠδύναντο εἰδέναι τὴν τῦ ἐκεῖ λαῦ γλῶσσαν, ἥτις μετὰ ταῦλα ἦν „ἡ Ἑβραική. ἔξεσι δὲ ὑποθέσθαι, ὅτι ἡ Πενλάτευχ@ μετὰ ταῦλα, μετηνέχθη εἰς τὴν τῆς Παλαισίνης διάλεκτον, παραφυάδα ὖσαν τῆς „Συριακῆς.

Εὐχερὲς τυχὸν τὸ ἀποδεῖξαι, ὅτι αὐτὸς οὐ μᾶλλον τῆς Ἑβραϊδος καὶ χανανίτιδος διαλέκτου κατανοεῖ τὸν ὀγδοηκοστὸν Ψαλμόν. ἀλλ' ἵνα μὴ ἐμαυτὸν ἐμβάλλω εἰς ἐρεύνας μικρόντι ἀναγκαίας τῷ ἐμῷ σκοπῷ, κείσθω ἀληθεῖς εἶναι τὰς αὐτοῦ ὑποθέσεις. καὶ τὸν μὲν ὀγδοηκοστὸν Ψαλμὸν λέγειν. ὅτι οἱ Ἰουδαῖοι οὐ κατενόουν τὴν πέραν τῆς ἐρυθρᾶς θαλάσσης λαλουμένην γλῶσσαν. τὴν δὲ Χανανίτιν διάλεκτον αὐτὴν εἶναι τὴν Ἑβραϊκήν. διϊσχυρίζομαι ὅμως κατ' αὐτοῦ, ὅτι μόνον κακός τις διαλεκτικὸς, ὥσπερ ἐστὶν αὐτὸς, ἐπιφέρει τὸ, ὁ Θεὸς οὐκ ἐλάλησε τοῖς Ἑβραίοις εἰ μὴ Αἰγυπτίᾳ διαλέκτῳ. Ἡ πέραν τῆς ἐρυθρᾶς θαλάσσης λαλουμένη διάλεκτος ἦν ἡ Ἀραβική. ἐπειδὴ οὖν οἱ Ἰσραηλῖται κατανοῆσαι οὐκ ἠδύναντο τὴν Ἀραβικὴν φωνὴν, ἕπεται ἐκ τούτου, ὅτι οὐδεμίαν ἄλλην ἠδύναντο κατανοῆσαι, εἰ μὴ μόνην τὴν Αἰγυπτίαν; ὁ Ἀβραὰμ καὶ ὁ Ἰσαὰκ οὐκ εἶχον διάλεκτον ἰδίαν, ἥτις οὐδὲ ἡ Αἰγυπτία ἦν, οὐδὲ ἡ Ἀραβική; ταύτῃ τῇ τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ διαλέκτῳ οὐκ ἐλάλει ὁ Ἰακὼβ καὶ ἡ οἰκία αὐτοῦ, ὅτε ἦλθον κατοικῆσαι ἐν Αἰγύπτῳ; ταύτην δὲ διετήρησαν πάντως, συνημμένοι ὄντες ἐν τῇ γῇ Γεσέμ. κἂν δὲ διὰ τὴν ἐξ ἀνάγκης συνεχῆ τῶν Αἰγυπτίων συγκοινωνίαν μανθάνειν ἠναγκάζοντο τὴν Αἰγυπτίαν, οὐκ ἐπελάθοντο ὅμως τῆς πρώτης, δι' ἧς συνεχῶς ἀλλήλοις συνελάλουν. ὁ δὲ Θεὸς τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ οὐκ ἀπηξίωσε λαλῆσαι τοῖς ἀπογόνοις αὐτῶν τῇ τῶν πατέρων αὐτῶν ἑβραΐδι διαλέκτῳ, τῇ παρ' αὐτοῖς διαπαντὸς διασωθείσῃ. Ἐὰν δὲ ἡ Χανανίτις φωνὴ ἡ αὐτῇ ἐντελῶς ἦν τῇ ἑβραΐδι, ὡς ὁ κριτικὸς διατείνεται, οὐδὲ πρέπον ἦν, οὐδὲ δυνατὸν, τὴν Πεντάτευχον, γεγραμμένην οὖσαν τῇ Ἑβραΐδι μετενεχθῆναι εἰς τὴν Χανανίτιν. ἐὰν δὲ ἡ Χανανίτις παραφυὰς ἦν τῆς τῶν Σύρων, ὡς ὁ αὐτός φησιν *), ἡ Χανανίτις τῷ τῶν ἀρχῶν λόγῳ ὑπῆρχεν ἡ αὐτὴ τῇ τοῦ Ἀβραὰμ, καὶ τῇ τῆς οἰκίας αὐτοῦ, ἐν ὅσῳ αὐτὸς κατώκει τὴν ἐν τῇ Συρίᾳ Μεσοποταμίαν, ὅπου ὁ Θάῤῥα ὁ πατὴρ αὐτοῦ ἐπέθανεν, ὅπου ὁ Ναχὼρ ὁ ἀδελφὸς αὐτοῦ ὤκησεν, ὅπου ὁ Ἰακὼβ ἔτη εἴκοσι διέτριψεν. οὕτως οὖν τὰ ὑπὸ τοῦ κριτικοῦ ὁμολογούμενα, τοῖς πράγμασι συμπίπτοντα, τὰ τούτου ψεύδη ἀνασκευάζουσιν.

2. Αἱ παρ' ἡμῶν προτεθεῖσαι ἀποδείξεις περὶ τοῦ κύρους τῆς Πεντατεύχου καὶ τῶν ἄλλων τῆς θείας Γραφῆς βιβλίων, καὶ τῆς ἀληθείας

τῶν

*) Ὁ Μ. Λ. ὁ Βαρθολομαῖος ἐν τοῖς σημειώμασιν εἰς τὰ τῶν Φοινίκων ὑπομνήματα ἔδειξεν, ὅτι ἡ τῶν Φοινίκων διάλεκτος σχέσιν ἔχει εὐθυτέραν τῇ Σύρᾳ ἤπερ τῇ Ἑβραίᾳ γλώσσῃ.

τῶν ἐν αὐτοῖς περιεχομένων, ἀπαλλάττουσί με τῆς ἀπαντήσεως τῆς ἑξῆς ἀκαταστάτου τε καὶ εὐτελοῦς ἐνστάσεως. „Οὐ διὰ τὸ εἶναι τὸ βιβλί„ον παλαιὸν, μᾶλλον ἀληθὲς ὑπάρχει, ἀλλὰ τοὐναντίον, διότι πάντα „μὲν τὰ παλαιὰ βιβλία ὑπὸ ἱερέων ἐγράφησαν, καὶ ἦσαν σπανιώτατα, „ἡ δὲ ὀρθὴ τῆς ἐπικρίσεως ἐπιστήμη ἦν πάντη ἄγνωστος. διὸ πᾶς συγ„γραφεὺς τῇ ἰδίᾳ ἐδούλευε φαντασίᾳ.

Ταύτας τὰς ματαίας δυσκολίας, τὰς ἀπὸ τῶν ὑποψιῶν τῆς ἀπιστίας παραγομένας, ἐξουδένωσαν αἱ ἐν τῇ προοιμίῳ τοῦδε τοῦ βιβλίου εὐσταθεῖς ἀρχαὶ, ἃς ἐπὶ τῇ ἀδιακόπῳ ἐπεστήριξα σειρᾷ τῆς παραδόσεως, ἣν προαγαγὼν ἀπὸ τῶν καθ' ἡμᾶς ἡμερῶν ἄχρι τοῦ Μωϋσέως, παρέθηκα καὶ τὰς ὑπὲρ αὐτῆς ἀποδείξεις, τῇ τάξει ἑπόμενος, καθ' ἣν περὶ ἑκάστου τῶν ἁγίων ἡμῶν βιβλίων διέλαβον. Ἐὰν δὲ δεκταὶ λογισθῶσιν αἱ τῶν ἀπίστων ἰδέαι, ἀνάγκη ἀμφιβάλλειν οὐ μόνον περὶ τῆς ἱστορίας τοῦ Κύρου, καὶ Κρόισσου, καὶ Ῥωμύλου, καὶ Πισιστράτου, καὶ πάντων τῶν πρὸ τῶν Ὀλυμπιάδων γενομένων ἐν τῇ Ἑλλάδι ἔργων, ὥς φησιν ὁ κριτικὸς, ἀλλὰ καὶ περὶ πάσης, ἄνευ ἐξαιρέσεως, τῆς ἑλληνικῆς τε καὶ ῥωμαϊκῆς ἱστορίας. διότι τὸ πάσης ἀληθείας φθοροποιὸν τῶν Σκεπτικῶν δόγμα, ὅπερ οἱ ἄπιστοι ἐπεισάξαι ἀγωνίζονται, μηδὲν ἕτερον σπουδάζοντες, εἰμὴ τὸ τῶν ἱερῶν ἡμῶν βιβλίων κῦρος ἐξουδενῶσαι, κατὰ πάσης ἀντιφέρεται ἱστορικῆς βεβαιότητος.

ΆΡΘΡΟΝ, Γ'.

Περὶ τῶν ματαίων τοῦ κριτικοῦ ἐνστάσεων κατὰ τῶν ἐν τῷ Σινᾷ ὄρει δοθέντων νόμων.

1. „Τὸ πρόσταγμα, αὐτὸς λαλεῖ, τοῦ μηδεμίαν ποιεῖν εἰκόνα οὐδέπο„τε διεφυλάχθη. αὐτὸς μὲν ὁ Μωϋσῆς γλύψας τὰ Χερουβὶμ, ἔθη„κεν αὐτὰ ἐπὶ τῆς Κιβωτοῦ, κατεσκεύασε δὲ καὶ τὸν χαλκοῦν ὄφιν· ὁ „δὲ Σολομὼν ἔθηκε τοὺς ὀρειχάλκους βόας ἐν τῷ ναῷ.

Συγχέει τὰς συμβολικὰς, καὶ τὰς πρὸς καλλωπισμὸν, ἢ στήριγμα γενομένας εἰκόνας, ταῖς τῶν οὐρανίων, ἢ ἐπιγείων, ἢ νηκτῶν σωμάτων, ταῖς εἰς προσκύνησιν γινομέναις καὶ λατρείαν. ἐν δὲ τῇ λεγομένῃ αὐτοῦ μεταφράσει, ἐπιδήλῳ ἀπάτης σκοπῷ ἐσιώπησε τὰ οὐσιώδη ῥήματα, οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς, Τὰ κατὰ κράτος τὴν ἔνστασιν αὐτοῦ ἐξουδενοῦντα. ὅπερ δὲ προστίθησιν, εἴτουν τὸ, ὅτι οἱ Ἰουδαῖοι οὐδέποτε τὸν νόμον τοῦτον ἐφύλαξαν, οὐκ ἀποκρίσεως, ἀλλὰ τελείας καταφρονήσεως ἄξιον. Ἐξ. 20. 5.

2. „Ἄλλη μέμψις. Οἱ ἄπιστοι λέγουσιν, ὅτι οὐδὲν τοσοῦτον ταπει-
„νὸν ἀναδείκνυσι τὸ παντοδύναμον ὄν, ὅσον τὸ ἐμφαίνειν αὐτὸ λέγον,
„ὅτι ἐστὶ παντοδύναμον. ἓν δὲ πολλῷ πλέον τὸ παρεῖσθαι αὐτὸ, λέ-
„γον, ὅτι ἐστὶ ζηλωτής.

Οὗτοι οἱ τυφλοὶ κακὸν λογίζονται τὸ τὸν ποιητὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς διδάσκειν τοὺς ἀνθρώπους τὰ περὶ τοῦ ἀληθοῦς ἀνθικειμένα τῆς λατρείας αὐτῶν, ἀντιπαρατιθέμενον κατὰ τῆς ἀσθενείας τῶν εἰδώλων, ὧν τὴν λατρείαν ἀπαγορεύει, τὴν παντοδυναμίαν αὐτοῦ, τὴν τοῦ κόσμου δημιουργόντος καὶ κυβερνήτην. οὐκ ἔστι δὲ ὁ Κύριος ζηλωτὴς τῶν μηδὲν ὄντων ψευδοθεοτήτων, ἀλλὰ τῆς καρδίας τοῦ ὑπ' αὐτοῦ πλασθέντος ἀνθρώπου ὑπὲρ τοῦ ἀγαπᾶν καὶ δουλεύειν αὐτῷ· ἔστι δὲ ἄρα ἀνάγκη σημειῶσαι, ὅτι ὁ ζῆλος οὐτος ἐν τῷ Θεῷ οὐκ ἔστι κίνησις ἐμπαθὴς, τὴν γαλήνην αὐτοῦ ταράττουσα, ἀλλ' ἐνέργεια αἰωνίου τοῦ θελήματος αὐτοῦ, τοῦ ἀποδοκιμάζοντος πᾶν κακὸν, καὶ ποινὰς προορίζοντος τοῖς ποιοῦσιν αὐτό (292);

2. Δεδόσθω τοῦτο, ἐρεῖτις τυχὸν, ἐὰν ἡ ποινὴ ἀφορᾷ εἰς μόνους τοὺς πταίσας, „ἀλλ' αὐτὴ ἐπεκτείνεται ἕως τρίτης καὶ τετάρτης γενε-
„ᾶς. τοῦτο δὲ ἀδικία ἐστὶν ἀπηνής (293).

Πρόσεχε. ἐνταῦθα οὐκ ἔστιν ὁ λόγος, εἰμὴ περὶ τῶν προσκαίρων ποινῶν τῶν καταγγελθέντων παντὶ τῷ γένει, ἐν τῇ ὑπωρείᾳ τοῦ Σινᾶ ὄρους συνελθόντι. ἔστι δ' ἄρα ἀπηνὴς ἀδικία τῆς προνοίας τὸ συμπεριλαμβάνειν ταῖς συμφοραῖς, δι' ὧν παιδεύει τὸ κοινὸν, πολλοὺς ἰδιώτας, μὴ μεταχόντας τῶν ἀδικημάτων, τῶν τὰς δυσχρίας ἐφ' ὅλον ἐπενεγκόντας τὸ γένος; Οὐχ ὁρῶμεν ἐνίοτε τὰ ἐν τῇ παρελθούσῃ Βασιλείᾳ σφάλματα, ἀναπηγάζοντα ἐν ταῖς ἐφεξῆς γενεαῖς, κἂν πασαις δυνάμεσι διορθῶσαι αὐτὰ ἀγωνίζονται; οὐκ ἀφαιροῦσιν οἱ τῶν πεπολιτευμένων καὶ πεφωτισμένων γενῶν νόμοι ἀπὸ τῶν τέκνων ἄχει τῶν δισεγγόνων τὸν πλοῦτον, τὴν ἀξίαν, καὶ αὐτὸ τὸ τοῦ πολίτου δικαίωμα εἰς ποινὴν τῶν ἁμαρτημάτων τῶν πατέρων αὐτῶν; οἱ ἄπιστοι ὄν ἀντιφερόμενοι τῇ τῶν Ἰουδαίων νομοθεσίᾳ, ἀντίκεινται ἅμα τῇ κοινῇ τοῦ Θεοῦ προνοίᾳ, καὶ τοῖς πανταχοῦ δεκτοῖς γνωμοδοτήμασι (294).

4. Τίς δ' ἂν πιστεύσειεν, ὅτι αὐθαδιάζουσιν ὅτοι λέγειν καὶ τόδε. „Ἡ κατὰ τῶν τέκνων ἐκδίκησις ἀποδείκνυσιν, ὅτι οἱ Ἰουδαῖοι οὐδέπο-
„τε ἐγνώρισαν ἀθανασίαν ψυχῆς, καὶ τὰς μετὰ θάνατον ποινάς (295).

Ἀλλὰ διατί ὁ λέγουσι τὸ αὐτὸ καὶ περὶ τῶν πεπολιτευμένων τῆς Εὐρώπης γενῶν, παρατεινόντων τὴν ποινὴν τοῦ ἁμαρτήματος τῶν πατέρων ἄχει τῶν τέκνων;

5.

5. Τῇ αὐτῇ τοῦ λόγου ὀρθότητι ἐκ μὲν τῆς θανατηφόρου ποινῆς, τῆς κατὰ τῶν μάγων ἐκφωνηθείσης ἐπιφέρουσι τὸ, ὅτι οἱ Ἰουδαῖοι ἐπίστευον ταῖς μαγείαις, ἐκ δὲ τῆς ποινῆς τῆς κτηνοβατίας, τὸ, ὅτι ἦσαν λίαν ἐπιῤῥεπεῖς ἐπὶ τὴν βδελυρίαν ταύτην (296). Λευϊτ. 20. 6. Λευϊτ. 18. 23

Ἵνα τί αὐστηροτέρας οὐκ ἐπιφέρουσι συνεπείας κατὰ τοῦ γένους αὐτῶν, πυρὶ κατὰ τοὺς νόμους αὐτῶν καταδικάζοντος τοὺς τὰ τοιαῦτα πράξαντας ἁμαρτήματα; ὁ νόμος αὐστηρὰς ἐξεφώνησε ποινὰς κατὰ τῆς μαγείας καὶ κτηνοβατίας, οὐ διὰ τὸ τοὺς Ἰουδαίους ἐπιῤῥεπεῖς εἶναι ἐπὶ τὰ βδελύγματα ταῦτα; ἀλλὰ διὰ τὸ ἰδεῖν αὐτὰ καθιερωμένα μὲν ἐν τῇ Αἰγύπτῳ, ἐξ ἧς ἐξῆλθον, πεφημισμένα δὲ ἐν τῇ γῇ εἰς ἣν εἰσήρχοντο. „Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν ἣν Κύριος ὁ Θεός σου δίδωσί „σοι, οὐ μεθήσῃ ποιεῖν κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων. οὐχ „εὑρεθήσεται ἐν σοὶ περικαθαίρων τὸν υἱὸν αὐτοῦ καὶ τὴν θυγατέ„ρα αὐτοῦ ἐν πυρὶ, μαντευόμενος μαντείαν, καὶ οἰωνιζόμενος, φαρ„μακὸς, καὶ ἐπαείδων ἐπαοιδὴν, ἐγγαστρίμυθος, καὶ τερατοσκοποιὸς, ἐ„περωτῶν τοὺς νεκρούς. ἔστι γὰρ βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου. πᾶς ποι„ῶν ταῦτα. ἕνεκεν γὰρ τῶν βδελυγμάτων τούτων Κύριος ὁ Θεὸς ἐξο„λοθρεύσει αὐτοὺς ἀπὸ προσώπου σου. Τὸ δὲ Λευϊτικὸν μετὰ τὸ ἀπαγορεῦσαι τὴν κτηνοβατίαν, ἐπάγει εὐθύς. „Μὴ μιαίνεσθε ἐν πᾶσι „τούτοις. ἐν πᾶσι γὰρ τούτοις ἐμιάνθησαν τὰ ἔθνη, ἃ ἐγὼ ἐξαποστελῶ „ἀπὸ προσώπου ὑμῶν. καὶ ἐξεμιάνθη ἡ γῆ, καὶ ἀνταπέδωκα ἀδικίαν „αὐτοῖς δι' αὐτὴν, καὶ προσώχθησεν ἡ γῆ τοῖς ἐγκαθημένοις ἐπ' αὐτῆς. Ποίᾳ κακῇ τύχῃ ὁ κριτικὸς εὑρίσκει τὴν καταδίκην αὐτοῦ ἐν αὐτῷ τῷ λόγῳ, δι' ὃν γεγόνασιν οἱ ὑπ' αὐτοῦ ἀνακαλούμενοι νόμοι; Δευτ. 18. 9. κτ. Λευϊτ. 18. 24. 25.

Ἄρθρον Γ'.

Περὶ τῶν ἐντόμων, ἅπερ ἔδει τῷ Θεῷ ἀποστεῖλαι πρὸς το καταθλίψαι τοὺς Χαναναίους.

2. „Ὁ Θεὸς, ὁ αὐτὸς λαλεῖ, φησὶν, ἀποστελῶ τοὺς οἴστρους, καὶ τὰς „σφηκίας ἑτοιμάσαι τὴν νίκην τοῖς Ἰουδαίοις..... Ἀληθῶς ἡ παλαιὰ „ἱστορία λαλεῖ περὶ πολλῶν τῆς Ἀσίας λαῶν, ἀναγκασθέντων κατα„λιπεῖν τὴν γῆν αὐτῶν, ἐν ᾗ τῶν ζωϋφίων τούτων ὁ πολλαπλεσιασμὸς „εἰς ὑπερβολὴν προήχθη. εἴρηται δὲ ὡσαύτως, ὅτι ὁ τῆς Χαλκίδος „λαὸς ἐδιώχθη ὑπὸ τῶν μυῶν, τὸ αὐτὸ εἶπον καὶ περὶ τῶν Μυουσίων „λαῶν.... Οὐκ ἔστι πιστευτὸν. τοὺς τῶν Ἐπαρχιῶν τούτων λαοὺς διωχ„θῆναι ὑπὸ τῶν μυῶν. ἀλλ' ὅπερ ἐστὶ μῦθος ἐν τῇ μυθολογίᾳ, τοῦτο „δύναται γενέσθαι Ἱστορικὴ ἀλήθεια ἐν τοῖς ἱεροῖς βιβλίοις. Ἐξ. 23. 28. Τὸ δὲ οἴστρου οὐδὲ παρὰ τοῖς ὁ ὁ οὐδὲ παρὰ τῇ Βουλγ.

Ὁ

Ο Ἀθήναιος ἄρα, ὁ Ἀγαθαρκίδης, ὁ Διόδωρος ὁ Σικελιώτης, ὁ Πλίνιος, ὁ Ἰάμβλιχος, ὁ Αἰλιανὸς, (297) ἵνα δὲ ἑνὶ λόγῳ εἴπω, οἱ ἱστορικοὶ, οἱ φιλόσοφοι, οἱ φυσιολόγοι, οἱ καθιστορήσαντες διάφορα ἔθνη ἀναγκασθέντα ὑπὸ ἐντόμων, οἴστρων καὶ σφηκίων καλουμένων, καταλιπεῖν τὰς παλαιὰς αὐτῶν οἰκήσεις, κατατακταῖοί εἰσι, κατὰ τὴν τούτου ἀπόφανσιν τοῖς μυθολόγοις, ἅμα τῷ Βοχάρτῳ, τῷ τούτους προτείνοντι. ταῦτα δὲ ἐπὶ τίνι θεμελίῳ; ἐπὶ τῷ. οὐκ ἔστι πιστευτόν. ἀλλ' ἔστιν ἆρά γε ἔργον ἀδύνατον, ὁ τοσοῦτος τῶν ἐντόμων παλλαπλασιασμὸς, μάλιστα ὑπὸ τῆς προνοίας ἐπίτηδες εὐθυνούμενος; ἀδύνατον πάντως. διότι οὐδὲν τοιοῦτον εἶδεν ὁ κριτικὸς οὐδὲ ἐν τῇ ὑπωρείᾳ τῶν Ἄλπεων, οὐδὲ ἐν τῇ ὄχθῃ τῆς Σεκουάνης. ἀδύνατον κατὰ πάντα καιρὸν καὶ τόπον, καθότι τὴν σήμερον οὐ συμβαίνει ἐν τοῖς ἡμετέροις κλίμασιν, ἐν οἷς πάντα εἰσὶ κεκαλλιεργημένα, καὶ ἐν οἷς δρυμῶνες ὀλίγοι εἰσὶ, καὶ πανταχόθεν ἀναπεπταμένοι καὶ διαβατοί. Πᾶς τις ὅμως συγκατατίθεται τῷ, ὅτι ἡ τοῦ Μωϋσέως καὶ τοῦ Ἰησοῦ μαρτυρία, καὶ πάσης τῆς τῶν θύραθεν συγγραφέων ἀρχαιότητος περικλονεῖ μικρόντι τὴν τοῦ κριτικοῦ ἀπόφανσιν, ἐρειδομένην μόνον ἐπὶ τῷ δὲ τῷ ῥήματι, οὐκ ἔστι πιστευτόν.

Ἄ Ρ Θ Ρ Ο Ν Ε'.

Περὶ τῶν ἀληθινῶν τῆς ἐπαγγελθείσης γῆς ὁροθεσίων, καὶ τῆς περὶ τούτων τοῦ κριτικοῦ ἀμαθείας.

1. Διαλαβὼν περὶ τοῦ δευτέρου καὶ τρίτου βιβλίου τῶν Βασιλειῶν, ἔδειξα ὅτι αἱ τοῦ Θεοῦ πρὸς τοὺς Ἰουδαίους ἐπαγγελίαι περὶ τοῦ ὑποτάξαι αὐτοῖς πᾶσαν τὴν γῆν, τὴν ἐκτεινομένην ἀπὸ τῶν ὁρίων τῆς Αἰγύπτου, τῶν ἀνιόντων ἀπὸ μεσημβρίας εἰς ἄρκτον, ἕως τοῦ Εὐφράτου, ἐπληρώθησαν ἐπὶ τῆς Βασιλείας Δαβὶδ καὶ Σολομῶντος. Ἀλλ' ἰδοὺ περὶ τούτου νέα τις τοῦ κριτικοῦ ἔνστασις. „Τῷ πλάτει τοῦ τριακοστοῦ βαθμοῦ ἀ„νήκει μῆκος βαθμῶν εἴκοσι, ἀμέλειτοι ἀπὸ τῆς μεσογείου διὰ τῆς „γῆς Χαναὰν ἕως τοῦ Εὐφράτου. κἂν δὲ ἀναλογισθῇ ἕκαστος βαθμὸς, „ὡς περιέχων μόνον λέγας εἴκοσι, συστάθησεται ὅμως ἐξ ἀνάγκης Βα„σιλεία ἰσομήκης λέγαις τετρακοσίαις. ἐδείχθη δὲ, ὅτι οἱ Ἰουδαῖοι μα„κρὰν ἀπεῖχον ἀπὸ τοῦ δεσπόζειν γῆς τοσοῦτον ἐκτεταμένης. Προκείσθω ὁλόκληρον τὸ τῆς Ἐξόδου ῥητόν. „Καὶ θήσω τὰ ὁριάσου ἀπὸ τῆς ἐρυ-
Κε. 23. 31. θρᾶς θαλάσσης ἕως τῆς θαλάσσης Φυλιστιείμ. καὶ ἀπὸ τῆς ἐρήμου ἕως τοῦ πο„ταμοῦ τοῦ μεγάλου Εὐφράτου. Ὁ κριτικὸς ἐν τῇ λεγομένῃ μεταφράσει αὐτοῦ ἐσιώπησε τὸ, ἀπὸ τῆς ἐρήμου, ὅπερ οὐσιῶδες ἐστι. διότι ὁ Θεὸς δηλοῖ, ὅτι οἱ Ἑβραῖοι κυριεύσουσιν ἐν μιᾷ τῶν ἡμερῶν πάσης τῆς γῆς, τῆς ἐκτεινο-

μένης

μένης ἀπὸ Νότυ ἀνέμυ, ἕως Ἀργέσυ, ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης, τυτέσιν ἀπὸ Αἰλὰθ ἐς Ἀσιογαβὲρ, λιμένων ἐν τῷ ἀνατολικῷ κόλπῳ κειμένων τῆς αὐτῆς θαλάσσης, ἕως τῆς ἐν τῇ μεσογείῳ παραλίας τῶν Φυλισταίων· ἢ ἀπὸ Λίβυος ἀνέμυ ἕως Καικίυ, ἤτοι ἀπὸ τῆς ἐρήμυ, τῆς διαχωριζύσης τὴν Αἴγυπτον ἀπὸ τῆς Συρίας, ἕως τυ Εὐφράτυ, τυ ἀναμέσον τῆς Συρίας τε ἢ Μεσοποταμίας. ταύτης δὲ τῆς γῆς τὸ μὲν πλάτ⟨ος⟩, ὡς ἐγὼ παρετήρησα, λέγαι εἶσὶ περίπυ πεντήκοντα, τὸ δὲ μῆκ⟨ος⟩ ἑξήκοντα πρὸς τοῖς ἑκατόν.

Τί δὲ ποιεῖ ὕτ⟨ως⟩; ἐξάγει διὰ τυ τριακοσυ βαθμυ τυ πλάτυς εὐθείαν, καὶ αὐτὸν μὲν διὰ τῆς Μεσογείυ, κατὰ δὲ τὴν τῆς ἀληθείας ἀκρίβειαν, διὰ τυ ἑβδμυ τυ Σεσίυ, εἰς τὸ σῶμα καταντῶσαν τυ τῶν Ἀράβων ποταμυ, ὅπως ἂν εὑρῃ μεταξὺ τύτων τῶν δύω σημείων διάσημα τετρακοσίων λεγῶν, κἂν τὸ μεταξὺ τῆς Μεσογείυ ἢ τυ σώματ⟨ος⟩ τυ τῶν Ἀράβων ποταμυ ἴσον ὑπάρχῃ μόνοις δεκαὲξ βαθμοῖς πλάτυς, οἵτινες μόνον τριακοσίας ἢ εἴκοσι λέγας συγκροτῶσιν, ἀναλογιζομένυ τυ βαθμυ λέγαις εἴκοσι ἴσυ, κατ' αὐτὸν τὸν τυ κεντικυ ἀναλογισμόν.

Ἀλλὰ τύτο ὐδὲν ἐςι παραβαλλόμενον τῷ ἀτόπῳ, ἐν ᾧ αὐτὸς ἐνέπεσε. διότι καλὰ τὴν ἀγρομετρίαν αὐτυ ἡ γῆ Χαναὰν ὐ περιλαμβάνει ἐν τῇ γῇ τῆς ἐπαγγελίας. πᾶσα μὲν γὰρ ἡ γῆ Χαναὰν ἐντεῦθεν κεῖται τυ τριακοσυ βαθμυ τυ πλάτυς. τὸ δὲ μέρ⟨ος⟩ τῆς γῆς, τὸ μεταξὺ τύτυ τυ τριακοσυ βαθμυ, ἐς τῆς ἐρυθρᾶς θαλάσσης, ἐὰν εὐθεῖα ἀκολυθῆς ἐξηγμένη ἀπὸ τῶν ὁρίων τῆς Αἰγύπτυ ἄχρι τῆς ἐκβολῆς τυ τῶν Ἀράβων ποταμυ, σύγκειται μόνον ἐκ τῶν ἐρημιῶν τῆς πετραίας, ἢ τῆς ἐρήμυ Ἀραβίας. ἵνα δὲ πειθῆς τῇ τῶν ὑπ' ἐμυ λεγομένων ἀληθείᾳ, ἀρκεῖσοι ἀτενίσαι εἰς Γεωγραφικὸν Χάρτην.

2. Τῷ ἀτόπῳ τύτῳ προσέθηκεν αὐτὸς τὰ τῆς ἀμαθείας συμπτώματα, ἐκλαμβάνων τὴν ἐκβολὴν τυ ποταμυ τῶν Ἀράβων ἀντὶ τυ ποταμυ, ὃν ὁ Μωϋσῆς ἐν τοῖς συγγράμμασιν αὐτυ ὀνομάζει Εὐφράτην. ὁ γὰρ ποταμὸς τῶν Ἀράβων ἐςὶν ὁ Τίγρις, ὁ πληθυνόμεν⟨ος⟩ διὰ τῶν τυ Εὐφράτυ ὑδάτων, τῶν ἐν αὐτῷ εἰσιόντων, τριάκοντα λέγας ὑπεράνω τῆς ἐκβολῆς αὐτυ, τῆς ἐν τῷ Γόρνῳ ἢ Κόρνᾳ, Φρυγίῳ κειμένῳ ἐν τῇ ἄκρᾳ τῆς Μεσοποταμίας. ὐκ ἔςιν ὅμως ἐκεῖ ἡ προκαταρκτικὴ τοποθεσία τῆς τυ Εὐφράτυ αὐλακ⟨ος⟩. τύτο διδάσκει ἡμᾶς ὁ Πλίνι⟨ος⟩ διὰ τῶν δὲ τῶν ῥημάτων. „Ἠσάν ποτε εἰκοσιπέντε χιλιάδες Πλιν. β. 6. κ. „ποδῶν μεταξὺ τῶν τυ Τίγρεως ἐς Εὐφράτυ ἐκβολῶν, ἑκατέρα δὲ τύ- 27. „των ἦν πλοτή. ἀλλ' οἱ τὴν Ὀρχόην (298) κατοικυντες ἢ τὰς συνο- „μόρυς πεδιάδας, διέτεμον τὰ τυ Εὐφράτυ ὕδατα, ἵνα τὴν γῆν αὐ-

„τῶν ποτίζωσιν. ὅθεν ὁ Εὐφράτης νῦν οὐ πορεύεται εἰς τὴν θάλασσαν, εἰμὴ διὰ τοῦ Τίγρεως. Ὁ Εὐφράτης οὖν, πλὴν τῆς αὔλακος τῆς συνενούσης αὐτὸν τῷ Τίγρει πλησίον τῆς Κόρνης, εἶχεν ἐπὶ Μωϋσέως καὶ Σειρὰχ ἄλλην αὔλακα, δι' ἧς πορευόμενος κατ' εὐθεῖαν ἀπὸ Βορρᾶ εἰς Μεσημβρίαν, ἀπεφορτίζετο ἐν τῇ θαλάσσῃ. ἡ αὔλαξ αὕτη, ἡ διὰ τῆς Ὀρχόης διερχομένη ἐστὶν ἐνδεχομένως ὁ Φεισὼν, περὶ οὗ ἡ Γένεσις, καὶ ἡ τοῦ Σειρὰχ βίβλος διαλαμβάνουσιν. ἐπεκλήθη δὲ Φεισὼν, ὅπερ παράγεται ἀπὸ τοῦ πασαχ, εἴτουν ἐκχεῖσθαι, διὰ τὸ ἐκχεῖσθαι κατά τινας τοῦ ἔτους καιροὺς ἐν ταῖς τῆς Χαλδαίας πεδιάσι. πρὸ ἐτῶν εἴκοσι καὶ ἐπέκεινα, ἔκρινα ὅτι οἱ λάκκοι, οἱ κοιλάδα σχηματίζοντες, καὶ πλήρης σχοίνων, οὓς ὁ Τέξιρας ἐν τῇ ἀπὸ Βασσόρας εἰς τὴν Ἕλλαν ὁδοιπορίᾳ αὐτοῦ συναντήσας περιέγραψεν, εἰσὶ τῆς παλαιᾶς τοῦ Εὐφράτου αὔλακος τὰ λείψανα. οἱ δὲ χθαμαλοὶ καὶ συνεχόμενοι ἀγροὶ, οὓς αὐτὸς τότε διήρχετο, εἰσὶ τῷ ὄντι ἡ γῆ Εὐϊλὰτ, καὶ ἡ παλαιὰ Χαλδαία· ἀσμένως δὲ ἑώρακα, ὅτι ὁ κύριος ὁ Δε-Ανβίλλιος τὸ αὐτὸ ἔκρινεν ἐν ταῖς περὶ τοῦ Περσικοῦ κόλπου Γεωγραφικαῖς αὐτοῦ ἐρεύναις, ταῖς εἰσενεχθείσαις ἐν τῷ τριακοστῷ τεύχει τῶν ὑπομνημάτων τῆς Ἀκαδημίας τῶν Ἐπιγραφῶν. Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὴν τοῦ λόγου σειράν· Ἡ ἔκτασις τῆς γῆς τῆς ἐπαγγελίας, περὶ ἧς τὸ εἰκοστὸν τρίτον κεφάλαιον τῆς Ἐξόδου διαλαμβάνει, οὐκ ἔστι μετρητέα δι' εὐθείας ἀγομένης ἐπὶ τοῦ τριακοστοῦ βαθμοῦ τοῦ πλάτους ἀπὸ τῆς Μεσογείου ἄχρι τοῦ στόματος τοῦ ποταμοῦ τῶν Ἀράβων. τοῦτο, τὸ κατὰ τὸν συγγραφέα τῆς τελευταῖον διερμηνευθείσης Διαθήκης μέτρον, ἐστὶν ἄπρεπον, ὡς μὴ περιέχον τὴν ὑπὸ τῶν Χαναιναίων κατοικουμένην γῆν, ἥτις ἐστὶ τὸ κυριώτερον καὶ οὐσιῶδες μέρος τῆς γῆς τῆς ἐπαγγελίας, ἀλλὰ μέρος μόνον τῆς Πατραίας καὶ ἐρήμου Ἀραβίας. ἔστι δὲ τὸ αὐτὸ καὶ ψευδὲς, ὡς ὑποτιθέμενον, ὅτι ὁ ποταμὸς τῶν Ἀράβων ἐστὶν ὁ ὑπὸ τοῦ Μωϋσέως ὀνομαζόμενος Εὐφράτης. Αἱ κατὰ τὸ εἰκοστὸν τρίτον τῆς Ἐξόδου κεφάλαιον ἀληθεῖς διαμετρήσεις τῆς γῆς τῆς ἐπαγγελίας εἰσὶν αἱ ἑξῆς. κατὰ μὲν τὸ πλάτος, εὐθεῖα ἀχθεῖσα ἀπὸ τοῦ ἀνατολικοῦ κόλπου τῆς ἐρυθρᾶς θαλάσσης ἄχρι τῆς Μεσογείου. κατὰ δὲ τὸ μῆκος, εὐθεῖα ἀχθεῖσα ἀπὸ τῆς ἐρήμου, τῆς διαστελλούσης τὴν Αἴγυπτον ἀπὸ τῆς γῆς Χαναὰν, ἄχρι τοῦ βορρείου μέρους τῆς Συρίας, τοῦ διὰ τοῦ Εὐφράτου, διαστελλομένου κατὰ Καικίαν ἄνεμον ἀπὸ τῆς Μεσοποταμίας.

Γεν. 2. 11.

Σειρ. 24. 25.

3. Εἴπερ ἐβουλόμην ἀποδεῖξαι τὸν κριτικὸν ἄνθρωπον ὀλιγομαθῆ, καὶ σκοπὸν ἔχοντα ἀπατῆσαι τοὺς ἰδιώτας, προέτεινον ἂν τὰς ἑξῆς δύω δυσκολίας· „Ζητεῖται, λέγει αὐτὸς, πῶς ὁ ἐν τῇ ἐρήμῳ σίκλος ἡδύ-

„ἠδύνατο τιμηθῆναι διὰ τȣ̃ σίκλȣ τȣ̃ ναȣ̃, τȣ̃ μὴ οἰκοδομηθέντος, „εἰμὴ μετὰ ἔτη πεντακόσια.... Τινὲς πιςεύȣσιν. ὅτι ὧδε κεῖται τερατώδης ἀναχρονισμὸς, ϗ ὅτι τȣ̃το ἔνεςι τῶν ἀποδεικνυόντων πάντα τὰ βιβλία ταῦτα συγγραφέντα μόνον μετὰ τὴν τȣ̃ ναȣ̃ οἰκοδομήν.

Πῶς; ἠγνόει ὁ σοφὸς ȣ̃τος κριτικὸς τὸ, ὅτι ἡ λέξις ναὸς, ἡ ἐν τῇ Βȣλγάτῃ κειμένη, ȣ̓δὲ ἐν τοῖς Ἑβραϊκοῖς τεύχεσιν, ȣ̓δὲ ἐν τοῖς τῶν Σαμαρειτῶν, ȣ̓δὲ ἐν τοῖς τῶν Ἑβδομήκοντα, ȣ̓δὲ ἐν τοῖς τῶν Ἀνατολικῶν μεταφράσεων κεῖται; ἠγνόει τὸ, ὅτι ἐν πᾶσι τῆς τεύχεσι τȣ́τοις κεῖται τὸ ἅγιον, ἢ τὸ ἱερόν; παράδοξον δ' ἄρα τὸ, τὸν Θεὸν ἐν αὐτῷ τῷ νόμῳ τῷ ἐπιτάσσοντι τὰ περὶ τῆς οἰκοδομῆς τȣ̃ ἱερȣ̃, καὶ πάντων τῶν διακοσμημάτων αὐτȣ̃, λαλεῖν περὶ τȣ̃ σίκλȣ, ȣ̃τινος τὸ βάρος ὑπηρετῆσαι ἔμελλεν ὡς κανὼν ἐν τοῖς περὶ τὴν κατασκευὴν τȣ̃ αὐτȣ̃ ἱερȣ̃; Ε. ε. 30. 24

β'. „Δυσκολίας, προςίθησιν ὁ αὐτὸς, προβάλλȣσί τινες περὶ τῆς „τερατώδȣς ταύτης τῶν θυμιαμάτων ποσότητος.... Ἀγωνίζονται μα„θεῖν τὸ πῶς οἱ Ἰȣδαῖοι ἐν τῇ ἐρήμῳ αὐτῶν ἠδύναντο ἔχειν τοσαῦτα „πολύτιμα ὤνια.

Ἡ ἔρημος αὕτη ȣ̓κ ἦν ἐν τῇ Ἀραβίᾳ; ȣ̓ συνωμόρει ταῖς ἐπαρχίαις, ταῖς τὰ ἀρώματα ϗ θυμιάματα καρποφορȣ́σαις; αὐτὴ καθ' ἑαυτὴν ȣ̓ καρποφορεῖ ἔνια τῶν αὐτῶν ἀρωμάτων; Σὺ δὲ ἐν ἀγωνίᾳ τυγχάνεις περὶ τȣ̃ πῶς ὁ λαὸς, ὁ ἐν τῇ ἐρήμῳ ταύτῃ πολὺν ςρατοπεδεύων χρόνον ἐδυνήθη εὑρεῖν αὐτά; Ἀλλὰ τοσȣ̃τον τερατώδης ποσότης; Τὸ ὅλον συγκροτεῖ σίκλȣς πεντακοσίȣς πρὸς τοῖς χιλίοις, εἴτȣν χιλίας ϗ πεντακοσίας ἡμιȣγγίας. σὺ ἀληθῶς περιπαίζεις τȣ̀ς ἀναγινώσκοντάς σε,

Ἄ Ρ Θ Ρ Ο Ν ς'.

Περὶ τȣ̃ ἐὰν ἡ περὶ τȣ̃ Μωϋσέως ἱςορία μίμησις ὑπάρχῃ τῆς περὶ τȣ̃ Διονύσȣ.

1. Μετὰ τὰ εἰρημένα ἕπεται τὸ ἑξῆς μυθολογικὸν καὶ περίεργον τμῆμα. „Αἱ δύω λιθίναι πλάκες, αἱ τῷ τȣ̃ Θεȣ̃ δακτύλῳ γεγραμμέναι, „ἢ γεγλυμμέναι, μίμησίς εἰσι τῶν δύω μαρμάρων, ἐν οἷς ὁ παλαιὸς „Διόνυσος ἔγραψε τȣ̀ς νόμȣς αὐτȣ̃, ὥσπερ καὶ ἡ διὰ τῆς ἐρυθρᾶς θα„λάσσης διάβασις, ἐςὶ πρόδηλος μίμησις τῆς μυθολογίας τȣ̃ Διονύ„σȣ, τȣ̃ ἀβρόχοις ποσὶ τὴν ἐρυθρὰν διελθόντος θάλασσαν, ἵνα με„τὰ πάσης τῆς ςρατιᾶς αὐτȣ̃ ἀπέλθῃ εἰς τὰς Ἰνδίας. οἱ Ἀραβικοὶ „μῦθοι εἰσι παραδόξως ἀρχαιότεροι τῶν τȣ̃ Μωϋσέως. ὁ δὲ Διόνυσος

 „ἀνε-

„ἀνεῤῥάφη μὲν ἐν ταύταις ταῖς ἐρημίαις προτοῦ τὸν Μωϋσῆν διελθεῖν
„αὐτὰς, ἐποίησε δὲ πάντα τὰ θαύματα, ὅσα οἱ Ἰουδαῖοι σφετερίζον-
„ται. δύω δὲ ἀκτῖνες ἐξήρχοντο ἐκ τῆς κεφαλῆς αὐτοῦ, καθάπερ καὶ
„ἐκ τῆς τοῦ Μωϋσέως, εἰς μαρτύριον τῆς μετὰ τῶν Θεῶν συνομιλίας
„αὐτοῦ. Ἑκάτερον αὐτῶν ὠνομάζετο Μωσῆς, ὅπερ σημαίνει τὸν τὸ
„ὕδωρ ἐκφυγόντα. οἱ Ἰουδαῖοι οἱ μηδὲν μηδέποτε εὑρόντες, μετὰ πο-
„λὺν χρόνον πάντα μετέγραψαν.

Πολλὰς μὲν ἔχομεν τὴν σήμερον διηγήσεις, καὶ πολλὰ ςιχουργήμαθ᾽ ἁραβιςὶ συγγεγραμμένα, ἀλλὰ ταῦτα οὐκ ἐγνώσθησαν ἡμῖν, εἰμὴ μετὰ τὴν τῶν Μωαμεθιτῶν ἔφοδον. σώζονται δὲ παρὰ τοῖς Ἕλλησιν ἀραβικαί τινες παραδόσεις περὶ τοῦ Διονύσου, ὅςις ὁ αὐτός ἐςι τῷ Ὀσιρεῖ, ὡς φησιν ὁ πρῶτος τῶν ἱςορικῶν Ἑλλήνων, ὁ Ἡρόδοτος. (299) ἀλλ᾽ ὁ ἱςορικὸς οὗτος οὐδένα χαρακτῆρα ἀναφέρει τῶν ἐν οἷς ὁ κριτικὸς θεμελιοῖ τὴν μεταξὺ Μωϋσέως καὶ Διονύσου ὁμοιότητα. τούτους δὲ τοὺς χαρακτῆρας εὑρίσκεις ἐν τοῖς Διοδώρου τοῦ Σικελιώτου, καὶ Πλουτάρχου πονήμασι. τούτων δὲ ὁ μὲν ἐπὶ Αὐγούςου, ὁ δὲ ἐπὶ Τραϊανοῦ συνέγραψεν. ὁμοίως ἔνιοι τῶν αὐτῶν χαρακτήρων ἐν τοῖς τοῦ Ὀρφέως ςίχοις, (300) κἀν τῇ Ἀνθολογίᾳ κεῖνται. καὶ ἡ μὲν τῆς Ἀνθολογίας συλλογὴ ἐγένετο μετὰ τὴν τοῦ Ἀλεξάνδρου Βασιλείαν. Οἱ δὲ τῷ Ὀρφεῖ ἀπονεμόμενοι ςίχοι συνεγράφησαν ἐπὶ τῶν πρώτων τοῦ Κύρου διαδόχων. διὸ οἱ πρῶτοι συγγραφεῖς, οἱ περὶ τοῦ Διονύσου λαλήσαντες, ἔτη χίλια μεταγενέςεροι εἰσὶ τῆς Ἐξόδου καὶ τῶν λοιπῶν τοῦ Μωϋσέως βιβλίων, ὧν τὸ κῦρος ἐςήρειξα δι᾽ ὑπομνημάτων βαθμηδὸν ἄχρις αὐτοῦ τοῦ νομοθέτου Μωϋσέως ἀνιόντων. ποίῳ οὖν προσώπῳ προτείνῃ ἄντις, ὅτι οἱ μῦθοι, περὶ ὧν οὐκ ἐλάλησαν, εἰμὴ χίλια ἔτη μετὰ τὸν Μωϋσέα εἰσὶ παραδόξως ἀρχαιότεροι τῶν τοῦ Μωϋσέως συγγραμμάτων;

Τῇ ἀποδείξει ταύτῃ συλλογισμόν τινα προσίθημι ἀναντίῤῥητον, ὡς τεθεμελιωμένον ἐπ᾽ αὐτῆς τῆς τῶν ἀπίςων ὁμολογίας. Οἱ πρῶτοι τῶν θύραθεν συγγραφέων, οἱ περὶ τοῦ Διονύσου λαλήσαντες, ἐποίησαν αὐτὸν Θεὸν. ἐκ τούτου, ὅπερ ἀναμφιλεκτόν ἐςιν, ἐπιφέρει ἐνταῦθα ὁ φιλόσοφος οὗτος τάδε. Ἡμεῖς ὁμολογοῦμεν ὅτι ὁ Διόνυσος ἐλατρεύετο, εἶχε δὲ καὶ ἱερεῖς. Καὶ κατωτέρω. Βέβαιόν ἐςι τὸ, ὅτι ὁ Διόνυσος εἷς μὲν ἦν τῶν Ἀραβικῶν Θεῶν, κατήγελο δὲ, ὡς φησιν, ἐκ τοῦ Χοῦς, ὃ ὠνομάζετο Βάκχος, ἢ Ἴακχος, ὅπερ σημαίνει ὁ Θεὸς ὁ Χοῦς.

Ἀντιςήσεταί μοι δὴ τις κατὰ τοῦτο, ὅτι οἱ τὸν Διόνυσον θεοποιοῦντες μῦθοι πολλῷ μεταγενέςεροί εἰσι τῆς καταρκτικῆς περὶ αὐτοῦ ἱςορίας, τῆς ἐμφαινούσης αὐτὸν ἄνθρωπον μόνον. ἀλλ᾽ οἱ μὲν ἑλληνικοὶ καὶ ἀραβικοὶ

βικοὶ μῦθοι ποιῆσι τὸν Διόνυσον Θεὸν, ἢ τῆς Χῆς υἱόν. τναντίον δὲ, τὰ τῆ Μωϋσέως βιβλία, τὰ μετὰ ἀκριβείας δηλῶντα ἡμῖν τὰ περὶ τῆ Χῆς, ἢ τῶν ἀπογόνων αὐτῆ, ἐκ ἐμφαίνουσιν αὐτὸν, εἰμὴ μόνον ἄνθρωπον. τὰ βιβλία ἄρα τῆ Μωϋσέως εἰσὶ παραδόξως ἀρχαιότερα τῶν ἑλληνικῶν ἢ ἀραβικῶν μύθων. Ἐὰν ὁ Διόνυσ☉ ἢ ὁ Ὄσιρις πράγματι ἢ ἀληθεία ὑπῆρξέ ποτε, ἤτοι αὐτὸς ὁ Χῆς ἦν, ἢ εἷς τῶν τῆς Αἰγύπτυ Βασιλέων, ἐκ τῆ Χῆς καζαγόμεν☉. ὃν οἱ ὀλιγομαθεῖς μυθολόγοι κατεκόσμησαν διά τινων χαρακλήρων σφετεριαθέντων ἀπὸ τῆς τῆ Μωϋσέως ἱςορίας, ἧς ἡ μνήμη ἔκλιν☉ συγκεχυμένης ἢ ἐξηλλοιωμένης παραδόσεως διεσώθη παρὰ τοῖς ἔθνεσιν.

ΆΡΘΡΟΝ Ζ'.

Περὶ τῆ Χρυσῆ μόχυ.

1. Ἡ περὶ τῆ Χρυσῆ μόχυ ἱςορία πλῆθ☉ δυσκολιῶν προξενεῖ τῷ κριτικῷ ἔντε τοῖς περὶ τὴν κατασκευὴν ἢ τὴν κατάλυσιν αὐτῆ, ἢ τελευταῖον ἐν τοῖς περὶ τὴν ποινὴν τῶν παραβατῶν. Καὶ περὶ μὲν τῆς κατασκευῆς αὐτῆ σημειοῖ πρῶτον, ὅτι τὸ ἑβραϊκὸν ὑφ☉ φησίν. „Ἐ„ποίησε μόχυ ἐν γραφίδι, ἢ ἐχώνευσεν αὐτόν. Τῆτο δὲ ἐςι προςθῆσιν „αὐτὸς, μετάθεσις. διότι πρῶτον χωνεύσσιν, εἶτα διὰ τῆ γλυφείυ „ἐπισκευάζσσιν (301).

Οὐκ ἔςι μετάθεσις, ἀλλὰ τῆ κριτικῆ σφάλμα, τῆ ἐκ τῶν τριῶν σημασιῶν τῆς Ἑβραϊκῆς λέξεως χερετ ἐκλεξαμένυ τὴν τῇ ἐννοίᾳ ἀπροσφυεςέραν· ἡ λέξις χερετ ὃ μόνον σημαινει ακὶς, ἢ γραφὶς, ἀλλ' ἔχει ἢ ἕτερα δύω σημαινόμενα, εἴτυν τὸ, σάκκ☉, ἢ μάρσιπ☉, ☪ τύπ☉, ἢ χωνευτήριον· ☪ ὁ μὲν τῆς Βυλγάτης συγγραφεὺς ἐκλαβὼν τὴν ἐχάτην σημασίαν, μετέφρασεν ὅτω formavit illud opere fusorio, ἐχημάτισεν αὐτὸ ἔργῳ χωνευτῷ. ὁ δὲ χαλδαῖος παραφραςὴς Ἰωνάθαν τὴν δευτέραν ἐκλαβὼν, φησίν. „Ἐδῆσε τῆτο τὸ ὑπὸ „τῶν Ἰσραηλιτίδων γυναικῶν προσενεχθὲν χρυσίον τῶν ἐνωτίων ἔν„τινι σάκκῳ, ἢ ἐποίησε μόχον. Τῶν δὲ ἐπιτηδειοτέρων κριτικῶν οἱ μὲν τὴν ἑτέραν, οἱ δὲ τὴν ἑτέραν τῶν ἐχάτων σημασιῶν ἐγκρίνυσι περὶ ὧν ὁ Φιλόσοφ☉ ὧδὲν λέγων, ἀναγγέλλει τὴν πρώτην, ὑποτιθέμεν☉ μετάθεσιν, εἴτυν σφάλμα ἐν τῷ τῆς ἐκφράσεως τρόπῳ. ἐγὼ δὲ τὴν δευτέραν τῶν σημασιῶν προκρίνω. ὑπὲρ τῆς καζασκευῆς τῆ χρυσῆ μόχυ ὁ Ἀαρὼν ἔοικε πεποιηκὼς τῆ☉ ὅπερ ἢ ὁ Γεδεὼν, ὅτε τῷ Ἐφὼδ κατεσκεύασεν. „Ἀνέπτυξε τὸ ἱμάτιον αὐτῆ, λέγει τὸ βιβλίον „τῶν Κριτῶν, ☪ ἔβαλεν ἐκεῖ ἀνὴρ ἐνώτιον σκύλων αὐτῆ.... Καὶ ἐ- Κριτ. 8. 25. 24

ποίη-

„ποίησεν αὐτὸ Γεδεὼν εἰς Ἔφωδ, ᾗ ἔστησεν αὐτὸ ἐν πόλει αὐτῦ, ἐν „Εὐφραθά.

2. „Ἰδὺ ἄλλο τι ἰσχυρότερον. Ἆ δυνατόν ἐστι, λέγει, ἐν μιᾷ νυκ- „τὶ χωνεῦσαι ᾗ ἐπισκευάσαι μόσχον χρυσῦν.

Ἀλλὰ τίς ποτε εἶπεν, ὅτι τὸ τοιῦτον εἴδωλον κατεσκευάσθη ἐν μιᾷ νυκτί; οὐδὲν πάντως τοιῦτον περιέχει τὸ τῦ Μωϋσέως ῥῆμα. ὦ ἄνθρωπε κακόπιστε, διατὶ κρύπτεις τὴν ἀπόκρισιν, τὴν ὑπὸ τῦ ἀσηκρίτυ τῶν Ἰουδαίων (302) δοθεῖσάν σοι; ἔστιν τὴν τῆς θείας Γραφῆς ῥῆσιν προθεὶς, εἶπέ σοι· ὁ λαὸς ἐκπλαγείς, ὡς μὴ ἰδὼν τὸν Μωϋσέα μῆνα ἕναν, ὃν προλαβὼν καθ' ἑκάστην ἔβλεπε καταβαίνοντα ἀπὸ τῦ ὄρυς μετὰ τὸ λαβεῖν τὰ τῦ Θεῦ προστάγματα, ᾗ μὴ γνὺς τί συμβέβηκεν αὐτῷ, ἐζήτησεν εἴδωλον κινητόν. „Ποίησον ἡμῖν Θεὺς, οἳ Ex. 32. 1. „προπορεύσονται ἡμῶν. Προσέθετο δὲ ᾗ τὸ, ὅτι εὗρεν ὁ λαὸς δύω χωνευτὰς, ζητήσαντας τρεῖς μῆνας ἡμέρας εἰς τὸ παχυλῶς κατασκευάσαι τοιῦτον μόσχον. σὺ δὲ, μηδὲν κατὰ τῆς ἀποκρίσεως αὐτῦ ἀντιπροτείνας. μηδὲ τὸ προσθὲν ὑπ' αὐτῦ προσκάλεσμα δεξάμενος, τολμᾷς ἐπαναλαμβάνειν τὸ, „ὅτι ἀναγκαῖοί εἰσι τὰ λάχιστον μῆνες τρεῖς „πρὸς τελείωσιν τῦ τοιύτυ ἔργυ. προσεπάγεις δὲ τὸ, ὅτι οἱ Ἰουδαῖοι „ἐν τῇ ἐρήμῳ οὐκ ἠδυνήθησαν εὑρεῖν χωνευτὰς χρυσίυ, καθότι οὗτοι „οὐχ εὑρίσκονται, εἰ μὴ ἐν ταῖς μεγάλαις πόλεσιν.

Ἀλλ' ἐὰν οἱ Ἰουδαῖοι οὗτοι, οἱ πρὸ δύω μηνῶν ἐξελθόντες ἐξ Αἰγύπτυ, ἐθάμιζον πολλὰ ἔτη ἐν ταῖς μεγάλαις πόλεσι ταύτης τῆς Βασιλείας. ἐὰν πολλοὶ ἐξ αὐτῶν ἔμαθον τὰς τέχνας, τὰς ὑπὸ τῶν Αἰγυπτίων θεραπευομένας· ἐὰν μεταξὺ τῦ πολυαριθμυ πλήθυς τῶν ἐκ τῦ γένυς τῶν Αἰγυπτίων, τῶν ἐκπλαγέντων τοῖς θαύμασι, ὧν αὐτόπται γεγόνασι, ᾗ ἐπιμιξάντων ἑαυτὺς τοῖς Ἑβραίοις, εὑρίσκοντό τινες τεχνῖται, ἐρεῖς ἄραγε σὺ ἔτι. „Οὐκ ἔστι πειθανὸν, τὺς ἐν τῇ „ἐρήμῳ Ἑβραίυς χωνευτὰς ἔχειν χρυσίυ; Ἆρκυσον περὶ τύτυ ἄνδρα μᾶλλον ἢ σὺ εἰδότα τὰς παλαιὰς ᾗ νέας τέχνας. „Γνωρίζει λέγει „ὁ κύριος Δε-Κάιλ ὁ κώμης, ὅτι ἐν τῇ Αἰγύπτῳ τὰ ξύλα ἦσαν „ἀσανίωτατα, μετῄρχοντο δὲ πρὸς τὰς πυρὰς μόνα τὰ ἐκ τῆς ὀρύ- „ζης ἄχυρα, ᾗ τὰ ξηρὰ ὑδαλώδη φυτὰ, ᾗ τὰ βόλβιτα. ὅσον δὲ ἀσα- „νία ἦν ἡ καθήκυσα ὕλη εἰς τὴν τῶν φύρνων ἔκκαυσιν, τοσῦτον ἀ- „ναγκαία ἦν ἡ προσοχὴ ᾗ ἡ ἀσυδὴ πρὸς τὸ αὔξειν τὴν θερμότητα, „ᾗ μηδόλως αὐτὴν διαφθείρειν. ἔτι δὲ μᾶλλον ἀναγκαῖον ἦν τοσῦ- „τον ἐπισημόνως τὰς φύρνυς κατασκευάζειν, ὅσον τὴν σήμερον μόλις „κατανοῆσαι δυνάμεθα. ἡμεῖς ἀγνοῦμεν τὸ τύτων χῆμα, ᾗ τὸν τῆς „χρήσεως αὐτῶν τρόπον. περὶ δὲ τύτυ. ἵνα τἀληθὲς εἴπω, ἔτι ἐσ-

„μὲν

„μὲν λίαν ἄπειροι. ἐὰν πολυπραγμονήσωμεν τὴν τῶν ξύλων ϗ ἀν-
„θράκων ποσότητα, τῶν ἐν τῇ Εὐρώπῃ καταναλισκομένων ἐν ταῖς μι-
„κραῖς τῆς χυμικῆς ἐργασίαις, εἰκότως θαυμάζομεν, ὁρῶντες τὰς Αἰ-
„γυπτίους ἐκτελοῦντας διὰ τοσοῦτον ἀθενοῦς ὕλης τὰ ἀξιολογώτερα ἔρ-
„γα, τὰ ἐκ τῆς χωνείας τῶν μετάλλων γινόμενα, ϗ μετὰ τοσαύτης
„τελειότητος, ὅσην ἐμφαίνουσι τὰ ἐξ ὁπλῆς γῆς εἴδωλα, ϗ τὰ περι-
„άμματα αὐτῶν, ἐργαζομένους τὴν καλουμένην πορκελλάναν. ὅπερ δὴ
„ϗ πλείονος θαύματος ἄξιον, καθότι ἡ τῆς ὕλης ταύτης μάλθη,
„ἢ τὸ ἐπικάλυμμα, μεγίστην ἀπαιτεῖ ἰσότητα, ϗ συνέχειαν, ϗ ἰσχὺν
„πυρός. τοῦτο τὸ χυμικὸν ἔργον τῶν Αἰγυπτίων δείκνυσιν, ὅτι ὁ εὐφυ-
„ὴς ὄντος λαὸς ἐντελῶς τὴν χυμικὴν ἠπίσατο τέχνην. οἱ Θρᾷσκοι,
„οἱ Ἕλληνες, οἱ Ῥωμαῖοι καίπερ πολλῷ πλείονα ἔχοντες τὴν διαψί-
„λειαν ϗ εὐκολίαν, οὐκ ἠδυνήθησαν ὅμως φθάσαι ἐν τῷ ἔργῳ τούτῳ
„τὸν βαθμὸν τῆς ἐκείνων τελειότητος.

3. „Σὺ ἐπιμένεις, λέγων. Ἀκατανόητόν ἐςι, τὸ πῶς τρία μιλ-
„λιόνια Ἰουδαίων ἰδόντες. ϗ ἀκούσαντες αὐτὸν τὸν Θεὸν ἐν μέσῳ σαλ-
„πίγγων ϗ βροντῶν, ἠθέλησαν εὐθὺς ἐνώπιον αὐτοῦ καταλιπεῖν τὴν
„λατρείαν αὐτοῦ διὰ τὴν τοῦ μόχλου.

Περὶ τούτου μίαν μόνην προτείνω ἀπάντησιν. Τὸ ἀνθρώπινον γέ-
νος κἂν ἀπ' ἀρχῆς δεδιδαγμένον ἦν τὴν δύναμιν ϗ τὸ ἐνιαῖον τοῦ πλά-
σαντος αὐτοῦ Θεοῦ, ἔβλεπε δὲ ϗ τὰ τῆς προνοίας αὐτοῦ θαυμάσια, ἔχον
πρὸ ὀφθαλμῶν τὸ μέγα τῆς οἰκουμένης θέατρον, ὅμως καταλιπὼν αὐ-
τὸν, προσεκύνει τὰ βδελυκτότερα πλάσματα. Πλῆθος χριστιανῶν ἀ-
ναρίθμητον, πεπεισμένοι ὄντες, ὅτι αὐτηραί εἰσιν αἱ τοῦ Θεοῦ κρίσεις,
καθ' ἑκάστην τὰς νόμους αὐτοῦ παραβαίνοντες, ὑποδίκους ποιοῦσιν ἑαυ-
τοὺς τῇ θείᾳ κρίσει. Πλῆθος ἀπίστων βλέπει τοὺς καλουμένους Esprits-
forts, πνεύματα ἰσχυρὰ, ἐν τῇ θανατηφόρῳ κλίνῃ καταπαυομένους μὲν
ὑπὸ τῶν ἐλέγχων, τελευτῶντας δὲ ἐν ἀπελπισμῷ, ὅμως μέντοι οὐκ
ἐγκαταλιμπάνει τὴν ἀπιστίαν. Ὄχλος ἀσώτων βλέπει τοὺς ὁμοίους
αὐτοῖς ἐν αὐτῇ τῇ τῆς ἡλικίας ἀκμῇ τῇ ἀκρασίᾳ ἀπολλυμένους ϗ ἀ-
σελγείᾳ, ϗ ὅμως ὡς ἔκφρονες ἐν αὐταῖς καταπαντίζονται. Πάνυ ὀ-
λίγον ἐγνώρισεν ὁ νομιζόμενος φιλόσοφος τὴν ἀνθρωπίνην καρδίαν,
ϗ τὴν ἀκαταστασίαν, ϗ τὰς ταραχώδεις αὐτῆς ἐπιθυμίας, ἔτι δὲ ϗ
τοὺς μηδεμίαν ἀνοχὴν ἔχοντας φόβους, ϗ τὰς τυφλὰς ϗ ὁρμητικὰς
κινήσεις τοῦ πλήθους τῶν φανταζομένων μὲν τελείαν σέρησιν τοῦ ἀρ-
χηγοῦ αὐτῶν, μηκέτι δὲ ὁρώντων τὰ παράδοξα τῆς τοῦ Θεοῦ παρου-
σίας ἀποτελέσματα, τὰ ἀπ' ἀρχῆς αὐτοὺς καταπλήξαντα, μηδὲ πι-

στευόν-

ρευόντων ἔτι, ὅτι ἔχουσιν ἄλλην καταφυγὴν, πλὴν τῆς τῶν δεισιδαιμόνων πράξεων τῆς καταλειφθείσης Αἰγύπτου.

4. Ἀκούσωμεν ὅμως τὴν τοῦ φιλοσόφου τούτου ἀξιόπιστον διασάφησιν. „Ἡμεῖς δὲ λέγομεν ὥσπερ οἱ ἄπιστοι, ὅτι τοῦτό ἐστιν ἀπρεπὴς μῦθος, „ὑπὸ Λευίτου τινὸς μετὰ πολλὰς αἰῶνας πλασθεὶς, εἰς τὸ ἀνυψῶσαι „τὰς συναδελφὰς αὐτοῦ, τὰς τοσοῦτον αὐστηρῶς παιδεύσαντας τὰ τῶν „λοιπῶν Ἰσραηλιτῶν πταίσματα.

Ὀφείλομεν ἄρα γε αὐτῷ εὐχαριστίαν διὰ τὸ μὴ τολμᾶν συγκατατεθῆναι τῇ τοιαύτῃ ἀτοπίᾳ; ποία ἄλλη ἀτοπία μείζων τῆς ὑποθέσεως ταύτης; εἰς μὲν τῶν Λευιτῶν ἵνα τὸ ἴδιον τάγμα τιμήσῃ, ἤρξατο ἀπὸ τοῦ ἀτιμάζειν τὸν Ἀαρὼν, τὸν ἀρχηγὸν πάσης τῆς ἱερατικῆς καὶ Λευιτικῆς τάξεως. αἱ δὲ δώδεκα φυλαὶ ταπεινοφροσύνης χάριν, ἔθεντο ἐν τῇ τάξει τῶν ἱερῶν αὐτῶν ὑπομνημάτων ταύτην τὴν ἀπάτην, τὴν συκοφαντοῦσαν ἢ ἀτιμάζουσαν ὅλον τὸ ἴδιον γένος.

5. Ὁ χρυσοῦς μόσχος, ὁ εἰς κόνιν μεταβληθεὶς ἄλλη περιπλοκῆς πηγὴ γίνεται τῷ κριτικῷ. „Οὐ δυνάμεθα, λέγει αὐτὸς, καθῆ„σαι τὸ χρυσίον κόνιν, ῥίπτοντες αὐτὸ εἰς τὸ πῦρ. τὸ πότιμον χρυ„σίον, περὶ οὗ λαλοῦσι πολλοὶ ἀμαθεῖς, ἐστὶ τὸ ἀναλελυμένον διὰ τοῦ „καλυμένου βασιλικοῦ ὕδατος, ἰσχυροτέρου ὄντος πάντων τῶν δηλη„τηρίων, ἐὰν μὴ ἡ δύναμις αὐτοῦ θραυσθῇ. ἀναλύεται δὲ τὸ χρυσίον „ἢ διὰ τοῦ θείου, ἀλλὰ γίνεται ὑγρὸν ἀποτρόπαιον τῇ γεύσει, ἢ πάν„τη ἄποτον.... Πάντα ὅσα περὶ τούτου φησὶν ὁ κύριος ὁ Καλμέτος λό„γιά εἰσιν ἀνθρώπου μηδὲν ἐν τῶν τῆς χυμικῆς στοιχείων εἰδότος.

Καὶ τὴν τοῦ πανσόφου τούτου ἀνθρώπου κρίσιν ἀμαθέστερός εἰμι ἐγὼ ἐν τῇ χυμικῇ τέχνῃ τοῦ σεβασμίου ἱερέως Καλμέτου. ἐὰν δὲ ἀποδεδειγμένον ἦν, ὅτι ὁ Μωϋσῆς διὰ τῆς χυμικῆς τέχνης εἰς κόνιν ἀνέλυσε τὸν χρυσοῦν βοῦν, χωνευτήριον μὲν κατὰ τοῦτο τοῦ χυμικοῦ τε καὶ ὑπομνηματιστοῦ συσῆσαι οὐκ ἐτόλμων, κατὰ μίμησιν δὲ τοῦ συγγραφέως τῶν ἐπιστολῶν τῶν Ἰουδαίων, ἀπέστελλον αὐτὸν εἰς τὸν Σθὰλ, ἢ τὸν Σενὰκ, ἢ τὸν Μακκὲρ, κτ. οἵτινες δι' ἐμφαντικῶν ἀποφάσεων, πεῖρα ἐπεσημειωμένων, ἐξαφανίζουσι τὰς τοῦ ἀπίστου ἀσυσάτους ἐπιβεβαιώσεις. ἀλλ' ἐν τῷ τοῦ Μωϋσέως ὕφει οὐδὲν εὑρίσκω σημαῖνον, ὅτι αὐτὸς διὰ χυμικῆς ἐξεργασίας πότιμον κατέστησε τὸ χρυσίον, ἀναγι-
Ἐξ. 32. 20. νώσκω δὲ ταῦτα. Ῥίψας τὸν χρυσοῦν μόσχον εἰς τὸ πῦρ, ὅπως φύραμα ἄμορφον κατασήσῃ, συνέτριψεν αὐτὸν ἢ κατήλεσεν, ιτε χαν, ἕως ὅτου κατέστησεν αὐτὸν κόνιν, γχαδαχερδακ, εἴτε διὰ τῆς ῥίνης, εἴτε διὰ τῆς σφύρας. τοῦτο οὕτως ἐνόησαν ὁ Τιρῖνος, ὁ Βονφρέριος, ὁ Βοχάρτος, ὁ Ριβέτος, ὁ Ουβιγάνης, κτ. αὕτη δὲ ἡ λεπτο-

τάτη

τάτη χρυσῆ κόνις ῥιφεῖσα ἐν τῷ τῶν πηγῶν ῥεύματι. τῶν ἐκ τοῦ ὄρους χωρὴς ἐκβλυζουσῶν, ἐμίγη τῷ ὕδατι, τῷ ὑπὸ τῶν Ἰσραηλιτῶν ἐξαντλουμένῳ. διὸ ἡ τοῦ ἡμετέρου χυμικοῦ περὶ τούτου διδασκαλία μεματαίωται.

Ἄρθρον, Η'.

Περὶ τοῦ ἐὰν οἱ ἔνοπλοι, οἱ ἐν τῷ εἰρημένῳ συμβάντι φονευθέντες ἦσαν χιλιάδες τρεῖς πρὸς ταῖς εἴκοσι.

1. „Τρίτη μέμψις. Ὁ Μωϋσῆς προεςὼς τῆς τοῦ λευῖ φυλῆς, „ἀποκτείνει εἴκοσι καὶ τρεῖς χιλιάδας τῶν ὁμογενῶν αὐτοῦ, οἵτινες ἐξ „ὑποθέσεως ἦσαν ἅπαντες καλῶς ἐνωπλισμένοι, ὡς πολεμήσαντες τοὺς „Ἀμαληκίτας. οὐδέποτε δὲ λαὸς ὁλόκληρος παρέδωκεν ἑαυτὸν εἰς „σφαγὴν, μηδόλως ὑπὲρ ἑαυτοῦ ὑπερμαχήσας."

Εἴκοσι καὶ τρεῖς χιλιάδας ἀνθρώπων; αὕτη ἡ τῆς Βουλγάτης ἔκδοσις συμφωνεῖ ἀναμφιβόλως τῷ ἑβραϊκῷ ὕφει. ἄλλως γὰρ, ὁ κριτικὸς, ὁ πρὸ ὀλίγου δηλοποιήσας ἡμῖν, ὅτι ἀντὶ τῶν ἐν τῇ Βουλγάτῃ ἀναγινωσκομένων λέξεων. ἐχώνευσε τὸ χρυσίον τοῦτο. ἐν τῷ ἑβραϊκῷ κεῖται. ἐποίησε βοῦν ἐγγραφίδι. εἴπερ καὶ περὶ τούτου ὑπῆρξεν ἄλλη τις ἔκδοσις, ἀξιόπιςος ὤν, οὐκ ἂν αὐτὴν παρεσιώπησεν, ἀλλ' ἐδηλοποίει. Ἔςι δ' οὖν ὅμως ἔκδοσίς τις ἀξιολογωτάτη. Τὸ ἑβραϊκὸν, καὶ σαμαρειτικὸν ὕφος ἀντὶ τῶν ἀποκτανθέντων εἴκοσι καὶ τριῶν χιλιάδων ἀνθρώπων ἐκτίθησι, τριῶν περίπου χιλιάδων. ἕπονται δὲ τούτῳ ἥ τε τῶν Ἑβδομήκοντα, καὶ αἱ τρεῖς ἑλληνικαὶ τοῦ Ἀκύλα, καὶ Συμμάχου, καὶ Θεοδοτίωνος καὶ πᾶσαι αἱ ἀνατολικαὶ μεταφράσεις, Φίλων ὁ Ἰουδαῖος, οἱ, χαλδαῖοι παραφραςαὶ, καὶ πολλοὶ τῶν τῆς Λατινικῆς Ἐκκλησίας πατέρων, οἷον ὁ Τερτουλλιανὸς, ὁ ἐν ἁγίοις Ἀμβρόσιος, ὁ Ὀπτάτος, ὁ Ἰσίδωρος ὁ Δεσεβίλλιος. ὁ δὲ Ῥαβάνος ὁ Μόρος τὸ αὐτὸ κατὰ τὸν ἔννατον αἰῶνα ἀνεγίνωσκεν ἐν τῇ Βουλγάτῃ. σώζεται δὲ ἡ ἀνάγνωσις αὕτη ἐν τοῖς πολυγλώττοις τῆς Ἀντουερβίας καὶ τοῦ Παρισίου, ὁμοίως καὶ ἐν τῇ ἐσχάτῃ ἐκδόσει τῶν τοῦ θείου Ἱερωνύμου πονημάτων. οἱ δὲ δεινότεροι τῶν καθολικορωμαίων κριτικῶν συμφώνως φασὶν, ὅτι ὁ ἀριθμὸς τῶν εἴκοσι καὶ τριῶν χιλιάδων σφάλμα ἐςιν ἐν τοῖς τεύχεσι τῆς Βουλγάτης κατὰ παραδρομὴν τινῶν ὀλιγομαθῶν παρεισενεχθέν. ἵνα τὶ οὖν ὁ κριτικὸς, καίπερ οὐχ ἅπαξ περὶ τούτου νουθετηθεὶς * ἐπέμεινε προτείνων μόνην ταύτην τὴν ἐσφαλμένην ἀνάγνωσιν;

Εξ. 32. 28.

„Ἀλλὰ

* Κιφ. 4. Ἄρθρ. 3. τῆς ὑπερασπίσ. τῆς παλ. Διαθήκ. καὶ Ἐπιςολ. 5. τῶν Γερμανῶν Ἰουδαίων.

„Ἀλλὰ τοῦτο οὐκ ἔστι τὸ ὅλον. διότι αἱ εἴκοσι καὶ τρεῖς χιλιάδες „ὑποτίθενται καλῶς ἐνωπλισμέναι."

Τὸ ὕφος, καὶ πᾶσαι, χωρίς τινος ἐξαιρέσεως, (303) αἱ μεταφράσεις διαλαμβάνουσιν, ὅτι ἦσαν γυμνοὶ, ὅπερ ἐστὶν ἡμίγυμνοι, ἀφιερῶσαι θέλοντες ἑαυτοὺς τοῖς χοροῖς καὶ ταῖς ἀσωτείαις. ὁ οὖν κριτικὸς, ὁ ἐν τῇ τοιαύτῃ καταστάσει παρέχων αὐτοῖς ὅπλα, βούλεται πάντως παραστῆσαι αὐτοὺς χορεύοντας τὴν πυῤῥίχην (304) ὄρχησιν. αὕτη οὖν ἡ φονοκτονία, ἡ κατ' αὐτὸν τοσοῦτον δύσκολος οὖσα, ὅσον καὶ ἀποτρόπαιος, καταντᾷ εἰς τρεῖς περίπου χιλίαδας ἀποστατῶν, ἰσχυρογνωμόνως ἐπιμενόντων τῇ ἐπαναστάσει. οἵτινες ὑπὸ τοῦ κώμου καὶ τῆς μέθης θερμανθέντες, παρέτεινον καὶ μετ' αὐτὴν τὴν τοῦ Μωϋσέως ἐπιστροφὴν ἐν τῷ στρατοπέδῳ τὸ σκάνδαλον. ὅτε δὲ ὁ λοιπὸς λαὸς ἐπιγινώσκων τὴν ἁμαρτίαν αὐτοῦ, ἐπέστρεφεν ἐπὶ τὰ καθήκοντα, τότε πολλοὶ Λευῖται ἔνοπλοι ἐπιπεσόντες ἐπὶ τοὺς παρατείνοντας τὸ σκάνδαλον, καὶ ὀλίγους παραδειγματίσαντες, ἐφείσαντο ἑνὸς μιλλιονίου καὶ ἐπέκεινα τῶν ἁμαρτησάντων. διὰ τούτου δὲ τοῦ ῥωμαλαίου ἅμα καὶ δεσποτικοῦ ἔργου ὁ ἀρχηγὸς ἐπανεκόμισεν ἐν τῷ στρατοπέδῳ τὴν τάξιν καὶ τὴν θρησκείαν. ἰδοὺ οὖν ὁποῖόν ἐστι τὸ ὑπὸ τοῦ κριτικοῦ καλούμενον ἄτοπον, ἀποτρόπαιον, καὶ βάρβαρον ἔργον. „Πλείονος δὲ, κατ' αὐτὸν, τιμῆς ἄξιος ἦν ὁ Μωϋ„σῆς, εἴπερ παραδοὺς ἑαυτὸν εἰς θάνατον ὥσπερ ὁ Κόδρος καὶ ὁ Κούρτιος, ἐγκατέλειπεν ἐν μέσῳ τῆς ἐρήμου λαὸν ἀμέτρητον τῇ ἀναρχίᾳ τε καὶ εἰδωλολατρείᾳ προσκείμενον.

2. Προτείνει δὲ ἐνταῦθα ὁ αὐτὸς τὸ περίεργον τοῦτο πρόβλημα. „Δύνανται ἄρα ἐν ἑνὶ πεδινῷ τόπῳ στῆναι τρία μιλλιόνια ἀνθρώπων;

Ταῦτα μετ' ἀνέσεως κατοικοῦσιν ἐν μιᾷ πόλει, ἧς τὰ ὅρια εἰκότως στενώτερά εἰσι τῶν τοῦ πεδίου. ἀλλ' ἵνα τὶ οὐκ ἐρωτᾷ, ἐὰν ἐν τῇ Ἀραβίᾳ εἰσι πεδιάδες τοσοῦτον εὐρύχωροι, ὥστε χωρῆσαι σκηνὰς τριῶν μιλλιονίων ἀνθρώπων;

3. „Δύναται ἄράγε, προστίθησιν ὁ αὐτὸς, ἡ ἐν τῇ ἀδένδρῳ, (εἰπεῖν αὐτὸν ἔδει ὀλιγοδένδρῳ) ἐρήμῳ πεδιὰς, θύρας (ἔχρῆν αὐτὸν γράψαι διεξόδους) ἔχειν;

Ἀφίημι τοῖς μηχανικοῖς τὴν φροντίδα τῆς λύσεως τοῦ διπλοῦ τούτου προβλήματος. *

ΑΡΘ.

* Ἄχρι τῆς σήμερον πολλὰ δένδρα ὡραῖα εὑρίσκονται ἐν τῇ πετραίᾳ Ἀραβίᾳ κατὰ τὴν τοῦ Σουεσίου ὁδὸν. ἔντε τῷ Τὸρ, κἂν τῷ ὄρει Σινᾷ. Ὅρα τὸν Θεβενότ. ἐν Τόμ. 2. σελ. 521, 525. καὶ 543. τῆς ἐν ἔτ. 1721. ἐκδόσ.

ΆΡΘΡΟΝ Θ'.

Περὶ τῦ ὁποίαν ἔννοιαν ἔχει τὸ, ὁ Θεὸς ἐλάλει τῷ Μωϋσῇ ἐνώπιος ἐνωπίῳ.

1. „Δυσδιερμήνευτ☞, φησὶν ὁ αὐτὸς, ἡ ἔννοια τῦ συγγραφέως, „(τῦ βιβλίυ τῆς Ἐξόδυ) λέγοντ☞, ὅτι ὁ μὲν Μωϋσῆς ζητεῖ παρὰ „τῦ Θεῦ, ἵνα δείξῃ αὐτῷ τὴν δόξαν αὐτῦ. δοκεῖ, ὅτι ἐγγύτατα „ἡ πληρέσατα εἶδεν αὐτὴν, ὅτε τεσσαράκοντα ἡμέρας ἐλάλει μετὰ „τῦ Θεῦ ἐν τῷ ὄρει, ἡ εἶδε τὸν Θεὸν πρόσωπον πρὸς πρόσωπον, „ὁ δὲ Θεὸς ἐλάλησεν αὐτῷ ὡς φίλ☞ πρὸς φίλον. ἀποκρίνεται δὲ „αὐτῷ ὁ Θεὸς, οὐ μὴ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μυ. ὐ γὰρ μὴ ἴδῃ „ἄνθρωπος τὸ πρόσωπόν μυ, ☪ ζήσεται."

Τὰς ὑπ' αὐτῦ προσιθεμένας παχυλὰς ἀπρεπείας παρασιωπῶ διὰ τὸ φύσει ἀναξίας εἶναι μεταγραφῆς (305). περὶ δὲ τῆς δυσκολίας, τῆς ὑπὸ τῦ ὕφυς τῆς Ἐξόδυ παρισαμένης εὑρίσκω πάσας τὰς τῶν ὑπομνηματισῶν ἑρμηνείας ἀνωτέρας τῶν τότυ ἐπιβυλῶν. μὴ βυλόμεν☞ δὲ ἑκάσην αὐτῶν πολυπραγμονῆσαι, προτείνω μόνην τὴν δοκῦσάνμοι τῷ ὕφει καταλληλοτέραν. Πρῶτον μὲν αὕτη ἡ ἔκθεσις τῆς Ἐξόδυ. Ὁ Θεὸς ἐλάλει πρὸς Μωϋσῆν ἐνώπι☞ ἐνωπίῳ, ἤ σόμα κατὰ σόμα, ὡς διαλαμβάνει τὸ ἐντῇ βίβλῳ τῶν Ἀριθμῶν παράλληλον ὕφ☞, ὐ σημαίνει, ὅτι ὁ Μωϋσῆς εἶδεν ὁρατῶς τὴν Θεότητα, ἀλλὰ δηλοῖ μόνον τὸ, ὅτι ὁ Θεὸς ἐλάλει τῷ Μωϋσῇ ὥς τις τῶν συνήθων, ὡς φίλ☞ πρὸς τὸν ἑαυτῦ φίλον, ὐ δι' ἐκστατικῶν, ἀποκαλύψεων, ἀλλὰ δι' εὐκρινῶς κατανοήσεως ἐνάρθρων φωνῶν. ἀποκαλύπτων αὐτῷ τὰ ἀπόκρυφα αὐτῦ. Μωϋσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ. Δεύτερον δὲ, ὐδὲ τὸ πρὸς τὸν Θεὸν τῦ Μωϋσέως ζήτημα. „Δεῖ ζόνμοι „τὴν σεαυτῦ δόξαν. Οὐδὲ ἡ ἀπόκρισις τῦ Θεῦ. Οὐ μὴ ἴδῃς τὸ πρόσωπόν μυ. ὐ γὰ μὴ ἴδῃ ἄνθρωπ☞ ζῶν τὸ πρόσωπόν μυ, ☪ ζήσεται. (306) σημαίνει τὴν ἄμεσον τῆς Θεότητος θεωρίαν. ἔσι δὲ ὁ λόγος ἐνταῦθα περὶ μόνης τῆς προπομπῆς τῆς δόξης ☪ μεγαλειότητος, μεθ' ἧς ὁ Θεὸς μετὰ τὴν τῦ νόμυ παράδοσιν ἐνεφανίσθη, ἣν ☪ εἶδεν ὁ Μωϋσῆς μετὰ τῶν πρεσβυτέρων τῦ Ἰσραὴλ. ὅθεν εἴρηται. Καὶ „ἀνέβη Μωϋσῆς, ἡ Ἀαρὼν, ☪ Ναδὰβ, ἡ Ἀβιὸδ, ἡ ἑβδομήκον„τα τῶν πρεσβυτέρων Ἰσραὴλ. ☪ εἶδον τὸν τόπον ὃ εἰσήκει ὁ Θεὸς „τῦ Ἰσραὴλ, ☪ τὰ ὑπὸ τὰς πόδας αὐτῦ ὡσεὶ ἔργον πλινθυ σαπφεί„ρυ, ἡ ὥσπερ εἶδ☞ στερεώματ☞ τῦ ὐρανῦ τῇ καθαρότητι. Καὶ „τῶν ἐπιλέκτων τῦ Ἰσραὴλ ὐ διεφώνησεν ὐδὲ εἷς. ☪ ὤφθησαν ἐν „τῷ

Ἐξ 33. 11. Ἀριθ. 12. 8.

Ἐξ. 19 19. Ἐξ. 33. 18. 20.

Ἐξ. 24. 10. 11.

„τῶ τόπω τȣ̃ Θεȣ̃, ⲥ̀ ἔφαγον, ϗ ἔπιον. Τȣ̃το τὸ θέαμα ἦν κα-
„ταπληκτικὸν σημεῖον τῆς παρȣσίας τῆς φύσει ἀοράτȣ Θεότητος." ὁ
Μωϋσῆς μετὰ τὴν τῶν Ἰσραηλιτῶν παράβασιν ἐζήτει τὴν ἐπανά-
ληψιν τȣ́τȣ τȣ̃ θεάματος. Δεῖξόνμοι, ἔλεγε, τὴν σεαυτȣ̃ δόξαν.
Καὶ ταῦτα ȣ̓ ματαίως, ȣ̓δὲ περιέργως, ὡς ὁ κριτικὸς τȣ̃το συνεισά-
γει, ἀλλ' ὡς ἔνδειξιν τελείας καταλλαγῆς τȣ̃ Θεȣ̃ μετὰ τȣ̃ λαȣ̃ αὐ-
τȣ̃. ὁ Θεὸς ἀπῃνήνατο τὸ ζήτημα εἰπών. Οὐ γὰρ μὴ ἴδῃ ἄνθρω-
„πος ζῶν τὸ πρόσωπόν μȣ, ϗ ζήσεται. τῶ ὄντι δὲ βλέπομεν ἐν τῷ
ἐφεξῆς κεφαλαίω, ὅτι ὁ Μωϋσῆς ἀναβὰς πάλιν ἐπὶ τῆς κορυφῆς
τȣ̃ ὄρȣς, ȣ̓κέτι εἶδε τοιαύτην δόξης προπομπήν. ἀλλὰ ⲥ̀ αὐτοὶ οἱ λο-
γάδες τῆς τε παλαιᾶς ϗ νέας Διαθήκης, οἱ ἀκτῖνος χάριτος τῆς
Δαν. 7. 1. 13. Λȣκ. 9. 32. 2. Κορ. 12. 1. Ἀποκ. 1. 10. δόξης ταύτης ἀξιωθέντες, ταύτης ȣ̓κ ἀπῄλαυσαν εἰμὴ ἐν πνεύματι,
ἐν ἐκςάσει, ἐν νυκτεριναῖς ὀπτασίαις. ἀληθὲς ἄρα ἐςὶ ϗ κατ' αὐτὸ
τὸ γράμμα, ὅτι ȣ̓δεὶς ἄνθρωπος ζῶν εἶδε τὴν δόξαν, ἣν ὁ Μωϋσῆς
εἶδε πρὸ τῆς παραβάσεως τῶν τῷ χρυσῷ μόσχῳ λατρευσάντων (307).

Ἄ Ρ Θ Ρ Ο Ν Β'.

Περὶ τῶν ἀναλωθέντων εἰς κατασκευὴν τῆς Κιβωτȣ̃, καὶ τῆς Σκηνῆς.

1. Περὶ τῶν ἀναλωθέντων εἰς κατασκευὴν τῆς Κιβωτȣ̃, ⲥ̀ τῆς
Σκηνῆς, ὅπȣ ἔδει αὐτὴν τεθῆναι, φησὶν ὁ αὐτός. „Τȣ̃ χρυσȣ̃ ταλάν-
„τȣ τὸ ἀποτίμημα τὴν σήμερον ἐςὶν ἑκατὸν ϗ τεσσαράκοντα χιλιά-
„δες λίτραι τῆς Γαλλίας. τȣ̃το δὲ ὑπερβαλικὴν συγκροτεῖ ποσότητα,
„εἴτȣν τέσσαρα μιλλιόνια, ϗ ἑξακοσίας ἑξήκοντα ὀκτὼ χιλιάδας, ϗ
„ἑπτακοσίας ϗ ἑξήκοντα λίτρας, ἐκλαμβανομένης τῆς τȣ̃ ἀργυρȣ̃ τα-
„λάντȣ τιμῆς ἴσης ἓξ χιλιάσι λίτραις τῆς Γαλλίας, μὴ ἀναλογισθέν-
„των δὲ τῶν πολυτίμων λίθων... Οἱ ἀναγινώσκοντες ἐξίςανται, ὁρῶν-
„τες ἐν ἐρήμῳ, ὅπȣ ἄρτος ϗ ἱμάτια ȣ̓κ ἦσαν, μεγαλοπρέπειαν, μη-
„δὲ παρ' αὐτοῖς τοῖς μεγίςοις Βασιλεῦσιν εὑρισκομένην."

Ὁ προσεκτικὸς ἀναγνώςης ἐξίςαται ὁρῶν τὰς τȣ́τȣ περὶ τὴν
τιμὴν τȣ̃ χρυσȣ̃ ταλάντȣ διαφορὰς, ὧδε μὲν ἀνάγοντος αὐτὴν εἰς
ἑκατὸν τεσσαράκοντα χιλιάδας λίτρας τῶν ἡμετέρων νομισμάτων. ἐν
δὲ τῇ 104. σημειώσει αὐτȣ̃ εἰς μόνας ἑκατὸν εἴκοσι. ἐπίσης πάντως
ἐξίςαται, ὁρῶν αὐτὸν διορίζοντα τὴν ἀναλογίαν τῆς μεταξὺ τȣ̃ χρυ-
σȣ̃ ⲥ̀ ἀργύρȣ τιμῆς, ὡς τὸ ἓν πρὸς τὰ εἰκοσιτρία, (308) κἂν παρ'
ἡμῖν ȣ̓χ ὑπάρχῃ, εἰμὴ ὡς τὸ ἓν πρὸς τὰ δεκατρία. ἔτι δὲ μᾶλλον
ἐξίςαται ὁρῶν αὐτὸν ἀμφισβητȣ̃ντα περὶ τῆς εὐπορίας τȣ̃ γένȣς τȣ̃

συγκει-

συγκεμένυ κατ' αὐτὸν ἐκ τριῶν μιλλιονίων ἀνθρώπων, ἐ πεφορτισμένυ τοῖς λαφύροις τῆς Αἰγύπτυ, ἐξ ἧς πρὸ τριῶν περίπυ μηνῶν ἐξῆλθε, πρὸς τὸ καταβαλεῖν τέσσαρα ἢ πέντε μιλλιόνια ὑπὲρ τῆς κατασκευῆς ἢ τῦ καλλωπισμῦ τῦ ἑνὸς ἢ μόνυ θυσιαστηρίυ, ὅπυ ελάτρευε τῶ ποιητῆ τῆς κτίσεως, ἐξ ὦ ἔλαβε πάντα τὸν πλῦτον. Τοιαύτη μεγαλοπρέπεια, λέγω αὐτὸς, ὐδὲ παρὰ τοῖς μεγίστοις Βασιλεῦσιν εὑρίσκεται. Ἀληθῶς τὰ πρὸς τὸν ἐσωτερικὸν καλλωπισμὸν τῦ ἐν Βερσαλλίαις παλατίυ, ἐ ἡ τῶν κινητῶν τῆς Βασιλείας πραγμάτων τιμὴ ὐ συμποσῦσι τέσσαρα, ἢ πέντε μιλλιόνια. Ἰδὺ περὶ τίνυ πεῖσαι τὺς Γάλλυς ἐπιχειρεῖ ὁ φιλόσοφος.

Α΄ ΡΘΡΟΝ ΙΑ΄.

Ἐν ᾧ τὰ περὶ τῶν ἀκαθάρτων ζώων τῦ κριτικῦ σφάλματα.

1. Ἐνταῦθα προτίθησιν αὐτὸς, ἔντε τῇ λεγομένῃ μεταφράσει αὐτῦ, κἂν ταῖς ἑαυτῦ σημειώσεσι, δύω ῥητὰ τῦ Λευϊτικῦ, τὸ μὲν ἐκ τῦ ὀγδόυ κεφαλαίυ, ἴ περὶ τῆς καθιερώσεως τῦ ἀρχιερέως, τὸ δὲ ἐκ τῦ ἑνδεκάτυ, τῦ περὶ τῶν καθαρῶν ἢ ἀκαθάρτων ζώων, ὡς μέρη τῆς βίβλυ τῆς Ἐξόδυ. Μεγάλη ἦν ἡ ἀταξία ἐν τῇ κατ' οἶκον Ἐκκλησίᾳ τῆς Πρυσσικῆς αὐτῦ μεγαλειότητος, ἐὰν ἐν αὐτῇ ἦσαν ὑπυργοὶ τοσῦτον τὴν τάξιν συγχέοντες. Ἰδὺ δὲ ἡ ἄλλη ἀπόδειξις τῆς τύτων σκοτομήνης. Τὸ μὲν Λευϊτικὸν ἐκπεφασμένως τάττει τὰς ἀκρίδας ἐν τῇ τάξει τῶν ζώων, ἅτινα ἐπιτεταμμένον ἦν τοῖς Ἰσδαίοις ἐσθίειν· „Ἀλλὰ ταῦτα φάγεσθε ἀπὸ τῶν ἑρπετῶν τῶν πετε- Λευϊτ. 11. 21
„νῶν, ἃ πορεύεται ἐπὶ τέσσαρα, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν αὐ- 44.
„τῶν, πηδᾶν ἐν αὐτοῖς ἐπὶ τῆς γῆς. ἢ ταῦτα φάγεσθε ἀπ' αὐτῶν·
„Τὸν βρῦχον, ἢ τὰ ὅμοια αὐτῷ· τὸν ἀττακὸν, ἢ τὰ ὅμοια αὐτῷ·
„ἢ ὀφιομάχην, ἐ τὰ ὅμοια αὐτῷ· ἢ τὴν ἀκρίδα, ἐ τὰ ὅμοια αὐ-
„τῇ· Ἀλλ' ἰδὺ ὁ κριτικὸς ὗτος προτείνει, ὅτι αἱ ἀκρίδες ἀνεκηρύχθη-
„σαν ἀκάθαρτοι, κἂν ὁ ἅγιος Ἰωάννης ὁ Βαπτιστὴς δι' αὐτῶν ἐτρέφε-
„το ἐν τῇ ἐρήμῳ. (309)

2. Ἀπίωμεν ἐπὶ τὰ λοιπὰ αὐτῦ παρατηρήματα. Ὁ χοῖρος,
„φησὶν, ἀκάθαρτος ἦν παρὰ τοῖς αἰγυπτίοις, ὃ διὰ τὸ μὴ ἀνάγειν
„μηρυκισμὸν, ἀλλὰ διὰ τὸ προτρέπεσθαι ὑπὸ λεπροειδῶν πάθυς (310),
Ὁ τῦ Μωϋσέως νόμος ἀπαγορεύει τοῖς Ἰσδαίοις ἐσθίειν τὰ ζῶα τὰ μὴ ἀνάγοντα μηρυκισμὸν, ὃ διὰ τὸ μὴ μηρυκᾶσθαι, ἀλλὰ διὰ ἠθικὰς φυσικὰς λόγυς, ἀφορῶντας εἰς τὸ κλίμα, ἐν ᾧ ὁ λαὸς ὗτος ἔζη, ἢ εἰς τὴν διατριβὴν αὐτῦ ἀναμέσον τῶν εἰδώλολατρῶν, ὧν ἀναγκαῖον

ἦν

ην φεύγειν τὰς συναναστροφάς. Ὁ μηρυκισμὸς, καὶ ἡ διχηλία ἐδόθησαν ὡς σημεῖα μόνον, διαστέλλοντα τὰ κτήνη, ὧν τὸ κρέας ἐδίειν ἐπετέτραπτο, τῶν κτηνῶν, ὧν ἡ χρῆσις ἀπηγόρευτο.

3. „Ὁ νόμος, φησὶν ὁ αὐλὸς, ἀνακηρύττει ἀποτρόπαιον τὸ ρεῦμενον ἐπὶ ἰῶν τεσσάρων, καὶ πετώμενον· νοητέον δὲ, ὅτι ἐὰν „ὑπῆρχον τοιαῦτα ζῶα, ἀπηγορεύοντο καὶ ταῦτα ἀκάθαρτα.

Πῶς ὁ μέγας ὗτος φυσιολόγος ὁ παρετήρησε τὰ τέσσαρα τῆς νυκτερίδος σκέλη, τὰ ὑπὸ τὰς πτέρυγας αὐτῆς κεκρυμμένα; διαλεκτικὲ παράλογε, σὺ λαμβάνεις ἐξ ὑποθέσεως, ὅτι ἐδόθησαν τοῖς Ἰουδαίοις νόμοι ἀπαγορεύοντες ἐδίειν τὰ ζῶα τὰ ἀνύπαρκτα.

4. „Ὁ Γρὺψ, λέγει ὁ αὐτὸς, καὶ ὁ Ἰξίων εἰσὶ ζῶα μυθώδη.

Περὶ μὲν τοῦ γρυπὸς ἀρκεῖ τὸ ἐξαποστεῖλαι τὸν πάνσοφον τοῦτον, καὶ τοὺς σὺν αὐτῷ ἐν τῷ λεξικῷ τοῦ Κωνσταντίνου, ἢ, ἐὰν τὸ βιβλίον τοῦτο ἄφιλον αὐτοῖς ᾖ, ἐν τῷ καλουμένῳ μικρῷ κήπῳ τῶν ἑλληνικῶν ῥιζῶν. Ἐκεῖ εὑρήσουσι τὸ, ὅτι ὁ γρὺψ, ἢ γρύφος πετεινόν ἐστιν, ἀγκύλον ἔχον τὸ ῥύγχος ὥσπερ ὁ ἀετός. Οὗτος δέ ἐστιν ὁ ἁλιαίετος, (311) ὃν τὸ ἑβραϊκὸν ὔφος καλεῖ περες. Περὶ δὲ τοῦ Ἰξίωνος ἄλλος λόγος. Τοῦτο τὸ ὄνομα οὐδαμοῦ ἐν τῷ Λευϊτικῷ κεῖται. Μόνη δὲ ἡ Βυλγάτα τοῦτο μετῆλθε ἐν τῷ Δευτερονομίῳ, μεταφράσασα τὴν ἑβραϊκὴν λέξιν ρααχ, ἢ κρεῖττον εἰπεῖν, δααχ, ἣν οἱ Ἑβδομήκοντα μετήνεγκαν εἰς τὸ, γύπα. Ἀλλ' ἔσω, νόησον τὸν Ἰξίωνα ὡς σφάλμα ἐν τοῖς τεύχεσι τῆς Βυλγάτης παρεισενεχθὲν. μὴ λέγε δέ, ὅτι τὸ ἐν τῷ ἑβραϊκῷ ὕφει σημανθὲν πετεινόν ἐστι μυθῶδες. ὁ Ἰκτὶν, ὁ γύψ εἰσὶ ζῶα πάνυ γνωστά.

ΑΡΘΡΟΝ ΙΒ'.

Ἐν ᾧ αἱ τοῦ κριτικοῦ κατὰ τοῦ Μωϋσέως Ψευδομέμψεις περὶ τῆς τοῦ Ἀαρὼν ἀρχιερωσύνης.

1. Περαιοῦμεν τοῦτο τὸ κεφάλαιον, λόγον ἕνα ἀπόντες ἐκ τῆς τοῦ φιλοσόφου τούτου σημειώσεως περὶ τῆς τοῦ Ἀαρὼν καθιερώσεως. „Οὐ „χρὴ θαυμάζειν, φησὶν αὐτὸς, περὶ τοῦ, ὅτι ὁ Μωϋσῆς καθιδρύει τε „καὶ καθιεροῖ τὸν ἴδιον ἀδελφόν.

Τοῦτο ταὐτόν ἐστιν ἀναμφιβόλως τῷ ὥσπερ ἂν εἰ ὁ τῆς Λυσιτανίας Βασιλεὺς προεβίβαζε τὸν ἴδιον ἀδελφὸν εἰς πατριάρχην. Ἔστιν ὅμως διαφορά τις. Διότι τὸ μὲν τῆς Λυσιτανίας σέμνα ἐστὶ διαδοχικὸν, ἡ δὲ τοῦ Πατριάρχου ἀξία οὐδαμῶς. Ἄλως τε ἡ αὐτὴ καὶ ἀσύμβατος τῷ βασιλικῷ σέμνατι. Ἐξ ἐναντίας δὲ, ὁ μὲν τῆς πολιτικῆς προεδρίας χαρακτὴρ ἐδόθη μόνῳ τῷ Μωϋσῇ, ἐκβληθέντων καὶ αὐτῶν τῶν τέκ-

των

νων αὐτῦ. Ὁ δὲ Ἰῆς ἀρχιερατέας ὐ μόνον τῷ Ἀαρὼν, ἀλλὰ ϗ πάσῃ τῇ διαδοχῇ αὐΐῦ. ἐντεῦθεν τὰ μὲν τῦ Μωϋσέως τέκνα κατεςάθησαν διαπαντὸς ψιλοὶ Λευῖται, οἱ δὲ Ἰάτων ἐξάδελφοι, ἅτιν τῦ Ἀαρὼν τὰ τέκνα, προδιωρισμένοι διάδοχοι τῆς πρώτης ἀξίας τῆς ἱερατικῆς τάξεως· ἐὰν ὁ Μωϋσῆς μόνῃ τῇ σαρκὶ ϗ τῷ αἵματι ἐπέθετο, ὡς Ἰᾶτο ὑπαινίττεται ὁ ἡμέτερος Φιλόσοφος, τὶς ἠνάγκασεν αὐτὸν καταςῆσαι τὰς ἐκ τῆς οἰκίας τῦ Ἀαρὼν διαδόχυς τῆς Ἀρχιερωσύνης, ἐκβαλεῖν δὲ ἐξ αὐτῆς τὰς ἄλλυς Λευῖτας, ϗ τὰ ἴδια αὐτῦ τέκνα; τὶς ἐκώλυσεν αὐτὸν ἀπονεῖμαι ἑαυτῷ τὸν τῆς πολιτικῆς ἅμα Ϛ τῆς ἀρχιερατικῆς ἐξυσίας χαρακτῆρα, κατὰ τὸ ἄχρι τῶν ἡμερῶν αὐτῦ ἐπικρατῦν ἔθος; ὅπερ δῆλον ἔκτε τῦ πενθερῦ αὐτῦ Ἰοθὼρ, Ϛ τῶν πατριαρχῶν, ϗ τῦ Μελχισεδέκ.

2. „Ἡ Ἰνδία μόνη, φησὶν ὁ αὐτὸς, ϗ ἡ ἄγνωςος Σίνα ὐκ ἔθυ„σαν τότε ζῶα τῇ Θεότητι.

Περὶ μὲν τῆς Ἰνδίας ὐδὲν ἄλλο θεμέλιον τῦ λόγυ αὐτῦ ὑφορῶ, εἰ μὴ τὸ τῶν Βραχμάνων (314) δόγμα περὶ τῦ μηδὲν τῶν ζώντων διαφθείρειν, ὅπερ ἐν τοῖς βιβλίοις αὐτῶν περιέχεται, Ϛ ὑπὸ τῶν συγγραφέων Ἑλλήνων μαρτυρεῖται. Ἀναντίῤῥητον δὲ τὸ, ὅτι οἱ Ἕλληνες ὐκ ἤρξαντο γνωρίζειν τὰς Ἰνδὰς, ἀμὴ χίλια ἔτη ϗ ἐπέκεινα μετὰ τὰς τῦ Μωϋσέως χρόνυς. Ἄλλαχῦ δὲ ἀπέδειξα, ὅτι οἱ χαρακτῆρες τῶν βιβλίων τῶν Βραχμάνων, ἐμφαίνυσιν αὐτὰ νέα, ϗ καταβιβάζυσιν αὐτὰ εἰς πολλῷ κατωτέρυς αἰῶνας. Ὁ ὢν κριλικὸς ἄνευ τινὸς βάσεως ἐπιβεβαιοῖ, ὅτι τότε, ἤτοι ἐπὶ Μωϋσέως, ἡ Ἰνδία ὐκ ἔθυε ζῶα. ὅτι δὲ περὶ τῆς Σίνας ἐναέρια ἐλάλησεν, αὐτὸς τῦτο δηλοποιεῖ, ὁμολογῶν, ὅτι ὁ τόπος ὗτος ἦν τότε ἄγνωςος. πόθεν δὲ ἐδυνήθη γνῶναι τὶ ἐγίνετο τότε ἐν τῇ ἀγνώςῳ τάυτῃ χώρᾳ, ἧς Ἰὰ παλαιότερα ἱςορικὰ ὑπομνήματα ἀπέδειξα, καὶ πολλῦς αἰῶνας τῦ Μωϋσέως μεταγενέςερα (313);

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῦ τῆς Γενέσεως Βιβλίυ.

ΑΡΘΡΟΝ Α'.

Ἐν ᾧ αἱ ἀποδείξεις τῆς Γενέσεως. καὶ τὰ περὶ τὰ πρῶτα αὐτῆς ἐδάφια τῦ κριτικῦ ἄτοπα.

1. Πάντα τὰ ἑβραϊκὰ βιβλία, ὧν Ἡμεῖς τὸ κῦρος ἄχρι τῦδε ἀπεδείξαμεν, ὑποτίθεμαι ἀναγκαίως τὸ τῆς Γενεσέως, ὅτινος ἐξιχνιάζυσι πᾶσαν τὴν ἱστορίαν. ἡ ἑξαήμερος δημιυργία τῆς κτίσεως σεσημειωμένη μὲν ἐστι ῥητῶς ἐν τῷ βιβλίῳ τῆς Ἐξόδυ, καὶ τῦ Δευτερονομίυ, δεδοξολογημένη δὲ ἐν τοῖς Ψαλμοῖς, ἐξόχως ἐν τῷ ἑκατοστῷ τρίτῳ, καὶ ἑκατοστῷ τριακοστῷ πέμπτῳ, μελὰ πασῶν τῶν ἐν τῇ διηγήσει τῦ Μωϋσέως περισάσεων. ἔστι δὲ ἐξιχνιασμένη ἐν τῷ τῶν Παροιμιῶν, καὶ τῷ τῦ Σειράχ βιβλίῳ. ἡ τῦ Ἀβὰμ πτῶσις σεσημέωται ἐν τῷ Ἡσαΐᾳ, ἐν τῷ Ὡσηὲ, ἐν τῇ τῆς Σοφίας βίβλῳ. εὑρίσκομεν τὸν κατακλυσμὸν ὐ μόνον ἐν τῷ τῦ Σειράχ βιβλίῳ, ἀλλὰ καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ Ψαλμῷ, καὶ τῷ Ἡσαΐᾳ. ὐδὲν δὲ ἧττον τῶν ἱερῶν βιβλίων ἐστὶ τὸ μὴ λαλῦν περὶ τῆς τῦ Ἀβραὰμ κλήσεως, περὶ τῶν πρὸς αὐτόντε, καὶ τὸν Ἰσαὰκ, καὶ Ἰακὼβ ἐπαγγελιῶν, περὶ τῆς ὑπὲρ τὸν Ἡσαῦ προτιμήσεως τῦ Ἰακὼβ, περὶ τῆς κατὰ τῶν Σοδόμων ὀργνίυ ἐκδικήσεως. τελευταῖον περὶ τῆς τῦ Ἰακὼβ σὺν παντὶ τῷ οἴκῳ αὐτῦ καταβάσεως εἰς Αἴγυπτον. περιττόν ἐστι τὸ πληρῶσαι μαρτυριῶν τὰ τῦ ἐμῦ βιβλίυ ἄκρα. ὅθεν ἐπὶ τὰς τῆς θείας γραφῆς συμφωνίας ἐξαποστέλλομεν τῦς ἀμφιβάλλοντας. πάντα ὖν τὰ ἑβραϊκὰ βιβλία μαρτυρῦσι περὶ τῦ βιβλίυ τῆς γενέσεως, ἣν μεταγράφυσι, καὶ περὶ τῆς ἀληθείας τῶν ἔργων, τῶν ὑπ' αὐτῆς περιεχομένων.

Ε'ξ. 31. 17. Δευτ. 4. 32. Ψαλ. 103. 135 Παρ 8. 11. 30. Σειρ. 43. Ησ. 3. 27. Ω'σ. 6. 8. Σοφ. 10. 1. Σειρ. 44. 11. Ψαλ. 28. 3, 10. Ἡσ. 514. 9.

2. Ὁ τῆς τελευταῖον διερμηνευθείσης Διαθήκης συγγραφεὺς ἀρχόμενος παίζειν διὰ Ἰνδάλματος, δηλῦντος ἱκανώτατα τὸν χαρακτῆρα αὐτῦ, μεταφράζει τὰ δύο πρῶτα ἐδάφια τῆς Γενέσεως ὅτως. „Ἐν ἀρχῇ οἱ Θεοὶ ἐποίησε τὸν ὐρανὸν καὶ τὴν γῆν. ἡ γῆ ἦν τοχυ βοχυ. Ποία ἁράγε διάλεκτός ἐστιν αὕτη, ἐρεῖ ὁ εὐαίῳητος ἀναγνῶσης; ὁ νομιζόμενος μεταφράσης ἀναμφιλέκτως παραφρονεῖ. ἀλλ' ἀκύσωμεν αὐτῦ πρὶν ἢ λαλῆσαί τι. „Τὸ ἑβραϊκὸν ὕφος, φησὶν αὐτὸς, „διαλαμβάνει ῥητῶς, οἱ Θεοὶ ἐποίησεν, ὐχὶ δὲ ὁ Θεὸς ἔπλασεν, ὡς „ἡ Βυλγάτα περιέχει. αὕτη ἐστὶ κοινὴ φράσις τῶν ἀνατολικῶν διανύσιν

„λέκτων, ᾗ οἱ Ἕλληνες δὲ πολλάκις τοῦτον μετέρχονται τὸν τρόπον „τοῦ λέγειν.

Ἔσω. Ἀλλ' ἄξιος παιδείας ἦν ὁ μαθητὴς ἐκεῖνος, ὁ μετενεγκὼν τὰ ἑλληνικὰ ῥήματα, τὰ ζῶα τρέχει, εἰς τὸ les animaux court. ὁ δὲ τοιοῦτον σφάλμα ποιήσας ἐν τῇ μεταφράσει τοῦ βαρα ελοχιμ εἰς τὸ, οἱ Θεοὶ ἐποίησεν, οὐκ ἔστι παιδίον, ἀλλ' ἄνθρωπος ὀγδοηκοντούτης. κἂν δὲ ἡ κατάληξις εἰς ιμ ὑπάρχῃ πληθυντικὴ, τὸ ὄνομα ὅμως ελοχιμ ἑκατέρου ἀριθμοῦ ἐπιδεκτικόν ἐστι. τὸ δὲ ῥῆμα βαρα ὅπερ ἐντεῦθα ἑνικόν ἐστι, προσδιορίζει τὸ ὄνομα εἰς ἑνικὴν σημασίαν. μεταφραστέον οὖν ὁ Θεὸς ἔπλασεν, οὐχὶ δὲ οἱ Θεοὶ ἐποίησε. τὸ ῥῆμα ποιῶ ἑβραϊστὶ ἐστὶ γασαχ, οὐχὶ δὲ βαρα. ταῦτα δὲ τὰ δύω ῥήματα συνημμένα κεῖνται ἐκ τῷ τρίτῳ ἐδαφίῳ τοῦ ἕξης κεφαλαίου πρὸς ἔκφρασιν τοῦ ὅλου τῆς τοῦ παντὸς δημιουργίας ἔργου. βαρα λαγχασοθ· βαρα, ἐκ τοῦ μὴ ὄντος παρήγαγε· λαγχασοθ, πρὸς τὸ συζῆσαι ᾗ τάξαι. οὕτω ταῦτα τὰ δύω ῥήματα ἑρμηνεύει μετὰ τὸν Σάγκτες Παγνῖνον ὁ Βάταβλος (314).

Ἡ γῆ ἦν τοχου βοχου, ἅτινα ἄνευ τοῦ ἄνω, ᾗ τοῦ κάτω.

Ἐὰν μὲν γνωστὴ ἦν αὐτῷ τῶν δύω τούτων ἑβραϊκῶν λέξεων ἡ σημασία, ἵνα τί οὐκ ἐξέθετο αὐτὴν γαλλιστὶ ἐν τῇ μεταφράσει αὐτοῦ; ἐὰν δὲ ἠγνόει αὐτὴν, τίνος ἕνεκα ἐπεχείρησε μετάφρασιν ποιῆσαι ἀπὸ τοῦ ἑβραϊκοῦ ὕφους; τί ἀναλογιθέντις ἄντις περὶ πονήματος λατινιστὶ συγγεγραμμένου συναντήσας ἐν αὐτῷ τὴν ποικίλην ταύτην φράσιν; Philosofaster iſte fuit un franc charlatan. (τὸ φιλοσοφίδιον τοῦτο ἦν ἀληθὴς κωμῳδοποιός;) ἵνα δὲ λευκάνῃ τὴν λεγομένην μετάφρασιν αὐτοῦ, φησί· τοχου βοχου ἐστὶ κυρίως τὸ τοῦ Σαγχωνιάθωνος χαυτ-ερεβ. ἰδοὺ οἵοι ἄνθρωποί εἰσιν, ὑπὲρ ὧν ἐξόχως, πάνυ καλῶς δεδιδαγμένος ὢν αὐτὸς, συνέγραψε. πρέπον ἦν αὐτῷ τἀλάχιστον εἰπεῖν, ὅτι κατὰ τὸν Φίλωνα τὸν Βύβλιον, τὸν ἐκδοτὴν ᾗ μεταφραστὴν τοῦ Σαγχωνιάθωνος τὸ χαυτ-ερεβ (315), ὕλη ἐστὶ τελματώδης, ὁμίχλη κεκαλυμμένη. Εὐσ. β. 1. κ. 9. Προπ. Εὐαγγ.

2. Ὁ Σαγχωνιάθων, προσίθησιν ὁ αὐτὸς, ἀναντιῤῥήτως συνέγραψε πρὸ τοῦ Μωϋσέως.

Περὶ τούτου τοσοῦτον αὐτὸν ἀνεσκεύασα, ὥστε παρητημένον εἶναί με ἀπὸ τοῦ ἐπανελθεῖν ἐπὶ τὸ αὐτό. Β. 51. ᾗ. 2. Λεῤῥ. 7. Ἀριθ. 3.

Ἄ Ρ Θ Ρ Ο Ν Β'.

Περὶ τῦ πῶς πρὸ τῆς τῶν ἄςρων ὑπάρξεως ἔλαμπε τὸ φῶς ἐν τῷ ςερεώματι.

1. Πορευσώμεθα πρὸς ἄλλοτι ἐμβριθέςερον. Ὁ ἱερὸς συγγρα-
„φεὺς, ὁ αὐτὸς λαλῶ, τίθησι τὴν τῦ φωτὸς ποίησιν τέσσαρας ἡμέ-
„ρας πρὸ τῆς τῦ Ἡλίυ ποιήσεως. πᾶσα δὲ ἡ ἀρχαιότης ἐπίςευεν,
„ὅτι τὸ φῶς διεσπαρμένον ὂν ἐν τῷ ἀέρι. ὑ παράγεται, ἀλλ' ὠθεῖται
„μόνον ὑπὸ τῦ Ἡλίυ. ᾗ αὐτὸς δὲ ὁ Καρτέσιος πολὺν ἐπήρκεσε χρό-
„νον ἐν τύτῳ τῷ σφάλματι, πρῶτος ὁ Ῥιμέρος ὁ Δάνος ἔδειξεν, ὅτι
„τὸ φῶς ἐκ τῦ Ἡλίυ πηγάζει, δηλοποιήσας ᾗ τὸν ἀριθμὸν τῶν τῦ
„χρόνυ λεπτῶν, καθ' ὃν εἰς τὴν γῆν καταντᾷ (316). Ἐὰν ὁ Θεὸς
„ἀπ' ἀρχῆς ἐνέσπειρε τὸ φῶς ἐν τῷ ἀέρι, ἵνα ὠθῆται ὑπὸ τῦ Ἡλίυ,
„πρὸ τῆς τῦ Ἡλίυ ὑπάρξεως ὐκ ἠδύνατο ὠθεῖσθαι, μηδὲ φωτίζειν,
„μηδὲ κεχωρισμένον εἶναι ἀπὸ τῦ σκότυς, μηδὲ ποιεῖν ἡμέραν μίαν
„ἀπὸ ἑσπέρας ἕως πρωΐ (317).

Ἡ τῦ Καρτεσίυ περὶ τῦ φωτὸς γνώμη εὗρε μετ' αὐλὸν, ἔχει
δὲ ἔτι ὑπερασπιςὰς ἄνδρας ἐπισήμυς. ὅτι δὲ τῇ τῶν ἀφεγγῶν σω-
μάτων τριβῇτε πλήξει φῶς ὑπὸ τῦ Ἡλίυ μὴ πεμπόμενον ἀποςίλ-
βει, βέβαιόν ἐςιν. ἀλλά κάθω τὸ πάσης τῆς ἀρχαιότητος ᾗ τῶν
Καρτεσιανῶν περὶ τῦ φωτὸς δόγμα ἐσφαλμένον εἶναι. τύτυ ὖν κεμέ-
νυ, δεῖνον ἄραγε τὸ κατανοῆσαι, ὅτι ὁ Θεὸς ἀπὸ τῆς πρώτης ἡμέρας
ἐδυνήθη παραγαγεῖν τὸ φῶς, διαςέλας ἀπὸ τῆς ἀφεγγῦς ὕλης τὴν
φεγγοβόλον, ἐξ ἧς ἔμελλον ὕςερον συςαθῆναι ὁ Ἥλιος ᾗ οἱ ἀςέρες,
ᾗ θὺς ἑκατέρῳ τῶν δύω τύτων ὑλῶν φυράματι κυκλοφερεῖ περὶ τὸν
ἴδιον ἄξονα κίνησιν; ὅτω δὲ προτῦ τὸν Ἥλιον ᾗ τὰ Ἄςρα τεθῆ-
ναι ἐν τῷ ςερεώματι, ἀπ' αὐτῆς τῆς πρώτης ἡμέρας ἡμὲν ἀφεγγὴς
ὕλη ἐδέχετο τὰς τῆς φεγγοβόλυ μαρμαρυγὰς, τὸ δὲ φῶς διεδέχετο
τὸ σκότος, αἱ δὲ ἡμέραι ᾗ αἱ νύκτες διεδέχοντο ἀλλήλας. ᾗ ὅτω με-
τὰ πάσης ἀκριβείας, ᾗ κατ' αὐτὸ τὸ ὑπὸ τῦ ἡμετέρυ φιλοσόφυ
ἐγκωμιαζόμενον σύςημα, ἀληθεύει τὸ τῆς γενέσεως ὕφος.

2. Ὅσάκις ὅτος ἀναφέρει τὸ ἑβραϊκὸν ὕφος, τοσάκις δυςυχεῖ ᾗ
σφάλλει· ,Ρακαχ. λέγει, σημαίνει ςερεὸν, ἀσάλευτον, ςερέωμα.
„πάντες οἱ παλαιοὶ ἐνόμιζον, ὅτι οἱ ὐρανοί εἰσι ςερεοί.

Συγχέει τὴν ῥίζαν, ὅτυν τὸ παράγον τῷ παραγομένῳ. τὸ μὲν
Ρακαχ ἢ Ρακαγχ, πρόφερε αὐτὸ ὡς θέλεις, σημαίνει τὸ ἐκ-
τάνειν. τὸ δὲ ἐξ αὐτῦ παραγόμενον ρακιαγχ δηλοῖ διάςημα, ἔκ-

τασιν

ʅασιν φέρουσαν τὰ ἐν τῇ ἐπιφανείᾳ αὐτῆς τιθέμενα σώματα. τοῦτο οὖν τὸ ὄνομα ἀνήκειν δύναται τῇ ἀτμοσφαίρᾳ, τῇ συνεχούσῃ τὰ ὑδροφόρα νέφη, ἔτι δὲ καὶ τῷ ἀμέτρῳ ῥευστῷ, τῷ ʅοὺς Πλανήτας φέροντι. ὅθεν πρὸς τὸ ἑρμηνεῦσαι ʅὴν τοῦ Μωϋσέως ῥῆσιν οὐδεμία ἀνάγκη ἐστὶν ὑποτίθεσθαι αὐτὸν, ἢ τοὺς συγχρόνους αὐτῷ νοεῖν οὐρανοὺς κρυσταλλίνους. Τούτους δὲ οὐχ εὑρίσκομεν, εἰμὴ ἐν τοῖς τῶν φυσιολογούντων συστήμασι, τοῖς χίλια, ἢ χίλια καὶ πεντακόσια ἔʅη καὶ ἐπέκεινα μετὰ τὸν Μωϋσῆν πεπλασμένοις.

Ἄ Ρ Θ Ρ Ο Ν Γ'.

Περὶ τοῦ ἐὰν ὁ Μωϋσῆς ἀφῆκε τοὺς Ἰουδαίους πιστεύειν, ὅτι ὁ Θεὸς ἐστὶν ἐνσώματος.

1. Ἐν τούτοις τοῖς ῥήμασι τῆς Γενέσεως· „Ποιήσωμεν ἄνθρωπον „κατ' εἰκόνα ἡμετέραν· ὁ κριτικὸς σημειοῖ, ὅτι ἐν τοῖς ἡμετέροις δυ„τικοῖς μέρεσι κοινὴ ἦν ἡ ἰδέα τοῦ τὸν ἄνθρωπον κατ' εἰκόνα τῶν „Θεῶν γεγονέναι: Finxit in effigiem moderantum cuncta Deo„rum, Πλάσσε Θεῶν εἴδει τῶν σύμπαντ' ἐνδιεπόντων. Ἡ θύρα„θεν ἀρχαιότης ἦν μὲν ἀνθρωπομορφίτις, οὐ τὸν ἄνθρωπον φανταζο„μένη ὅμοιον τοῖς Θεοῖς, ἀλλὰ τοὺς Θεοὺς σχηματίζουσα ὁμοίους τοῖς „ἀνθρώποις. ἡ Γένεσις ἐν τούτῳ, καθάπερ καὶ ἐν ἄλλοις πολλοῖς, „συσχηματίζεται πάντοτε τῇ τῶν χυδαίων γνώμῃ. Καὶ καʅωτέρω. „ὁ Θεὸς εἰργάζετο καθάπερ καὶ ἡμεῖς, πλὴν μετὰ ἀπείρου πληρεξου„σιότητος, ἐλάλει, ἐκέλευε, διέταττεν, ἐνεφύσα, ἐφύτευεν, ἔπληττε, περιεπάτει, ἰδίαις χερσὶν ἐποίει πάνʅα.

Γεν. 1. 26.

Ὀβιδ Μεταμ. β. 1. Ἀριθ. 4.

Ὑπερίκανα ὁ Μωϋσῆς ἐδίδαξε καὶ αὐτοὺς τοὺς χυδαιοτάʅους ἀνθρώπους τὴν ἀληθινὴν ἔννοιαν πασῶν τῶν τροπολογιῶν τούτων, εἰπὼν πρὸς πάντας ὁμοῦ· „Καὶ φυλάξεσθε σφόδρα τὰς ψυχὰς ὑμῶν, ὅτι „οὐκ εἴδετε πᾶν ὁμοίωμα ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε Κύριος πρὸς ὑμᾶς „ἐν Χωρὴβ ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός· μὴ ἀνομήσητε καὶ ποιήσητε „ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν εἰκόνα, ὁμοίωμα ἀρσενικοῦ, ἢ θηλυκοῦ, κτ. Ὁ ἐθνικὸς ποιητὴς, οἷος ἐστὶν ὁ ὑπ' αὐτοῦ προτεινόμενος Ὀβίδιος τῷ ὄντι ταπεινοῖ αὐʅὸν τὸν ἐν τοῖς κόλποις τῶν χριστιανῶν γεννηθέντα, καὶ φιλόσοφον ὄντα, βέλτιον ἢ αὐτὸς κατανοήσας τὴν ἔννοιαν τοῦ, ὁ ἄνθρωπος ἐγένετο κατ' εἰκόνα Θεοῦ, μηδὲν ἕτερον σημαίνουσαν, εἰμὴ τὸ νοερὸν, δι' οὗ ἠχθεία πρόνοια διέπει τὰ σύμπαντα· Θεῶν εἴδει τῶν σύμπαντ' ἐνδιεπόντων. τοῦτο δὲ ἐν τῇ τοῦ ἰδίου πονήματος ἀρχῇ διὰ τῶνδε ἐξέθετο τῶν ὡραίων στίχων.

Δευτ. 4. 15, 16.

Sanctius his animal, mentisque capacius altae
Deerat adhuc, & quod dominari in caetera potest
Natus homo est . .
Θειότερον τȣ́των ζῶον, χ' ὑψίφρον ὄχ' αὖθις,
Ἄλλωντε κρατέειν ἔχον, ἀκμὴν δὴ τότε ȣ̓κ ἦν.
Τέχθη ἄνθρωπος . . .

Ὅρα τὰς ἐν τῇ Ἑλλην. Ὀκτατ. ἑρμήν.

Ἐν αὐτῇ δὲ τῇ δυνάμει τȣ̃ διοικεῖν, ϛ̀ διευθύνειν πάντα τὰ ἐπὶ γῆς συνίςαται, φησὶ τὸ τῆς Γενέσεως βιβλίον, ἡ ὁμοιότης τȣ̃ Θεȣ̃ μετὰ τȣ̃ ἀνθρώπȣ. „Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέ-
Γεν. 1. 26. „ραν ϗ καθ' ὁμοίωσιν. ϗ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, „ϗ τῶν πετεινῶν τȣ̃ ȣ̓ρανȣ̃, ϗ τῶν κτηνῶν, ϗ πάσης τῆς γῆς. Μετὰ ταῦτα τόλμησον σὺ εἰπεῖν. ὅτι ὁ Μωϋσῆς ἠκολȣ́θει ταῖς χυδαίαις γνώμαις τῆς ἀνθρωπομορφίτιδος ἀρχαιότητος, τῆς μὴ φανταζομένης τὸν ἄνθρωπον ὅμοιον τοῖς Θεοῖς, ἀλλὰ σχηματιζȣ́σης τȣ̀ς Θεȣ̀ς ὁμοίȣς τῷ ἀνθρώπῳ.

Ἄ Ρ Θ Ρ Ο Ν. Δ'

Περὶ τῆς τȣ̃ ἐπιγείȣ παραδείσȣ θέσεως.

Γεν. 2. 6. 1. Αὕτη τῆς Βȣλγάτης ἡ ῥῆσις. Ἐξήρχετο ἐκ τῆς γῆς πηγὴ ὕδατος ποτίζȣσα πᾶσαν τὴν ἐπιφάνειαν, προτρέπει τὸν κριτικὸν σημειῶσαι τὰ ἑξῆς· „Τὰ ὕδατα τῆς πηγῆς ταύτης ȣ̓κ ἠδύναντο ἐκχεῖσθαι „ἐπὶ πᾶσαν τὴν τῆς γῆς σφαῖραν. ἀντὶ ȣ̓ν τȣ̃, πᾶσαν τὴν γῆν, „νοητέον ἐξ ἀνάγκης τὸν τόπον ὅπȣ ἦν ὁ Κύριος. Ἀκμὴν ȣ̓κ ἦν „βροχὴ, ἦσαν ὅμως ὕδατα κατώτερα, ἐξ ὧν εἰκότως προήχθη αὕτη „ἡ πηγή.

Ὁ σοφὸς ȣ̃τος ἀπήλλαττεν ἑαυτὸν ταύτης τῆς φλυαρίας ἁπάσης; ἐὰν ἀκολȣθῶν τῷ ἑβραϊκῷ ὕφει, ὅπερ μεταφράζειν ἐπαγγέλλεται, ἀνεγίνωσκεν ȣ̃τως· Ἀτμὸς πολὺς, ȣ̓χὶ δὲ πηγὴ, ἀναβαίνων ἀπὸ τῆς γῆς ἐπότιζε τὴν ἐπιφάνειαν, πληρȣ̃ν τὸ τῆς τότε ἀκμὴν μὴ πιπτȣ́σης βροχῆς ἔργον. οἱ ποταμοὶ, αἱ λίμναι, αἰθάλασσαι ἐχορήγȣν τȣ̀ς ἀτμȣ̀ς, ὅιτινες ὡς δρόσος ἐπανέπιπτον ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. τȣ̃το τὸ ὑπ' ἐμȣ̃ εἰρημένον ἀρκεῖ πρὸς ἐξȣδένωσιν τῆς ἐνςάσεως. ȣ̓δεμία δὲ ἀνάγκη καταφυγεῖν πρὸς ἄλλην ἔννοιαν, ἧς πρὸς τȣ́τοις δεκτικόν ἐςι τὸ ῥητόν (318).

2. Ἀκȣ́σωμεν τὸν αὐτὸν λαλȣ̃ντα περὶ τȣ̃ ἐπιγείȣ παραδείσȣ. „Οἱ ὑπομνηματιςαὶ, φησίν, ἱκανῶς συμφωνȣ̃σι περὶ τȣ̃ ὅτι ὁ Φισῶν „ἐςὶν ὁ Φάσις ποταμὸς τῆς Μιγγρελίας . . . ὁ δὲ Γεῶν, ἐὰν ῥέῃ ἐν

„τῇ

„τῇ Ἀθιοπίᾳ, οὐδεὶς ἄλλος ἐςιν, εἰμὴ ο Νεῖλος. ἀπὸ δὲ τῶν πηγῶν „τȣ̃ Νείλȣ ἄχρι τῶν τȣ̃ Φάσεως εἰσι λέγαι περίπȣ χίλιαι ϗ ὀκτα„κόσιαι.

Οὗτος ὅςις τοσȣ̃τον ἐντελῶς σημαίνει τὸ τῶν πηγῶν τȣ̃ Νείλȣ ἀπόςημα ἀπὸ τῶν τȣ̃ Φάσεως, λέγων, χίλιαι ϗ ὀκτακόσιαι λέγαι, οἶδεν ἀναμφιβόλως μετὰ πάσης ἀκριβείας πȣ̃ εἰσὶν αἱ τȣ̃ Νείλȣ πηγαί. ἀλλ' ἐνδεχομένως ἀπατᾶται κατὰ τὸ τριτημόριον. ἀπατᾶται δὲ πάντως ἐκ τȣ̃ ὑποτίθεσθαι τὸν Νεῖλον εἶναι τὸν μόνον ποταμὸν, τὸν ῥέοντα ἐν τῇ γῇ, τῇ καθ' ἡμᾶς καλȣμένῃ Αἰθιοπίᾳ. ἐὰν μόνον ἔβλεπε γεωγραφικόν τινα χάρτην, ἐμάνθανε τὸ, ὅτι ϗ ἄλλοι μεγάλοι ποταμοὶ ποτίζȣσι τὴν ἐυρύχωρον ταύτην γῆν. ἔτι δὲ παχυλώτερον ἀπατᾶται ὑποτιθέμενος, τὴν Αἰθιοπίαν, ἢ τὴν γῆν χȣ̃ς, περὶ ἧς ὧδε λαλεῖ ὁ Μωϋσῆς, εἶναι τὴν γῆν τὴν κατὰ τὸ μεσημβρινὸν μέρος τῆς Αἰγύπτȣ κειμένην. δῆλον δὲ, ὅτι πολλὰ τῶν ἁγίων βιβλίων ῥητὰ ἀπονέμȣσι τὸ ὄνομα τῆς γῆς χȣ̃ς τῇ γῇ τῇ ἐκτεινομένῃ κατὰ μῆκος ὅπȣ ἡ σύμπτωσις τȣ̃ Τίγρεως ϗ Εὐφράτȣ, ἐκεῖθέντε ἄχρι τῆς ἀνατολικῆς ἄκρας τῆς ἐρυθρᾶς θαλάσσης. περὶ τȣ́τȣ δὲ ὅρα τὸν Βοχάρτον ⊂ τὰ ὑπ' ἐμȣ̃ εἰρημένα περίτε τȣ̃ βιβλίȣ τῆς Ἐσθὴρ, ϗ τȣ̃ πρώτȣ τῶν Βασιλειῶν. τὸ δὲ προτείνειν, ὥσπερ ὁ κριτικὸς, τȣ̀ς ὑπομνηματιςὰς ὡς ἱκανῶς συμφωνȣ̃ντας περὶ τȣ̃ ὅτι ὁ Φισῶν ἐςὶν ὁ Φάσις, ἐςὶ τὸ περιορίζειν αὐτȣ̀ς εἰς τὸν Καρȣέρον ϗ τὸν Καλμέτον, καίτινας νεωτέρȣς ὀπαδȣ̀ς αὐτῶν. ἵνα δὲ γνῶς, ὅτι ἀπατᾷ, ἀρκεῖσοι ἤτοι ἀνοῖξαι τὴν τῶν Κριτικῶν σύνοψιν, ἢ ἰδεῖν τὰ τȣ̃ Σκαλιγέρȣ, ϗ τὰ τȣ̃ σοφȣ̃ Οὐέτȣ συγγράμματα.

3. Περὶ δὲ τȣ̃ περιφήμȣ ζητήματος, τȣ̃ περὶ τȣ̃ τόπȣ. ἐν ᾧ ὁ ἐπίγειος παράδεισος, ἐρῶ συντόμως τὸ δοκȣ̃νμοι. ȣ̃τος ἀναντιῤῥήτως ἔκειτο ἐν τοῖς πέριξ τȣ̃ Τίγρεως ⊂ τȣ̃ Εὐφράτȣ. ἡ γῆ Χȣ̃ς, ἣν ἡ Βȣλγάτα μεταφέρει εἰς τὸ, Αἰθιοπία, οὐδὲν ἕτερόν ἐςιν, εἰμὴ ἡ Σȣσιανὴ, ἡ ἀπ' ἀρχῆς οἰκηθεῖσα ὑπὸ τῶν ἀπογόνων τȣ̃ χȣ̃ς, ἐξ ȣ̃ τὸ ὄνομα χȣθὰ ἐσώζετο ἔτι ἐν αὐτῇ ἐπὶ τῆς Βασιλείας τȣ̃ Ἀσσαραδῶνος. τȣ̀ς οἰκήτορας αὐτῆς ἐγνώριζον οἱ θύραθεν διὰ τȣ̃ ὀνόματος τῶν Κοσσαίων, ϗ Κισσιαίων, ϗ Αἰθιόπων. ἡ γῆ Εὐϊλὰτ ἐςὶν ἀναμφιλέκτως τὸ ἀνατολικὸν μέρος τῆς ἐρήμȣ Ἀραβίας, τὸ ὁροθετȣ̃ν κατὰ δυσμὰς τὸν ποταμὸν τῶν Ἀράβων πλησίον τῆς ἐκβολῆς αὐτȣ̃. ὁ Τίγρις, ϗ ὁ Εὐφράτης εἰσὶν αἱ δύω ἄυλακες τῶν αὐτῶν ποταμῶν, πρὸ τȣ̃ συςῆσαι τῇ τȣ́των συμπτώσει τὸν ποταμὸν τῶν Ἀράβων. ἕως ὧδε ἠκολȣ́θησα τῷ περιφανεῖ Οὐέτῳ, ἀλλὰ περὶ τȣ̃ Φισῶν, ⊂ τȣ̃ Γεῶν ἄλλως πως διαλογίζομαι ἤπερ αὐτός. ȣ̃ γὰρ πιςεύω, ὅτι ὁ Γεῶν, περὶ

Ἡσ. 11. 11

4. Βασ. 17. 24.

ςράβ. β. 11 ϗ 15.

Πλίν. β. 6.

Γεν. 2. 13. 1. Βασ. 15. 7. ὃ εἴρηται, ὅτι κυκλοῖ πᾶσαν τὴν γῆν Χᾶς, ἐστὶν ἁπλῶς ἡ ἀνατολικὴ ἐκβολὴ τῶ τῶν Ἀράβων ποταμῶ, ἡ ἰσόμηκης μέν μόναις ἐννέα λέγαις, τῇ δὲ Συριανῇ μὴ ἐγγίζουσα, ἀλλὰ νομίζω, ὅτι ὁ Γεὼν ἐστὶν ὅλος ὁ ποταμὸς τῶν Ἀράβων, ὁ ἀπὸ τῶ ἀκρωτηρίου τῆς Μεσοποταμίας ἄχρι τῶ περσικῶ κόλπου ποτίζων τὴν Συριανὴν, καὶ διαχωρίζων αὐτὴν ἀπὸ τῆς Ἀραβίας ἐν διαζήματι τεσσαράκοντα λεγῶν καὶ ἑπέκεινα. περὶ δὲ τῶ Φισῶν ἀπέδειξα ἀνωτέρω, ὅτι ὁ Εὐφράτης, ὁ τὴν σήμερον μὴ ἀποφορτιζόμενος ἐν τῇ θαλάσσῃ, εἰμὴ διὰ τῶ Τίγρεως, εἶχεν ἄλλοτε πλὴν ταύτης τῆς συγκοινωνικῆς αὔλακος, τῆς καὶ πρὸ πολλῶ χρόνου ὑπαρχούσης, ἄλλην τινὰ αὔλακα, δι' ἧς ἐπ' εὐθείας ἀπεφορτίζετο ἐν τῶ περσικῶ κόλπω. ταύτης δὲ τὴν ἀρχαίαν ὕπαρξιν ἀπέδειξα διά τε τῆς ῥητῆς μαρτυρίας τῶ Πλινίου, καὶ διὰ τῶν ἐνδαλμάτων τῶν ἄχρι τῆς σήμερον σωζομένων ἐν ταῖς τῶ ἀραβικῶ Ἰραὰχ πεδιάσιν, ὑπὸ δὲ τῶν προσεκτικῶν περιηγητῶν σημειωθέντων. αὕτη ἡ παλαιὰ αὔλαξ ἐστὶ, κατ' ἐμὲ, ὁ Φισῶν. τί θημι δ' ἂν τὸν ἐπίγειον παράδεισον ἐκ ἐπ' αὐτῶ τῶ ποταμῶ τῶν Ἀράβων, ὡς φησιν ὁ ἐπιφανὴς ἐπίσκοπος τῶν Ἀρβιγκιῶν, ἀλλ' ἐν τῶ μέρει τῶ Εὐφράτου, τῶ ἐν τῇ Κόρνῃ συμπίπτοντι τῶ Τίγρει, ᾧ συνιζῶντι μετ' αὐτῶ τὸν ποταμὸν τῶν Ἀράβων. κατὰ τὴν δὲ τὴν θέσιν ὁ ἐπίγειος παράδεισος ἔκειτο ἐπὶ ἑνὸς μόνου ποταμῶ μεριζομένου περαιτέρω εἰς τέσσαρας μεγάλους, ὧν ἕκαστος εἶχεν ἴδιον ὄνομα. ὁ κῆπος ἦν ἐν τῶ ἀνατολικῶ μέρει τῆς γῆς Ἐδὲμ, καὶ ἐπλήρου ὅλον τὸ μεσημβρινὸν τῆς Μεσοποταμίας μέρος, γειτνιῶν τῶ χαρρὰν, καὶ Ῥαφὲθ, ᾧ χωζὰν κατὰ τὸν Ἡσαΐαν, καὶ Ἰεζεκιήλ, καὶ τὸ τέλαρτον τῶν Βασιλειῶν βιβλίον. (319) μετὰ τὴν δὲ τὴν σύντομον παρέκβασιν, τὴν ἐξυδενθεῖσαν τὰς τῶ κριτικῶ περὶ τῶ ἐπιγείου παραδείσου χιμαίρας, (320) ἔρχομαι ἐπὶ τὰς ἄλλας αὐτῶ δυσκολίας.

Ησ. 37. 12. Ιεζ. 27. 23. 4. Βασ. 19. 12.

Α' ΡΘΡΟΝ Ε'.

Περὶ τῶ ξύλου τῶ εἶναι καλὸν ᾧ πονηρόν.

1. „Τὸ δένδρον, φησὶν αὐτὸς, τὸ γνώσεως καλῶ καὶ πονηρῶ χορηγόν, ἐστὶ πρᾶγμα παράδοξον... Ὁ Αὐτοκράτωρ Ἰουλιανὸς ἐν τῇ „εὐφραδεστάτῃ αὐτῶ ὁμιλίᾳ, τῇ ὑπὸ τῶ ἐν ἁγίοις Κυρίλλου ἀνασκευασθείσῃ λέγει. Ἔπρεπε τῶ Θεῶ κελεῦσαι τῶ ἀνθρώπῳ φαγεῖν „πολὺ ἐκ τούτου τῶ δένδρου... Ἀπαραιτήτως ἔδει δηλοποιῆσαι αὐτῶ „τὸ καλὸν καὶ τὸ πονηρὸν, ἵνα τὰ καθήκοντα αὐτῷ ἐκπληροῖ (321).

To-

Τοσοῦτον ὡραῖον εὗρεν ὕτος τὸ τιμῆμα τοῦ λο, ὥςε δὶς ἐπέθηκεν αὐτὸ ἐν κεφαλίδι τῆς σημειώσεως αὐτοῦ. ἀλλ' ὅπερ ἐξελέξαλο ὁ τιμᾷ, κατά γε τὸ ἐμοὶ δοκοῦν, τὸ εὐαίσθητον καὶ διακριτικὸν αὐτοῦ. Προτιμητέα ἄρα ἐςὶν ἡ θανατηφόρος τῶν ψευδοηδονῶν τῆς ἁμαρτίας πεῖρα τῆς μακαρίας ἁπλότητ@, τῆς ἀγνοούσης ταύτας; πῶς; ἔςιν ἄρά γε κέρδ@ τὸ μὴ τιμᾶν τὴν εὐτυχίαν, ἐξ ἧς διὰ τὴν ἁμαρτίαν ἡμῶν ἐξεπέσαμεν, εἰμὴ διὰ τῆς ἀντιπαραθέσεως τῆς ἀθλιότητ@, εἰς ἣν κατηντήσαμεν; τοιαύτη ἦν ἡ γνῶσις τοῦ καλοῦ & πονηροῦ, ἣν ἔμελλε προξενῆσαι τοῖς προπάτορσιν ἡμῶν ἡ τοῦ ἀπηγορευμένου καρποῦ χρῆσις. αὐτὸς ὅμως αὐθαδῶς καυχᾶται ἐπὶ τῇ τοῦ ἀποςάτου Αὐτοκράτορ@ εὐφραδεῖ ὁμιλίᾳ. (322) ὅσον τὸ κατ' ἐμὲ, ὁλοκλήρως ἐξίσαμαι ὁρῶν, ὅτι ἡ εὐφράδεια αὐτοῦ οὐκ ἐποίησεν ὅπερ οὐδὲ τὰ ὑπὸ πάσης τῆς ἐξουσίας αὐλοῦ σημειζόμενα μηχανουργήματα αὐτοῦ ἐδυνήθησαν κατορθῶσαι. ὁ ἀποςάτης ὅτ@ οὐδὲ τοὺς Ἀντιοχεῖς ἐδυνήθη πεῖσαι προσαγαγεῖν τοῖς ψευδοθεοῖς, ὧν τὴν λατρείαν ἐπαναςηρίζαι ἐβούλετο, κἂν μικράντινα θυσίαν, οὐδὲ τὴν τῶν χρισιανῶν ὑπεροχὴν ἐλαττῶσαι, τῶν ἐν τῷ ὑπ' αὐτοῦ κατὰ τῶν Περσῶν ἀγομένῳ ςρατῷ. διότι μετὰ τὸ τραγικὸν αὐτοῦ τέλ@ οἱ χρισιανοὶ ἀντ' αὐλοῦ ἐξελέξαντο τὸν τῆς χρισιανικῆς πίςεως ζηλωτὴν Ἰωβιανόν. τοῦτο δὲ μετ' ὀλὺ ἀποθανόντος, πάλιν ὁ ςρατὸς ἀντ' αὐτοῦ τὸν Οὐαλεντινιανὸν ἡρετίσατο, τὸν μεμισημένον τῷ Ἰουλιανῷ διὰ τὸν ὑπὲρ τοῦ χρισιανισμοῦ ζῆλον. Ἰουλ. ἐν τῷ Μισοπώγ.

2. Περὶ τῶν δὲ τῶν τῆς Γενέσεως ῥημάτων. Ἧ δ' ἂν ἡμέρᾳ φάγεσθε ἀπ' αὐτοῦ θανάτῳ ἀποθανεῖσθε. „Φησὶν ὁ αὐλός. Ταῦτα ἦσαν „πάντως παιδείας ἀπειλή. διότι ὁ Ἀδὰμ & ἡ Εὔα ἔφαγον μὲν τοῦ „καρποῦ τοῦτο, ἔζησαν ὅμως μετὰ ταῦτα ἔτη ἐννεακόσια & τριάκοντα. „ὁ ἱερὸς Αὐγυςῖνος ἐν τῷ περὶ τῶν μισθῶν τῶν ἁμαρτωλῶν πρώτῳ „αὐτοῦ βιβλίῳ, λέγει. Ἀπέθνησκον ἂν ὁ Ἀδὰμ καὶ ἐκείνην τὴν ἡ„μέραν, εἰμὴ μετενόει. Γεν. 2. 17.

Ὁ Ἀδὰμ & ἡ Εὔα εὐθέως μετὰ τὴν ἁμαρτίαν αὐτῶν ἐξέπεσον τῆς ἀθανασίας, ἣν οὐκ ἀπὸ φύσιν, ἀλλὰ κατὰ χάριν Θεοῦ εἶχον. ὁ δὲ βρωθεὶς ἀπηγορευμέν@ καρπὸς γέγονεν αὐτοῖς τε & τοῖς ἀπογόνοις αὐτῶν αἴτιον θανάτου, φερόμενον ἐν τῷ κόλπῳ πάντων τῶν ἀνθρώπων. οἶδα δὲ πόνημα τοῦ ἁγίου Αὐγυςίνου, De peccatorum meritis, & remissione, περὶ ἀντιμισθίων τῶν ἁμαρτημάτων, & τῆς τούτων συγχωρήσεως. πόνημα δὲ ἐπιγεγραμμένον περὶ τῶν μισθῶν τῶν ἁμαρτωλῶν οὐδὲν οἶδα. ὁ δὲν κριτικὸς κατὰ παράδρομὴν ἐξέλαβε τὸ peccatorum, ὡς γενικὴν πτῶσιν τοῦ peccatores, ἁμαρτωλοί.

τοῦτο

τῦτο δὲ γενικὴ ἐςι τῦ peccata, ἁμαρτίαι. ἀλλὰ τῦτο ὐδέν ἐςιν, ἀξιολογώτερον δὲ τὸ ἑπόμενον.

3. „Ὁ Ἀδὰμ εἰδὼς πάντα ὁμῦ τὰ ἰδιώματα ἑκάςυ τῶν ζώων, „διὰ μιᾶς μόνης λέξεως ἐξέθετο πάντα τὰ ἰδιώματα ἑκάςυ εἴδυς.

Ἄχρι τῦδε ἐνόμιζον, ὅτι πρὸς τὸ ἐπιτιθέναι ἑκάςῳ εἴδει ὄνομα ἁρμόδιον ἡ διαςαλτικὸν ἀρκεῖ ἡ ἔκθεσις τῆς κυριωτέρας τῦ εἴδυς ἰδιότητ☉, κἂν μὴ ἐπισημανθῶσι πᾶσαι αἱ κατὰ συμβεβηκὸς ποιότητες.

4. „Δεινόν ἐςι, προσίθησιν ὁ αὐτὸς, κατανοῆσαι τὸ πῶς ἀνεπαισ„θήτως ἀφῄρηϑ μία τῶν τῦ Ἀδὰμ πλευρῶν.

Οὐκ ἄρά γε δοκεῖ, ἐξ ὧν λέγει, ὅτι ἔδει τὴν θείαν δύναμιν ἐξελκύσαι βιαίως ἐκ τῶν τῦ Ἀδὰμ πλευρῶν τὴν πλευρὰν, ἐξ ἧς ἐπλάσθη ἡ Εὔα· ἢ ὅτι ὐκ ἠδυνήθη ὁ ὕψιςος ποιητὴς τῶν αἰσθημάτων τῶν ἐπακολυθούντων ἐκ τῆς ἑνώσεως τῆς ψυχῆς, ἡ τῷ ὑπ' αὐτῆς ἐμψυχυμένῳ σώματ☉, ἐπιχεῖν ἐν βιπῇ τὸ ἀποτέλεσμα τῆς ἐσωτερικῆς συγκοινωνίας τύτων τῶν δύω ὐσιῶν, τῶν τοσῦτον ἀνομοίων;

5. „Ὁ αὐτὸς ἐπάγει· Πολλὰ νομαδικὰ πλήθη περιπατῦσι γυμ„νά. ἐνδεχομένως τὸ ψύχ☉ ἐςὶ τῶν ἱματίων ὁ εὑρετής. ὐδεὶς αἰ„σχύνε γυμνὸς ὤν, ἐπειδὰν ὁ κόσμ☉ ὅλος περιπατῇ γυμνός. ἐρυ„θριῶμεν δὲ ἐκ ματαιοφροσύνης, φοβύμενοι μήτις φανῇ ἐν ἡμῖν δυσ„μορφία, ἧς οἱ λοιποὶ ὐ μετέχυσι.

Σιωπῶ τὴν ἐν τῷ μεταξὺ τύτων αἰσχράντε ἡ ἀπόβλητον ῥῆσιν (323) αὐτῦ, δι' ἣν πρέπον ἦν αὐλῶ κἂν διὰ μετριοφροσύνην ἐρυθριᾶν. διότι ἡ οἱ ὀπωσῦν συνεσαλμένοι συγγραφεῖς τοιαῦτα ὐδέποτε τολμῶσι λέγειν. ἀρκετὸν ἔσομαι σημειῶσαι, ὅτι ὐ δηλοῖ, ποῖά εἰσι τὰ ὁλόγυμνα νομαδικὰ πλήθη. ἐὰν τοιαῦτα πλήθη ὑπάρχωσιν, ὅπερ ὐδαμῦ ἀνέγνων, (324) ἀναμιμνήσκω αὐτῷ τὴν ἀπόκρισιν αὐλῦ, τὴν πρὸς τὸς καλαχρωμένυς τῦ παραδείγματ☉ τινῶν μεμονωμένων, ἡ ἐν τοῖς δρυμῶσι περιπλανωμένων ἀνθρώπων, ἡ ἐπάγοντας ἐκ τύτυ, ὅτι ὁ ἄνθρωπ☉ ὐκ ἔςιν ὁμηγυρικός. „Ἐὰν συναντήσῃς, λέγει αὐτὸς, μίαν „μέλισσαν πλανωμένην, πρέπον ἆρά γε ἐςὶ συμπεραίνειν ἐκ τύτυ, ὅτι „αὐτὴ μὲν διατελεῖ ἐν τῇ ἁπλῇ τῆς Φύσεως καταςάσει, αἱ δὲ ἐν τῷ „σίμβλῳ φιλοπονῦσαί εἰσι νενοθευμέναι; Τὸ παράδειγμα ἄρα τινῶν περιπλανωμένων, ἡ ὁμοίων τοῖς κτήνεσι νομάδων ὐδὲν δείκνυσι κατὰ τῦ ἐκ τῆς αἰσθήσεως αἰσθήματ☉, ὅτιν☉ πάντες οἱ ἄνθρωποι μετέχυσιν εἰς τὸ καλύπτειν ἔνια τῦ σώματ☉ αὐτῶν μέρη. ὅτι δὲ ὐ μόνον τὸ ψύχ☉ ἠνάγκασεν αὐτὺς περισκέπειν αὐτὰ διὰ τῶν ἱματίων δεικνύυ-

Φιλοσ. περὶ τρισίτορ. κ. 7. περὶ ἀγγ.

νύσσιν οἱ λαοὶ, ὃς κἂν ἡ καυσικὴ ζέσις τῦ κλίματος ἀναγκάζῃ μὴ ἐπικαλύπτειν τὸ λοιπὸν σῶμα, ταῦτα ὅμως προσέχυσι διαπαντὸς μὴ καταλιμπάνειν ἀπερικάλυπτα.

ΆΡΘΡΟΝ ς'.

Περὶ τῦ ὄφεως τῦ ἀπατήσαντος τὸς πρώτυς πατέρας ἡμῶν.

1. „Ὁ αὐτοκράτωρ Ἰουλιανὸς, φησὶν αὐτὸς, ζητεῖ, ποίᾳ διαλέκτῳ, „ἐλάλει ὁ ὄφις. Ἰν β. 3. Κυρίλλ. κατὰ Ἰουλ.

Τῇ τῶν δύο πρώτων ἀνθρώπων ἀναμφιβόλως. διότι ἡ Εὔα κατανοήσασα τὰ ὑπ' αὐτῦ λεγόμενα, ἀπεκρίθη αὐτῷ. ὁ δὲ ὄφις τότε ὐκ ἦν, εἰμὴ ὄργανον τῦ Δαίμονος, ὅπερ γνωσὸν ἦν τοῖς Ἰουδαίοις. „Ὁ „Θεὸς, φησὶν ἡ τῆς Σοφίας βίβλος, ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀφθαρ- „σίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἰδιότητος ἐποίησεν αὐτόν. Φθόνῳ δὲ Διαβό- „λυ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. „Οὗτος δὲ ὁ Διάβολος, ὁ συκο- φάντης, ὁ τῦ τῶν ἀνθρώπων γένυς πολέμιος, γνωσὸς ἦν ἐν παντὶ καιρῷ τοῖς τε Ἰουδαίοις, καὶ τοῖς λοιποῖς τοῖς ἐν τῇ Ἀνατολῇ. ὐδεὶς δὲ, εἰμὴ ὁ τοσῦτον ἀναίσχυντος, ὅσον ὁ κριτικὸς, προτείνει, „ὅτι ἡ τῶν „Ἀγγέλων πτῶσις ἐςὶ παλαιὸς μῦθος τῶν Ἰνδῶν, ὃς ἐγνώσθη τοῖς „Ἰουδαίοις μόνον ἐπὶ Αὐγύστυ καὶ Τιβερίυ. Σοφ. 2. 23. 24.

Πλὴν τῦ βιβλίυ τῆς Σοφίας, τῦ ἔτη τετρακόσια καὶ ἐπέκεινα πρὸ τῆς Βασιλείας τῦ Αὐγύστυ συγγραφέντος, ὁ προφήτης Ζαχαρίας, ὁ τῦ τρίτυ βιβλίυ τῶν Βασιλειῶν, καὶ ὁ τῦ πρώτυ τῶν Παραλειπομένων, καὶ ὁ τῆς βίβλυ τῦ Τωβὶτ συγγραφεὺς, ἔτι δὲ ἀνωτέρω, καὶ αὐτὸς ὁ τῦ βιβλίυ τῦ Ἰὼβ, τῦ τῆς Ἑβραίοις γνωσῦ πολὺν χρόνον πρὸ τῆς αἰχμαλωσίας, διαλαμβάνυσι περί τινος Ἀγγέλυ ἀποςάτυ, καὶ ἐχθρῦ τῦ Θεῦ, καὶ τῦ ἀνθρωπίνυ γένυς. Σοφ. 2. 24. Ζαχ. 3. 1. 3. Βασ 22. 21. 1. Παραλ. 21. 1 Τωβ. 6 7. Ἰὼβ. 1. 6. κτ.

2. „Δύσκολον, προσέθησιν αὐτὸς, τὸ εἰδέναι τὶ ἐννόει ὁ ὄφις, „λέγων. Ἔσεσθε ὡς Θεοί. Σοφοί τινες ἑρμηνευταὶ εἶπον, ὅτι Θεοὶ εἰ- „σὶν οἱ Ἄγγελοι. ἀλλ' ἀπεκρίθησαν πρὸς αὐτὸς, ὅτι ὄφις ὐκ ἠδύνα- „το γινώσκειν τὸς Ἀγγέλυς (3. 5).

Ἡ ἀπόκρισίς ἐςι περιττή. διόλι δέδεικ) ὅτι ὁ Δαίμων ἐλάλει ς ὀργάνῳ τῷ ὄφει χρώμενος. ἰχυρότερον δὲ θεμέλιον εἶχον (οἱ σοφοὶ ἑρμηνευταὶ) ἐὰν ἔλεγον πρὸς αὐτὸς, ὅτι ἡ ῥῆσις ἄρισα μεταφράζε) ἐνικῶς. Καὶ ἔσεσθε ὡς Θεὸς. ὅτω δὲ μεταφράζει αὐτὸ ὁ Σύρος, καὶ ταύτην ἀπαιτεῖ τὴν ἔννοιαν ἡ τῦ λογυ συνάφεια.

3. „Ἡ Γένεσις, ἐπάγει αὐτὸς, ἀποδίδωσι τὸν λόγον, δι' ὃν ὁ ὄ-
„φις ἕρπει, ὅςις ὑποτίθεται, τὸν ὄφιν πρότερον σκέλη ἔχειν καὶ πόδας.
„.... Ἀληθῶς ὁ ὄφις γῆν οὐκ ἐσθίει, ὅμως πιςεύεται, καὶ τοῦτο ἀρκεῖ.

Τοιαῦταί εἰσιν αἱ παρατηρήσεις αὐτοῦ περὶ τοῦ ὄφεως, τοῦ τοὺς προπάτορας ἡμῶν πειράσαντος. εἰς ἔνδειξιν δὲ τῆς τοῦ ἱεροῦ ῥητοῦ ἀληθείας οὐδεμία ἀνάγκη ἐςὶν ὑποτίθεσθαι τὸν ὄφιν σκέλη ἔχοντα καὶ πόδας. ὁ ὄφις ἐν τῷ ἐπιγείῳ παραδείσῳ οὐδὲ φοβερὸς ἦν, οὐδὲ δύσμορφος, οὐδὲ μισητὸς τῷ ἀνθρώπῳ. ἐτρέφετο δὲ διὰ τῶν καρπῶν τῶν δένδρων, ἐφ' οἷς ἑαυτὸν ἠκόντιζεν. ἀποτρόπαιος δὲ τοῖς ἀνθρώποις γενόμενος, καὶ ἀναγκασθεὶς φεύγειν εἰς ἐρήμους καὶ ἀγεωργήτους τόπους, ἤρξατο ἕρπειν ἐπὶ γῆς, ζητῶν παρ' αὐτῆς τὴν τροφὴν, ἣν οὐκ ἔτι εὕρισκεν ἐν τοῖς καρποῖς, τοῖς μόνῃ τῇ ἐπιμελείᾳ, καὶ τοῖς ἱδρῶσι τῶν ἀνθρώπων ἀποδιδομένοις. ὀρθῶς δὲ λέγομεν, ὅτι τό δὲ τὸ ζῶον ἐσθίει χοῦν. ὅταν τροφῇ τρέφηται χοὸς πεπληρωμένῃ, ὥσπερ λέγομεν, ὅτι ὁ ἄνθρωπος ἐσθίει σποδὸν, ὅταν ἐσθίῃ τὸν ἄρτον αὐτοῦ σποδοῦ ἀνάμεςον. ἐκ τούτου ὁ Νίκανδρος, ὁ Κικέρων, ὁ Αἰλιανὸς, ἀδιςάκτως εἶπον, ὅτι ὁ χερσύδρος, εἶδος ὂν ὄφεως ἐν τῇ Λιβύῃ, κεχρωματισμένος ἐςὶ τῷ χρώματι τῆς ἀκάρπου γῆς, ἐφ' ἧς ἕρπει, γῇ καὶ χοὶ τρεφόμενος (326).

Νικ. ἰνθηριακ. ὅρα Ἱεροζ. Βο. χάρτ. μέρ. ἐσχ. β. 3 κ. 13.

Ἄ Ρ Θ Ρ Ο Ν Ζ'.

Περὶ τῆς ἐκ τοῦ ἐπιγείου παραδείσου ἐξορίας τῶν πρωτοπλάςων.

1. Τὴν φλύαρον ἐπικριτικὴν αὐτοῦ ἐπιςήμην ἐν τοῖς ῥήμασι τῆς Γενέσεως. „Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. „γυμνάζων ὁ „φιλόσοφος, φησίν. Ἄλλως πως ἐλάλει ὁ συγγραφεὺς, εἴπερ τὸν „βίον διῆγεν ἐν τοῖς ὑπερμεγέθεσι τόποις, ὅπου ἄγνωςος ὁ ἄρτος... „Προβάλλουσι δὲ καὶ ἄλλην ἔνςασιν· Ἐπὶ Ἀδὰμ, φασὶν, οὐδόλως ὑπῆρ„χεν ἄρτος.

Γεν. 3. 19.

Ἀναγκαῖον ἆρά ἐςι διδάξαι αὐτὸν, τὴν Ἑβραϊκὴν λέξιν, λεχεμ, τὴν μεταφερομένην εἰς τὸ, ἄρτος, ἐκλαμβάνεσθαι γενικῶς ἀντὶ παντὸς εἰδους τροφῆς, καθάπερ καὶ τὴν λατινικὴν, panis, καὶ τὴν γαλλικὴν, pain; (327) Ἄλλως τε πῦ θεμελιοῦται τὸ ὑπ' αὐτοῦ ἀμφισβητούμενον, τουτέςι τὸ ἐπὶ Ἀδὰμ μὴ ὑπάρχειν ὅλως τὸν κυρίως λεγόμενον ἄρτον; θεμελιοῦται ἆρα ἐπὶ τὸ, μηδέποτε προσεχηκέναι τὸν πατέρα τοῦ ἀνθρωπίνου γένους τῇ τῶν σπερμάτων γεωργίᾳ ἔτη ἐννεακόσια καὶ τριάκοντα, ἐν οἷς τὸν βίον διῆγεν ἐν ταῖς πλησίον τοῦ Τίγρεως καὶ Εὐφράτου πεδιάσιν, ὅπου διαπαντὸς ἀμητὸν συνέλεγον ὡραιότατον;

2.

2. „Ὁ Θεὸς, προςίθησιν αὐτὸς, ἠξίωσεν ἰδίαις χερσὶν ἱμάτιον „κατασκευάσαι τῷ Ἀδὰμ, καὶ τῇ Εὔᾳ.

Ἠγνόει, ὡς φαίνεται, ὅτι ἡ ἐν τῷ ῥητῷ περιεχομένη λέξις; γχασαχ, οὐ σημαίνει ἐπ' ἀκριβὲς τὸ, ἰδίαις χερσὶ κατασκευάζειν, ἀλλὰ γενικῶς τὸ ποιεῖν, ἑτοιμάζειν, ἐπιμελεῖσθαι, παρέχειν. ἆρά γε δὲ ἡ πρόνοια διὰ τῶν κυρίως λεγομένων χειρῶν παρέχει τοῖς ἀνθρώποις τὰ ἀναγκαῖα, καὶ ἑτοιμάζει τὰ τούτων ἱμάτια;

3. „Ἰδοὺ καὶ πολυμαθείας ἴνδαλμα. Χερὺβ, φησὶ, σημαίνει βοῦν· χαραβ τὸ πονεῖν.

Τὸ χαραβ ὅμως, ὅπερ σημαίνει τὸ πονεῖν, οὐκ ἔςι λέξις Ἑβραϊκὴ, ἀλλ' Ἀραβική. ὅτι δὲ ἡ λέξις Χερὺβ, ἧς τὸ πληθυντικὸν Χερουβὶμ, οὐ παράγεται ἀπὸ τοῦ χαραβ, δείκνυσιν ἡ θεία Γραφὴ, ἐμφαίνουσα τὸ Χερὺβ πετόμενον ἐν τῷ ἀέρι. ὁ μὲν δέκατος ὄγδοος Ψαλμὸς παρίςησι τὸν ὕψιςον αἰρόμενον ἐν τοῖς οὐρανοῖς ἐπὶ πτερύγων Χερὺβ. τὸ δὲ τρίτον τῶν Βασιλειῶν βιβλίον ἐν τῇ ἐν αὐτῷ περιγραφῇ τῶν διαφόρων μορφωμάτων, δι' ὧν ὁ Σολομὼν τὴν χαλκίνην ἐκόσμησε θάλασσαν, διαςέλλει ῥητῶς τοὺς ἐν αὐτῇ βόας, καὶ λέοντας ἀπὸ των Χερουβίμ. τὸ ἄρα Χερὺβ οὐκ ἦν βοῦς, οὐδὲ παράγεται ἀπὸ τοῦ πονεῖν, ἀλλὰ σημαίνει ἐνταῦθα ὄν, σχῆμα αἰσθητὸν περιβεβλημένον, πτερωτὸν, καὶ νοῒ κεκοσμημένον εἰς χρῆσιν τῆς ἐν τῇ χειρὶ αὐτοῦ φλογίνης ῥομφαίας.

Ψαλ. 18. 10.
3. Βασ. 4. 29.

Ἄρθρον Η'.

Περὶ τοῦ φονευθέντος Ἄβελ, καὶ περὶ τοῦ ἐὰν ὑπῆρχέ τις τότε λαός.

1. Ἀφορμὴν παρέχει τῷ φιλοσόφῳ ὁ φονευθεὶς Ἄβελ τὰς ἑξῆς προτεῖναι ἐνςάσεις. „Παράδοξος ἡ ὑπὸ Θεοῦ εὐθέως δοθεῖσα τῷ Κάϊν „συγχώρησις, καὶ ἡ ἐπ' αὐτῷ προςασία αὐτοῦ.

Πῶ ἐῤῥέθη, ὅτι ὁ Θεὸς συγχώρησιν παρέσχεν εὐθὺς τῷ Κάϊν; „ὁ Θεὸς αὐτῷ κατηράσατο. Καὶ νῦν ἐπικατάρατος σὺ ἐπὶ τῆς γῆς, „ἣ ἔχανε τὸ ςόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χει„ρός σου. ὅτε ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι. „ςένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. Σιωπᾷ δ' αὐτὸς ἐν τῇ λεγομένῃ μεταφράσει αὐτοῦ τὰ ῥήματα ταῦτα, καὶ τὰ ἑπόμενα ἐδάφια.

Γεν. 4. 11. 12

„Ἀλλ' ὁ Θεὸς, φησὶ, δίδωσι τῷ Κάϊν φύλακα κατὰ τῶν δυνα„μένων ἀποκτεῖναι αὐτόν (328).

Τὸ πρὸς καιρὸν διαφυλαχθῆναι τὴν τῦ πταίσυ ζωὴν, ἵνα καιρὸς μετανοίας αὐτῷ δοθῇ, ἐςὶ τὸ παραυτίκα τυχεῖν συγχωρήσεως; τῦτο δὲ πολλῷ μᾶλλον πεῖθει λογιθῆναι τὴν συγχώρησιν λίαν ἀναβαλλομένην, Ϛ καρπὸν ἐσομένην μόνης τῆς ἀληθῦς ἐπιστροφῆς, τῆς πολυχρονίῳ πείρᾳ ἐπικυρωθείσης;

2. „Ὁ Θεὸς προσατένει μὲν, φησὶ, τῦ λησῦ κ) ἀδελφοκτόνυ, „παιδεύει δὲ αἰωνίως, κ) ταῖς τῦ ἅδυ βασάνοις καταδικάζει ὅλον τὸ „ἀνθρώπινον γένος διὰ τὸν Ἀδὰμ, Ϛ τὴν Εὔαν φαγεῖν ἐκ τῦ ξύ„λυ τῦ εἰδέναι καλὸν Ϛ πονηρόν (329).

Ἀλλ' ὁ Θεὸς, ὁ καλῶν εἰς μετάνοιαν τὸν λησὴν κ) ἀδελφοκτόνον, τὸν ἰσχυρῷ πάθει κατακυριευθέντα, ὅπερ ἀποτέλεσμα ἦν τῦ ἐλεεινῦ Ἀδαμιαίυ πτώματος, ὑπόχρεω ἄρα μὴ καταδικάσαι αὐτὸν ἐν ταῖς τῦ ἅδυ βασάνοις, ἐὰν μείνῃ ἐν τῇ ἁμαρτίᾳ αὐτῦ; Ἄρνεῖ δὲ ἆρά γε τὴν συγχώρησιν τῷ ἐν τῇ καταδίκῃ τῦ Ἀδὰμ Ϛ τῆς Εὔας συμπεριπλεχθέντι ἀνθρωπίνῳ γένει, ἐὰν τῶν πρὸς σωτηρίαν αὐτῦ ἐπαγγελθέντων αὐτῷ κ) προσενεχθέντων ἐπιδράξηθ; ὐδὲν ὖν ματαιότερον ταύτης τῆς τῦ ἀπίςυ ἐκφωνήσεως.

Περὶ δὲ τῦ ὅτι ὐδέποτε λόγος ἦν, ὡς αὐτὸς προσίθησιν, ἐν τῇ Πεντατεύχῳ, „ὐδὲ περὶ ταύτης τῆς τῦ ἀνθρωπίνυ γένυς καταδίκης, „ὐδὲ περὶ τῦ ἅδυ, ὐδὲ περὶ ἀθανασίας ψυχῆς, ἱκανῶς ἀπεκρίθην. ἔνεσι δὲ ἀναμνηθῆναι τὰ εἰρημένα ἐν διαφόροις τόποις τύτυ τε τῦ πονήματος, κ) τῦ κατὰ τῆς φιλοσοφίας αὐτῦ, τῆς περὶ τὴν ἱςορίαν.

Ρ. 1. κ. 1. κ) διαχ. κεφ. ιε'.

3. Εἰς μεγάλην περιπλοκὴν ὁ αὐτὸς ἐμπίπτει εἰδέναι θέλων, „ποίαν χρείαν εἶχεν ὁ Κάϊν φύλακος, ὅτε ὐκ ἦσαν ἐπὶ τῆς γῆς, εἰ„μὴ τρεῖς ἄνθρωποι, Ϛ ποίυς εἶχε, παραυτίκα μετὰ τὸ ἀποκτεῖναι „τὸν ἀδελφὸν αὐτῦ, οἰκοδόμυς τῆς οἰκείας πόλεως, ποίυς πολίτας „εἰς τὸ ἐνοικίσαι αὐτὴν, ποίας τέχνας, κ) ποῖα ὄργανα εἰς οἰκοδομὴν „οἴκων.

Εἰς μείζονα, ὅσον τὸ κατ' ἐμὲ, ἐμπίπτω περιπλοκὴν, εἰδέναι βυλόμενος τὸ, πῶς εὑρέθη συγγραφεὺς τοσῦτον ἀπερίσκεπτος, ὥςε φαντασθῆναι, ὅλι κατὰ τὸν καιρὸν, ἐν ᾧ ἐφονεύθη ὁ Ἄβελ, ἦγυν περὶ τὸ ἑκατοςὸν τριακοςὸν ἔτος ἀπὸ κτίσεως κόσμυ, μικρόντι πρὸ τῆς τῦ Σὴθ γεννήσεως, ὐκ ἦσαν ἐπὶ τῆς γῆς, εἰμὴ τρεῖς ἄνθρωποι, ὁ Ἀδὰμ, ἡ Εὔα, κ) ὁ Κάϊν. καὶ βλέπῃ τὸν Κάϊν φοβύμενον μὴ ἀποκτείνῃ αὐτὸν πᾶς ὁ εὑρὼν αὐτὸν, καὶ βλέπῃ τὸν αὐτὸν μετ' ὀλίγον οἰκοδομῦντα πόλιν. „Ὁ Θεὸς εὐθέως μετὰ τὴν τῶν προπατόρων πλάσιν εἶ„πε πρὸς αὐτὺς, Αὐξάνεσθε Ϛ πληθύνεσθε, ἡ αἰχύνη, ἣν ἑκάτερος αὐτῶν ἐδοκίμασε παραχρῆμα ὅτε ἐγνώρισε τὴν ἰδίαν γύμνωσιν, ἐμ-

Γεν. 14. 17.

Γεν. 1. 28.

φαίνει

φαίνει τὴν τῶν παθῶν ἐπανάστασιν, ἢ τὴν ἰσχυρὰν τῆς φιληδονίας ἐπιθυμίαν. ὁ Κάϊν, ἢ ὁ Ἄβελ κύριοι ὄντες τῶν κτημάτων αὐτῶν, ἀρχηγοὶ ὑπῆρχον οἴκου ἢ πατριᾶς. αὐτὸς δὲ ἀσεύδει πεῖσαι ἡμᾶς, ὅτι ἐν τῷ ἑκατοστῷ τριακοστῷ ἔτει ἀπὸ κτίσεως κόσμου οὐκ ἦσαν ἐπὶ τῆς γῆς ἄλλα τέκνα τοῦ Ἀδὰμ, εἰμὴ τὰ ἐν τῇ Γενέσει ὀνομαζὶ μνημονευόμενα. ἐγὼ δὲ διϊσχυρίζομαι, ὅτι ἀληθῶς τε ἢ ἀναντιῤῥήτως ἦσαν τότε ἀνδρῶν τε ἢ γυναικῶν ὁ μόνον ἑκατοντάδες, ἀλλὰ χιλιάδες.

ΛΟΓΟΣ Θ'.

Ἐν ᾧ ἡ ἑρμηνεία ῥητῶν τινῶν κακῶς ὑπὸ τῶν κριτικῶν νοηθέντων.

1. Οὐδέποτε, φησὶν ἐγνώσθη τὸ, τί νοεῖ ὁ Λάμεχ διὰ τῶν λόγων τούτων. „Ὅτι ἄνδρα ἐπέκτεινα εἰς τραῦμα ἐμοὶ, ἢ νεανίσκον εἰς μώ- Γεν. 4 23.
„λωπα ἐμοί.

Ἐξῆν αὐτῷ ἐπισυνάψαι ἢ τὸ, οὐδὲ κατανοηθήσεται πόλε, ἐν ὅσῳ εἰς τὴν μετάφρασιν αὐτοῦ ἀφορῶμεν. Τὸ εἰς τραῦμα ἐμοὶ ὃ σημαίνει τὸ διὰ τοῦ ἐμοῦ τραύματος, ἀλλὰ τὸ, διὰ τὸ ἐμὸν τραῦμα. Ὁ Οὐϊγάντης μετέφρασε τὸ ῥητὸν τοῦτο κατὰ τὸ γράμμα ὅτως· „Ἀπέκ-
„τεινα ἄνδρα τραυματίσαντά με, νεανίσκον μώλωψι καταξίξαντά με.
„Ἐὰν ὁ Θεὸς παιδεῦσαι ἑπτάκις τὸν μέλλοντα ἀποκτεῖναι τὸν
„Κάϊν, παιδεύσει ἑβδομηκοντάκις ἑπτὰ τὸν ἐπιβουλεύσοντα τὴν ζωὴν
„τοῦ Λάμεχ. Τοῦτό ἐστι τὸ ἀκατάληπτον; Οὐκ ἔστι δ' ἄρα πρέπον ἀσφαλεστέραν εἶναι τὴν ζωὴν τοῦ ἀποκτείναντος τὸν ἀδίκως κατ' αὐτοῦ ἐφορμήσαντα, τῆς ζωῆς ληστοῦ τινος χαύνου; τοῦτο δ' ἐστὶν ὅπερ ὁ Λάμεχ λέγει ταῖς γυναιξὶν αὐτοῦ πρὸς ἡσυχίαν αὐτῶν (330).

2. Ἄλλη δυσκολία ἀξιόλογος καὶ τὸν Φιλόσοφον. „Ὁ Θεὸς ἐ-
„ποίησε τὸν Ἀδὰμ κατ' εἰκόνα αὐτοῦ, ἢ καθ' ὁμοίωσιν. ὡσαύτως ἢ
„ὁ Ἀδὰμ ἐγέννησε τὸν Σὴθ κατ' εἰκόνα αὐτοῦ ἢ καθ' ὁμοίωσιν. τοῦ-
„το κραταιῶς ἀποδείκνυσι τοὺς Ἰουδαίους πιστεύοντας, ὅτι ὁ Θεὸς ἐστὶν
„ἐνσώματος (331).

Ἐγὼ δὲ λέγω, ὅτι τοῦτο κραταιῶς ἀποδείκνυσι τοὺς Ἰουδαίους, ὁμοίως ἢ πάντα τὰ ἄλλα πεπαιδευμένα ἔθνη γινώσκοντα, ὅτι ὁ ἄνθρωπος σύγκειται ἐκ δύο θείων ὧν ἡ μὲν πνευματικὴ ἢ διανοητική ἐστι, καθ' ἣν αὐτὸς γέγονε κατ' εἰκόνα τοῦ πλάστου αὐτοῦ Θεοῦ. ἡ δὲ ὑλικὴ ἢ ὁρατὴ, καθ' ἣν ἐστιν εἰκὼν τοῦ κατὰ σάρκα πατρὸς αὐτοῦ. ὁ οὖν Σὴθ κατὰ μὲν τὸ σῶμα ὁμοίως ἦν μόνῳ τῷ Ἀδὰμ, κατὰ δὲ τὴν ψυχὴν, αὐτός τε ἢ ὁ Ἀδὰμ γεγόνασι καθ' ὁμοίωσιν τοῦ Θεοῦ. οἱ δὲ

Ἰου-

Ἰουδαῖοι διαπαντὸς ἐπίστευον, ὅτι αὐτὸς πνεῦμά ἐστιν, αἰσθήσει μὴ ὑποκείμενον.

Γεν. 6. 4. 3. „Ἐκ τῆς δὲ τῆς ῥήσεως τῆς Γραφῆς· Ὡς ἂν εἰσεπορεύοντο οἱ „υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυ„τοῖς. ἐκεῖνοι ἦσαν οἱ γίγαντες. Ἐπάγει ὁ κριτικὸς, ὅτι αὗται ἐγεννῶ„σαν τοὺς γίγαντας ἐκ τῆς τῶν Ἀγγέλων συνουσίας.

Ἀπατᾶται ἐξαισίως, νομίζων, ὅτι αἱ λέξεις αὗται, οἱ υἱοὶ τοῦ Θεοῦ, σημαίνουσιν ἐνταῦθα τοὺς Ἀγγέλους. αὗται δὲ δηλοῦσι τοὺς υἱοὺς Σὴθ τοὺς συμμιγέντας τοῖς τοῦ Κάϊν τέκνοις. σημειοῦται τοῦτο Μωϋσῆς ἐν τῷ τετάρτῳ κεφαλαίῳ, λέγων, ὅτι κατὰ τὸν καιρὸν τοῦ Ἐνὼς, τοῦ υἱοῦ τοῦ Σὴθ, ὁ οἶκος αὐτῶν ἤρξατο προσαγορεύεσθαι τῷ τοῦ Θεοῦ ὀνόματι, (332) ἵνα διαξέλληται ἀπὸ τοῦ οἴκου τοῦ Κάϊν. ὧδε δὲ ἐνταῦθα λέγω περὶ τῶν γιγάντων ἀναζήματος. διότι ἱκανῶς ἐλάλησα, περὶ τοῦ πρώτου διαλαβὼν τῶν Βασιλειῶν βιβλίου, ὅπου τὴν κατὰ τοῦ ἀναζήματος τοῦ Γολιὰθ ἔνστασιν αὐτοῦ ἀνεσκεύασα.

Γεν. 6. 3. 4. Κατὰ παράδρομὴν δ' ἄρα, ἢ ἐμπαθῶς διερμηνεύει αὐτὸς ταῦτα τὰ τῆς Γενέσεως ῥήματα. „Ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσι ἔτη. ὡς δηλωτικὰ τῆς διαρκείας τοῦ πολυχρονιωτέρου τῶν γεννηθησομένων ἀνθρώπων βίου, κἂν ὁ λόγος ἐνταῦθα ἀφορᾷ εἰς τὴν ὁριθεῖσαν προθεσμίαν τοῖς ὑπὸ τῶν ὑδάτων τοῦ κατακλυσμοῦ διαφθαρῆναι μέλλουσιν; ὁ Θεὸς ἔδωκεν αὐτοῖς ἑκατὸν εἴκοσι ἔτη εἰς τὸ γνῶναι ἑαυτοὺς, ἐκεῖνοι δὲ διὰ τὴν ἀπιστίαν αὐτῶν κατεχρήσαντο τῇ ἀναβολῇ. ὅτι δὲ αὕτη ἐστὶν ἡ ἀληθὴς τοῦ ῥητοῦ ἔννοια δῆλον ἔκ τε τῆς ἀκολουθούσης διηγήσεως τοῦ ἱεροῦ ἱστορικοῦ, καὶ ἐκ τῆς τοῦ βίου τῶν Πατριαρχῶν, τῶν ἀπὸ τοῦ κατακλυσμοῦ ἄχρι τοῦ Ἰακὼβ, διαρκείας. ἥτις δείκνυσιν, ὅτι τὸ μῆκος τῆς τῶν ἀνθρώπων ζωῆς, τῶν μετὰ τὸν κατακλυσμὸν, οὐδέποτε ὅρον ἔλαβε τὰ ἑκατὸν εἴκοσι ἔτη (333).

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἐν ᾧ ἡ ἀκολουθία τῶν ἀπαντήσεων εἰς τὰς δυσκολίας τὰς κατὰ τὴν βιβλίον τῆς Γενέσεως.

ΆΡΘΡΟΝ Α'.

Περὶ τοῦ κατακλυσμοῦ καὶ τῆς Κιβωτοῦ.

1. Ἰδοὺ κατηντήσαμεν εἰς τὸν κατακλυσμὸν, τὸ δηνεκὲς ἀντικείμενον τῶν σοφισμάτων τῶν ἀπίστων, τῶν μὴ σωφρονισθέντων τῷ ὑποδείγματι

ματι ἐκείνων, ὧν εἰσὶ μιμηταί. ἀληθῶς τινὲς ἐξ αὐτῶν· οἷον ὁ Φρερέτος, ὁ τοῦ συςήματος τῆς φύσεως συγγραφεὺς, καὶ ὁ Βουλαγγέρος, ὁ διαλαμβάνων περὶ τούτου ἐν ταῖς ἰδίαις ἐρεύναις, ταῖς περὶ τῆς ἀρχῆς τῆς δεσποτείας, κἂν τῇ ἀρχαιολογίᾳ τῇ διὰ τῶν αὐτῆς ἐθῶν ἀνακαλυφθείσῃ. ὁρῶντες τὸ συμβὰν τοῦτο μαρτυρούμενον τῇ ςαθεροτάτῃ πάντων τῶν ἐθνῶν παραδόσει, οὐκ ἐτόλμησαν μὲν περὶ τούτου ἀμφιβάλλειν. ἠγάπησαν δὲ μᾶλλον καταφυγεῖν πρὸς πεπλασμένα αἴτια, ἤπερ ἀρνηθῆναι τὸ δυςύχημα τοῦτο, ὅπερ ὡμολόγησαν, ὅτι πρόξενον τρόμου γέγονεν ἐν ταῖς καρδίαις πάντων τῶν ἀνθρώπων.

2. Ὁ συγγραφεὺς τῆς τελευταῖον διερμηνευθείσης Διαθήκης, ὀλιγομαθέςερος ὢν ἐκείνων, καὶ διὰ τοῦτο αὐθαδέςερος, ἐπιχειρεῖ παραςῆσαι μῦθον τὴν καθολικὴν ἀναςάτωσιν, τὴν ὑπὸ τοῦ κατακλυσμοῦ ἐν τῇ γῇ γενομένην. Ἰδοὺ τὸ ὑπ' αὐτοῦ κατὰ τοῦ ἱεροῦ συγγραφέως ἐκτοξευόμενον βέλος. „Οἱ κριτικοὶ κακὸν ἐνόμισαν τὴν τοῦ Θεοῦ „μεταμέλειαν. ἀλλὰ τὸ ῥητὸν τοσοῦτον ςαθερῶς ἐρειρισμένον ἐςὶ τῇ „τοῦ Θεοῦ μεταμελείᾳ, ὥςε τὸν μὴ κατὰ τὸ γράμμα ἐκλαμβάνοντα „αὐτὸ δοκεῖν αὐθαδέςατον.

Διατὶ ἐκλαμβάνειν δεῖ τὸ ῥητὸν τοῦτο κατὰ τὸ γράμμα μᾶλλον ἢ τὰς τῶν φιλοσόφων φράσεις, λεγόντων, „ἡ καρδία πεπληρωμένη ἐ„ςὶ χαρᾶς, πεπληγμένη ὀδύνῃ; οὗτοι διὰ τούτων οὐκ ἐννοοῦσι πάντως τὸ σπλάγχνον, δι' οὗ τὸ αἷμα κυκλοφορεῖται, ἀλλὰ συμφώνως παντὶ τῷ τῶν ἀνθρώπων γένει τὴν ἐν ἡμῖν νοοῦσαν, καὶ ἐπιθυμοῦσαν, καὶ θέλουσαν δύναμιν. ἐν τούτοις οὖν ἡ λέξις, καρδία, ὡσαύτως καὶ ἡ μεταμέλεια, μεταφορά ἐςιν. ἑκατέρα δὲ τούτων τῷ τῶν ἀνθρωπίνων διαθέσεων συμβόλῳ τὴν τοῦ Θεοῦ ἀπόφασιν σημαίνει, δι' ἧς ἔγνω παιδεῦσαι τοὺς ἐν ταῖς ἀταξίαις καὶ τῇ ἀπιςίᾳ αὐτῶν ἰσχυρογνωμόνως ἐπιμένοντας (334).

3. „Ὁ Θεὸς, προςίθησιν αὐτὸς, λέγει ῥητῶς, ἐξαλείψω ἀπὸ „προσώπου τῆς γῆς τοὺς ἀνθρώπους, τὰ ζῶα, τὰ ἑρπετὰ, τὰ πετει„νὰ. καὶ ὅμως οὐκ ἐῤῥέθη. ὅτι τὰ ζῶα ἥμαρτον.

Ὁποία ἀθλιότης! ὅταν ὁ Θεὸς ἀποςέλλων τὰς μάςιγας αὐτοῦ, διαφθείρει τοὺς καρποὺς τῆς γῆς τοὺς εἰς χρῆσιν καὶ διατροφὴν τοῦ ἀνθρώπου ὁρισθέντος, τίνα τότε παιδεύει, τοὺς καρποὺς, ἢ μόνον τὸν ἄνθρωπον; οἱ ἐδαφίζοντες τὸν οἶκον τοῦ ἁμαρτήσαντος τὸ τῆς καθοσιώσεως ἁμάρτημα, οὐ τὸν οἶκον, ἀλλὰ τὸν ἁμαρτήσαντα παιδεύουσι. τὸ αὐτὸ ῥητέον καὶ περὶ τῆς κατὰ τῶν ζώων τοῦ Θεοῦ παιδείας.

4. Ἀνασκευάζων τὴν περὶ τὴν ἱςορίαν φιλοσοφίαν, παρετήρησα, ὅτι κατὰ τὸ ἀπόσπασμα τοῦ Βηρωσσοῦ, τὸ ἐν τῷ Σεγκέλλῳ, δέκα Βασιλεῖς ἦσαν ἀπὸ Ἀλώρου, τοῦ πρώτου τῶν Χαλδαίων Βασιλέως, ἄχρι

Ὁρα τὸν Συγκ. ἐν τῇ Βυζαντ. 6. 30.

ἄχρι τοῦ Ξισούθρου, ἐφ' οὗ γέγονεν ὁ κατακλυσμός. ἀνέφερον δὲ καὶ τὸν Ἀβυδηνὸν, ὅςις μεταγράφων τὸν Βηρωσσὸν, εἶπε. „Μεθ' ὃν ἄλλοι „τε ἦρξαν, καὶ Σείσουθρος, ὧ δὴ Κρόνος προσημαίνει μὲν ἔσεσθαι „πλῆθος ὄμβρων Δεσίου πέμπτῃ ἐπὶ δέκα, κελεύει δὲ πᾶν ὅ τι „γραμμάτων ἦν ἐχόμενον ἐν Ἡλίου πόλει τῇ ἐν Σιππάρισιν ἀ„ποκρύψαι. „Σείσουσθρος δὲ ταῦτα ἐπιτελέα ποιήσας, εὐθέως „ἐπ' Ἀρμενίους ἀνέπλεε. καὶ παραυτίκα μὴν κατελάμβανε τὰ ἐκ Θεοῦ. „τρίτῃ δὲ ἡμέρᾳ ἔπειτα μετῄει τῶν ὀρνίθων πείρην ποιεύμενος, εἴ„κου γῆν ἴδοιεν τοῦ ὕδατος ἐκδῦσαν. αἱ δὲ ἐκδεχομένου σφέας πελά„γεος ἀχανέος, ἀπορέουσαι ὅκη κατορμήσονται, παρὰ τὸν Σείσουθρον „ὀπίσω κομίζονται· καὶ ἀπ' αὐτῆσιν ἕτεραι. ὡς δὲ τῇσι τρίτησιν εὐτυ„χέεν. ἀπίκαντο τοῦ δὴ πηλοῦ κατάπλεοι τοὺς Ταρσούς.„ Ἐκ τούτου συμπερασματικῶς ἐπέφερον τὴν ἐν τοῖς οὐσιώδεσι συμφωνίαν τῶν δύω Χαλδαίων ἱςορικῶν, καὶ τῆς ἐν τῇ Γενέσει διηγήσεως. ὁ ἀριθμὸς τῶν πρὸ τοῦ κατακλυσμοῦ γενεῶν ἐςὶν ὁ αὐτός. αἱ ἐν τῇ ἱςορίᾳ τῆς καταςροφῆς ταύτης περιςάσεις αἱ αὐταί. ὁ Ἀλῶρος καὶ ὁ Ἀδὰμ, εἶπον ἐγὼ, καὶ ὁ Σείσουθρος καὶ ὁ Νῶε κατ' οὐδὲν σχεδὸν διαφέρουσιν, εἰμὴ κατὰ τὰ ὀνόματα. ταύτην τὴν συμφωνίαν γνωρίζει ὁ συγγραφεὺς τῆς τελευταῖον διερμηνευθείσης Διαθήκης.

Ηαρ. Εὐσιβ. β. 9. κ. 12. Εὐαγγ. προπ.

„Πολλαὶ περιςάσεις, φησὶ, λαλῶν περὶ τοῦ Ξισούθρου, τῆς πο„λιτείας τούτου τοῦ Βασιλέως εἰσὶν ὅμοιαι ταῖς περὶ ὧν λαλεῖ ἡ θεία „Γραφή. Διισχυρίζεται ὅμως, ὅτι διάφοροί εἰσιν οὗτοι οἱ δύω κατακλεισμοί. „Πολλαὶ, λέγει, πλημμύραι γεγόνασιν ἐν τῇ γῇ, ἡ ἐπὶ Ξισού„θρου. ἡ ἐπὶ Νῶε, ἡ μόνοις τοῖς Ἰουδαίοις γνωςή.„ Ἰδοὺ καὶ ὁ λόγος τῆς τούτων διαφορᾶς, ὁ ὑπ' αὐτοῦ προτεινόμενος. „Τὸ ὕδωρ οὐ δύναται „συνυψωθῆναι πεντεκαίδεκα πήχεις ὑπεράνω τῶν ὑψηλοτάτων ὀ„ρέων, εἰμὴ ὅτε πλέον ἢ δώδεκα Ὠκεανοὶ συςαθῶσιν ἕτερος ἐπὶ τοῦ „ἑτέρου. ὁ δὲ ἔσχατος τούτων εἴκοσι καὶ τετράκις μείζων ὑπάρχει τοῦ „Ὠκεανοῦ τοῦ τὰ δύω τὴν σήμερον περικυκλοῦντος ἡμισφαίρια. ἀνάγ„κη οὖν ἦν παραγαγεῖν ἐκ τοῦ μὴ ὄντος τοὺς νέους τούτους Ὠκεανοὺς, εἶ„τα ἐξουδενῶσαι αὐτούς. τοιαύτη δὲ Ὠκεανῶν δημιουργία οὐκ ἦν ἀναγ„καία τῷ ἐπὶ Βασιλέως Ξισούθρου ἐν τῷ Εὐξείνῳ πόντῳ γενομένῳ „κατακλυσμῷ.

Ὁ βαθύνους οὗτος γεωμέτρης κατεμέτρησε μὲν ἀναμφιβόλως τὰς ἐπὶ Νῶε τῶν θαλασσῶν δεξαμενὰς ἀνελογίσατο δὲ καὶ τὴν ποσότητα τοῦ ἀραιωθέντος ὕδατος, (335) ὅπερ ἠδύνατο τότε ἡ ἀτμοσφαίρα βαςάζειν, ἵνα κρίνῃ περὶ τῆς ποσότητος τοῦ ὕδατος, τοῦ ἐξ ἀνάγκης κτισθῆναι μέλλοντος εἰς καταποντισμὸν τοῦ παλαιοῦ κόσμου. ἕως ἂν

οὖν

ὃν οἱ λεπτομερεῖς ἀναλογισμοὶ ἀληθεύουσαν ἀποδείξωσι τὴν τούτου ἀπόφασιν, ἐπιμένω λέγων, ὅτι οὐκ ἦν ἀναγκαῖον ἔλαττον ὕδωρ ὑπὲρ τῆς συςάσεως τοῦ ὑπὸ Βηρωσσοῦ, ἤπερ τοῦ ὑπὸ τοῦ Μωϋσέως περιγραφομένου κατακλυσμοῦ, ὁ κατακλυσμὸς περὶ οὗ λαλεῖ ὁ Βηρωσσὸς, καὶ ὁ Ἀβυδηνὸς, ἐβύθισε τὸ ὄρος Ἀραρὰτ. ὡς καὶ αὐτὸς ὁμολογεῖ ὁ κριτικός. ἡ δὲ κιβωτὸς ἠνέχθη ἐκεῖ ὑπὸ τῶν κυμάτων. τὰ δὲ τῆς Ἀρμενίας ὄρη, ὧν ἓν τὸ Ἀραρὰτ, εἰσὶ τὸ ὑψηλότερον τῆς Ἀσίας μέρος. διότι οἱ ἐκεῖθεν πηγάζοντες πολλοὶ ποταμοὶ ῥέουσιν ἄχρι τῶν θαλασσῶν, τῶν ἐν τοῖς τέσσαρσι πρωτίςοις σημείοις τῆς γεώδους σφαίρας. ὁ μὲν Τίγρις, καὶ ὁ Εὐφράτης ἄχρι τῆς Ἰνδικῆς θαλάσσης, ὁ δὲ Φάσις, καὶ ἄλλοι ἄχρι τοῦ Εὐξείνου πόντου, ὁ δὲ Ἀράξης μετὰ τῶν ἐν αὐτῷ εἰσρεόντων ῥυάκων ἄχρι τῆς Κασσίας θαλάσσης· γνωςὸν δὲ, ὅτι ἡ Ἀσία ἐςὶν ὁ ὑψηλότερος τῶν τεσσάρων τοῦ κόσμου μερῶν τόπος τὰ ὕδατα ἄρα τὰ τὸ ὄρος Ἀραρὰτ καλύψαντα, ἐκάλυψαν ἐξ ἀνάγκης, ἵνα ἡ φυσικὴ τῶν ὑδάτων ἰσορροπίᾳ διαμένῃ, πᾶσαν τὴν γῆν. ὁ κατακλυσμὸς ἄρα, ὁ ἐπὶ τοῦ Βασιλέως Ξισούθρου ἐξ ἀνάγκης ἦν καθολικὸς, καὶ διὰ τοῦτο χρῄζων τῆς αὐτῆς ποσότητος τοῦ ὕδατος, ἧς καὶ ὁ ἐπὶ Νῶε ἔχρῃζεν.

Ἀλλ' αὐτὸς οὐκ ὀκνεῖ δὶς ἀντιλέγειν ἑαυτῷ. Ὁ Βηρωσσὸς εὗρε, „φησὶν, ἐνδεχομένως τὴν ἱςορίαν τοῦ κατακλυσμοῦ τοῦ Εὐξείνου πόντου „ἐν τοῖς παλαιοῖς τῶν Χαλδαίων βιβλίοις, οἱ δὲ Ἰουδαῖοι ἐκ τῆς αὐ„τῆς ἐξήντλησαν πηγῆς.

Ὁμολογεῖ ἄρα, ὅτι ὁ Βηρωσσὸς καὶ οἱ Ἰουδαῖοι λαλοῦσι περὶ τοῦ αὐτοῦ συμβάντος, καὶ περὶ ἑνὸς μόνου καὶ τοῦ αὐτοῦ κατακλυσμοῦ. οὗτος δὲ ἐςὶν ὁ κατακλυσμὸς ὁ γνωςὸς Ἱερωνύμῳ, τῷ τὰ περὶ τῆς Αἰγύπτου καθιςορήσαντι, καὶ Μανασσῇ, καὶ Νικολάῳ τῷ Δαμασκηνῷ, τοῖς ὑπὸ τοῦ Ἰωσήπου μνημονευομένοις, ὁ καὶ συγχεόμενος ὑπὸ τῶν Ἑλλήνων μετὰ τῶν τοπικῶν κατακλυσμῶν τῶν συμβάντων ἐν μὲν τῇ Ἀττικῇ ἐπὶ Ὀγύγου, ἐν δὲ τῇ Θετταλίᾳ, ἐπὶ Δευκαλίωνος. διότι τὰ αἴτια καὶ ἀποτελέσματα τὰ ἀπονεμόμενα τούτοις τοῖς τοπικοῖς κατακλυσμοῖς ὑπὸ τῶν περιγραψάντων αὐτοὺς, τῷ ὄντι οὐκ ἀνήκουσιν, εἰμὴ τῷ καθολικῷ κατακλυσμῷ.

Ιωσ. β. 1. κ. 3 Αρχ.

5. „Οἱ τὰ πάντα ἀρνούμενοι ἄπιςοι, φησὶν ὁ δογματικὸς καὶ θεο„σεβὴς φιλόσοφος, ἀρνοῦνται ὡσαύτως καὶ τὸν κατακλυσμὸν ἐπὶ προ„φάσει τοῦ, ὅτι πραγματικῶς οὐχ ὑπάρχουσι πηγαὶ τῆς ἀβύσσου, οὐδὲ „τοῦ οὐρανοῦ καταράκτη. Ἀλλὰ τοῦτο μὲν, λέγει, τότε ἐπιςέυετο, οἱ δὲ „Ἰουδαῖοι ταύτας ἐσφετερίσαντο τὰς τῶν Σύρων, καὶ Χαλδαίων, καὶ Αἰ„γυπτίων παχυλὰς ἰδέας.

Τίνα δύναι πεῖσαι, ὅτι τὰ πεπαιδευμένα ἔθνη, τὰ ὑπ' αὐτῶ ὀνόμασι προτεθέντα, ἐφαντάσθησαν, ὅτι ἐκ μιᾶς μόνης πηγῆς πηγάζει ἡ τῶν θαλασσῶν ἄβυσσος, ἢ ὅτι ὁ ὐρανὸς ἔχει καταράκτας, καὶ κατωφερεῖς ὑδάτων αὔλακας, οἵας ὁρῶμεν ἐν τοῖς μύλωσι καὶ ποταμοῖς; πάντα τὰ ἔθνη ταῦτα ἐγίνωσκον, ὅτι ἐν τῶ τῦ κατακλυσμῦ καιρῶ τὰ ἐν ταῖς ὑπογείοις δεξαμεναῖς ὕδατα, τὰ μετὰ τῶν τῆς θαλάσσης ἄντρων τότε συγκοινωνήσαντα, διὰ τῶν τῆς χιθείσης καὶ καταφραφείσης γῆς ῥηγμάτων ἀναπηδήσαντα, τὴν αὐτῆς ἐπεκάλυψαν ἐπιφάνειαν. ὅτοι ὃν τὰς μὲν ἐκροὰς τῦ ὕδατος ἐκάλεσαν πηγὰς ἀβύσσυ, τὸ δὲ ὕδωρ τὸ ἐκ τῶν νεφελῶν, ὑ βροχηδὸν, ἀλλὰ ποταμηδὸν πίπτον, καταράκτας, διὰ τὴν ὁμοιότητα τῆς πτώσεως αὐτῦ τῆ τῦ ποταμῦ, τῦ ἀπὸ ὑψηλῆς ἀκροτόμυ πέτρας καταφερόμενυ, ἢ τὰ χαρακώματα αὐτῦ συντρίβοντος. μετῆλθον δὲ τὰ ὀνόματα τῶν συνήθων αὐτοῖς πραγμάτων, ἵνα ἐκφράσωσι τὸ ἐνιαῖον τῦτο καὶ μοναδικὸν συμβὰν, ὅτινος τὰ ἀποτελέσματα σχέσιν εἶχον πρὸς τὰ γνωσὰ πράγματα. ὑ τῦτο αὐτὸ δὲ ἡμεῖς καθ' ἑκάστην ποιῦμεν; ὑ λέγομεν καὶ ἡμεῖς, ὅτι χύθην πίπτει ἐκ τῦ ὐρανῦ τὸ ὕδωρ; ἀλλὰ ταῦτα λέγοντες, πιστεύομεν ἄρα, ὅτι ἴσταί τις ἐν τῶ ἀέρι ἐμβάλλων τὸ ὕδωρ εἰς ἀγγεῖα, ὅπως ἂν ἐκχέῃ αὐτὸ ἐφ' ἡμᾶς; Τὰ ἀρχιπελάγη, ἐν οἷς διεσπαρμένον ἐστὶν ἀναρίθμητον πλῆθος νήσων, αἱ ὑψηλαὶ θαλάσσιοι ἐσχατιαὶ, τὰ ἀνώμαλα ἀκρωτήρια, καὶ αὐταὶ αἱ ἐνδόμυχοι θάλασσαι ἐμφανῶς δεικνύουσιν, ὅτι συνετρίβη ποτὲ ἡ τῆς γῆς ἐπιφάνεια, καὶ κατεποντίσθη ἐν μέρει ὑπὸ τῶν ὑδάτων, τῶν διὰ τῶν ῥηγμάτων ἀναπηδησάντων.

6. Ἄλλη δυσκολία. „Ὁ κύριος Πελλετιέρος, ὁ ἐν Ῥωμάλῳ „ἔμπορος, ἐν τῶ βιβλιδαρίω τῶ συνεκδοθέντι ταῖς τῦ Παχαλίυ „σκέψεσιν, ἀπέδειξεν, ὅτι ἡ Κίβωτὸς ἐχώρει πάντα τὰ τῆς γῆς „ζῶα, ὅμως ὐκ ἐμέτρησεν αὐτὰ, ὐδὲ ἐμνήσθη εἰπεῖν τίνι τροφῆ ἐτρέ„φετο τὸ ἐξαίσιον πλῆθος, τῶν σαρκοβόρων ζώων, καὶ διδάξαι η„μᾶς τὸ πῶς ὀκτὼ ἄνθρωποι ἱκανοὶ ἦσαν τρέφειν καὶ ποτίζειν πάντα „τὰ ζῶα, καὶ τὴν κόπρον αὐτῶν ἐκκαθαίρειν (336).

Συγχώρησόν μοι. ὁ κύριος ὁ Πελλετιέρος προέφθασε πάντα τὰ ζητήματά συ ἐν τῆ περὶ τῆς Κιβωτῦ διαλέξει αὐτῦ, τῆ ἐν Ῥωμάγω κατὰ τὸ 1700. ἔτος ἐκδοθείσῃ ἐν βιβλιδαρίω ὀγδοημορίυ μέγεθος ἔχονλι, καὶ ἐκ σελίδων 520. συγκειμένω. ὅτος ἐπαριθμῶν τὰ πρῶτα τῶν Χερσαίων ζώων καὶ πετεινῶν εἴδη, ὐκ ἐπελαθετο τῶν σαρκοβόρων, εὐλόγως διαχωριζόμενος, ὅτι δυνατόν ἐστι τρέφειν αὐτὰ διὰ σπερμάτων καὶ χόρτων. σημείων δὲ ἐν τῶ εἰκοστῶ τρίτω κεφαλαίω τὴν ποσότητα τῆς πόας, καὶ τῶν ἄλλων, ἀναγκαίων τοῖς ζώοις τροφῶν.

φῶν παρίστησιν ἐν τῷ εἰκοστῷ ἑβδόμῳ κεφαλαίῳ, ὅτι οὐκ ἦν ἀδύνατον ὀκτὼ ἀνθρώπους ἐπαρκέσαι ταῖς χρείαις τῶν ἐν τῇ Κιβωτῷ ζώων. οὐδὲν ἂν ἐπελάθετο ὁ Ῥοδομάγος ὅτ' ἔμπορος ὢν γεωμέτρης, καὶ μέγας ἀναλογιστὴς, καὶ τῶν σοφῶν διαλέκτων εἰδήμων, γινώσκων δὲ μᾶλλον τῶν νομιζομένων φιλοσόφων τὸ, τε τῆς νηὸς ἐμβαδὸν, καὶ τὸν φόρτον τὸν ἐν αὐτῇ χωροῦντα.

ΑΡΘΡΟΝ Β'.

Περὶ τοῦ ἐὰν ἡ Γραφὴ ἀπονέμῃ τοῖς ζώοις τὸν λόγον καὶ τὸ ἐλεύθερον ὥσπερ καὶ τῷ ἀνθρώπῳ.

1. „Ἡ μὲν ἔκθεσις, φησὶν αὐτὸς, ἡ χεῖρα ἀντὶ ὀνύχων ἐνταῦθα Γεν. 9. 5.
„τῆς σαρκοβόροις ἀπονέμουσα θηρίοις, ἐστὶν ἀξιοσημείωτος. ἡ δὲ κα-
„θολικὴ γνώμη περὶ τοῦ ὅτι τὰ ζῶα ἔχουσι λόγον ὥσπερ καὶ ἡμεῖς, ἐ-
„στὶν, ἀναντιῤῥητος (337).

Οὐκ οἶδα, διατὶ ὁ προσέθετο τὸ, ἡμεῖς οἱ μὴ ἀποδιδόντες τοῖς κυσὶ καὶ αὐλῶροις, εἰμὴ μόνον ταρσὸς, τῷ χοίρῳ ἀπονέμομεν πόδας, καθάπερ καὶ τῷ ἀνθρώπῳ· οὐδὲ διατὶ οὐκ ἐπέφερεν ἐκ τούτου τὸ, ἡμεῖς ἀναμφιβόλως πιστεύομεν, ὅτι ὁ χοῖρος ἔχει λόγον ὥσπερ καὶ ἡμεῖς, καὶ πολλῷ πλείονα τῶν κυνῶν καὶ τῶν αἰλούρων; Ἐάν τις λέγῃ, ὅτι παρ' ἡμῖν ἡ λέξις πᾶς, ἐστὶ κοινὴ ἀνθρώποις, καὶ ἐνίοις τῶν ζώων, τί κωλύει εἰπεῖν ὁμοίως, ὅτι ἡ λέξις Ιαδ, χειρ, ἡ μεταφορικῶς σημαίνουσα δύναμιν, ἰσχὺν, ἐστὶ παρ' Ἑβραίοις ὄνομα κοινὸν τῷ τε ἀνθρώπῳ καὶ τοῖς σαρκοβόροις ζώοις, μηδεμίαν ἐπιφέρουσα ταυτότητα λόγου; πρὸς τούτοις οὐκ ἔνι αὐτὸς, ὅτι ἡ ὑπ' αὐτοῦ τιθεῖσα ὑπόθεσις εἰς τὸ ἐπαγαγεῖν ἄτοπον καὶ γελοιῶδες συμπέρασμα, οὐκ ἔστι βεβαία; ἀληθῶς ἐν τοῖς τῶν Ἰουδαίων Ἑβραϊκοῖς τεύχεσι, καὶ ἐν ταῖς μεταφράσεσιν αὐτῶν εὑρίσκομεν ταύτην τὴν ἔκθεσιν, „ἐκ χειρὸς τῶν θηρίων, ἀλλ' ἐν τῷ Ἑβραϊκῷ τῶν Σαμαρειτῶν βιβλίῳ αὐτη δὲ κεῖται. διὸ καὶ ἐν αὐτῷ ἀναγινώσκομεν τὸ, ἡ χεὶρ παντὸς ζῶντος. Ὁ σοφὸς Οὐβιγάντιος ἐν τοῖς εἰς τὴν Γένεσιν προλεγομένοις ἀποδείκνυσιν ἰσχυρῶς, ὅτι ἡ ἀνάγνωσις αὕτη ἐστὶν ἡ ἀληθής.

2. Ὁ Θεὸς, προσέθηκεν αὐτὸς, ὧδε ποιεῖ συνθήκην μετὰ τῶν Γεν. 9. 5.
„θηρίων, ὥσπερ καὶ μετὰ τοῦ ἀνθρώπου (338).

Τουτέστιν ὁ Θεὸς, ὁ διὰ τὰς ἁμαρτίας τῶν ἀνθρώπων ἐν τῇ τοῦ κατακλυσμοῦ καταστροφῇ συμπεριλαβὼν καὶ τὰ ζῶα σὺν τῷ ἀνθρώπῳ, ὑποχεὶρ τῷ Νῶε, εἰς τὸ ἑξῆς δι' ὁμοίας μάστιγος, μηδὲ ἄνθρωπον, μηδὲ τὰ δι' αὐτὸν κτισθέντα ζῶα διαφθεῖραι.

3. „Διὰ τοῦτο, λέγει αὐτὸς, κατὰ τὴν τοῦ Λευϊτικοῦ ἀπόφασιν „τά τε κτήνη καὶ οἱ ἄνθρωποι οἱ μετ' αὐτῶν ποιήσαντες τὴν σαρκικὴν
Λευϊτ. 20. 15. „ἁμαρτίαν ἐπίσης παιδεύονται (329).

Ἠδύνατο ἐπισυνάψαι καὶ τὸ, ὅτι τὸν νόμον τοῦτον ἔτι φυλάττουσι τὰ ἡμέτερα δικαστήρια ἐν ταῖς ἐγκληματικαῖς διαδικασίαις, ἐξαφανίζουσι δηλαδὴ καὶ αὐτὸ τὸ ὄργανον, ᾧ κατεχρήσατο ὁ ἄνθρωπος εἰς τὸ ἐκτελέσαι τὴν ἁμαρτίαν, μὴ λογιζόμενα πάντως ἠθικὸν ἔργον τὴν τοῦ ζώου πρᾶξιν, ἀλλὰ βλάπτοντα μεῖζονα ἐμπνεῦσαι φόβον τῆς ἀποτροπαίου ἁμαρτίας, ἣν ἐποίησεν ὁ ἄνθρωπος.

Ἐξ. 20. 10. 4. „Ἀλλ' ἐν τῇ ἡμέρᾳ, φησὶ, τοῦ σαββάτου οὐδενὶ τῶν ζώων μοχ-„θεῖν ἐπετρέπετο.

Τοῦτ' ἔστιν ἀπηγορευμένον ἦν τῷ ἀνθρώπῳ μετέρχεσθαι κατ' ἐκείνην τὴν ἡμέραν τὰ ζῶα πρὸς τὰς ὑπηρεσίας αὐτοῦ. οὕτως δὲ ὁ νόμος ἔτι καὶ παρ' ἡμῖν τρόπον τινὰ τόπον ἔχει. ἡμεῖς ὅμως οὐ λογιζόμεθα τὴν ἀνάπαυσιν ταύτην, τὴν τοσοῦτον ἀναγκαίαν τοῖς ζώοις, ὡς ἔργον εὐσεβείας ὑπ' αὐτῶν τελούμενον. ὥσπερ δὲ ἡμεῖς οὕτω καὶ οἱ Ἰουδαῖοι περὶ τούτου ἐφρόνουν, καὶ ἀκμὴν φρονοῦσι.

5. „Ὁ Ἰωνᾶς, λέγει, ἐν τῇ Νινευῖ κελεύει ἀνθρώποις τε καὶ κτή-„νεσι νηστεῦσαι.

Ἰων. 3. 7. Οὐχ ὁ Ἰωνᾶς, ἀλλ' ὁ Βασιλεὺς τῆς Νινευῖ ἐκέλευσε τοῖς ζώοις νηστεῦσαι. καὶ ἡμεῖς δὲ ὡς θρηνοῦντας παρασκευάζομεν τοὺς ἡμετέρους ἵππους, μέλανα ἐφίππεια ἐν ταῖς τῶν νεκρῶν ἐκκομιδαῖς αὐτοῖς περιτιθέντες. ἀλλ' οὐ διὰ τοῦτο πιστεύομεν, ὅτι οἱ ἵπποι εἰσὶ λογικοὶ ὥσπερ καὶ ἡμεῖς.

Ἐκκλ. 3. 19. 6. Ὁ Ἐκκλησιαστικὸς, ἔδει αὐτῷ εἰπεῖν ὁ Ἐκκλησιαστὴς, λέγει, „ὅτι οἱ ἄνθρωποί εἰσιν ὅμοιοι τοῖς κτήνεσι, καὶ οὐδὲν πλέον τῶν κτηνῶν „ἔχουσι.

Βλέπε πῶς ἡρμήνευσα τὰ ῥητὰ ταῦτα, διαλαβὼν περὶ τῆς τοῦ Ἐκκλησιαστοῦ βίβλου. ἐν αὐτῷ ἔδειξα, ὅτι ταῦτα οὐ δηλοῦσι τὴν τοῦ ἱεροῦ συγγραφέως ἔννοιαν, ἀλλὰ τὴν τῶν ψευδοφιλοσόφων γνώμην, ἣν ὁ ἱερὸς συγγραφεὺς ἐν τοῖς πρώτοις κεφαλαίοις διεξοδικῶς ἐκθέμενος, πολεμεῖ ἔπειτα ἐν τοῖς ἑξῆς. τοιουτοτρόπως οὖν ὁ κριτικὸς ἀποδείκνυσιν, ὅτι ἀναντίῤῥητός ἐστιν ἡ κοινὴ γνώμη περὶ τοῦ ὅτι τὰ ζῶα λόγον ἔχουσιν ὥσπερ καὶ ἡμεῖς.

Ἄ Ρ Θ Ρ Ο Ν. Γ.

Περὶ τȣ̃ ἐὰν ὁ Βάκχος ἐφύτευσεν ἄμπελον πρὸ τȣ̃ Νῶε.

1. Ἔρχομαι πρὸς ἄλλην ἔνςασιν. „Τὸν Νῶε, φησὶν, αὐτὸς, μόνοι „οἱ Ἰȣδαῖοι λογίζονται εὑρετὴν τῆς ἀμπέλȣ. πάντα δὲ τὰ λοιπὰ ἔθνη „τὸν Βὰκ, ἢ Βάκχον νομίζȣσι πρῶτον εὑρετὴν τῆς τέχνης τȣ̃ τὸν „οἶνον κατασκευάζειν. Παράδοξον δὲ τὸ, πᾶσαν τὴν γῆν ἀγνοεῖν τὸν „Νῶε, τὸν τȣ̃ ἀνθρωπίνȣ γένȣς ἀνακαινιςήν.

Καθ' ὃν μὲν καιρὸν ὁ Μωϋσῆς συνέγραφε, γνωςὸς ἦν πανταχȣ̃ ὁ Νῶε, πολλȣ̀ς αἰῶνας δὲ μετὰ ταῦτα ἐν τῇ Χαλδαίων χώρᾳ, ἐπ' ὀνόματι τȣ̃ Ξισȣ́θρȣ, ὡς ἀνωτέρω παρέςησα. Οἱ δὲ Ἕλληνες ϗ οἱ Λατῖνοι ἐγίνωσκον διαπαντὸς, ὅτι κατάγονται ἐκ τȣ̃ Ἰάπετ, ἢ Ἰάφεθ τȣ̃ πρωτοτόκȣ τῶν υἱῶν τȣ̃ Νῶε. ἐὰν δὲ τὸ τȣ́τȣ ὄνομα ἀγνωςον ἦν τοῖς ποιηταῖς τῶν Ἑλλήνων, τοῖς διχίλια ἔτη μετ' αὐτὸν διαπείρασι τὰς περὶ τȣ̃ Βάκχȣ μυθολογίας αὐτῶν, τȣ̃το συνέβη διὰ τὸ τȣ̀ς Ἕλληνας, ϗ τὰ λοιπὰ γένη, ὧν οἱ συγγραφεῖς εἰσὶ νεώτατοι τῶ τῶν Ἰȣδαίων νομοθέτῃ παραβαλλόμενοι, ἀμελῆσαι, ἢ ἀλλοιῶσαι τὰς ἀρχαίας γενεαλογίας, τὰς σωζομένας ἐν τοῖς τȣ̃ Μωϋσέως συγγράμμασι, τοῖς παλαιοτέροις παντὸς ὑφιςαμένȣ βιβλίȣ. Ἀγνοῶ δὲ τὸ, ἓν ποίᾳ Ἰȣδαικῇ βίβλῳ ἀνέγνω αὐτὸς τὸν Νῶε εὑρετὴν εἶναι τῆς ἀμπέλȣ. ȣ̃τος ἐφύτευσε μὲν ἄμπελον μετὰ τὸν κατακλυσμὸν, αὕτη ὅμως τότε ὑπῆρχε πάντως, ἄλλως γὰρ φυτεῦσαι αὐτὴν ȣ̓κ ἠδύνατο. ἀλλὰ ϗ τȣ̃το μαθεῖν, ἐπιθυμῶ, τȣτέςι τὸ, ποῖον ὑπόμνημα ἀπεκάλυψεν αὐτῷ, ὅτι Βὰκ ἐςὶ τὸ πρῶτον ὄνομα τȣ̃ Βάκχȣ.

2. Ἀλλ' ἰδȣ̀ ἀξιολογωτέρα κατὰ τῆς Γενέσεως μέμψις. Ὁ „Φίλων ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα Γάϊον Καλιγȣ́λαν πρεσβείᾳ αὐ„τȣ̃. λέγει. ὁ Βάκχος πρῶτος ἐφύτευσεν ἄμπελον, κτ. πῶς ὁ Φίλων, „ὁ τοσȣ̃τον ἐκ τῆς φατρίας αὐτȣ̃ ἐξηρτημένος, ȣ̓κ ἐγνώρισε τὸν Νῶε „τȣ̃ οἴνȣ εὑρετήν;

Τȣ̃το ἀληθῶς θάμβȣς πρόξενον. ἀλλ' ἡ φανερὰ ἐναντιότης, ἡ μεταξὺ τῶν τȣ̃ Μωϋσέως ϗ Φίλωνος ῥημάτων, τῶν ὑπὸ τȣ̃ κριτικȣ̃ προτεινομένων, πεῖσαι αὐτὸν ἔδει νοῆσαι, ὅτι ὁ Φίλων ἐνταῦθα ȣ̓κ ἐξέθετο τὸ ὑπ' αὐτȣ̃ νοȣ́μενον, ἀλλ' ἐν ἀκαρεῖ ἐδέξατο τὴν τῶν εἰδωλολατρῶν περὶ τȣ̃ Βάκχȣ γνώμην, ἵνα μετέλθῃ αὐτὴν κατὰ τῶν ἀταξιῶν τȣ̃ Καλιγȣ́λα, τῶν ὑπ' αὐτȣ̃ κατακρινομένων. Σὺ σπȣδάζεις, ἔλεγεν αὐτὸς, ςρέψας τὸν λόγον πρὸς τόν Βασιλέα τὸν ἐκμαινόμενον εἰς τὸ ἐμφαίνειν ἑαυτὸν Θεὸν, ἐξομοιȣ̃σθαι Διονύσῳ, ϗ Ἡρακλεῖ,

ϗ

καὶ Διοσκόροις. „Καίτοι, τὶ παρασήμων ἔδεισοι, Γάϊε, οἷς ἔθος ἀρ„κεῖσθαι τὰ τῶν ἀρημένων ἀφιδρύματα; ἐχρῆν δὲ ζηλῶν τὰς ἐκείνων „ἀρετάς. Ἡρακλῆς ἐκάθηρε γῆν καὶ θάλατταν, ἄθλους ἀναγκαιοτά„τους καὶ ὠφελιμωτάτους ἅπασιν ἀνθρώποις ὑποσὰς, ἕνεκα τῶ τὰ βλα„βερὰ καὶ κακωτικὰ φύσεως ἑκατέρας ἀνελεῖν. Διόνυσος ἡμερώσας ἄμ„πελον, ἔ ποτὸν ἐξ αὐτῆς ἀναχέας ἥδιστον ὁμοῦ καὶ ὠφελιμώτατον ψυ„χαῖς τε καὶ σώμασι, τὰς μὲν ἄγαν πρὸς εὐθυμίαν, κακῶν λήθην, καὶ „ἀγαθῶν ἐλπίδας ἐνεργαζόμενον, τὰ δὲ σώματα ὑγιεινότερα, καὶ „κραταιότερα, καὶ εὐκινητότερα παρασκευάζει. . . . Εἶπε δὲ ἔ αὐτὸς ἡ„μῖν, ἐπὶ τίνι γαυριᾶς καὶ πεφύσησαι τῶν παραπλητίων. Τοιοῦτόν ἐστι „τὸ τῶ Φίλωνος ἐπιχείρημα κατὰ τῶ Καλιγύλα, τεθεμελιωμένον ἐ„πί τε τὰς τῶν εἰδωλολατρῶν προκαταλήψεις, ἔ ἐπὶ τὰς ἰδέας τὰς ἐν „Ῥώμῃ, καὶ Ἀλεξανδρείᾳ, καὶ Ἀθήναις δεκλάς. νοήμων δὲ καὶ εὐθὺς „ἄνθρωπος ἐφαντάζετό ποτε ἄρα ζητεῖν ἐν τούτῳ τῷ ἐλέγχῳ τὸ φρό„νημα Ἰουδαίου ἀνδρὸς, ὑπαισιζομένου τῶ γένους αὐτῶ, καὶ δικαιολογοῦν„τος τὴν ὑπ' αὐτῶ δεχθεῖσαν καταδούλωσιν ἐν τῷ μὴ συγκατανεῦσαι δεχ„θῆναι ἐν Ἱερουσαλὴμ τὴν τῶ Αὐτοκράτορος εἰκόνα; τοιοῦτος „ἄνθρωπος ἦν ἄρα διατεθειμένος δεχθῆναι τὸ τῶν εἰδωλολατρῶν δόγμα, τὸ „περὶ Ἡρακλέους καὶ Διονύσου, καὶ τὸ περὶ τῆς ἀθανασίας, ἣν ὁ ἕτερος „τῶν διδύμων τῷ ἑτέρῳ μετέδωκεν;

Α΄ ΡΘΡΟΝ Δ΄.

Περὶ τῶ ἐὰν ἡ παλαιὰ ἀρχαιότης ἐγνώρισε τὸν Χὰμ, καὶ τοὺς ἄλλους υἱοὺς καὶ ἐγγόνους τῶ Νῶε.

1. Προάγει ὁ αὐτὸς τὰς σοφὰς αὐτῶ σημειώσεις, λέγων. Οὐκ ἔστι κατάρα τὸ παρέχειν τῷ Χὰμ τὸ τρίτον τῶ κόσμου μέρος. „ἀδύνατον „δοκεῖ τὸ συμβιβάσαι τὴν κατάραν μετὰ τῆς τοσοῦτον θαυμαστῆς εὐ„λογίας."

Οὐκ ἠθέλησεν ὁ Θεὸς ἐκφωνῆσαι κατὰ τῆς κεφαλῆς τῶ Χὰμ κατάραν, πίπτειν μέλλουσαν ἐπὶ πάντας τοὺς ἀπογόνους αὐτῶ, τοὺς τὴν οἰκουμένην οἰκητόρων πάλιν πληρῶσαι ὁριωθέντας, ἐπαίδευσε δὲ τὸν Χὰμ, τὸν ἀληθῶς ἐλλιπῆ φανέντα τῇ ὀφειλομένῃ πρὸς τὸν πατέρα αὐτῶ εὐλαβείᾳ, ῥίψας τὴν κατάραν εἰς μόνον τὸν οἶκον τῶ Χαναὰν, τῶ κατὰ τὴν τῶν Ἑβραίων παράδοσιν (340) συγκοινωνῶ γεγονότος τῇ τῶ Χὰμ ἁμαρτίᾳ.

2. Ἀπροσφυέστατον τὸ ἐν τοῖς δὲ τοῖς λόγοις τῶ φιλοσόφου τούτου κακόπιστον. „Παραβλέπομεν ἐνταῦθα πάντας τοὺς τῶ Νῶε ἐγ-

„γόνους

„γόνȣς, τȣ̀ς πολλῷ τῷ χρόνῳ ὑπὸ τῶν ἐν κόσμῳ λοιπῶν ἀνθρώπων „ἀγνοȣμένȣς."

Οὗτος ἄρα ȣ̀ κατενόησεν, ὅτι μόνον τὸ παρὰ τοῖς Ἕλλησι σωζόμενον ὄνομα τȣ̃ Ἰάφεθ, ἱκανόν ἐςιν ἀποδειξαι αὐτὸν ψεύςην. ϗ ὅτι οἱ μὲν τῆς Ἐλίδος λαοὶ, εἴτȣν οἱ Μῆδαι, οἱ Θρᾶκες, οἱ Μόσχοι, οἱ Ἴωνες ἀναμιμνήσκȣσιν ἡμῖν τὸ ὄνομα τȣ̃ Μαδαὶ, τȣ̃ Θείρας, τȣ̃ Μεσὸχ, τȣ̃ Ἰωύαν, τȣ̃ Ἐλισὰ, οἵτινες εἰσὶ πάντες υἱοὶ τȣ̃ Ἰάφεθ, ϗ ἔγγονοι τȣ̃ Νῶε. οἱ δὲ Ἀσσύριοι, οἱ Ἐλιμαῖοι, οἱ Ἀραμαῖοι, οἱ Ἐλμοδινοὶ, οἱ Σαλαπανοὶ, οἱ Ἰωβαβῖται σώζȣσι τὸ ὄνομα, ϗ τὴν μνήμην τȣ̃ Ἀσσȣ̀ρ, τȣ̃ Ἐλὰμ, τȣ̃ Ἀρὰμ, τȣ̃ Ἐλμωδὰδ, τȣ̃ Σαλὲθ, τȣ̃ Ἰȣβὰϐ, τῶν ἐκ τȣ̃ Νῶε διὰ τȣ̃ Σὴμ, καταγομένων. Ἐν τῷ τȣ̃ Χεμίᾳ ὀνόματι τῷ ἀπονεμηθέντι ὑπὸ τȣ̃ Πλȣτάρχȣ τῇ Αἰγύπτῳ, ϗ ἐν τῷ τȣ̃ Ἄμμωνος. τȣ̃ τοσȣ̃τον περιφανȣ̃ς ἐν τῇ Λιβίᾳ, ὁρῶμεν τὸ τȣ̃ χὰμ ὄνομα, τȣ̃ τρίτȣ υἱȣ̃ τȣ̃ Νῶε. Τὸ Χȣσιςὰν, τὸ πλησίον τῶν ἐκβολῶν τȣ̃ Τίγρεως κείμενον, ϗ τὸ Σαβὰ ϗ Ῥεγμὰ, τὰ ἐν τῷ Περσικῷ κόλπῳ, ἔλαβον τὴν ὀνομασίαν ἀπὸ τȣ̃ Χȣ̃ς, ϗ τῶν υἱῶν αὐτȣ̃ Σαβὰ, ϗ Ῥεγμά. Τὶ δ' ἂν εἴπω περὶ τῶν Σιδωνίων, τῶν ἐκ τȣ̃ Σιδῶνος καταγομένων, ϗ περὶ τῆς νήσȣ Ἀρὰδ, τῆς ὑπὸ τῶν Ἀραδίων, τῶν τȣ̃ Χὰμ ἀπογόνων, οἰκηθείσης, ϗ περὶ τȣ̃ τῆς Λαοδικείας νομίσματος, τȣ̃ διὰ χαρακτήρων Φοινίκων ἐπιγεγραμμένȣ ȣ̃τω. Λαοδικεία μητρόπολις Χαναάν; πάντα τὰ γένη ταῦτα. ὧν τὴν τοποθεσίαν ὅ, τε Πλίνιος ϗ ὁ Πτολεμαῖος ἐξηκριβωμένως περιέγραψαν. τὰ τοσȣ̃τον περιφανῆ ἐν ταῖς παλαιαῖς ἱςορίαις ȣ̀χ εὑρίσκȣσι τὴν τȣ́των ἀρχὴν, εἰ μὴ ἐν τῇ τῶν υἱῶν ϗ ἐγγόνων τȣ̃ Νῶε γενεαλογίᾳ, τῇ ἐν τῷ τῆς Γενέσεως βιβλίῳ. Ταῦτα γνωςὰ ἦσαν πρὶν ἢ τȣ̀ς πρώτȣς τῶν Ἑλλήνων συγγραφέων ἐν τῷ κόσμῳ ὀφθῆναι. οἵτινες πολλῷ μεταγενέςεροι ὄντες, ϗ μάταιοι, ϗ ἐπιπόλαιοι ἠγνόȣν τȣ̀ς τῶν γενῶν ἀρχηγȣ̀ς, (341) τȣ̀ς πρὸ πολλῶν ἀκμάσαντας αἰώνων, προτȣ̃ ἄρξασθαι αὐτȣ̀ς τὴν Ἱςορίαν συγγράφειν.

ὅρα τὰ ὑπομν. τȣ̃ Καλμ. εἰς τὸ 10. κ. τῆς Γεν.

Γεν. 10. 2.

Γεν. 10. 22.

Πλȣτ. περὶ Ἰσιδ. ϗ ὑσιριδ.

Γεν. 10. 7.

Ἄ Ρ Θ Ρ Ο Ν Ε.

Περὶ τῆς διαλέκτȣ τῶν τȣ̃ Νῶε ἀπογόνων, ϗ τȣ̃ πλήθȣς αὐτῶν, ὅτε τὸν χαλάνης πύργον ᾠκοδόμȣν.

1. „Ἡ ἔφεξῆς σημείωσις ἐςὶν ἀνοητοτέρα. Τὸ, ἕκαςος κατὰ τὴν „ἰδίαν γλῶσσαν σημαίνειν δοκεῖ, ὅτι ἕκαςος τῶν τȣ̃ Νῶε ἀπογόνων „διάφορον ἐλάλ γλῶσσαν."

Γεν. 10. 5.

Πάν-

Πάντως, ἕκας⊙ αὐτῶν, ὅτε διεσπάρησαν, ἰδίαν ἐλάλει διάλεκτον. πολλῷ δὲ μᾶλλον οἱ τούτων ἀπόγονοι, ὅτε ὁ Μωϋσῆς συνέγραφε. „Τοῦτο δὲ δοκεῖ, προσθῆσιν αὐτὸς, ἐναντίον τῇ ἐφεξῆς Ἱστορίᾳ, τῇ „περὶ τῶν ἅμα συσταθεισῶν ἐν Βαβυλῶνι νέων διαλέκτων. Καὶ καλῶ „τέρω. Πῶς ἠδύνατο ἡ γῆ ἔχειν ἓν μόνον χεῖλ⊙; Πῶς πάντες οἱ ἄν„θρωποι μίαν μόνην ἐλάλουν διάλεκτον, τῶ συγγραφέως προλαβὸν „εἰπόντ⊙, ὅτι πᾶν γέν⊙ εἶχεν ἰδίαν γλῶτταν; πρὸς τούτοις πῶς „ἐδυνήθη εἰπεῖν ὁ συγγραφεὺς, ὅτι πάντες οἱ ἄνθρωποι ἀπῆραν ἀ„πὸ ἀνατολῶν, εἰπὼν πρότερον, ὅτι ὤκησαν τὴν μεσημβρίαν, ἢ τὴν „ἄρκτον (342).

Τοῦτο ταυτὸν ἐστι τῷ εἴπερ ἠρώτα, πῶς ὁ Ἱστορικὸς ὁ περιληπτικῶς τι καθιστορήσας, δύναται μετὰ ταῦτα περιγράψαι λεπτομερῶς τὰ τότε αἴτια ἢ τὰς περιστάσεις; τοῦτο μὲν ποιοῦσι καθ' ἑκάστην οἱ ἔμπειροι συγγραφεῖς, διὰ τοῦτο δὲ διαφέλλεται ὁ Ἱστοριογράφ⊙ τῆ χρονογράφῳ. τοῦτο δὲ ἐστιν ὅπερ ἐποίησεν ὁ Μωϋσῆς. ὅθεν δὲ σαφέστερόν ἐστι, ἢ μᾶλλον συνδεδεμένον τε ἢ ἀνεπτυγμένον τῆς διηγήσεως, τῆς ἐν τῷ δεκάτῳ καὶ δωδεκάτῳ κεφαλαίῳ τῆς Γενέσεως. ταῦτα δὲ εἰσι καλὰ τὸν κακεντρεχῆ κριτικὸν σκότ⊙, καὶ γνόφ⊙, καὶ δυσκολίαι ἄλυτοι, „τοῖς μὲν συφοῖς ὅθεν ἄλλο καταλιμπάνουσαι καταφύγιον, „ἐ μὴ τὸ ὑποτίθεσθαι σφάλματα τῶν μεταγραφέων, τοῖς δὲ ἁπλουστέ„ροις τὸ μετὰ εὐλαβείας ὑποτάσσεσθαι.“

2. „Ἄλλο ζήτημα. Πῶς ἠδύνατο ὑπάρχειν τοσοῦτον ἀνθρώπων „πλῆθ⊙, ζῶντ⊙ ἔτι τῷ Νῶε;“

Λαλεῖ ὥσπερ ἂν εἰ ἀναγκαῖον ἦν εἰς τὸ ἀποδεῖξαι ἀληθεύουσαν τὴν τῷ Μωϋσέως διήγησιν, νοῆσαι, ὅτι ζῶντ⊙ ἔτι τῷ Νῶε, πάντα τὰ πλήθη ὅσα αὐτὸς κατ' ὄνομα καλεῖ τεταγμένα ἦσαν ἐν τοῖς διαφόροις τόποις ἐν οἷς αὐτὰ τοπίζει. καὶ ὥσπερ ἂν εἰ οὐκ ἐζήρκουν αἱ ἐν τῷ καιρῷ τῷ Νῶε πρῶται πατρίαι, ἐξ ὧν τὰ πλήθη ταῦτα παρήχθη, καὶ ἡ τούτων συνέργεια πρὸς τὴν τῆς χαλάνης σύγχυσιν. ὁ Μωϋσῆς ὀνομάσας πρῶτον τὰς μεταξὺ τῶν ἀπογόνων τῷ Νῶε χρηματίσαντας ἀρχηγὰς τῶν πατριῶν, ἐξ ὧν συνέστησαν οἱ ἀρχαῖοι λαοὶ, προσεπακολουθεῖ τῷ λόγῳ ταῦτα τὰ νομαδικὰ πλήθη ἄχρι τῶν τόπων, ἐν οἷς καλεσάθησαν καθ' ὃν καιρὸν αὐτὸς συνέγραφεν.

3. „Ἡ Γένεσις, φησὶ, τάττει τὸ παράδοξον τῆ πύργ⊙ τῆς χα„λάνης ἐγχείρημα ἔτη ἑκατὸν δεκα καὶ ἑπτὰ μετὰ τὸν κατακλυσμόν. „ἐὰν δὲ ὁ τῆς γένεως τῶν ἀνθρώπων πληθυσμὸς προήγετο κατὰ τὴν „τῆς σήμερον πρόοδον, οὐδὲ ἄνθρωποι Ἱκανοὶ, οὐδὲ καιρὸς ἦν ἀποχ-

„ῶν

„ρῶν τῇ εὑρέσει τῶν ἀναγκαίων τεχνῶν, ὧν τὴν χρῆσιν ἀπαιτεῖ ἡ τοιαύτη ἀπεράντου ἔργου ἐκπλήρωσις."

Πάνυ ὀλίγον τῆς φιλοσοφίας μετέχει ὁ παραβάλλων τὴν ὁρωμένην τὴν σήμερον τῆ πληθυσμῷ πρόοδον τῇ ἐπακολουθήσῃ, ὅτε οἱ ἄνθρωποι ἔζων ἔτη τετρακόσια, ἢ πεντακόσια. ἢ ἐπέκεινα, ὡς μανθάνομεν ἢ μόνον ἐκ τῆς Μωϋσέως, ἀλλὰ ἢ ἐκ τῶν θύραθεν συγγραφέων, οἷον τῆς Μανεθῶνος, τῆς Βηρωσσοῦ, τῆς Μώχου, τῆς Ἑσιαίου, τῆς Αἰγυπτίου Ἱερωνύμου, τοῦ Ἡσιόδου, τῆς Ἑκαταίου, τῆς Ἑλλανικοῦ, τῆς Ἀκουσιλάου, τῆς Ἐφόρου, τῆς Δαμασκηνοῦ, Νικολάου ὧν ὁ Ἰώσηπος μέμνηται. αἱ μὲν κατὰ πάντα ἀναγκαῖαι τέχναι εὑρέθησαν πρὸ τοῦ κατακλυσμοῦ. ὁ δὲ Νῶε ἢ ὁ οἶκος αὐτοῦ, ἢ μόνον τὴν τούτων μνήμην διέσωσαν, ἀλλὰ καὶ τῶν ὀργάνων ἐπεμελήθησαν, δι' ὧν τὴν Κιβωτὸν, ἐν ᾗ κατέφυγον, κατὰ τὰς δοθείσας αὐτοῖς διαμετρήσεις ᾠκοδόμησαν. Γε, 11. 11.

4. „Πᾶσα ἡ γῆ ἠγνόησε τὸ τέρας τοῦ ἐν χαλάνῃ πύργου. Ἰώσ. β. 1. κ. 4. Ἀρχ.

Τοιαύτη ἐστὶν ἡ τοῦ κριτικοῦ ἀπόφανσις. Ἀκούσωμεν τί περὶ τούτου λέγει ὁ Ἀβυδηνὸς ἐν τῷ ἀποσπάσματι τῆς περὶ τῶν Ἀσσυρίων Ἱστορίας, τῷ ὑπὸ Εὐσεβίου διατηρηθέντι. „Ἐν τοῖς δ' οἱ λέγουσι, τοὺς „πρώτους ἐκ γῆς ἀναφύντας, ῥώμῃ τε καὶ μεγέθει καυνωθέντας, καὶ „δὴ Θεῶν καταφρονήσαντας ἀμείνονας εἶναι, πύργων τύρσιν ἠλίβατον ἀείραν, ἵνα νῦν Βαβυλὼν ἐστιν. ἤδητε ἄσσον εἶναι τοῦ οὐρανοῦ. „καὶ τοὺς ἀνέμους Θεοῖσι βωθεούλας ἀνατρέψαι περὶ αὐτοῖσι τὸ μηχάνημα. τὰ δὴ τὰ ἐρείπεα λέγεσθαι Βαβυλῶνα. τέως δὲ ὄντας ὁμογλώσσους, ἐκ Θεῶν πολύφθορα φωνὴν ἐνείκασθαι." Τὸ αὐτὸ εὑρίσκομεν ἐν ταῖς τοῦ Ἀτραπανοῦ, καὶ Εὐπολέμου ῥήσεσι, ταῖς ὑπὸ τοῦ αὐτοῦ Εὐσεβίου ἐκτεθείσαις, καὶ ἐν τοῖς λεγομένοις τῶν Σιβυλλῶν χρησμοῖς, οἷς ἐπὶ Ἰωσήπου περιφερομένοις. ὅπερ δὲ οἱ παλαιοὶ οὗτοι συγγραφεῖς τοσοῦτον ἐκπεφασμένως μαρτυροῦσιν ἐπιβεβαιοῦται διὰ τοῦ ὀνόματος Βαβὲλ, τοῦ ἐν τῇ τῆς Βαβυλῶνος προσηγορίᾳ διατηρηθέντος, καὶ διὰ τῶν ῥημάτων τῶν ἀρχαιοτέρων Ἑλλήνων ποιητῶν περὶ τοῦ κατὰ τοῦ οὐρανοῦ ἐγχειρήματος τῶν Γιγάντων. τὸ τέρας ἄρα τὸ ἐν χαλάνῃ πύργου οὐκ ἠγνόησε πᾶσα ἡ γῆ, ἀλλὰ γνωσὸν ἦν τῇ Ἀνατολῇ καὶ Δύσει. Εὐσ. β. 9. κ. 15, 17, 18. Εὐαγγ. προπ. Ἰώσ. β. 1. κ. 5. Ἀρχ.

ΆΡΘΡΟΝ ς'.

Περὶ τῦ χρόνου τῆς προσκλήσεως τῦ Ἀβραὰμ, ϗ τῆς ὑποκρίσεως αὐτῦ πρὸς τὸν Βασιλέα τῆς Αἰγύπτυ.

1. Πορευσώμεθα πρὸς τὰς περὶ τῆς Ἰσοφίας τῦ Ἀβραὰμ δυσκολίας. ἰδοὺ ἡ τύτων πρώτη. Ἐκ τῦ Ἱῆς Γραφῆς ῥητῦ δῆλον ἔοικεῖ τὸ „ἑξῆς. Ἐπειδὴ ὁ Θάῤῥα ἐγέννησε μὲν τὸν Ἀβραὰμ ἑβδομηκοντύτης Γεν. 11. 34. „ὢν, ἀπέθανε, δὲ ἐν τῷ διακοσιοςῷ πέμπτῳ ἔτει τῆς ἡλικίας αὐτῦ, „ὁ Ἀβραὰμ ἄρα, ὅτε κατέλειπε τὴν Μεσοποταμίαν, ἣν ἐτῶν ἑκατὸν Γεν. 12. 4. „τριακονταπέντε, ὐχὶ δὲ ἑβδομηκονταπέντε. ὁ ἁγιος Στέφανος ἐπε„ται τύτῳ τῷ ἀναλογισμῷ ἐν τῇ πρὸς Ἑβραίυς ὁμιλίᾳ αὐτῦ." (343)

Ὁ ἐν ἁγίοις Στέφανος φησίν. Ὁ Ἀβραὰμ μετὰ τὸν θάνατον τῦ πατρὸς αὐτῦ κατέλειπε τὴν Μεσοποταμίαν, ὐχὶ δὲ, ὁ Ἀβραὰμ ἦν τότε ἐτῶν ἑκατὸν τριακονταπέντε, ἀλλ' ὐδὲ, ὁ Θάῤῥα ἦν ἐτῶν Κ. 4. Ἀριθ. 1. τῆς ὑπερασ. τῆς Διαθ. διακοσίων ϗ πέντε, ὅτε ἐτελεύτησε. Πρὸ ἐτῶν δὲ δώδεκα ϗ ἐπέκεινα ἀπεκρίθην τῷ κριτικῷ, ϗ εἶπον. „Ἡ Γένεσις ἐν τῷ ἑβραϊκῷ τῶν „Σαμαρειτῶν τεύχει ἀπονέμει τῷ Θάῤῥᾳ ἔτη ζωῆς μόνα ἑκατὸν τεσσα„ρακονταπέντε." αὐτη δὲ ἡ ἀνάγνωσις ἐξαφανίζει πᾶσαν δυσκολίαν. Πρέπον ὖν ἦν αὐτῷ ἀντὶ τῦ ἐπαναλαβεῖν ἐνταῦθα τὴν ἑαυτῦ ἔνσασιν, ἀντιπολεμῆσαι τὴν ἀπόκρισιν, ϗ δεῖξαι, ὅτι αὕτη μὲν ἡ ἀνάγνωσις τῦ Σαμαρειτικῦ ὕφους ὐκ ἔσιν ἡ πρωτότυπος, τὸ δὲ Ἰουδαϊκὸν τεῦχος τὸ ἀσύμβατον ἑαυτῷ, προτιμητέον, ἐσὶν ὧδε τῦ Σαμαρειτικῦ, ἐν ᾧ ὁ καιρὸς τῆς τῦ Ἀβραὰμ γεννήσεως, ϗ ὁ τῆς ἀπελεύσεως αὐτῦ ἀπὸ τῆς Μεσοποταμίας συμφωνῦσιν ἐντελῶς τῷ χρόνῳ τῆς τῦ Θάῤῥα τελευτῆς. δεῖξαι δὲ προσέτι ϗ τὸ, ὅτι τὸ δοκῦν φανερὸν σφάλμα ἐν τῷ Ἰουδαϊκῷ τεύχει ὐκ ἠδύνατο προελθεῖν ἀπὸ τῆς κατὰ παράδρομὴν τῦ μεταγραφέως γενομένης μεταβολῆς τῦ ἀριθμητικῦ σημείυ μεν, ὅπερ δηλοῖ 40, ϗ εἰς τὸ κοφ, τὸ ἐμφαῖνον ἑκατὸν, ϗ πολλὴν ἔχον τῷ μεν τὴν ὁμοιότητα. ἀλλ' ἤθετο ὕτος, ὅτι ἐν τύτῳ ὐκ ἦν Ἱκανὸς παραβαλεῖν ἑαυτὸν ὐδὲ τῷ Βοχάρτῳ τῷ πρώτῳ τὰς περὶ τύτυ παρατηρήσεις ποιήσαντι ἐν τῇ ἱερᾷ αὐτῦ Γεωγραφίᾳ, ἀλλ' ὐδὲ κἂν ἀνδρὶ ἐπιπόλαιον ἰδέαν ἔχοντι τῆς κριτικῆς ἐπιςήμης.

2. „Ἀπὸ τῆς χαῤῥὰν, φησὶν, ἄχει τῆς Χαναὰν εἰσὶ λέγαι δια„κόσιαι.

Κ. 16. τῆς περὶ τὴν ἱσορ. Φιλοσ. Ἐδιπλασιάθη, ὡς φαίνε). ἡ ὁδὸς ἐξότυ αὐτὸς συνέγραψε τὴν περὶ τὴν Ἱσορίαν φιλοσοφίαν αὐτῦ. διότι τότε ἐκεῖθεν ἄχει τῆς Σηχὲμ ἐμέτρε

μόνα

μόνα μίλλια τριακόσια, ἅπερ συνιςῶσι μόνον ἑκατὸν λέγας. τῶ ὄντι δὲ οὐδὲν πλέον τούτων ἐςιν.

3. Ἀλλ' ἰδοὺ ἄλλο τι πάντῃ διαφέρον· Ἀναγινώσκομεν ἐν τῇ Γενέσει, ὅτι ὅτε ὁ Ἀβραὰμ ἦλθεν ἕως Σηχὲμ, τότε οἱ χαναναῖοι κατώκουν τὴν γῆν ταύτην. „Δοκεῖ, φησὶν αὐτὸς, ὅτι οἱ χαναναῖοι δε„διωγμένοι ἦσαν ἐξ αὐτῆς τῆς γῆς, ὅτε ὁ ἱερὸς συγγραφεὺς συνέ„γραφεν. Γεν. 12. 6.

Ἐὰν ἐγὼ ἔλεγον, ὅτι ὁ χριςιανισμὸς ἐςηρίχθη ἐν τῇ Γαλλίᾳ. ὅτε οἱ Φράγγοι αὐτὴν ἐκτήσαντο, ἠκολούθει ἄρα τὸ, ὅτι μετὰ ταῦτα ὁ χριςιανισμὸς ἐξώσθη; ὁ Μωϋσῆς λέγει· ὅτε ὁ Ἀβραὰμ ἦλθε κατοικῆσαι ἐν τῇ Σηχὲμ, οἱ Χαναναῖοι κατώκουν τότε τὴν γῆν. οὐδεμίαν δὲ λαβὴν παρέχει νοῆσαι, ὅτι ὁ λαὸς οὗτος οὐκ ἦν ἔτι ἐκεῖ, ὅτε αὐτὸς συνέγραφεν.

4. „Ἄλλη δυσκολία. Τὸ πολίτευμα τοῦ Ἀβραὰμ αὐςηρῶς κα„τακέκριθ, ὅμως ὁ ἅγιος Αὐγουςῖνος ὑπερασπίσθη αὐτοῦ ἐν τῷ κατὰ „τοῦ ψεύδους βιβλίῳ αὐτοῦ.

Ἐπειδὴ ὁ Ἀβραὰμ δεδικαίωται ὑπὸ τοιούτου ἀνδρὸς, οἷός ἐςιν ὁ ἅγιος Αὐγουςῖνος, ἔξεςι περιφρονῆσαι τὰς τῶν δοκούντων φιλοσόφων κατακρίσεις. ἀλλ' ὁ μὲν πατὴρ οὗτος ἀσύμβατος ἦν τῷ ψεύδει, ἡ δὲ Σάῤῥα οὐκ ἐψεύσθη, εἰποῦσα, ὅτι ἦν ἀδελφὴ τοῦ Ἀβραάμ. διότι ἀληθῶς ἦν ἀδελφὴ αὐτοῦ ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρὸς, ὡς ὁ Ἀβραὰμ ἀλλαχοῦ δεδήλωκε. τὰ δὲ τοῦ καιροῦ ἐκείνου δόγματα ἐπέτρεψαν αὐτῷ λαβεῖν αὐτὴν εἰς γυναῖκα. Γεν. 20. 12.

5. „Ἐξιςᾷ αὐτὸν ἡ Σάῤῥα, γυνὴ μὲν οὖσα ἡ τοῦ κεραμέως, καὶ ἑ„ξηκονταπεντούτης, διανύσασα δὲ τὴν πρὸς τὴν Αἴγυπτον ὁδοιπορίαν „πεζὴ, ἢ τὸ πλεῖςον εἰπεῖν, ἐπὶ ὄνου καθεζομένη, φανεῖσα δὲ τοσοῦ„τον ὡραῖα πᾶσι τοῖς ἐν τῇ βασιλείῳ αὐλῇ τῆς Αἰγύπτου.

Ἀνήκει ἄρα ἡ ὡραιότης τῇ τοῦ κεραμέως νύμφῃ, ἢ τῇ ὡραίᾳ γυναικὶ τὸ ἐπὶ ὄνου ὁδοπορεῖν; οὐδὲ αἱ ἐν Αἰγύπτῳ δέσποιναι πλέον ἤπερ ἡ Σάῤῥα ἐφ' ἁμάξης ὡδοιπόρουν. ἀλλὰ τὸ μηδέποτε ὑπ' αὐτῶν ἐγκαταλειπόμενον κάλυμμα ἠμύνετο αὐτὰς ἀπὸ τῆς ἡλιακῆς καύσεως. ἐν οὐδενὶ δὲ ἀξιομνημονεύτῳ ὑπομνήματι εὕρηται ὁ Ἀβραὰμ υἱὸς κεραμέως. (344) ἀληθῶς δὲ ἡ Σάῤῥα ἑξηκονταπεντούτης ἦν, ὅτε ἐπορεύετο εἰς τὴν Αἴγυπτον. ἀλλ' ἀνασκευάζων τὴν αὐτὴν ἔνςασιν, τὴν καὶ ἐν ἄλλῳ τοῦ φιλοσόφου τούτου κειμένην πονήματι, ἐσημείωσα, ὅτι τὸ γῆρας, τὸ ἀρχόμενον ἱςαμένων τῶν ἑξήκοντα ἐτῶν, πολλῷ ὕςερον ἤρχετο ἐν τοῖς τοῦ Ἀβραὰμ χρόνοις, ἐν οἷς τὸ τῆς ἀνθρωπίνης ζωῆς μέτρον ἐπέκεινα τῶν ἑκατὸν εἴκοσι ἐτῶν παρετείνετο. ἡ Σάῤ- Ἐν. κ. 4. Ἄρθρῳ 1. τῆς ὑπερασπ. τῆς Διαθ.

ρα ἔζησεν ἔτη ἑκατὸν ξ εἰκοσιεπτά, ἑπομένως ἐφαίνετο, ἐπὶ πᾶσι διὰ τὸ μὴ τεκνοποιῆσαι, τοιαύτη, οἵαι ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις αἱ τριακονταέξ ἐτῶν ὄσαι γυναῖκες. τὸ δ' ὅτι γυνὴ ὡραία, ἐν εὐκράτῳ γεγεννημένη κλίματι, οἷόν ἐςι τὸ τῆς Μεσοποταμίας, ἐν τοιαύτῃ ὄσα καταςάσει, ἤρεσε τοῖς Αἰγυπτίοις, τοῖς ὁρῶσι μικρὰς μόνον τὰς ἀνάσημα, ἢ ὑπομέλανας, ξ ὡς ἐπὶ τὸ πλεῖςον δυσειδεῖς γυναῖκας, ὐδὲν παράδοξον. ἱκανὸν ἦν πρὸς ἀπάντησιν τῆς ἐνςάτεως ταύτης εἷς μόνος λόγος. Ἀλλ' αὐτὸς ἐνόμισεν, ὅτι συμφέρει αὐτῷ, ἐπ' ἄλλο τι ἐπιῤῥίψαι ἑαυτόν.

„Ἡμεῖς, φησὶν, ὀψόμεθα τὴν Σάῤῥαν μετὰ πολλὸν χρόνον διά„σημα, εἴτουν ἐν τῷ ἐννενηκοςῷ ἔτει τῆς ἡλικίας αὐτῆς, ἁρπαζομέ„νην ὑπ' ἄλλου τινὸς Βασιλέως.

Ἀλλὰ τότε ἡμεῖς ἀποςελοῦμεν αὐτὸν πρὸς τὴν ἀπόκρισιν τῶν ἐπιςολῶν τῶν Ἰουδαίων συγγραφέως (345).

ΑΡΘΡΟΝ Ζ'.

Περὶ τῆς ἐπιςροφῆς τοῦ Ἀβραὰμ ἐν τῇ γῇ Χαναὰν, καὶ τῆς ἰσχύος τῶν ὑπ' αὐτοῦ πολεμηθέντων Βασιλέων.

1. „Τρίτη δυσκολία. Ἐπειδὴ ὁ Ἀβραὰμ ἐπέςρεφεν ἀπὸ τῆς Αἰγύ„πτου εἰς τὴν Χαναὰν, δῆλόν ἐςιν, ὅτι ἀνέβαινε κατ' εὐθείαν πρὸς „Βαῤῥὰν, οὐχὶ δὲ πρὸς Μεσημβρίαν. (346) ἀλλ' αἱ τοιαῦται μικραὶ „παραδρομαὶ, αἱ ἐνδεχομένως ἀνήκουσαι τοῖς μεταγραφεῦσιν, οὐδὲν „ἀφαιροῦσι τῆς τοῦ ἱεροῦ συγγραφέως ἀληθείας.

Ἐν τούτῳ οὐκ εἰσὶ παραδρομαὶ τῶν μεταγραφέων, ἀλλὰ παχυλὸν σφάλμα τοῦ δοκοῦντος μὲν κριτικοῦ, μὴ διακρίνοντος δὲ ὅτι τὸ τῆς Γενέσεως ῥῆμα, πρὸς μεσημβρίαν, σημαίνει τὸν ἀρκτικὸν πόλον, πρὸς ὃν ὁ Ἀβραὰμ τὰ νῶτα ἔςρεφεν, ἐπιςρέφων ἀπὸ τῆς Αἰγύπτου, ἀλλὰ τὸ μεσημβρινὸν μέρος τῆς γῆς χαναὰν, πρὸς ὃ ἐπορεύετο.

2. „Ἐπίσης διακριτικὸν ἐμφαίνει ἑαυτὸν ὁ φιλόσοφος, διισχυ„ριζόμενος, ὅτι ὁ Ἀβραὰμ υἱὸς ὢν κεραμέως, ἕτερον χρυσίον οὐκ ἠ„δύνατο ἔχειν, εἰμὴ τὸ δοθὲν αὐτῷ παρὰ τοῦ Βασιλέως τῆς Αἰ„γύπτου.

Ἀλλ' οὐκ ἠδύνατο ἆρα ἔχειν χρυσίον, κύριος ὢν πολυαρίθμων ποιμνίων, ἅτινά εἰσι πηγὴ πλούτου ἀνεξαντλήτου;

3. „Ἐπειδὴ, φησὶν, ἦν τις μέγας Βασιλεὺς τῆς Αἰγύπτου, ἦ„σαν ἄρα ἐνδεχομένως μεγάλοι οἱ Βασιλεῖς τοῦ Σεναὰρ, τοῦ Πόντου, τῆς Περσίας, καὶ ἄλλων ἐθνῶν.

Μα-

Μακρὰν μὲν προάγομεν τὸν περὶ τῶν ἐνδεχομένων λόγον, δυσκόλως δὲ καταντῶμεν ἀπὸ τῶν ψιλῶς ἐνδεχομένων ἐπ' αὐτὰ τὰ πράγματα. Πόθεν αὐτὸς γινώσκει, ὅτι ὁ Βασιλεὺς τῆς Αἰγύπτου, πρὸς ὃν ὁ Α'βραὰμ κατέφυγεν ἦν μέγας Βασιλεύς; ἠγνόει ἄρα, ὅτι ἐπὶ Α'βραὰμ μεμερισμένη ἦν ἡ Αἴγυπτος εἰς τέσσαρας δυναστείας, διοικουμένας ὑπὸ Βασιλέων ἀνιόντων κατὰ σειρὰν ἄχρι τοῦ Μήνη, ὅσις ὁ αὐτός ἐστι τῷ Μεσραΐν, ἐγγόνῳ τοῦ Νῶε, τῷ οἰκητόρων πληρώσαντι τὴν Αἴγυπτον, ᾗ ὄντι αὐτῇ τὸ ὄνομα αὐτοῦ; αὗται αἱ τέσσαρες δυναστεῖαι, ἐκ τοῦ Μανεθῶνος, ᾗ Ἐρατοσθένους, ἢ παλαιῶ τινος χρονικῶ τῆς Αἰγύπτου ληφθεῖσαι, κεῖνται ἐν τῇ τοῦ Συγκέλλου χρονογραφίᾳ, (347) κὰν τῷ τοῦ Μαρχάμου χρονικῷ κανόνι. ὁ Βασιλεὺς, ὁ τὸν Α'βραὰμ ὑποδεξάμενος, ἐφ' ἓν μόνον τῆς κάτω Αἰγύπτου μέρος ἐβασίλευσεν, ἐν Τάνει διάγων, ὡς ἀνωτέρω ἔδειξα. οὐκ ἦν ἄρα ἴσοστον μέγας Βασιλεύς. Γεν. ια. 6. Β. 6. κ. 5. Αριθ. 3. Αριθ. 1.

Α'λλ' ἐνδιατρίψωμεν ἔτι ἐν ταύτῃ τῇ συνεπείᾳ. „Ἦσαν ἄρα ἐν„δεχομένως μεγάλοι οἱ Βασιλεῖς ᾗ τοῦ Σεναὰρ, ᾗ τοῦ Πόντου, ᾗ τῆς „Περσίας.

Περὶ μὲν τοῦ ἀπολύτως ἐνδεχομένου συγκαταθέμεθα, ἀνάγκη ὁμως ἐστὶ συγκατατεθῆναι ὁμοίως ἢ περὶ τοῦ, ὅτι ἐπίσης ἐνδεχόμενόν ἐστι τοὺς τοὺς Βασιλεῖς τοῦ Σεναὰρ, τοῦ Ἐλὶμ, τοῦ Ἐλασὰρ· οὕτω προσαγορεύει αὐτοὺς τὸ τῆς Γραφῆς ὕφος· μικρούς τινας εἶναι ἡγεμόνας. ἀπέδειξα ἐν τῇ ὑπεραπίσει τῶν βιβλίων τῆς παλαιᾶς Διαθήκης, ὅτι τοῦτο μὲν ἐνδεχόμενόν ἐστιν, ἀδύνατον δὲ τὸ, τέσσαρας Βασιλέας ὁμοῦ ἔχειν ὑπὸ τὴν ἐξουσίαν αὐτῶν μόνον ὀγδοήκοντα λέγας γῆς, κατὰ μῆκος κειμένης τῆς πρὸς τὰς ἐκβολὰς τοῦ Τίγρεως ᾗ Εὐφράτου ὁδοῦ. ἴδε ὃν τὸ παράδοξον· τὸ ἁπλῶς ἐνδεχόμενον γίνεται ἐν τῷ τοῦ κριτικοῦ καλάμῳ ἀληθινὸν ἢ βέβαιον. „ἐπὼν γὰρ τὸ, ἐνδεχομέ„νως ἦσαν, ἐπάγει εὐθὺς χωρὶς τινος ἀποδείξεως· Παράδοξον φαί„νεται, τοὺς τοσοῦτον ἰσχυροὺς, ᾗ τοσοῦτον μακρὰν ἀλλήλων ἀφεστηκό„τας μονάρχας ἐνωθῆναι κατὰ τῶν ἀρχηγῶν πέντε μικρῶν χωρίων, „κειμένων ἐν γῇ ξηρᾷ, ᾗ ἀγρίᾳ, ᾗ ἐρήμῳ. Γεν. ιο.

Ἐνίσαμαι εὐθὺς κατὰ τοῦ ὅτι οἱ τέσσαρες συνωμόται Βασιλεῖς ἦσαν τοσοῦτον ἰσχυροὶ μονάρχαι. τὸν δὲ τῆς ἐμῆς περὶ τούτου ἀμφιβολίας λόγον ἤδη εἴρηκα. εἶτα ἀρνοῦμαι τὸ τὰ Σόδομα, ᾗ τὰς τέσσαρας ἄλλας πόλεις χωρία εἶναι ἐν ἐρήμῳ κείμενα. δείξω δὲ τὸ ἐναντίον ἐπειδὰν καταντήσωμεν εἰς τὴν κατὰ τῶν Σοδόμων καταστροφήν.

„Α'λλ' ἰσχυροὶ μονάρχαι ἦλθον τοσοῦτον μακρόθεν;

Α'λλ'

Ἀλλ' ἄραγε αἱ πλησίον τῆς συμβολῆς τοῦ Εὐφράτου καὶ Τίγρεως ὄχθαι πάνυ μακρὰν ἀφεστήκασιν ἀπὸ τῆς ἐρήμου Ἀραβίας, καθ' ἧς εὐθύνετο ἡ τῶν συνωμοτῶν Βασιλέων ἐκστρατεία; οὐχ ὁρῶμεν εν τῷ τοῦ Ἰὼβ βιβλίῳ, ἔργω παλαιᾶς ἀρχαιότητος, καὶ κατ' αὐτὴν τὴν τοῦ κριτικοῦ ἐπίκρισιν, τοὺς τὴν Χαλδαίαν κατοικοῦντας, (348) διερχομένους τὴν ἔρημον, ἵνα ἐν τοῖς ὁρίοις τῆς Ἰδουμαίας λαφυραγωγήσωσιν, ὅπερ ἐστὶν ἐν τῷ πλησίον τῶν Σοδόμων νομῷ, καὶ τῶν ἄλλων πόλεων, πρὸς ἃς παρενέβαλλον οἱ συνωμόται Βασιλεῖς; ἀνωτέρω εἰς μέσον ἤγαγον τὴν μαρτυρίαν τοῦ κυρίου Ἀγκουετιλίου Δου-Περόνου, εἰπόντος, ὅτι ἐν τῇ Ἀνατολῇ διέρχονται τριακοσίας λεγας, ὥσπερ ἐν τῇ Γαλλίᾳ πεντήκοντα.

4. Ζητεῖται, φησὶ, πῶς ὁ Ἀβραὰμ μὴ ἔχων ἐν τῷ τόπῳ τούτῳ οὐδὲ βῆμα ποδὸς γῆς, εἶχε πολυαρίθμους οἰκειακοὺς, ὥστε ἐξελέ-
Γεν. 14. 14. „ξασθαι ἐξ αὐτῶν τριακοσίους δέκα καὶ ὀκτώ;

Εὔκολος ἡ ἀπόκρισις. Κατ' ἐκείνους τοὺς καιροὺς, τοὺς πλησίον ἔτι ὄντας τοῦ κατακλυσμοῦ ἦν ἐν τῇ Συρίᾳ, ὥσπερ καὶ ἀλλαχοῦ, πολλὴ γῆ ἀδέσποτος καὶ ἀγεώργητος, ἧς ἡ χρῆσις ἐγκαταλελειμμένη ἦν τῆς ποιμέσι. τοιαύτη δὲ ἐστιν ἄχρι τῆς σήμερον ἡ κατάστασις πολλῶν μικρῶν ἡγεμόνων Ἀράβων, οἵτινες μὴ ἔχοντες στερεὰν κατοικίαν, περιέρχονται μετὰ πολλοῦ ὄχλου ἐν τῇ τοῦ Σουλτάνου γῇ ἀπὸ τῆς Αἰγύπτου ἄχρι τῆς Ἀσσυρίας.

5. „Ἄλλο ζήτημα· Πῶς διὰ δρακὸς δούλων διέφθειρε στρατεύ-„ματα τοσοῦτον ἰσχυρῶν Βασιλέων;

Οὗτοι οἱ Βασιλεῖς οὐκ ἦσαν τοσοῦτον ἰσχυροὶ, ὅσον αὐτὸς ὑποτί-
Γεν. 14. 15. θεται. Ὁ Ἀβραὰμ διὰ στενῶν τόπων παρενέβαλε τὴν νύκτα, ὅτε οἱ συνωμόται Βασιλεῖς ἀσφαλῶς ἡσύχαζον. τελευταῖον δὲ εγνώρισε τὰς ἁρμοδίους περιστάσεις εἰς τὸ ἀναχωρῆσαι μετὰ τὸ παραλαβεῖν Λὼτ τὸν ἀνεψιὸν αὐτοῦ, καὶ λαφύρων μέρος.

6. „Τρίτον ζήτημα. Πῶς κατεδίωξεν ὀπίσω τούτων τῶν Βασι-„λέων ἕως Δάν τῆς τότε μήπω ὠκοδομημένης;

Ἦν αὐτὸς ὑποσημαίνει δυσκολίαν, οὐδόλως φοβοῦμαι ἀνακαλύψαι. Ὁρῶμεν ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τοῦ βιβλίου τῶν Κρι-
Κριτ. 18. 11. τῶν ἑξακοσίους ἄνδρας ἐκ τῆς φυλῆς Δὰν ἐζωσμένους σκεύη παρατάξως, διελθόντας πᾶσαν τὴν Παλαιστίνην, καταλαβόντας τὴν ὑπὸ τοὺς Σιδωνίους πόλιν Λαισὰ λεηλατήσαντας αὐτὴν, καὶ κατακαύσαντας, εἶτα ἀνακαινίσαντας, καὶ προσαγορεύσαντας Δάν. ἡ πόλις ἄρα Δάν. οὐχ ὑπῆρχε, κἂν γοῦν οὕτω καλουμένη, οὐδὲ ἐπὶ Ἀβραὰμ, οὐδὲ ἐπὶ Μωϋσέως, οὐκ ἀντεισήχθη τὸ ἀντὶ τῆς παλαιᾶς Λαίσης, εἰ-

μὴ

μὴ μετὰ τὴν τ῀ Ἰησ῀ τελευτήν. ἐὰν δὲ βέβαιον ὑπῆρχε τὴν τοποθεσίαν τῆς Δὰν, περὶ ἧς λαλεῖ ἡ Γένεσις, τὴν αὐτὴν εἶναι τῇ πόλει τῇ ἀνεγερθείσῃ ὑπὸ τῶν ἐκ τῆς Φυλῆς τ῀ Δὰν κατὰ συγκυρίαν ἐκστρατευσάντων στρατιωτῶν, τότε οὐκ ἔπεται, τὴν νίκην τ῀ Ἀβραὰμ πλάσμα εἶναι, μηδὲ τὸ τῆς Γενέσεως βιβλίον μετὰ τὴν τ῀ Ἰησ῀ τελευτὴν γραφῆναι, ἀλλὰ μόνον τὸ, ἕνα τῶν μεταγραφέων, τῶν ασυδαζόντων μεταγράφειν τὴν Πεντάτευχον πρὸς χρῆσιν τῶν Ἰουδαίων ἀντικαταστῆσαι τὸ νεώτερον ὄνομα τ῀ τόπου, ἐν ᾧ ἐγγὺς ὢν ὁ Ἀβραὰμ εἰώθει τὸς συνωμότας Βασιλεῖς, ἀντὶ τ῀ παλαιοῦ, δι᾽ ὃ ὁ τόπος ἦτος, καθ᾽ ὃν καιρὸν αὐτὸς ἔγραφεν, οὐκέτι ἐγνωρίζετο, θέμενον τὸ τῆς Δὰν ὄνομα. ἀντὶ τ῀ τῆς Λαΐσης, τ῀ ἐν τοῖς παλαιοῖς τεύχεσι κειμένου (349) Ἀλλὰ ποίαν ἔχομεν βεβαιότητα περὶ τ῀ τὴν ἐν τῇ Γενέσει Δὰν αὐτὴν εἶναι τῇ ἐπὶ τῶν Κριτῶν ἀνεγερθείσῃ πόλει Λαΐσᾳ; οὐκ ἦν ἄρα δυνατὸν ἐπὶ Μωϋσέως, ὡσαύτως ᾗ ἐπὶ Ἀβραὰμ, ὑπάρχειν ἐν τῇ γῇ, ὅπου αἱ πρῶ῀ τ῀ Ἰορδάνου πηγαὶ, τόπον ὀνομαζόμενον Δὰν, ἐξ ὃ τὸ τ῀ ποταμοῦ ὄνομα παρήχθη; τοῦτο ἦν ἴσως τ῀ ἁγίου Ἱερωνύμου φρόνημα. ὅτι δὲ πολλοὶ τόποι ησαν ἐν τῇ Παλαισίνῃ τῇ Δὰν συνώνυμοι, ἀποδείκνυσι τὸ τ῀ Ἰησ῀ βιβλίον, (350) τάττων πόλιν τινα Δάννα ἐν τοῖς ὄρεσι τῆς Ἰουδαίας. Οὐδὲν ἄρα ὀρθὸν συμπεραίνει ἡ ὑπὸ τ῀ ἡμετέρου φιλοσόφου ἀναθερμαινομένη τῶν ἀπίστων ἔνστασις.

7. Ἐνταῦθα δηλοποιεῖ ἡμῖν ἦτος ἔργον ἀνέκδοτον ἓ περίεργον, ὅπερ ἐστὶ τὸ, ὅτι εἶχεν ἐν τῇ Ἰουδίᾳ ἀποκρισαρίους, ἐπιτεταγμένους μαθεῖν τὸ, ἐὰν ὁ Ἀβραὰμ ἦν Ἰουδὸς, ᾗ ὁ τῶν Ἰουδῶν Βράμας. Ἐὰν δὲ λογίζη῀ αὐτὸν Χαλδαῖον, ὥσπερ φησὶν ἡ Γένεσις. ᾗ ὡς οἱ Σύροι, οἱ Ἄραβες, ᾗ πᾶσα ἡ οἰκουμένη ἐπίστευσε, τ῀το ποιεῖ μόνον ἐφοδιασικῶς. „Ἐνδεχομένως, φησὶν, οἱ τῆς Ἰουδίας περιηγηταὶ, οἱ „τὴν ἱερὰν τῶν παλαιῶν Βραχμάνων μανθάνοντες διάλεκτον, διδάξ„σιν ἡμᾶς πλέονα.

Τὸ περιμένειν τὴν τῶν Ἰουδῶν Βραχμάνων ἀπόφασιν περὶ πράγματος τοσ῀τον γνωσ῀, ὅσον ἐστὶν ἡ τ῀ Ἀβραὰμ πατρὶς, ἐστὶ τὸ προάγειν τὸ τῶν σκεπτικῶν φιλοσόφων δόγμα εἰς ὑπερβολήν.

ΆΡΘΡΟΝ, Η΄.

Περὶ τῆς Περιτομῆς

1. Ἐν τῷ δεκάτῳ ἑβδόμῳ κεφαλαίῳ τῆς Γενέσεως σεσημείωτ῀ ῥητῶς, ὅτι ὁ Θεὸς ὥρισε τὴν περιτομὴν τῷ Ἀβραὰμ, ᾗ τοῖς ἀπογόνοις Γεν. 17. 10.
αὐτ῀,

αὐτȣ̃, ὡς σημεῖον διακριτικὸν τῆς μεθ' αὐτȣ̃ γενομένης συνθήκης. ἀλλ' ὁ κριτικὸς διϊσχυρίζεται, ὅτι τȣ̃το ἀντίκειται πᾶσι τοῖς παλαιοῖς συγγραφεῦσιν, οἵτινες, κατ' αὐτὸν, συμφώνως λέγȣσιν, ὅτι εὑρεταὶ τῆς περιτομῆς εἰσὶν οἱ Αἰγύπτιοι, καὶ οἱ Αἰθίοπες.

Ηροδ. β. 2. σ. 147. τῆς ἐν Φραγγοφ. ἐκδ.

Πρῶτος ὁ Ἡρόδοτος εὑρετὰς τῆς περιτομῆς ἐχειροτόνησε τȣ̀ς Αἰγυπτίȣς. ἀλλ' ἔχομεν εἴκοσι καὶ δύω ἑβραϊκὰ βιβλία τȣ̃ Ἡροδότȣ παλαιότερα πάντα, ἢ σχεδὸν πάντα, λαλȣ̃ντα περὶ τῆς περιτομῆς, ὡς σφαγίδος τῆς συνθήκης, ἣν ὁ Θεὸς κατεδέξατο ποιῆσαι μετὰ τȣ̃ Ἀβραὰμ. ἀλλ' ἴσως ὁ κριτικὸς ȣ̀κ ἐγνώριζε παλαιȣ̀ς συγγραφεῖς, εἰμὴ τȣ̀ς θύραθεν. Ἔςω. Ἀλλ' ἰδȣ̀ εἷς πρεπόντως ἀνώτερος κατ' αὐτὸν, πάσης ἐξαιρέσεως, εἴτȣν ὁ Σαγχωνιάθων, ὃν τοσȣ̃τον ἐπῄνεσε, μηδὲ ἀναγνȣ̀ς τυχὸν, ἢ τȣ̀λάχιςον ἀναγνȣ̀ς ἀπερισκέπτως, τὰ ἐναπολειφθέντα τȣ́τȣ ἀποσπασμάτια, „Ὁ Σαγχωνιάθων ȣ̃ν, ὁ κατ' „αὐτὸν ἀναντιῤῥήτως γράψας πρὸ τῶν χρόνων, ἐν οἷς τάττȣσι τὸν „Μωϋσέα, ἐν τῷ ἀποσπάσματι, τῷ προβαλλομένῳ ὑπὸ Εὐσεβίȣ, ὡς κεκυρωμένῳ, λέγει· „Ὁ Κρόνος, ὁ τῆς Συρίας καὶ τῆς Φοινίκης Βα„σιλεὺς τὸν ἑαυτȣ̃ μονογενῆ υἱὸν ȣ̀ρανῷ πατρὶ ὁλοκαρποῖ, καὶ τὰ αἰ„δοῖα περιτέμνει, ταὐτὸ ποιῆσαι καὶ τȣ̀ς ἀμφ' αὐτῷ συμμάχȣς κατα„ναγκάσας. Ἰδȣ̀ ȣ̃ν ὁ ἐνεργῶν, καὶ διατάσσων τὴν περιτομὴν ἐςὶ, κατὰ τὸν Σαγχωνιάθωνα, Βασιλεὺς Σύρος, τὴν Φοινίκην οἰκῶν, καὶ τῆς Βύβλȣ κτίτωρ, μὴ παραλαβὼν τὴν τῆς περιτομῆς τελετὴν παρὰ τῶν Αἰγυπτίων, καὶ ταῦτα κατ' αὐτȣ̀ς τȣ̀ς πρώτȣς αἰῶνας. ȣ̀δεμία δὲ ἀνάγκη προτρέψαι τὸν προσεκτικὸν ἀναγνώςην εἰς τὸ παρατηρῆσαι, ὅτι τὰ τȣ̃ Σαγχωνιάθωνος ῥήματα θεμέλιον ἄλλο ἔχȣσιν ȣ̀δέν, εἰμὴ τὴν περὶ τȣ̃ Ἀβραὰμ ἱςορίαν μεταμεμορφωμένην εἰς τὸν Φοίνικα. Πρὸς τȣ́τοις αὐτὸ τὸ τȣ̃ Ἡροδότȣ περὶ τῆς εὑρέσεως τῆς περιτομῆς σφάλμα, καθ' ȣ̃ αὐτὸς ἀλλαχȣ̃ ἀντέςην, ὁδηγεῖ ἡμᾶς πρὸς τὴν ἀληθινὴν ἀρχὴν τῆς περὶ τὴν περιτομὴν τελετῆς, τοιαύτης ȣ̃σης, οἵα ἐν τῇ Γενέσει σεσημείωται. Λέγει μὲν ὁ Ἡρόδοτος, ὅτι οἱ ἐν τῇ Παλαιςίνῃ Σύροι παρέλαβον τὴν περιτομὴν παρὰ τῶν Αἰγυπτίων. (351) ἀληθῶς δὲ τὸ τῶν Ἰȣδαίων γένος, τὸ Αἰγύπτῳ συςαθὲν, μετέφερεν εἰς τὴν Συρίαν τὴν τῆς περιτομῆς συνήθειαν, κἂν ȣ̀ παρὰ τῶν Αἰγυπτίων, ἀλλὰ παρὰ τȣ̃ Ἀβραὰμ αὐτὴν παρέλαβεν. ȣ̀δὲν δὲ διορίζει περὶ τȣ̃ πότερον οἱ Αἰγύπτιοι, ἢ οἱ Αἰθίοπες πρῶτοι περιετμήθησαν. (352) διότι οἱ τȣ̃ Ἰσμαὴλ ἀπόγονοι, οἱ τȣ̃το τῆς Ἀραβίας κατοικȣ̃ντες τὸ μέρος τὸ ὑπὸ τῆς παλαιᾶς μὲν ἀρχαιότητος γνωριζόμενον τῷ τῆς Αἰθιοπίας ὀνόματι, ὑπ' αὐτȣ̃ δὲ τȣ̃ Ἡροδότȣ τῷ τῶν Αἰθιόπων τῆς Ἀραβίας, τῶν οἰκȣ́ντων τὴν Νίσην,

Σαμ. 2. εἰς τὴν Γεν.

Εὐσ. β. 1. κ. 10. Εὐαγγ. προπ.

Κ. 4, Ἀρθρ. 1. τῆς περιτομ. τῆς Λιαθ.

Ἡροδ. β. 3. σ. 201.

τὴν

τὴν τῷ Διονύσῳ καθιερωμένην, ἐν παντὶ καιρῷ περιετέμνοντο καθάπερ καὶ οἱ Ἰουδαῖοι, ὧν ἀπάργανον ἡ Αἴγυπτος. ὁ Ἡρόδοτος τοὺς μὲν Ἰσμαηλίτας ἐγνώριζε διὰ μόνου τοῦ ὀνόματος τοῦ τόπου, ἐν ᾧ διαπαντὸς κατώκουν. τοὺς δὲ Ἰουδαίους μόνῳ τῷ τῶν Αἰγυπτίων καὶ Σύρων διὰ τὸ τὴν τοῦ Ἰακὼβ οἰκίαν κατὰ συνέχειαν κατωκηκέναι τὴν Αἴγυπτον, καὶ τὴν Συρίαν. διὰ τὸν αὐτὸν δὲ λόγον λαλῶν περὶ τῆς τοῦ Νεχαὼ Βασιλέως Αἰγύπτου νίκης, τῆς ἐν Μαγεδὼ κατὰ τοῦ Βασιλέως τῆς Ἰουδαίας Ἰωσίου, λέγει. „Καὶ Σύροισι πεζῇ ὁ Νεκὼς συμβαλὼν ἐν Μαγδόλῳ ἐνίκησεν. 4. Βασ. 23. 29 Ἡροδ. β. 2. σ. 52.

Α' ΡΘΡΟΝ Θ'.

Περὶ τοῦ σφάλματος τοῦ κριτικοῦ τοῦ περὶ τῆς εἰς τὸν Ἀβραὰμ ἐμφανείας τῶν Ἀγγέλων.

1. Ἡ τῶν τριῶν Ἀγγέλων ἐμφάνεια πρὸς τὸν Ἀβραὰμ ἐνστάσεων τινῶν ἀφορμὴν παρέχει τῷ κριτικῷ, ὧν πρώτη, ἡ ἑξῆς. „Ἐνταῦθά εἰσι τρεῖς ἄνθρωποι, οὗτοι δὲ οἱ τρεῖς ἄνθρωποί εἰσι τρεῖς „Θεοί.

Πῦ ἐῤῥέθη, ὅτι οὗτοι οἱ τρεῖς ἄνθρωποι εἰσὶ τρεῖς Θεοί; ἑκάτερον τῶν ὧδε κειμένων ὀνομάτων Ιεχοβαχ καὶ Αδδωναϊ, ἐστὶν ἑνικόν. τὶ οὖν διελογίζετο ὁ κριτικὸς μεταφράζων οὕτω. „Κύριοι εἰ ἄρα „εὗρον χάριν ἐνώπιον τῶν ὀφθαλμῶν σου, μὴ παρέλθῃς πέραν τοῦ οἴ„κου τοῦ δούλουσου. Καὶ ἐπάγων, ἀλλ' ὁ Ἀβραὰμ οὐ λαλεῖ εἰμὴ μόνον „ἑνὶ, εἶτα ἅμα τοῖς τρισίν;

Ὁ Ἀβραὰμ πιστεύων, ὅτι βλέπει τρεῖς ἀνθρώπους ἐνώπιον αὐτοῦ, ἐνθύνει κατ' ἀρχὰς τὸν λόγον αὐτοῦ πρὸς ὃν ἔκρινε πρῶτον τῶν ἄλλων, εἶτα ὁμοῦ τοῖς τρισὶ προτείνει ἀναπαυθῆναι. πῶς οὖν ἀποδείκνυται, ὅτι ὁ Ἀβραὰμ, ὁ ἐν πάσῃ τῇ ὁμιλίᾳ αὐτοῦ μηδὲ ἅπαξ ἐκφωνήσας πληθυντικῶς τὸ τοῦ Θεοῦ ὄνομα, ἐγνώρισεν ἐνταῦθα τρεῖς Θεούς; Γεν. 18. 3.

2. Δευτέρα. „Τρία, φησὶ, σάτα ἀλεύρου συμποσοῦσιν ἴφι ἕν. ἐὰν „δὲ τὸ ἴφι περιέχει εἴκοσι καὶ ἐννέα πίντας, τρία σάτα ἀλεύρου συγκρο„τοῦσιν ὀγδοήκοντα καὶ ἑπτὰ πίντας (353).

Ἀνάγκη πάντως καθ' ὑπερβολὴν ἐσκοτισμένον εἶναι τὸν τοιουτοτρόπως σφάλλοντα. διότι, ἐὰν τὸ ἴφι, τὸ συγκείμενον, κατ' αὐτὸν, ἐκ τριῶν σάτων, περιέχῃ εἴκοσι καὶ ἐννέα πίντας, δῆλόν ἐστιν, ὅτι τὰ τρία σάτα. τὰ ἓν ἴφι συνιστῶντα, οὐ περιέχουσιν, εἰμὴ πίντας εἴκοσι καὶ ἐννέα. ἐκ τούτου ὅμως ἐξάγει αὐτὸς τό δε τὸ ὡραῖον συλλογιστικὸν ἐπιφώνημα. Θαυμάσιον πλῆθος ἄρτου.

3. Τρίτη. „Αὐτὸς ὁ Θεὸς ἐςὶν ὁ λαλῶν ϗ λέγων. Ἐγὼ ἐπα-„ναςρέψω ἰδεῖν ὑμᾶς, ἐὰν ζήσω.

Ἐὰν μὲν τῶν τῆς Βουλγάτης ῥημάτων vita comita, ζωῆς συμπαρομαρτούσης. ἐβούλετο ἀντέχεσθαι, ἠδύνατο μεταφράσαι αὐτὰ οὕτως. Ἐγὼ εὑρήσω ὑμᾶς ἑκατέρους ζῶντας. Ἐὰν δὲ ἀνελθεῖν ἤθελεν ἐν ταῖς πηγαῖς, ἀνάγκη ἦν μεταφράσαι οὕτως. Ἐγὼ ἐπαναςρέψω πρὸς ὑμᾶς ἔν τινι καιρῷ. (354) οὕτω δὲ μεταφράσας, οὐκ ἠναγκάζετο εἰπεῖν. „ὁ Θεὸς ἀκμὴν οὐκ ἐκοινολόγει ἑαυτὸν, εἰμὴ ὡς ἄνθρωπος.

4. Τετάρτη. „Ὁ κύριος Καλμέτος εὑρίσκει ὁρατὴν ὁμοιότητα „μεταξὺ τῶν συμβάντων τῷ Ἀβραὰμ, ϗ τῷ ἀγαθῷ Ὠριεῖ (355).

Γεωρ. Α'κεδ. Ἐπιγρ. Τ. 36. μερ. 2. σ. 7.

Τὰ αὐτὰ τῷ Καλμέτῳ ἔφη ὁ Μιλόρδος ὁ Μιγνῶτος. ὁ δὲ μετὰ προσοχῆς ἀναγινώσκων τὰ περὶ τούτου ὑπ' αὐτοῦ εἰρημένα ἐν τῷ περὶ τῶν Φοινίκων ὀγδόῳ αὐτοῦ πονήματι, μόλις δυνήσεται μὴ σύμφρων αὐτῷ γενέσθαι. ὁ δὲ ὑπ' ἐμοῦ ἀνασκευαζόμενος κυνικὸς μὴ αἰσχυνθεὶς, ἐξεφώνησε παχυλῶς ἅματε ϗ ἀηδῶς, ὅπερ ἡ σεμνότης τῷ Ὀβιδίῳ εἰπεῖν οὐκ ἐπέτρεψεν, εἰμὴ διὰ τῶν δὲ τῶν ῥημάτων. pudor est ulteriora loqui, αἰσχύνη ἐςὶ τὰ περαιτέρω λαλεῖν. μετὰ ταῦτα πρέπει ἄρά γε θαυμάζειν περὶ τῆς ἀναισχυντίας, δι' ἧς συκοφαντεῖ τὸν Καλμέτον, ὡς τάχα εἰπόντα, ὡς τὸ ὄνομα τοῦ Ὠριέως ἐςὶ τὸ τοῦ Ἀβραάμ; ὁ Μιγνῶτος ἐπαναλαβὼν ὅπερ ἔφη ὁ Καλμέτος, εἶπεν, ὅτι ἐν τῇ Φοινίκῃ ὠνόμαζον τὸν Ἀβραὰμ τῷ ὀνόματι τοῦ τόπου ἐν ᾧ ἐγεννήθη, εἴτουν Οὔριν, Οὐριέα, τουτέςιν ἄνθρωπον γεννηθέντα ἐν τῷ Οὔρ τῆς Χαλδαίας. τοῦτο δὲ τὸ πατριδωνυμικὸν ὄνομα μετενεχθὲν ἀπὸ τῆς Φοινίκης εἰς τὴν Ἑλλάδα, παρήγαγε τὸ τοῦ Ὠριέως. ἐὰν οὖν ἡ εἰκασία αὕτη ἄτοπος τυγχάνῃ, ςέργω συμμετέχειν τῆς κατὰ ταύτης ἑπομένης χλεύης.

Πβιδ. βι 6. Τ. ε.

5. „Ἡ τοῦ Θεοῦ, φησὶ, μετὰ τοῦ Ἀβραὰμ ὁμιλία, ϗ πᾶσαι αἱ „λεπτομερολογίαι μεγίςην ἐμφαίνουσιν ἁπλότητα. καθιςορεῖ ὁ συγ-„γραφεὺς, ὥσπερ ἂν εἰ παρῆν, πάντα τά τε γενόμενα, ϗ τὰ λεχ-„θέντα. ὑπὸ Θεοῦ ἄρα περὶ πάντων τούτων ἐφωτίσθη; πλὴν τοῦ τούτου, „οὐδὲν ἕτερον ἦν εἰμὴ μυθολόγος.

Ἐξ ὅλης καρδίας δέχομαι τὸ θείᾳ ἐμπνευσέει τὸν ἱερὸν συγγραφέα γράψαι πάντα ὅσα ἔγραψεν. οὐδέποτε ὅμως ἄχρι τοῦ δὲ ἤκουσα, ὅτι οὐδὲν ἕτερον δύναταί τις εἶναι, εἰμὴ μυθολόγος, ὅταν μὴ πεφωτισμένος ὢν ὑπὸ Θεοῦ, διηγεῖται λεπτομερῶς τὰ τῆς συνομιλίας, ἐν ᾗ οὐ παρῆν. ἀρκεῖ, ὡς ἔγωγε πείθομαι, πρὸς τὸ ϗ ἐν αὐταῖς ταῖς λεπτομερολογίαις ἀληθεύειν, τὸ εἰλικρινῶς τε ϗ ἐπιπόνως μετελθεῖν τὰ καλὰ ὑπομνήματα, ϗ τὰς ἐξηκριβωμένας διηγήσεις.

6.

6. Λαβὼν αὐτὸς ἀφορμὴν ἐκ τῆς ἐπαγγελίας τῦ Θεῦ, τῆς λεγύσης; „Καὶ ἐνδλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς, „λέγει. Οὐκ ἔστιν ἀληθὲς κατὰ τὸ γράμμα, τὸ ὅτι πάντα τὰ ἔθνη „τῆς γῆς κατάγονται ἐκ τῦ Ἀβραάμ. Γν. 18. 18.

Τὸ εὐλογηθῆναι διά τινος, καὶ διὰ τῆς διαδοχῆς αὐτῦ, ἡ σημαίνει κατὰ τὸ γράμμα τὸ κατάγεσθαι ἐξ αὐτῦ, ἀλλὰ τὸ δέχεσθαι ἐξ αὐτῦ τε καὶ τῶν ἀπογόνων αὐτῦ τὰς εὐεργεσίας καὶ χάριτας.

7. Ἔξεστιν, ἐπάγει ὁ αὐτὸς, εἰπεῖν, ὅτι ὁ χριστιανισμὸς ἐκ„ρύχθη οὐ τοῖς πλέοσι τῶν ἐθνῶν. ὁ δὲ χριστιανισμὸς παράγεται „ἐκ τῦ Ἰουδαϊσμῦ, ὁ δὲ Ἰουδαϊσμὸς ἐκ τῦ Ἀβραάμ.

Πρόσθες τὸ, καὶ ὁ Ἰησῦς Χριστὸς, ὁ τῦ χριστιανισμῦ αὐτουργὸς ἐν ᾧ πάντα τὰ ἔθνη εὐλογῦνται, κατάγεται κατὰ τὸ γράμμα ἐκ τῦ Ἀβραάμ.

8. „Ἀλλ' ἐπαναλαμβάνει ὁ αὐτὸς, πάντα τὰ ἔθνη τὰ μὴ δε„ξάμενα τὸν χριστιανισμὸν, οἷον Ἰάπονες, Σῖναι, Τάρταροι Τῦρκοι, „καὶ λογίζονται εὐλογημένοι.

Πολλοὶ Ἰάπονες, Σῖναι, Τάρταροι, Τῦρκοι ὠφελήθησαν, ἔνιοι δὲ ἔτι ὠφελῦνται, ὠφεληθήσεταί ποτε δὲ τὸ ὅλον τῶν ἐθνῶν. Οὕτω δὲ αἱ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίαι καθ' ἑκάστην μὲν ἀληθεύουσιν, ἐν τῷ τέλει δὲ τῶν αἰώνων ἐκπληρωθήσονται. ῥᾴδιον δὲ ἰδεῖν τὸ ὑπ' ἐμῦ περὶ ταύτης τῆς ἀξιολόγυ ὑποθέσεως ἀλλαχῦ λίαν διεξοδικῶς εἰρημένον (356).

9. Πολλάκις ἐπαναλαβὼν ὁ φιλόσοφος τὰ εἰρημένα, εὔμορφος ἔπειτα ἀναδέκνυται διδάσκαλος τῆς Εὐσεβείας, τῆς πίστεως, τῆς τελείας τῆ κεφαλῆ τῆς Ἐκκλησίας ὑπακοῆς (357).

Ἀλλ' ἔστιν ἆρά γε ἀναγκαία πίστις τοσῦτον ζῶσα, καὶ ὑπακοὴ ἐς τὸν Πάππαν τοσῦτον ἀπόλυτος πρὸς τὸ πεισθῆναι, ὅτι ὁ Θεὸς θελήσας ἐφαρμοσθῆναι τῆ τῶν ἀνθρώπων ἀσθενείᾳ, ἐδυνήθη τῆ ἰδίᾳ παντοδυναμίᾳ ὕτω προσβαλεῖν ταῖς αἰσθήσεσιν ὥσπερ οἱ μετ' ἀλλήλων συλλαλῦντες, καὶ ἀκυρὸν ποιῆσαι τῷ Ἀβραὰμ τὸν τῆς ὑπ' αὐτῦ λαλυμένης διαλέκτυ ἦχον; Ἄθλιε, σκωπτώλη, τὰ λογιάσυ πάνυ κακῶς παρομαρτῦσι τὰς ἀπρεπολογίας καὶ ἀσεβείας συ.

ΆΡΘΡΟΝ Γ.

Ἐν ᾧ αἱ τῦ κριτικῦ ἀμφιβολίαι περὶ τῆς τῶν Σοδομιτῶν ἁμαρτίας, καὶ τῆς ποινῆς αὐτῶν.

1. Ὁ ὑπὲρ τῶν ἠθῶν ζῆλος ἀμφιβολίαν ἐξεγείρει τῷ κριτικῷ περὶ τῆς τῶν Σοδομιτῶν ἁμαρτίας, καὶ τῆς ποινῆς αὐτῶν, καὶ περὶ μὲν τῆς ἁμαρτίας φησίν. „Ἐὰν ὄντοι οἱ δύω Ἄγγελοι, ὄντοι οἱ δύω Θεοὶ „ἦσαν ἀσώματοι, ἀνέλαβον ἄρα σῶμα ὡραιότατον, ἵνα βδελυρὰς εἰς „πάντας τὸν λαὸν ἐμπνεύσωσιν ἐπιθυμίας (358).

Λαλεῖ ὥσπερ ἂν εἰ ἀναγκαία ἦν ἐξαισία ὡραιότης εἰς τὸ διεγεῖραι ἄλογα καὶ πεπαλαιωμένα πάθη.

2. „Οὐκ ἔστιν ἀνθρώπινον, φησὶ, τὸ πάντας ὁμῦ ἐκτελεῖν τοιαύ„την αἰσχρουργίαν, ἣν οἱ πράττοντες ζητῦσι διαπαντὸς κρυφίως πράτ„τειν καὶ σιωπηλῶς.

Εἶδον πυρὶ παραδοθέντας δύω δυσχεῖς, οἵτινες τὴν ἁμαρτίαν ταύτην ἐτέλεσαν, μεσημβρίας ὄσης, ἐν πλατείᾳ προαστείᾳ τινὸς παντα χόθεν ἀναπεπταμένῃ, ἀναμέσον πλήθυς ἀνθρώπων ὁμοίων αὐτοῖς, καὶ διεγερόντων αὐτῦς εἰς τὸ τὴν βδελυρίαν ταύτην πράξαι. ἐὰν δὲ τοιαῦτα βδελύγματα γεγόνασιν ἐν κλίματι, οἷόν ἐστι τὸ ἡμέτερον, καὶ ἐν Βασιλείᾳ τοσῦτον πεπολιτισμένῃ, ὅπῦ πάντες οἴδασιν, ὅτι ποιναῖς φρικώδεσι ταῦτα παιδεύονται, κρίνον τὸ τί ἠδύνατο συμβῆναι ὑπὸ ἥλιον καυματηρότερον, καὶ ἐν νομῷ, ὅπῦ βέβαιον μὲν ἦν τὸ ὑπὲρ τῆς πράξεως ταύτης ἀκίνδυνον, ἡ δὲ ἀσωτεία, συνήθεια.

3. „Οἱ Σοδομῖται θορυβητικῶς ἐζήτησαν τὸς δύω Ἀγγέλῦς ὥ„σπερ ζητῦσιν ἐν καιρῷ ἀπορίας καὶ πείνης τὸν ἄρτον.

Ὅτε τοσαύτη ἐστὶν ἡ διαφθορὰ, ὅση ἡ ἐν Σοδόμοις, τότε τὸ πλῆθος ἰδίαν νομίζει ζημίαν τὴν ὑπό τινος ἰδιώτῦ ἔνσασιν κατὰ τῶν ἀκαλινώτων αὐτῦ ἐπιθυμιῶν, ὐδὲν δὲ συλλογιζόμενον, τυφλῶς ἀκολουθεῖ ταῖς τῦ πάθῦς αὐτῦ ὁρμαῖς.

4. „Ἡ πρότασις τῦ Λὼτ.... ὐδὲν ἔλαττον συγχέει. τὸ δὲ ὅ„λον διαλαμβάνει ἀκαθαρσίαν ἀποτροπαιοτέραν πασῶν τῶν ἐν οἱῳδήποτε βιβλίῳ μνημονευμένων.

Ἡ μὲν ἐν τῇ Γενέσει διήγησις διὰ ῥημάτων τοσῦτον σεμνῶν ἐκπεφρασμένη ἐστὶν, ὥσε μηδὲ αὐτῶν τῶν σωφρονεςάτων τὰ ὦτα πλήττειν. ἡ δὲ ἐν ταῖς σημειώσεσι τῦ κριτικῦ ἐκτεθεῖσα τοσῦτον ἅπρεπος τυγχάνει, ὥσε ἀναγκασθῆναί με ἔνια τῶν ἐν αὐτῇ σιωπῆσαι.

5. Ὁ αὐτὸς λαλῶν περὶ τῆς τῶν Σοδομιτῶν ποινῆς, προσίθησι, παρὰ πόδας τάδε· „Οἱ δύω γαμβροὶ τοῦ Λὼτ κατώκων ἐν τῇ „οἰκίᾳ αὐτοῦ μετὰ τῶν θυγατέρων αὐτοῦ, καὶ ὅπως ἦσαν γαμεταὶ αὐ„τῶν.

Οὐ μόνον δὲ ἁμοῦ εἴρηται, ὅτι οἱ μέλλοντες ἔσεσθαι γαμβροὶ τοῦ Λὼτ κατώκων ἐν τῇ οἰκίᾳ αὐτοῦ, ἀλλὰ καὶ σαφέστατα ἐκπέφρασται τὸ ἐναντίον. „Ἐξῆλθε δὲ Λὼτ, φησὶν ἡ Γένεσις, καὶ ἐλάλησε πρὸς τοὺς Γεν. 19. 14. „γαμβροὺς αὐτοῦ, τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ. Ἐὰν δὲ ἠναγκάσθη ἐξελθεῖν, ἵνα λαλήσῃ μετ' αὐτῶν, δῆλον ἄρα, ὅτι ὐ συγκατῴκων αὐτῷ.

6. „Ἡ μεταμόρφωσις, φησὶ, τῆς Ἐδὲ γυναικὸς τοῦ Λὼτ (359) „εἰς ἀνδριάντα ἅλατος ἐστὶ μεγάλη σκανδάλου πέτρα (360).

Τὸ τῆς γυναικὸς τοῦ Λὼτ σῶμα τῆς ζωῆς στερηθὲν, καὶ ἅλατος ὄγκος γεγονὸς ἐν τόπῳ ἁλάτων πλήρει, δοὺς παρίστησι σκανδαλίσαι δυνάμενον διακριτικὸν ἄνδρα. τοῦτο δὲ μόνον ἐστὶν ὅπερ διαλαμβάνει ἡ τῆς Γενέσεως, καὶ ἡ τοῦ βιβλίου τῆς Σοφίας διήγησις πάντα δὲ Γεν. 19. 14. τὰ παράδοξα, τὰ ὑπό τινων μεταγενεστέρων συγγραφέων προσεδέν- Σοφ. 10 7. τα (361) τοῖς εἰρηκόσιν αὐτὰ ἐπισρέψαι δεῖ, ἃ μὴν πέτραν σκανδάλου λογίζεσθαι τὴν διήγησιν.

7. Ἰδὲ τελευταῖον ἡ μεγάλη κατὰ τὸν κριτικὸν δυσκολία. „Πῶς „ἦσαν πέντε πόλεις τοσοῦτον πλησίαι καὶ διεφθαρμέναι, ἐν ταύτῃ τῇ „φοβερᾷ ἐρήμῳ, τῇ ὁλοχερῶς ἐσερημένῃ πολίμου ὕδατος, ὅπου δοὺν „ἕτερον ἰδεῖν ἔνεσιν, εἰμὴ νομαδικούς τινας Ἄραβας κλέπτας καὶ ἀλή„τας;

Ἡ ἀπόκρισις ἀφ' ἑαυτῆς περίσαται. ὁ τόπος ὅτος ἦν καρποφορώτατος καὶ ἀρεσότατος πρὸν τῆς καταστροφῆς, τῆς καταδησάσης αὐτὸν ἀηδέσατον. „Ἐπεῖδε, λέγει ὁ ἱερὸς ἱσορικὸς, πᾶσαν τὴν πε- Γεν. 13. 10. „ρίχωρον τοῦ Ἰορδάνου, ὅτι πᾶσα ἦν ποτιζομένη, πρὸ τοῦ καταστρέψαι „τὸν Θεὸν Σόδομα καὶ Γόμορρα, ὡς ὁ παράδεισος τοῦ Θεοῦ, καὶ ὡς ἡ γῆ „Αἰγύπτου, ἕως ἐλθεῖν εἰς Ζόγορα. Συμφωνεῖ δὲ κατὰ τοῦτο τοῖς ἡ- Στραβ. β. 16. μετέροις ἱεροῖς βιβλίοις ἡ ἐθνικὴ ἀρχαιότης. „Ὁ Στράβων λέγει ῥη- σ. 1108. τῆς ἐν Λ'μσελ. ἐκδ. „τῶς. Τὸ δ' ἔμπυρον τὴν χώραν εἶναι τὰ ἄλλα τεκμήρια φέρουσι πολ„λά. καὶ γὰρ πέτρας τινὰς ἐπικεκαυμένας δεικνύουσι τραχείας περὶ Μοα„σάδα, καὶ σύραγγας πολλαχοῦ, καὶ γῆν τεφρώδη. σαγόνας τε πίσσης ἐκ „λιοπάδων λεβομένας, καὶ δυσώδεις πόρρωθεν ποταμοὺς ζέοντας, κατοι„κίας δὲ ἀνατετραμένας ἀσοράδην. ὥσε πιστεύειν τοῖς θρυλλουμένοις ἀ„πὸ τῶν ἐγχωρίων, ὡς ἄρα ᾠκοῦντό ποτε τρισκαίδεκα πόλεις ἐνταῦθα, „ὧν τῆς μητροπόλεως Σοδόμων σῴζοιτο κυκλοῦ ἑξήκοντά που σαδίων

„ὑπὸ

„ὑπὸ σεισμῶν, ἢ ἀποφυσημάτων πυρ☉ ἢ θερμῶν ὑδάτων ἀτμυλ-
„τωδῶν τε ἢ θειωδῶν ἡ λίμνη πρότερον, ἢ πέτραι πυρίλιπτοι γένοιν-
„το. αἵτε πόλεις, αἱ μὲν καταποθεῖσαι, ἃς δὲ ἐκλείπουσιν οἱ δυνάμενοι
Τάκ. Β. 5. ἱσ. „φυγεῖν. Ὁ δὲ Τάκιτ☉, ἢ ὁ Σολῖν☉ τῷ αὐτῷ σχεδὸν λαλῶσι τρό-
Σολ. κεφ. 3. πῳ. „Διηγοῦνται, φησὶν ὁ Τάκιτ☉. τὰς πλησίον τῆς λίμνης πεδιάδας,
„τὰς ἄλλοτέ ποτε καρποφόρους, ἢ πόλεων μεγάλων πλήρεις, κατα-
„καυθῆναι ὑπὸ τῆς πεσούσης ἐμπύρου κόνεως. ἢ τὰ μὲν ἴχνη ἔτι ὑ-
„πάρχουσι, πᾶσα δὲ ἡ γῆ καταφλεχθεῖσα, τὴν καρποφόρον ἀπώλεσε
, δύναμιν. .. Σύμφων☉ εἰμι τῷ, ὅτι αἱ τῦ νομῦ τύτυ ἐπίσημοι πό-
„λεις ὑρανίῳ πυρὶ ἄλλοτέ ποτε κατεκαύθησαν, συλλογίζομαι ὁμως,
„ὅτι ἡ γῆ, ἢ ὁ περιέχων αὐτὴν ἀὴρ ἐξηλοιώθησαν ὑπὸ τῆς κακῆς
„τῶν ὑδάτων τῆς λίμνης ποιότητος.

Οὗτοι ἄρα οἱ εἰδωλολάτραι συγγραφεῖς δύω εἶναί φασι τὰ αἴτια τῆς ἐνεχώσης καταςάσεως τῦ νομῦ, οὗ ἔκειντο τὰ Σόδομα, τὴν πτῶσιν τῆς ἐμπύρυ κόνεως τῆς τὸν τόπον καταφλεχάσης, ἢ τὴν ἐκπύρωσιν τῶν θερμῶν ἢ ἀσφαλτωδῶν ὑδάτων, τῶν διὰ τῶν ῥηγμάτων τῆς χιωθείσης γῆς ἀναδοθέντων ἐκ τῶν ὑπογείων δεξαμενῶν αὐτῶν. καὶ συςησάντων τὴν ἄχρι τῆς σήμερον ὑφισαμένην δυσώδη λίμνην, τὰ αὐτὰ αἴτια δυσὶ ῥήμασιν ἐδήλωσεν ἡ Γένεσις, διδάξασα ἡμᾶς ὃ μὲν τῷ δεκάτῳ τετάρτῳ κεφαλαίῳ τὴν κοιλάδα Σιδδὶμ (362) ἐν ᾗ ἡ πόλις Σοδόμων κατ αὐτὴν τὴν εἴσοδον αὐτῆς ἔκειτο, περιέχειν πολλὰς ἀσ-
φάλτυ πηγάς. ἐν δὲ τῷ δεκάτῳ ἐννάτῳ, τὸ βρέξαι τὸν Θεὸν ἐπὶ
Γεν. 19. 24. τὴν γῆν ταύτην πῦρ ἢ θεῖον. ῥᾴδιον δὲ κατανοῆσαι, ὅτι τὸ ἐκ τῦ ὑρανῦ πεσὸν πῦρ ἐπὶ τὴν ἀσφαλτώδη γῆν, κατέκαυσεν αὐτήν. ἐξ ἧ χιωθεῖσά τε ἀνοίξασα, ἀνέδωκεν ἐκ τῶν ἄντρων, ἐν οἷς ὁ Ἰορδάνης ἐβυθίζετο, τὰ ἐν αὐτοῖς περιεχόμενα ὕδατα σὺν τῇ ἀσφάλτῳ.

„Ἐλθέτω νῦν ὁ φιλόσοφ☉ εἰπεῖν, ὅτι ἡ μὲν λίμνη ἐξ ἀνάγκης
„ὑφίσατο, ἢ συνίςη τὴν τῦ Ἰορδάνυ πλημμύραν, ἀκατάληπτον δὲ ἐ-
„σι τὸ πῶς ἦσαν ἐκεῖ πέντε πόλεις τοσῦτον πλησίαι. Ἀδιάκριτ☉
πάντως ἐφάνη, βιάσας ἑαυτὸν ἐνασεῖραι ἀμφιβολίας περὶ τῆς τῶν Σοδομιτῶν ἁμαρτίας, ἢ τῆς τύτων ποινῆς.

8. Τελεσῖ τὴν περὶ τῦ περιφήμυ τύτυ ἔργυ ῥαψωδίαν αὐτῦ.
„λέγων. Οὐ κατανοῦμεν τὸ διατί αἱ τῦ Λὼτ θυγατέρες, ἐφοβῦντο τὸ
„τῦ κόσμυ τέλος.

Οὐκ ἔςι δυσκατανόητον τὸ πῶς, ἐν καιρῷ, καθ' ὃν νεκρὰ ἔτι ἦν ἡ τῦ κατακλυσμῦ μνήμη, δύω κόραι ἰδῦσαι πάντα τὸν περίξ τόπον φλογὶ πυρὸς περικεκαλυμμένον, ἐφαντάσθησαν, ὅτι κοινὴ μὲν ἦν ἡ πυρκαϊὰ ἐκείνη, ἡ δὲ τῦ Θεῦ ὑπεράσπισις, ἡ ὑπ' αὐτῶν ἐν τῷ συμ-

βάντι

βάντι τȣ́τῳ αἰσθητῶς ὁρωμένη, ȣ̓κ ἔσωσεν εἰμὴ αὐτὰς, ϗ τὸν πατέρα αὐτῶν, καθὼς ἄλλοτε τὸν Νῶε μόνον, ϗ τὸν οἶκον αὐτȣ̃.

9. Ὁ σοφὸς ȣ̃τος κατασκευάζει ἐνταῦθα δύω πόλεις, τὴν Σηχὼρ, ϗ τὴν Τσοχὰρ, μὴ εἰδὼς, ὅτι ἓν ϗ τὸ αὐτὸ ὄνομά ἐςιν, ἄλλως μὲν ὑπὸ τῶν Μασσορεθῶν, (363) ἄλλως δὲ ὑπὸ τȣ̃ Λατίνȣ μεταφραςȣ̃ μετὰ τȣ̀ς Ἑβδομήκοντα προφερόμενον.

Ἄ Ρ Θ Ρ Ο Ν. ΙΛ'.

Περὶ τȣ̃ ἐὰν ὑπῆρχε πόλις ϗ Βασιλεὺς ἐν τῇ τῶν Γεράφων περιχώρῳ.

1. Ἰδȣ̀ ἐν ἑτεροειδεῖ ὑποθέσει ἄλλοτι, κατ' αὐτὸν ἔκτακτον. „Βλέ„πομεν Βασιλέα ἐν Γεράροις, ἐν ἐρήμῳ φοβερᾷ, ὅπȣ μετ' ἐκεῖνον τὸν „καιρὸν ȣ̓δεμία ὑπῆρξε κατοικία.

Ἠγνόει ἄρα ὁ πάνσοφος ȣ̃τος, ὅτι τὰ Γέραρα ἦσαν πόλις ἐπισκοπικὴ, εἷς δὲ τῶν Ἐπισκόπων αὐτῆς ὑπέγραψεν ἐν τῇ κατὰ τὴν Χαλκηδόνα Σύνοδον. ὁ δὲ θεῖος Ἱερώνυμος, ὁ Θεοδώριτος, ὁ ἐν ἁγίοις Κύριλλος, ϗ ὁ Σωζόμενος λαλȣ̃σι περὶ αὐτῆς, ὡς περὶ ἀξιολόγȣ πόλεως τῆς Παλαιςίνης; (364) ἵνα τι ȣ̓ μετῆλθε τὸν Ῥελάνδον;

2. „Ἡ Σάῤῥα, φησὶν, αἴρεται πάλιν διὰ τὸ κάλλος αὐτῆς, ὥ„σπερ ϗ ἐν τῇ Αἰγύπτῳ, κἂν ἡ Γραφὴ ἐπιγράφῃ αὐτῇ ἔτη ἐννενή„κοντα.

Δέκα ἔτη εἰσὶν ἐξότȣ ὁ συγγραφεὺς τῶν ἐπιςολῶν τῶν Ἰȣδαίων ἀποκριθεὶς αὐτῷ, εἶπε. „Τὸ Θαῦμα τὸ τὴν Σάῤῥαν καταςῆσαν „μητέρα θηλάζȣσαν τὸ βρέφος αὐτῆς, παρέσχεν αὐτῇ ϗ καλλονὴν „νεωτέρας ἡλικίας. ȣ̓δεμία δὲ μήτηρ ἐςὶ ῥύσση, ȣ̓δὲ τῷ γήρατι ἐφ„θαρμένη.

Ἐν τῇ ἐπιτομ. τῇ εἰς τον τ. Τόμ. τῶν ἐπι. ςολ. τῶν Ι ȣδ.

3. Ἡ Σάῤῥα τότε εἶχεν ἐν γαςρὶ τὸν υἱὸν αὐτῆς Ἰσαάκ.

Ἀλλὰ τȣ̀λάχιςον ȣ̓κ ἦν καιρὸς πολὺς, ἐξότȣ συνέλαβε. διότι ὁ Ἀβραὰμ, ὅτε προεῖπεν αὐτῷ ὁ Θεὸς, ὅτι ἡ Σάῤῥα συλλήψεται, εὐθὺς ἀπῆλθεν εἰς τὰ Γέραρα.

4. „Ὁ Ἀβραὰμ μετέρχεται τὸν αὐτὸν τρόπον, ὃν μετῆλθεν „ἐν Αἰγύπτῳ.

Τȣ̃το πεποίηκεν, ἐπειδὴ ἐν ταῖς αὐταῖς εὑρέθη περιςάσεσιν.

5. „Ὁ μὲν Ἀβραὰμ λέγει, ὅτι πράγματι ϗ ἀληθείᾳ ἔλαβεν „εἰς γυναῖκα τὴν ἑαυτȣ̃ ἀδελφὴν, θυγατέρα τȣ̃ ἰδίȣ πατρὸς, ȣ̓χὶ „δὲ τῆς μητρός. οἱ δὲ ὑπομνηματιςαίφασιν, ὅτι ἦν ἀνεψιὰ αὐτȣ̃.

Ἐνδε-

Ἐνδεχομένως ἀληθεύσι. διότι τὸ τῆς ἀδελφῆς ὄνομα παρά τε τῇ θείᾳ Γραφῇ & τοῖς Ἀνατολικοῖς γενικωτέραν, ἢ παρ' ἡμῖν ἔχει σημασίαν. πολλάκις δὲ ἐκλαμβάνεται γενικῶς ἀντὶ συγγενίδος.

6. „Ὁ Θεὸς δὲ ὀνείρου δηλοποιεῖ τῷ τῶν Γεράρων Βασιλεῖ, ὅτι „ἡ Σάρρα ἐστὶ γυνὴ τοῦ Ἀβραάμ.

Τοῦτο δείκνυσιν, ὅτι ὁ Βασιλεὺς τῶν Γεράρων ἐλάτρευε τῷ ἀληθινῷ Θεῷ, καθάπερ & ὁ Μελχισεδὲκ, ἄλλος ὢν Βασιλεὺς τοῦ αὐτοῦ τόπου.

7. „Οὗτος ὁ Βασιλεὺς, ἢ ἀρχηγὸς τῶν Ἀράβων τῶν Βεδουΐνων „(365) δίδωσι τῷ Ἀβραὰμ πρόβατα, βόας, δούλους, & χί„λια ἀργύρια, ὥσπερ καὶ ὁ τῆς Αἰγύπτου Βασιλεύς.

Ὁ τῶν Γεράρων Βασιλεὺς εἶχεν οἴκημα καθεσκὸν, ἑπομένως ὢν ἦν ἀρχηγὸς τῶν Ἀράβων τῶν Βεδουΐνων. ἀλλὰ καὶ αὐτοὶ οἱ τῶν Βεδουΐνων Ἀράβων ἀρχηγοὶ ἄχρι τῆς σήμερον πλούσιοί εἰσιν ἐν ποιμνίοις, καὶ οὐδοις, & ἀργυρίῳ.

8. „Ὁ τῶν Γεράρων βασιλεὺς Ἀβιμέλεχ ὢν ἦν ὁμόθρησκος „τῷ Ἀβραάμ.

Ἑκάτερος αὐτῶν ἐγνώριζε τὸν ἀληθινὸν Θεὸν. ὃ διέφερον δὲ, εἰμὴ κατὰ τὴν περιτομὴν, ἣν μετὰ πολὺ ὁ Θεὸς τῷ Ἀβραὰμ, καὶ τῷ οἴκῳ αὐτοῦ ἐνετείλατο.

9. „Ὁ Λὼτ, ὃν ὁ Θεὸς ἐκ τῆς πυρκαϊᾶς θαυματουργικῶς διε„φύλαξεν, ὢν ἦν ἐκ τοῦ σπέρματος Ἀβραάμ.

Ἦν ἀνεψιὸς αὐτοῦ, δίκαιός τε καὶ τὸν Θεὸν φοβούμενος καθάπερ καὶ ὁ Ἀβραάμ.

10. „Ὁ Λὼτ τῇ δευτέρᾳ αἰμομιξίᾳ ἔγονε πατὴρ δύω ἐθνῶν ἐθνο„λοιμῶν.

Ὁ Λὼτ γέγονεν αἰμομίκτης ἀκουσίως, καὶ μετὰ τὴν ἐκ τῶν Σοδόμων φυγὴν αὐτοῦ· ὁ δὲ κριτικὸς ἤθελεν ἰδεῖν τὸν Θεὸν συγχέοντα τὸν Λὼτ μετὰ τῶν Σοδομιτῶν εἰς ποινὴν τῆς μήπω γεγενημένης ἁμαρτίας μετὰ τῶν θυγατέρων αὐτοῦ, καὶ τῆς εἰδωλολατρείας τῶν Μωαβιτῶν, καὶ Ἀμμανιτῶν, ὧν οἱ πατέρες ὅπω ἦσαν γεγενημένοι. Τοιαῦται εἰσὶν αἱ δυσκολίαι. αἱ ὑπὸ τοῦ Φιλοσόφου τοῖς σοφοῖς ὡς καιναὶ ἀναγγελλόμεναι.

11. „Σκληρότατον δοκεῖ, φησὶν ὁ αὐτὸς, καὶ ἀπάνθρωπον ἡ ἀπο„σολὴ τῆς παλλακῆς καὶ πρωτοτόκου τοῦ Ἀβραάμ εἰς τὴν ἔρημον μετὰ ἰμή„ματος ἄρτου, καὶ ἀσκοῦ ὕδατος. . . Οὗτος πέμπει ἑκάτερον τούτων, „ἵνα ἀποθάνῃ ἐν τῇ ἐρήμῳ.

Οὐδαμῶς. ὁ Ἀβραὰμ οὐκ ἀπέστειλεν ἑκάτερον αὐτῶν, εἰμὴ ἐπὶ τὴν ἐγγύησιν, καὶ τοῖς προσάγμασι τοῦ Θεοῦ. ὁ μὲν Κύριος ἐναγγέλλων αὐ-

τῷ

τῷ ταῦτα, εἰπε· „Καὶ τὸν υἱὸν τῆς παιδίσκης ταύτης εἰς ἔθνος Γν. 21. 13.
„μέγα ποιήσω αὐτὸν, ὅτι σπέρμα σὸν ἐστίν. „Ὁ δὲ Ἀβραὰμ οὐκ
ἐπελάθετο τῶν τῇ Ἄγαρ προρρηθέντων· „Ἔσται (ὁ Ἰσμαὴλ) ἄν- Γν. 16. 12.
„θρωπος ἀγροικος ἄνθρωπος. αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας, καὶ αἱ χεῖ-
„ρες πάντων ἐπ' αὐτόν. καὶ κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν
αὐτοῦ κατοικήσει. Ὁ Ἀβραὰμ οὖν πεπληροφορημένος ἦν περὶ τῆς εἰ-
δικῆς προνοίας τῆς ἐπαγρυπνήσεως ἐπί τε τὸν Ἰσμαὴλ, δεκαεπταέτη
τότε ὄντα, (366) ἢ ἐπὶ τὴν μητέρα αὐτοῦ τὴν Ἄγαρ. Πολλῷ δὲ
βέλτιον ἦν τῷ φιλοσόφῳ τούτῳ ἐπισῆσαι τὸν νοῦν αὐτοῦ ἐπὶ τὴν τῶν
ἐπαγγελιῶν τούτων ἐκπλήρωσιν, ἥτις ἄχρι τῆς σήμερον αἰσθητῶς ὁρᾶ-
ται ἐν τῷ διηνεκῶς ὑπάρχοντι γένει τῶν Ἀράβων, τῶν τοῦ Ἰσμαὴλ
ἀπογόνων, ἢ ἐν τοῖς κτήνεσι, ἢ τῇ ὑπερηφάνῳ γνώμῃ τοῦ ἐρημικοῦ
τούτου λαοῦ, ἥπερ ἐκβοᾷ μετὰ τὸν Βυλαγγέρον. „Ποῖόν ἐστι τοῦτο τὸ
„ὑπούργημα τοῦ τῆς κτίσεως δημιουργοῦ, τοτέοι τὸ καταβαίνειν οὐρανό-
„θεν ἀπὸ τοῦ αἰωνίου θρόνου αὐτοῦ, ἵνα τὸ φρέαρ δείξῃ τῇ πτωχῇ θυ-
γατρί; Λαλεῖ δὲ ὥσπερ ἂν εἰ ὁ Θεὸς, ὅτε νοθετεῖ τοὺς ἀνθρώπους, ἢ
προνοεῖ ὑπὲρ τῶν ἀναγκῶν αὐτῶν, κατελίμπανε τὸν αἰώνιον αὐτοῦ θρό-
νον. ἢ ὥσπερ ἂν εἰ ἡ πτωχὴ θεράπαινα ἐνώπιον τῶν τοῦ δημιουργοῦ ὀφ-
θαλμῶν ἔργον ἦν εὐτελὲς, ὥστε τυχεῖν τῆς ἐπισκέψεως τῆς ἀγαθότη-
τος αὐτοῦ, πρὸς χρῆσιν τῆς ἐκπληρώσεως τῶν θείων αὐτοῦ ἀπο-
φάσεων.

ΑΡΘΡΟΝ ΙΒ'.

Περὶ τῆς τοῦ Ἀβραὰμ θυσίας.

1. Πολλὰ ἀποκαλύπτει τῷ κριτικῷ ἡ τοῦ Ἀβραὰμ θυσία. „Ἡ
„Γένεσις, φησὶν εὐθὺς, ὡς ἐγράφη ὑπὸ τοῦ Μωϋσέως, ὅσις μὴ εἰσελ-
„θὼν εἰς τὴν Χαναὰν, οὐκ ἠδύνατο γινώσκειν τὸ τοῦ Ἀμορία ὄρος (367).
Ἀρίς κανὼν ἐπικρίσεως ὅτος. κατὰ τοῦτον, ὑποθετικὸν
κρίνεται τὸ βιβλίον ὁσάκις ἀναμιμνήσκει τόπον, ὃν ὁ τότε συγγρα-
φεὺς οὐκ εἶδεν. ἐκ τούτου ἡ περὶ τοῦ δωδεκάτου Καρόλου ἱστορία, ἢ τὸ
τῆς καθολικῆς ἱστορίας δοκίμιον ἔσονται βιβλία ὑποθετικά. διότι ὁδὲ
ἐν ἀποσήματι λεγῶν ἑκατὸν ὁ κύριος Βολτέρος (ὁ τότων συγγρα-
φεὺς) προσεπέλασε τοῖς δυσὶ τριτημορίοις ἢ ἐπέκεινα, τῶν ἐν αὐτοῖς
μνημονευομένων ὑπ' αὐτοῦ τόπων. ὁ δὲ Μωϋσῆς προσήγγισέ τι πλέον
τῷ ὄρει τοῦ Ἀμορία, ἕτος ἓν ὁλόκληρον στρατοπεδεύσας ἐγγὺς τότου
λέγας ὀκτὼ, ἢ ἐννέα.

Παρ' Εὐσ. β. 1 κ. 14 τῆς Εὐ. αγγ Προπαρ.

2. „Ὁ Σαγχωνιάθων διδάσκει ἡμᾶς, τὸν ἴλον πρὸ πολλοῦ θυ-„σιάσαι τὸν υἱὸν αὐτοῦ Ἰεούδ.

Ἀνωτέρω ἔδειξα, ὅτι ὁ Σαγχωνιάθων οὐδὲν ἕτερον πεποίηκεν, εἰ μὴ μεταχηματισμὸν τῆς περὶ τὸν Ἀβραὰμ ἱστορίας.

Ἀρθρ. 8.

3. „Ὁ Ἀβραὰμ ἑκατονεξηκοντούτης ὤν, ἢ τοὐλάχιστον ἑκατον-„τούτης ἔτεμεν ἐν τῇ ὑπωρείᾳ τοῦ ὄρους Ἀμορία τὰ ξύλα εἰς τὸ κα-„τακαῦσαι τὸν υἱὸν αὐτοῦ. πρὸς δὲ ἐμπυρισμὸν ἀνθρωπίνου σώματος ἀ-„ναγκαία ἐστὶ τοὐλάχιστον μία ἅμαξα ξύλων ξηρῶν πλήρης.

Ἀφορμὴν παρέχει νοῆσαι, ὅτι περὶ τούτου ἠρώτησέ τινα δήμιον. ὁ δὲ Ἀβραὰμ τότε οὐδὲ ἑκατονεξηκοντούτους ἦν, οὐδὲ ἑκατοντούτης ἀλλὰ περίπου ἑκατονεικοσιπεντούτης. οὐκ αὐτὸς δὲ μόνος ἔτεμε τὰ ξύλα, ἀλλὰ μετὰ τῶν δύω δούλων, τῶν ἀκολουθησάντων αὐτῷ ἕως τῆς τοῦ ὄρους ὑπωρείας.

4. „Ὁ Ἰσαὰκ ἦν τότε ἐτῶν μόνον δέκα καὶ τριῶν.

Ἐν τῇ ἐφεξῆς σελίδι ὁ αὐτὸς ἐπιγράφει αὐτῷ ἔτη τριάκοντα καὶ ἑπτά. ἡμεῖς δὲ διορίζομεν αὐτῷ εἴκοσι καὶ πέντε.

5. „Τὸ τοῦ Ἀμορία ὄρος οὐκ ἔστιν ἄλλο τι, εἰμὴ ἀπότομος, καὶ „γυμνὴ πέτρα, ἐφ' ἧς οὐδέποτε οὐδὲ ἓν ὑπῆρξε δένδρον.

Τοῦτο δηλοῖ ἀκριβεστάτην εἴδησιν τῆς ποιότητος τῆς γῆς, τῆς ἔτη χίλια καὶ ἑκατὸν ἐπικεκαλυμμένης ὑπὸ τῶν οἰκοδομημάτων τοῦ βωμοῦ, τοῦ ὑπὸ τοῦ Ὄμαρ ἐν τῷ ἑβδόμῳ αἰῶνι ἀνεγερθέντος. Ὁ Μιχαίας, ὁ πρεπόντως μικρόντι πλέον τῶν ἀπίστων τούτων εἰδὼς τὴν τοῦ ὄρους τούτου γῆν, πρὸ ἐτῶν περίπου δύω χιλιάδων καὶ πεντακοσίων ἔλε-γεν, ὅτι τὸ ὄρος, ἐν ᾧ ᾠκοδόμητο, ὁ τοῦ Σολομῶντος ναὸς, ὡς ἀγρὸς ἀροτριαθήσεται διὰ τὴν τοῦ ἐν αὐτῷ οἰκοδομήματος καταστροφήν. τοῦτο δὲ ὑποτίθεται, δυνατὸν εἶναι ἀναβλαστῆσαι ἐκεῖ κἂν γοῦν ἓν δένδρον. ἰστέον ὅμως, ὅτι εὐσεβὴς οὗτος φιλόσοφος ταῦτα πάντα λογίζεται ὡς τῶν τολμηρῶν σοφῶν προτάσεις. βαβαὶ τῶν τοιούτων σοφῶν.

Μιχ. 3. 12.

ἈΡΘΡΟΝ ΙΓ'.

Περὶ τοῦ ἐὰν ἡ μὲν τιμὴ τοῦ ὑπὸ τοῦ Ἀβραὰμ ἀγορασθέντος ἀγροῦ ἦν ὑπερβολικὴ, τὸ δὲ ἀργύριον τότε ἰσότιμον τῷ χρυσίῳ.

1. Τὰ ἑξῆς μόνος ὁ κριτικὸς ἐσημείωσε. „Πωλοῦσι τῷ Ἀβραὰμ ἀ-„γρὸν καὶ σπήλαιον σίκλων τετρακοσίων. ὁ δὲ σίκλος ἐτιμήθη λιτρῶν „τριῶν, καὶ τεσσάρων σολδίων τῶν ἡμετέρων νομισμάτων. οἱ τετρακό-„σιοι ἄρα σῖκλοι ἰσότιμοί εἰσι λίτραις τῶν αὐτῶν νομισμάτων χιλίαις

„δια-

„διακοσίαις ὀγδοήκοντα. ἡ τιμὴ αὕτη δοκεῖ ὑπερβολικὴ ἐν τόπῳ τοσοῦ-
„τον πτωχῷ τε καὶ ἀκάρπῳ, οἷος ἦν ἡ Χεβρών.

Τοιαύτην ἄρα πληροφορίαν ἔσχεν ὁ ἡμέτερος φιλόσοφος περὶ τῆς τιμῆς παντὸς τμήματος τῆς ἐν Χεβρὼν γῆς. καὶ κατεμέτρησε μὲν τὴν γῆν, τὴν τῷ Ἀβραὰμ δοθεῖσαν, κἂν κεκαλυμμένη τὴν σήμερον ὑπάρχῃ τῷ τῶν Τούρκων βωμῷ. ἐτίμησε δὲ τὸ ασήλαιον, τὸ τοσούτου εν τοῖς ἐκεῖ τόποις τιμώμενον, ὅσου παρ' ἡμῖν τὸ οἰκητήριον, ὡσαύτως καὶ τὰ περὶ τὸν ἀγρὸν πεφυτευμένα δένδρα, τὰ πολύτιμα ὄντα ἐν ἀγόνῳ τόπῳ. εὗρε δὲ τοῦ ὅλου τὴν τιμὴν οὐ πλείονα τῶν χιλίων διακοσίων ὀγδοήκοντα λιτρῶν. ἐξεταστέον οὖν τὰ περὶ τούτου. Ἡ μὲν Χεβρὼν, ἡ υπο τὴν τῶν Τούρκων διοίκησιν περιέχει πλέον ἢ δέκα χιλιάδας ψυχῶν. „Ἐν δὲ τῇ περιχώρῳ αὐτῆς, ἀπὸ τοῦ χωρίου τοῦ καλουμένου Εὐ-
„χαλοὺλ ἕως τῆς Χεβρῶνος, ἄμπελοί εἰσι, ῥάγας φέρουσαι δακτύλῳ ἰ-
„σομεγέθεις. καὶ παράδεισοι πᾶν εἶδος ὀπώρας καρποφοροῦντες. ἡ δὲ
„Χεβρὼν σχεδὸν ἰσομεγέθης ἐστὶ τῇ Ἱερουσαλήμ. καὶ αἱ μὲν ἐν αὐτῇ
„οἰκίαι ἐκ πέτρας καλῆς ὠκοδόμηνται, ὁ δὲ τῶν Τούρκων βωμὸς ἰσομε-
„γέθης τῷ ἐν Ἱερουσαλὴμ τοῦ ἁγίου τάφου ναῷ. Δοκεῖ δέμοι, ὅτι ἐν τοιῷ δε νομῷ δυνατὸν ἦν εὑρεθῆναι γῆν τιμωμένην χιλίων διακοσίων ὀγδοήκοντα λιτρῶν. πρὸ δὲ τοῦ μνημονευθέντος συγγραφέως (τῆς νέας περιηγήσεως τῆς ἁγίας γῆς) ὁ πατὴρ Εὐγένιος εἶπεν. „Ἡ χεβρὼν
„κατοικεῖται ὑπὸ Τούρκων, καὶ Μελάνων, καὶ Ἰουδαίων, πᾶσα δὲ ἡ περί-
„χωρος αὐτῆς λίαν τερπνὴ καὶ καρποφόρος, αἱ δὲ ἐν αὐτῇ ἄμπελοι σα-
„φυλην φέρουσαι γλυκείαν, ἐξ ἧς οἱ Μωαμεθῖται γλεῦκός τι κατασκευά-
„ζουσιν ὠχρὸν ὡς τὸ χρυσίον, καὶ κρεῖττον λογιζόμενον παντὸς ἑτέρου
„τῶν ἐν τῇ ἁγίᾳ γῇ, ἄρισται δὲ αἱ ὀπώραι περὶ δὲ τὴν Χεβρῶνα, τὴν
„ἀπέχουσαν ἀπὸ τῆς νεκρᾶς θαλάσσης πρὸς ἀνατολὰς λέγας περίπου
„ἑπτὰ, βλέπεις διὰ τὴν τοῦ τόπου ἀγαθότητα πολλὰ χωρία ὑπὸ Με-
„λάνων οἰκούμενα.

2. „Ἐῤῥέθη, προστίθησιν ὁ αὐτὸς, ὅτι ὁ Ἀβραὰμ ἀπέδοτο τοὺς
„τετρακοσίους σίκλους διὰ τῶν ἐν χρήσει δοκίμων νομισμάτων. ἀλλ' οὐ
„μόνον τότε, νόμισμα οὐκ ἦν ἐν τῇ Χαναὰν ἀλλ' οὐδὲ ἄλλοτέ ποτε οἱ
„Ἰουδαῖοι ἐν τῇ γωνίᾳ, αὐτῶν ἐτύπωσαν νόμισμα.

Ἡ Γένεσις ὧδε οὐδόλως λαλεῖ περὶ νομίσματος ἐν γωνίᾳ τετυπωμένου, ἀλλὰ λέγει ῥητῶς, ὅτι τὸ ἀργύριον τοῦτο ἐδόθητε καὶ ἐλήφθη ἐν βάρει ἐζυγοστατωμένω. ἡ λέξις σίκλος παράγεται ἀπὸ τοῦ σχαγαλ, ὅπερ ἐστὶ τὸ ζυγοστατεῖν, ἄρα γε δὲ οἱ τῆς Τύρου καὶ Σιδῶνος Χαναναῖοι, οἱ τοσοῦτον περιφανεῖς ἔμποροι οὐκ ἐνεπορεύοντο διὰ χρυσῶν καὶ ἀργυρῶν νομισμάτων, περὶ δὲ τοῦ ἐνταῦθα ἐπαναλαμβα-

Γεν. 23. 17.

Ὁραβ. 4. κ. 18. τῆς νέας περιηγ. τῆς ἁγ. γῆς.

Εὐγ. β. 1. κ. 17. σ. 186. τῆς περιηγ. τῆς ἁγ. γῆς.

Γεν. 23. 16.

νομέ-

νομένῳ ὑπὸ τῆς κριτικῆς, εἴτων περὶ τοῦ ὅτι οἱ Ἰουδαῖοι ὐδέποτε ἐν τῇ γωνίᾳ αὐτῶν ἐτύπωσαν νόμισμα, ἐγὼ μὲν ἀπέδειξα αὐτῷ τὸ ἐναντίον, (368) αὐτὸς δὲ ἀπεκρίνατο ὐδέν. Φλήναφε ματαιόφρων, τοσοῦτον ἐξώκειλέσε τὸ πάθος, ἡ μανία τοῦ ἐμφαίνειν σεαυτὸν σοφὸν, ὥσε καὶ κατὰ τῶν βεβαιωτάτων καζαβοᾶν ὑπομνημάτων.

Δευ. 24. 22. 3. Ἐν τῇ ἐφεξῆς σημειώσει ἐφάνη εὐδοκιμώτερος. Ὁ Ἐλεάζαρ, „φησὶ, δωρεῖται δύω ἐνώτια χρυσᾶ ἰσοβαρῆ δυσὶ σίκλοις. τοῦτο ἦν δῶ„ρον λιτρῶν μόνον ἓξ, ἡ σολδίων ὀκτώ.... Τῶν ψελλίων δὲ ἡ τιμὴ „λίτραι τριακονταδύω.

Ἠκούσαμεν αὐτοῦ εἰπόντος, ὅτι ὁ σίκλος τετίμηται λιτρῶν τριῶν, ἡ τεσσάρων σολδίων, ὁ δὲ σίκλος περὶ οὗ ὁ λόγος ἦν ἀργυροῦς. διότι ὁ Ἀβραὰμ ἀργύριον κατέβαλεν ὑπὲρ τοῦ κτήματος αὐτοῦ. διὸ κατ' αὐτὸν τὸ χρυσίον ἰσότιμόν ἐσι τῷ ἀργυρίῳ. κατ' αὐτὸν δὲ ἡ μὲν τοῦ ἀργυροῦ σίκλου τιμὴ εἰσὶ λίτραι τρεῖς, ἡ σολδία τέσσαρα, τὰ δὲ ἐνώτια τὰ συγκείμενα ἐκ δύω σίκλων χρυσῶν εἰσὶ δῶρον λιτρῶν ἓξ, ἡ σολδίων ὀκτώ. ὑποτίθεμαι, αὐτὸν νῦν μόνον μὴ λογιοῦσθαι διαφορὰν τιμῆς χρυσοῦ ἀργύρου. Οἱ μὲν δύω χρυσοῖ σίκλοι, ὧν ἑκάτερος ὑγγίᾳ ἰσοβαρὴς, συγκροτοῦσιν ὑγγίας δύω. τὰ δὲ ψέλλια ἰσοβαρῆ ὄντα δέκα σίκλοις, ὑγγίας δέκα τοῦ αὐτοῦ μετάλλου. τοῦ δώρου ἄρα τοῦ ὑπὸ τοῦ Ἐλιέζερ προσενεχθέντος ἡ ὅλη τιμὴ λίτραι ἦσαν ἐκ τῶν ἡμετέρων νομισμάτων περίπου χίλιαι ἡ ἑκατόν. ἡ ταῦτα κατὰ τὴν τῆς Βυλγάτης ἀνάγνωσιν, ἥπερ ἐνταῦθα ὁ κριτικὸς ἕπεται ἔντε τῇ μεταφράσει, κἂν τῇ σημειώσει αὐτοῦ. τὸ δὲ Ἑβραϊκὸν ὕφος διαλαμβάνει, ὅτι ἕκαστον νεζεμ, ἐνώτιον, ἰσοβαρὲς ἦν ἑνὶ βεκουαχ, ὅπερ ἐσιν ἡμιύγγιον, συμφωνῶν τῇ Βυλγάτῃ περὶ τοῦ τῶν ψελλίων βάρους (369).

ΑΡΘΡΟΝ. ΙΑ'.

Περὶ τῶν τοῦ κριτικοῦ ματαίων ἐνςάσεων κατὰ τῆς Χεττούρας, & τοῦ τῶν πρωτοτοκίων δικαιώματος.

1. „Πιςεύουσι, φησὶν, ὅτι ἡ Χεττοῦρα ἦν Χαναναία.

Ἐνδεχομένως αὐτὸς μόνος ἐσὶν ὁ τοῦτο πιςεύων. τὐλάχισον ἐγὼ ὐδένα τῶν ὑπομνηματιςῶν οἶδα τοῦτο φρονοῦντα. Α'. ποίαν πεθανότητα ἔχει τὸ, ὅτι ὁ Ἀβραὰμ, ὁ ὅρκον ζητήσας παρὰ τοῦ παιδὸς αὐτοῦ περὶ τοῦ μηδέποτε λαβεῖν γυναῖκα τῷ Ἰσαὰκ ἐκ τῶν Χαναναίων, ἔλαβεν αὐτὸς γυναῖκα τοῦ αὐτοῦ γένους;

2.

2. Τὴν αὐτὴν διάθεσιν δείκνυσιν ὅτ☉ ἡ ἐν ταῖς εἰς τὴν γέν-
„νησιν τῶ Ἡσαῦ, ἡ Ἰακὼβ συμπεώσεσιν αὐτῶ. „Ἡ γυνὴ, φησὶ, δύ-
„ναται αἰσθανθῆναι ὀδυνῶν, ὁπηνίκα ἡ δύο ἐμβρύων ὑπ' ἀλλήλων τυ-
„πτομένων. πρὸς τούτοις ἀσανίως γεννᾶται βρέφ☉ ὅλον δασύ. οὐδὲν
„δὲ ἧττον ἀσανίον ἐστι, τὸ τὸ ἕτερον ἔμβρυον ἐπιλαμβάνεσθαι τῶ πο-
„δὸς τῶ ἑτέρου. ταῦτα οὐκ ἔτι συμβαίνουσιν.

Ἄθλια κερτομήματά εἰσι ταῦτα. Ἡ μήτηρ ὅτε ἤγγιζεν ὁ καιρὸς αὐτῆς, ἰσχυρῶν ἠδάνετο ὀδυνῶν ἐκ τῶ σκιρτήματ☉ τῶν δύο ἐμβρύων, ὧν ἡ γέννησις ἡ ἡ κατάσασις προείρηται αὐτῆ· ἡ πρόρρησις ἐδίδασκεν αὐτὴν τὴν αἰτίαν ὧν ἔπαθεν ὀδυνῶν. τοῦτό ἐστιν ὅπερ λέγει ἡ θεία Γραφή. πῶ οὖν ἐστὶν ἡ δυσκολία; πόθεν ὅτ☉ γινώσκει, ὅτι Γεν. 25. 23.
οὐκ ἔτι γεννῶνται βρέφη δασέα, οὐδὲ δίδυμα, ὧν τὸ ἕτερον ἐπιλαμβά-
νεται τῆς τῶ ἑτέρου πτέρνης; ἔστιν ἁπάντων τοῦτο ἀδύνατον; ἀλλ' ἔστι
ἀσάνιον. ἐνίοτε ἄρα συμβαίνει. ἐὰν δὲ οὐχ ὑπῆρχε ἀσάνιον, οὐχ ὡς μο-
ναδικὸν ἐνέφαινεν ὁ ἱερὸς συγγραφεύς.

3. „Οὐκ εἶχον, προσέθησι, τότε πρωτοτοκίων δικαίωμα, μήπω
„ἐχόντες νομοθεσίαν.

Δυσαπάδεκτον τὸ μὴ ἔχειν νομοθεσίαν μετὰ δισχίλια ἔτη ἡ ἐ-
πέκεινα ἀπὸ κτίσεως κόσμου, ἡ μετὰ ἑξακόσια τὐλάχιστον ἀπὸ τῶ
κατακλυσμῶ. εἶχον πάντως συνηθείας τινὰς ἢ δικαίωμα γένους. ἐκ τού-
των δὲ δοκεῖ, ὅτι ἀρχὴν ἔλαβε τὸ τῶν πρωτοτοκίων δικαίωμα. μετὰ
τὸν τῶ πατρὸς θάνατον κατὰ φύσιν ἀκόλουθον ἦν, τὸν πρωτότοκον
ἀρχηγὸν τῶ οἴκου γίνεσθαι, ἐξόχως, ἐπειδὰν μεταξὺ τῶν συνιόντων
αὐτὸν, οὐκ ἦσαν χωρισμῶ ἀφορμαί.

4. „Ἐν μόνῳ, φησὶ, τῷ Δευτερονομίῳ εὑρίσκομεν τὸ διπλῆν
„τῷ πρωτοτόκῳ ἀνήκειν μερίδα.

„Ἰδοὺ τὰ τῶ νόμου λόγια· Ἐὰν δὲ γένωνται ἀνθρώπῳ δύο γυ- Δευτ. 21. 15.
„ναῖκας, μία αὐτῶν ἠγαπημένη, ἡ μία αὐτῶν μισουμένη, ἡ τέκω- 17.
„σιν αὐτῷ ἡ ἠγαπημένη, ἡ ἡ μισουμένη, ἡ γένηται υἱὸς πρωτότο-
„κ☉ τῇ μισουμένῃ... Τὸν πρωτότοκον υἱὸν τῆς μισουμένης ἐπιγνώσε-
„ται δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός
„ἐστιν ἀρχὴ τῶν τέκνων αὐτῶ, ἡ τούτῳ καθήκει τὰ πρωτοτόκια. Δῆ-
λον ἄρα, ὅτι αὕτη ἡ τῶ νόμου διάταξις οὐδὲν ἕτερόν ἐστιν, εἰμὴ ἐφαρ-
μογὴ ἐπίτι εἰδικὸν συμβὰν τῶ τῶν πρωτοτόκων προνομίῳ, τῶ ἐπὶ
ἀποφάσεως ἔκπαλαι γενικῶς παραδεχθείσας τεθεμελιωμένῳ. βέβαιον
δὲ τὸ, ὅτι, οὐδὲ παρὰ Πέρσαις, οὐδὲ παρὰ τοσούτοις ἄλλοις ἀρχαίοις
ἔθνεσιν, ὁ πρωτότοκ☉ τῇ δυνάμει τῶ ἐν τῷ Δευτερονομίῳ νόμῳ
διεδέχετο τὸν πατέρα αὐτῶ μετὰ τὴν τούτου εἰς τὸν θρόνον ἀνάβασιν.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἐν ᾧ ἡ ἀκολουθία τῆς ἀποκρίσεως πρὸς τὰς κατὰ τὸ βιβλίον τῆς Γενέσεως δυσκολίας.

ΑΡΘΡΟΝ Α'.

Περὶ τῆς πράσεως τῶν πρωτοτοκίων τοῦ Ἡσαῦ, καὶ τῆς ἰδιότητος τῆς γῆς τῶν Γεράρων.

1. „Τὸ πλεῖον τῶν Πατέρων μέρος τὸν μὲν Ἡσαῦ κατέκρινε, „τὸν δὲ Ἰακὼβ ἐδικαίωσε, κἂν τὸ ῥητὸν ἐμφαίνῃ τὸν μὲν Ἡσαῦ πέ„νῃ ἀπολλύμενον, τὸν δὲ Ἰακὼβ τῇ καταξάσει, ἐν ᾗ αὐτὸν ἔβλεπε, „καταχρώμενον... Οὐκ ἔστιν ἐπὶ γῆς δικαστήριον, ὅπερ οὐ κατέκρι„νεν ἂν τὸν Ἰακώβ. Τοιοῦτός ἐστιν ὁ πρῶτος τῶν συλλογισμῶν, ὁ ὑπὸ τοῦ κριτικοῦ κατὰ τὸν πατριάρχην Ἰακὼβ προτεινόμενος. Ἰδοὺ δὲ ἡ ἡμετέρα κατ' αὐτοῦ ἀπάντησις.

Τὸ τῆς Γραφῆς ὕφος ἐμφαίνει τὸν Ἡσαῦ ὁρμητικὸν, καὶ ἀθισμένον εὐαρεσῶν εὐθὺς ταῖς ἐπιθυμίαις αὐτοῦ, κἂν ἔτικεν γένοιτο, οὐδὲν ἄρα ἕτερον εἶχε, δυνάμενον κατευνάσαι τὴν πεῖναν αὐτοῦ, εἰμὴ τὸν πίνακα τοῦ φακοῦ; δοκεῖ, ὅτι αὐτὸς παιδιὰν ἐλογίζετο τὸν ὅρκον, καὶ τὸ δικαίωμα, ὅπερ ἐπώλει. διὸ ὡς βραχύτι τιμῶν αὐτὸ, ἄξιος ἦν τῆς τότε ὑςερήσεως. ἡ δὲ τοῦ Θεοῦ πρόνοια ἀφεῖλεν ἀπ' αὐτοῦ, ὅπερ ἡ μόνη συνθήκη μετὰ τοῦ Ἰακὼβ ἀφελεῖν οὐκ ἴσχυεν. ἡμεῖς δὲ ἐπὶ οὐδενὸς δικαστηρίου διαδικαζόμεθα ὑπὲρ τοῦ σηρίζαι τὸ ἐσωτερικὸν κῦρος τῆς τῶν δυὼ ἀδελφῶν ἐμπορίας. βεβαιοῦμεν δὲ, ὅτι ὁ Ἡσαῦ, ὡς ἰδίην δεξάμενος, μεμπτότερός ἐσι τοῦ προτέναντος αὐτὴν Ἰακώβ.

2. Ἄλλη ἔνσασις περὶ τῆς εἰς τὰ Γέραρα τοῦ Ἰσαὰκ ὁδοιπορίας. „Ἰδοὺ, φησὶ, τὸ αὐτὸ ψεῦδος, περὶ οὗ ἐλέγχει ὁ Ἀβραὰμ, τρὶς „ἐπαναλαμβανόμενον. δοκεῖ δὲ ὅτι ὁ αὐτὸς Ἀβιμέλεχ ἐσί. διότι „ἔχει τὸν αὐτὸν ἀρχισωματοφύλακα, ὃς ἦν καὶ ἐπὶ Ἀβραὰμ..., „Οὗτος ἁρπάζει τὴν Ρεβέκκαν, ὥσπερ πρὸ ὀγδοήκοντα ἐτῶν ἥρπασε „τὴν Σάρραν.

Ἡ Ρεβέκκα ἦν πρώτη ἐξαδέλφη τοῦ Ἰσαὰκ, διὸ ἐξῆν αὐτῷ ἀδελφὴν αὐτὴν καλεῖν. διότι συνήθεια ἦν τότε ἀδελφὴν καλεῖν τὴν σύνεγγυς συγγενίδα. ὅθεν ὁ μὲν Ἰσαὰκ ὐδόλως ἐψεύσθη. ἐψεύσθη δὲ παχυλῶς ὁ κριτικὸς ἐκεῖνος, ὅτι ὁ τῶν Γεράρων Βασιλεὺς ἥρπασε τὴν Ρεβέκκαν. τὸ ἐναντίον τοῦ δηλοῖ τὸ τῆς Γενέσεως διήγημα. Πολλοὶ

λοὶ δὲ εἰσιν οἱ ἀρνούμενοι, ὅτι ὁ Ἀβιμέλεχ οὗτος ὁ αὐτὸς ἦν τῷ ἐπὶ Ἀβραὰμ ἐν Γεράροις βασιλεύοντι, τοῦτο αὐτὸ συλλογιζόμενοι καὶ περὶ τοῦ ἀρχισωματοφύλακος. τῷ αὐτῷ δὲ ὀνόματι ἐδεχομένως ἐκαλοῦντο οἱ ἐν Γεράροις τὴν αὐτὴν διαδεχόμενοι ἀξίαν, καθάπερ οἱ ἐν Αἰγύπτῳ τῷ τοῦ Φαραὼ, καὶ οἱ ἐν Ῥώμῃ κατὰ πολλοὺς αἰῶνας τῷ τοῦ Καίσαρος. Γεν. 26. 8-11.

3. Οὐ κατανοεῖ ὁ φιλόσοφος οὗτος, πῶς ὁ Ἰσαὰκ ἔσπειρεν ἐν γῇ ἀλλοτρίᾳ.

Επειδὴ οὐκ ἦν πολὺς ὁ τῶν ἀνθρώπων πληθυσμὸς κατ' ἐκείνους τοὺς ἐγγὺς τοῦ κατακλυσμοῦ καιροὺς, πολλὴ γῆ ἔμεινεν ἀδέσποτος, καὶ ἀγεώργητος.

4. Ἧττον δὲ ὁ αὐτὸς κατανοεῖ τὸ πῶς ἔσπειρεν ἐν ἐρήμῳ ἀμμώδει.

Ἐν μέσῳ τῶν ἐρήμων τόπων εὑρίσκεται γῆ χθαμαλωτέρα, ὅπου τὰ ὕδατα συλλεγόμενα ποιοῦσιν αὐτὴν καρποφορωτάτην. τοιαύτη ἦν ἡ τοποθεσία, ἐν ᾗ ἔκειτο τὸ τοῦ Ἄμμωνος μαντεῖον, τουτέστι ἐν τῷ μέσῳ τῆς ἄμμου τῆς Λιβύας, τοιαύτη ἡ τῆς Παλμύρας ἐν τῇ ἐρήμῳ τῆς Συρίας, τοιαύτη ἡ τῆς πέτρας ἐν τῷ τῆς πετραίας Ἀραβίας κόλπῳ. Στράβ. β. 16. Πλιν. β. 6. κ. 28. Ὅρα καὶ τὸν Λα-Μαρτινερ.

5. „Μᾶλλον δὲ ἀκατανόητον, φησὶ, τὸ πῶς συνέλεξε ἑκατὸν „ἀντὶ ἑνός.

Καὶ ὅμως οἴδαμεν, ὅτι ἡ γεωργητὴ καὶ καθ' ἑαυτὴν καρποφόρος γῆ, καρποδοτεῖ πολλῷ μᾶλλον, ὅταν πολὺν καιρὸν καρπὸν μὴ ἀποδῶ, ἤπερ ὅτε τὰ ἐτήσια σπέρματα ἐκκενώσουσιν αὐτὴν τῶν ἐν αὐτῇ ἁλάτων. τούτοις πρόσθες καὶ τὴν ἐπὶ τῶν πόνων τοῦ Ἰσαὰκ εἰδικὴν τοῦ Θεοῦ εὐλογίαν.

6. Ἰδοὺ πρᾶγμα ἐξηγήσεως ἄξιον. „Διϊσχυρίζεται ὁ αὐτὸς κατὰ „τοῦ τῆς Γενέσεως, συγγραφέως ὅτι οὐδεὶς χείμαρρος ἐν τῷ δὲ τῷ „τόπῳ, ἐξαιρουμένων ῥυάκων τινῶν ἁλμυροῦ ὕδατος. Οἱ συνοδοιποροῦν„τες, φησὶ, οἱ διὰ ταύτης τῆς ἐρήμου διερχόμενοι, ἐν ἀσκοῖς ἀναγκά„ζονται φέρειν τὸ ὕδωρ.

Ὁ λόγος ἐστὶ περὶ τῆς γῆς τῆς μεταξὺ τῶν Γεράρων καὶ τῆς παραλίας, ἧς ἐν τῷ μέσῳ ἔκειτο ἡ Βηρσαβεὲ, λέγας τινὰς ἀπὸ ἀνατολῶν τῆς Γάζης ἀπέχουσα. εὐθὺς οὖν ὅ,τε Εὐσέβιος, καὶ ὁ θεῖος Ἱερώνυμος δηλοῦσιν ἡμῖν, ὅτι ἐν τοῖς κατ' αὐτοὺς χρόνοις ἡ Βηρσαβεὲ „ἦν κώμη μεγίστη, ἐν ᾗ ῥωμαϊκῶν στρατιωτῶν φρούριον ἐνεκάθητο. Ἦσαν δ' ἄρα οἱ Ῥωμαῖοι τοσοῦτον ἄφρονες, ὥστε φρουρὰν στῆσαι ἐν τόπῳ ποτίμου ὕδατος πάντη ἀμοίρῳ; τὸ δὲ πρῶτον βιβλίον τῶν Βα- Εὐσ. ἐν τῷ περὶ τοπικ. ὀνομ. Ἱερων. αὐτοῦ.

σιλειῶν

1. Βασ. 30. 10. σιλειῶν δείκνυσιν ἡμῖν ἐκεῖ τὸν χειμαῤῥον Βοσὸρ· ὡσαύτως καὶ ὁ Ἐρατωσθένης παρὰ στράβωνι πολλοὺς ἱστορεῖ ῥύακας καταβαίνοντας ἀπὸ τῆς Ἀραβίας, καὶ καταντῶντας εἰς τὰ Ῥινοκόλουρα. (370) ὁ δὲ Θεβενότος ἐν τῇ περιηγήσει αὐτοῦ, τῇ ἀπὸ Καίρου ἕως Γάζης, φησίν. „Ἠρξάμεθα βλέπειν ἐν τοῖς Καουνίοις πλῆθος δένδρων, καὶ ἀγροὺς καλοὺς, „ἐν οἷς καὶ ζῶα πολλά τε καὶ παχέα· ἐν δὲ τῷ φρουρίῳ, Σακι (371) „ἀρίστου ὕδατος. ἀνεχωρήσαμεν δὲ ἀπὸ τῶν Καουνίων ἐν σαββάτῳ, „ἡμέρᾳ ἕκτῃ Ἀπριλλίου πρὸ τῆς ἑωθηνῆς πέμπτης ὥρας... ἐν δὲ τῇ „ἕκτῃ ὥρᾳ εὕρομεν Σιβιλ ἁλμυροῦ ὕδατος, καὶ ἐν τῇ ἑβδόμῃ ἄλλο „κρείττονος, μετ' ὀλίγον δὲ ἑωράκαμεν τὴν γαζαίων πόλιν. ἐν δὲ „τῇ ὀγδόῃ καὶ ἡμισείᾳ ὥρᾳ εὕρομεν γέφυραν, ἧς ὑποκάτω ὕδωρ διέρ„χεται τὸ ποτίζον εὐρυχωροτάτους, καὶ παντοίοις καρποφόροις δένδροις „κεκοσμημένους ἀγροὺς ἐν οἷς καὶ πλῆθος ὡραίων νέμεται ζώων· ἐν δὲ „τῷ τῆς γεφύρας πέρατι φρέαρ ποτίμου ὕδατος· μετὰ δὲ μίαν πε„ρίπου ὥραν δύω Σιβιλ, μικρόν τι ἀπ' ἀλλήλων διεστηκότα. περὶ δὲ „τὴν δεκάτην καὶ ἡμίσειαν ὥραν ἤλθομεν εἰς τὴν Γάζαν. Ἀναγκαίως ἄρα ἕπεται, ὅτι ἡ γέφυρα, ἣν ὁ Θεβενότος διῆλθε, δύω ὥρας πρὶν ἢ ἐλθεῖν εἰς τὴν Γάζαν, ἦν ἐν τῷ χειμάῤῥῳ, οὗτινος ἡ ἐκβολὴ ὁ τόπος ἦν, ἐν ᾧ ἔκειτο κατὰ τὸν Σωζόμενον ἡ κώμη Θαβαθὰ, ὅπου ὁ ἅγιος Ἱλαρίων ἐγεννήθη, (372) ἀπέχουσα κατὰ τὸν θεῖον Ἱερώνυμον ἀπὸ τῆς Γάζης μίλια περίπου πέντε. ἔστιν ἄρα κατὰ μεσημβρίαν τῆς Γάζης ὕδωρ καταβαῖνον ἀπὸ ἀνατολῶν, ὅπερ ἐστὶν ἀπὸ τοῦ νομοῦ, ὅπου ἔκειντο τὰ Γέραρα, καὶ ἡ Βηρσαβεέ. ἐν τούτοις δὲ τοῖς ὕδασιν ἡ ἀπὸ τῆς Αἰγύπτου εἰς τὴν Συρίαν πορευομένη τῶν συνοδοιπόρων ὁμήγυρις ποιεῖ τὴν ἐφόδιον τοῦ ὕδατος ἑτοιμασίαν.

Θεβ. περιηγ. Ανατολ. β. 2. κ. 35.

Ἱερ. ἐν τῷ βίῳ Ἱλαρ.

Ἄ Ρ Θ Ρ Ο Ν Β'.

Περὶ τῆς ἀπάτης, ἣν μετῆλθεν ὁ Ἰακὼβ, ἵνα λάβῃ τὴν εὐλογίαν τοῦ Ἰσαάκ,

1. Προσδοκώμενον ἦν πάντως τὸ τὸν κριτικὸν μὴ σιωπῆσαι τὴν ἀπάτην, ἣν ὁ Ἰακὼβ τῇ τῆς μητρὸς αὐτοῦ συμβουλῇ μετῆλθεν, ἵνα λάβῃ τὴν τοῦ Ἰσαὰκ εὐλογίαν. Ἀδύνατον δοκεῖ αὐτῷ τὸ γνωρίσαι „μὲν τὸν Ἰσαὰκ τὴν φωνὴν τοῦ Ἰακὼβ, ἀπατηθῆναι δὲ διὰ τοῦ δέρ„ματος τοῦ ἐρίφου, δι' οὗ ἡ Ῥεβέκκα ἐκάλυψε τὰς τοῦ Ἰακὼβ χεῖ„ρας. ὅσον ἂν ἦν, φησὶ, δασὺς ὁ Ἡσαῦ, τὸ δέρμα αὐτοῦ οὐκ ἠδύνατο „παραπλήσιον εἶναι τῷ τοῦ ἐρίφου. αἰσθητὴ δὲ ἦν εἰκότως ἡ ὀσμὴ τοῦ

„δέρ-

„δέρματος τοῦ προσφάτως σφαγέντος ζώου. ὁ Ἰσαὰκ δὲ ψηλαφή-„σας τὰς τοῦ υἱοῦ αὐτοῦ χεῖρας, ὄνυχας ἐν αὐταῖς οὐχ εὗρεν (373).

Οὗτος ὑποτίθεται τὸν κλινήρη γέροντα, τὸν μηδεμίαν ἀφορμὴν δυσπιστίας λαβόντα, πᾶσαν ἀναδυόμενον προσοχὴν, καὶ ἐπιλαμβανόμενον παντὸς λεπτοῦ ἴχνους, ὥσπερ ἐποίει ἂν ὁ τελείαν ἔχων τὴν τῶν αἰσθήσεων χρῆσιν, καὶ μετὰ πάσης προσέχων τῆς ἀκριβείας· ὁ δὲ οὐδέποτε ὑπώπτευσεν, εἰμὴ ὅτε ἤκουσε τὴν φωνὴν ὁμοιοτέραν τῇ τοῦ Ἰακὼβ, ἤπερ τῇ τοῦ Ἡσαῦ. βεβαιωθεὶς δὲ τῇ τοῦ δασέως δέρματος ψηλαφήσει, ἡσύχασεν, ἀκούσας τὴν ἐπενεχθεῖσαν βεβαίωσιν περὶ τοῦ ὅτι αὐτὸς ἐστὶν ὁ Ἡσαῦ, ἐὰν δὲ τὸ τοιοῦτον ἔργον οὐκ ἦν ἐπίδηλον καὶ ἀληθὲς, οὐ μόνον μακρὰν ἀπεῖχεν ἡ τοῦ Ἰακὼβ πατριὰ ἐφευρεῖν τοιοῦτόντι, ἀλλὰ καὶ δεχθῆναι αὐτό. τοῦτο δὲ ἐπὶ πᾶσιν ἀναλογισθῆ-„ναι ὤφειλεν ὁ ἄπιστος, ὁ διϊσχυριζόμενος, ὅτι τὰ καθ' ἡμᾶς κρι-„τήρια ἐπαίδευον ἂν τὸν Ἰακὼβ, καὶ τὴν Ῥεβέκκαν ὡς ἀπατεῶνας. Ἀλλὰ κἂν τούτῳ, καθάπερ καὶ ἐν ἄλλοις, προφανῶς παραλογεῖ. διότι τὰ καθ' ἡμᾶς κριτήρια οὐχ ὡς πταῖσμα παιδεύουσι τὴν ἀπάτην, ἐπειδὰν τὸ ἀπατηθὲν μέρος μετὰ τὴν ἀκριβῆ τοῦ πράγματος γνῶσιν, ἐπικυροῖ τὸ γεγονός.

2. „Ἐρωτᾷ ὁ αὐτὸς, πῶς ὁ Θεὸς ἐδυνήθη ἐφαρμόσαι τὰς εὐ-„λογίας αὐτοῦ ταῖς τοῦ Ἰσαὰκ, ταῖς δι' ἀπάτης ἁρπαχθείσαις; κτ.

Ἐδυνήθη διὰ τὸ, τὸν μὲν Ἰσαὰκ μετὰ τὴν τῆς ἀπάτης δήλωσιν ἐπικυρῶσαι τὴν εὐλογίαν αὐτοῦ, τὸν δὲ Ἡσαῦ ἄξιον εἶναι τῆς στερήσεως τοῦ τῶν πρωτοτοκίων δικαιώματος, ὡς ὀλίγον τιμήσαντα αὐτό τε, καὶ τὸ τοῦ Θεοῦ ὄνομα, ὅπερ τοσοῦτον εὐχερῶς τε καὶ ἀπρεπῶς διεμαρτύρατο. τελευταῖον δὲ διὰ τὸ, θείᾳ ἀποφάσει ὡρισμένην εἶναι τὴν τοῦ Ἰακὼβ, οὐχί δὲ τὴν τοῦ Ἡσαῦ φυλὴν διαφυλάξαι τὴν ἀληθινὴν λατρείαν ἄχρι τῆς ἐν τῷ κόσμῳ τοῦ λυτρωτοῦ παρουσίας.

Ἄ Ρ Θ Ρ Ο Ν Γ'.

Περὶ τοῦ ἐὰν ἀληθῶς οἱ τοῦ Ἡσαῦ ἀπόγονοι ἔλαβόν τινα ὑπεροχὴν ἐπὶ τοὺς καταγομένους ἐκ τοῦ Ἰακώβ.

1. „Ὁ Ἡσαῦ, φησὶν, ἤρξατο ὀγκᾶσθαι.

Τοιουτοτρόπως ὁ εὐφραδὴς μεταφραστὴς μεταφράζει ταῦτα τῆς Βουλγάτης τὰ ῥήματα. Irrugiit clamora magna, ἐβρυχήσατο κραυγῇ μεγάλῃ. ἠγνόει, ὡς δοκεῖ, ὅτι τὸ μὲν ὀγκᾶσθαι λατινιστὶ λέγεται rudere, τὸ δὲ βρυχᾶσθαι irrugire. (374) ἡ τοιαύτη δὲ ἔκφρασις

 ἐμ-

ἐμφαίνει τὸν Ἡσαῦ ἐν ἀπηνεστάτῃ τότε εὑρισκόμενον καταστάσει. ταύτην δὲ τὴν ὡραίαν αὐτῷ μετάφρασιν συνοδεύει τῇ ἐξῆς σημειώσει.

2. „Μέρος μὲν, φησὶ, τῶν νομιζομένων ἀπογόνων τοῦ Ἡσαῦ „ἐνικήθησαν ἀληθῶς ὑπὸ τῆς τῶν Ἀσμοναίων φυλῆς, ἀλλ' ὅμως „πάντοτε ἐξεδικήθησαν. ἐβοήθησαν τῷ Ναβυχοδονόσορ εἰς τὸ κατα„στρέψαι τὴν Ἱερουσαλὴμ, συνήφθησαν τοῖς Ῥωμαίοις, ὅτε ἐποίησαν „Βασιλέα τῶν Ἰουδαίων τὸν Ἡρώδην τὸν Ἰδουμαῖον, πολλῷ δὲ ὕστερον „ὑπὸ τοῖς τοῦ Μωάμεθ Ἄραψιν· ἐβοήθησαν τῷ Ὄμαρ, καὶ μετὰ ταῦτα „τῷ Σαλαδίνῳ εἰς τὸ καταχυριεῦσαι τῆς Ἱερουσαλὴμ, ἧς ἔτι ἐν μέρει θεατάζουσι, βωμὸν ὡραῖον οἰκοδομήσαντες ἐπ' αὐτῶν τῶν θεμελίων, „τῶν ὑπὸ τοῦ Ἡρώδου παρασκευασθέντων εἰς οἰκοδομὴν τοῦ πολυτίμου „αὐτοῦ ναοῦ. συμμερίζονται δὲ νῦν τοῖς Τούρκοις τὴν τοῦ τόπου τούτου δε„σποτείαν ἀπὸ τῆς Ἰόππης ἄχρι τῆς Δαμασκοῦ. ὅτως ὂν σχεδὸν κα„τὰ πάντα καιρὸν ἡ τοῦ Ἡσαῦ φυλὴ ἐστιν ἡ ἀληθῶς εὐλογηθεῖσα.

Ἄξιον ὄντως τῆς βαθείας αὐτοῦ πολυμαθίας τὸ διορίζειν τοὺς μὲν μέλανας Μωαμεθίτας, τοὺς τὴν Ἱερουσαλὴμ κατοικοῦντας, ἢ τοὺς Ἐμήρους, ἢ Σάχας, τοὺς Ἄραβας, τοὺς ἔντινι τῶν ὑπὸ τὴν διοίκησιν τῶν Τούρκων νομῶν τῆς Παλαισίνης οἰκήσαντας, ἐκ τῆς τῶν Ἰδουμαίων εἶναι φυλῆς· τοὺς δὲ ἐρημίτας Ἄραβας, ἢ τοὺς τοῦ Ὄμαρ ἢ Σαλαδίνῳ ὑπηρετήσαντας, κατάγεσθαι ἐκ τοῦ Ἡσαῦ, ἢ ὄχι ἐκ τοῦ Ἰσμαὴλ, κἂν βέβαιον ὑπάρχῃ, ὅτι τὸ Ἐϊάζ, ἢ τὴν ἀραβικὴν Ἰράκα, ἅπερ ἀπ' ἀρχῆς ἐκτήσατο ὁ Μωάμεθ, ἢ οἱ τούτου διάδοχοι, κατώκουν διαπαντὸς ὄχι Ἰδουμαῖοι, ἀλλ' Ἀγαρηνοὶ, εἴτουν Ἰσμαηλῖται, περιωρισμένοι διαπαντὸς πρὸ τῆς τοῦ γένους αὐτῶν συγχύσεως ἐν ταῖς τῆς πετραίας Ἄραβίας τρώγλαις. ὤφελον οἱ τοῦ Φιλοσόφου τούτου συμφατρίασαι, ἀπόντος ἐκείνου, τοῦτον ἐκκαθᾶραι τὸν ῥύπον. ἐν τοσούτῳ λέγω αὐτοῖς, ὅτι ὀκτακόσια ἔτη πρὸ τῆς τῶν Ἀσμοναίων Βασιλείας οἱ τοῦ Ἰακὼβ ἀπόγονοι ἐπὶ Δαβὶδ ἔδεντο τοῖς Ἰδουμαίοις ζυγὸν, ὃν ἀποσεῖσαι οὐκ ἠδυνήθησαν, εἰμὴ μετὰ ἑκατὸν καὶ ἑξήκοντα ἔτη ἐπὶ τῆς Βασιλείας Ἰωρὰμ. υἱοῦ Ἰωσαφάτ. τῷ ὄντι δὲ τοῦτό ἐστι τὸ ὑπὸ τοῦ Ἰσαὰκ προειρημένον περὶ τοῦ Ἡσαῦ. „Ἔσαι δὲ ἡνίκα ἐὰν καθέλῃς, καὶ ἐκ„λύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου. προσίθημι δὲ, ὅτι ὁ μὲν Ναβυχοδονόσορ τοσοῦτον ἔκλαψε τοὺς Ἰουδαίους, ὅσον καὶ τοὺς Ἰδουμαίους· τὸν δὲ Ἡρώδην, τὸν ἐκ τῆς φυλῆς μὲν τῶν Ἰδουμαίων, Ἰουδαῖον δὲ τὴν θρησκείαν, καὶ ζηλοῦντα τὸ πάντας ὑπολαμβάνειν αὐτὸν ἐξ Ἰουδαίων καταγόμενον, οἱ Ῥωμαῖοι Ἰουδαῖον λογισάμενοι, Βασιλέα ἐποίησαν. καὶ τοὺς μὲν Ἰδουμαίους τὸ ὕσατον παρίσησιν ἡ ἰσορία μόνον ἵνα συνάψῃ αὐτοὺς τοῖς Ἰουδαίοις κατὰ τῶν Ῥωμαίων, μετὰ δὲ ταῦτα

ἀφεὶς

1. Παρελ. 18. 12, 13.
2. Παραλ. 21. 8, 10.
4. Βασ. 3. 26. Γεν. 27. 40. Ἱερ. 19. 20-22. Θρήν. 4. 22, Ἰώσ. β. 14. κ. 2. Ἀρχ. ιγ. β. 4. πολεμ.

ὐδεὶς περὶ αὐτῶν λόγ@· οἱ δὲ Ἰουδαῖοι καίπερ διεσπαρμένοι, ὅμως ἐγνωσμένοι εἰσὶ πανταχῆ ϗ διεσαλμένοι, ἀπειράκις πλείονες τὸν ἀριθμὸν, μᾶλλον ἐφηπλωμένοι ϗ πλήσιοι ἤπερ τὰ λείψανα τῶν παλαιῶν Περσῶν, οἷς ὁ κριτικὸς κατὰ τὴν ἑαυτῆ ἀρέσκειαν αὐτὰς παραβάλλει. σιωπῶ ἐνταῦθα τὸν χριστιανισμὸν, τὸν ὑπὸ τῆ προϊόντ@ ἐκ τῆ Ἰακὼβ θεμελιωθέντα, ϗ διὰ τῶν Ἰουδαίων ἐν πάσῃ τῇ οἰκουμένῃ σηριχθέντα.

ΆΡΘΡΟΝ Δ'.

Περὶ τῆ ἐὰν πρὸ τῆ Ἀβραὰμ, ϗ Ἰακὼβ, εἶχον τὰ ἄλλα ἔθνη μαντεῖα ὑποχόμενα αὐτοῖς τὴν τῆς οἰκουμένης κυριότητα.

1. Ἐνταῦθα ὁ φιλόσοφ@ πρὶν ἢ ὑψῶσαι ἑαυτὸν ἐν τῷ τῆς πολυμαθίας κολοφῶνι, λαμβάνει ἀνακωχήν. „Οἱ σοφοὶ, φησὶ, κριτι„κοὶ τῶν παλαιῶν ἱστοριῶν σημειῶσιν, ὅτι πάντα τὰ ἔθνη εἶχον χρησ„μὸς, προφητείας, ϗ Ταλισμὰν, (375) ἐπικυρῶντα αὐτοῖς τὴν τῆς „γῆς κυριότητα... Οἱ Ἑβραῖοι τότε οὐδὲ πόλεις εἶχον, οὐδὲ κατοική„ματα ἴδια... Εἶδον τὸν Θεὸν ἐν τῷ τῆς κλίμακ@ ὕψει... οἱ νο„μαδικοὶ Ἰουδαῖοι ἤθελον, ὅσον ἠδύναντο μιμεῖσθαι τὰ πλησιόχωρα αὐ„τοῖς ἔθνη.

Καλῶς εἶχεν, ἐὰν ὁ σοφὸς ὅτ@ κριτικὸς ἐξετίθετο τὸς χρησμὸς τῶν ἄλλων ἐθνῶν, τὸς τὴν κυριότητα πάσης τῆς γῆς ὑποχομένους, καθ' ὃν καιρὸν ὁ Ἰακὼβ εἶδε τὴν μυσικὴν τῆς κλίμακ@ ὅρασιν. προτείνει μὲν τὸ παράδειγμα τῶν τῆς Ἑλλάδ@ πόλεων, τῶν καλουμένων πόλεων Θεῦ, τὸ τῆ Παλλαδὸς τῆς Τρωάδ@, τὸ τῆς ἐν Ῥώμῃ Ἱερᾶς Ἀσίδ@, ἀλλὰ τὰ παραδείγματα ταῦτα, τὰ μηδὲν διαλαμβάνοντα περὶ τῆς τῆ παντὸς κυριότητ@, εἰσὶν ὑπερβαλλόντως μειζογενέστερα, παραβαλλόμενα ταῖς πρὸς τὸν Ἰακὼβ ὑποχέσεσιν. ὐκ ἔστι δ' ἄρα γε εὐλογώτερον εἰπεῖν, ὅτι τὰ ἔθνη ταῦτα κατ' ἀκολουθίαν τῆ γεωνιασμῆ αὐτῶν ἠθέλησαν μιμηθῆναι, καθ' ὅσον ἐδυνήθησαν, τὰς ὁράσεις ϗ προφητείας, ὧν οἱ Πατριάρχαι ἠξιώθησαν; Ἀλλ' ἀναμφιβόλως ἐρεῖτις μετὰ τὸν κριτικὸν, ὅτι οἱ Ἕλληνες ἠγνόουν τὴν περὶ τῶν Πατριαρχῶν ἱστορίαν. ἀλλὰ παρατήρησον, ὅτι ὐκ ἠδύναντο ἀγνοεῖν αὐτὴν οἱ Φοίνικες, οἱ πανταχῆ, ἐξόχως δὲ ἐν τῇ Ἑλλάδι, ϗ ἐν τοῖς πέρασι τῆς μικρᾶς Ἀσίας ἀποικίας συσήσαντες. αὖθ δὲ διατηρήσασαι πολλὰς ἀρχαίας τῶν μητροπόλεων αὐτῶν συνηθείας τε ϗ παραδόσεις, μετέδωκαν αὐτὰς τοῖς γείτοσιν αὐτῶν.

2. „Οὐκ ἦν, φησὶν αὐτὸς, τότε ἐν τῇ ἐρήμῳ ταύτῃ οὐδὲ πόλις „Λυζὰ, οὐδὲ πόλις Βαιθήλ (376).“

Ἡ Βαιθὴλ ἔκειτο ἐν τῷ κέντρῳ τῆς γῆς τῆς ἐπαγγελίας, ἥτις ἦν ἡ παλαιὰ τῶν Χαναναίων κατοικία. τὸ δὲ λέγειν τὴν Παλαιςίνην ἔρημον, ταὐτόν ἐςι τῷ ἐλέγχειν πάντας τούς τε ἱερεῖς, καὶ τοὺς ἐθνικοὺς συγγραφεῖς, ὡς ἄνευ τινὸς θεμελίου συγγράψαντας, καὶ τῷ ποιεῖν ἑαυτὸν καταγέλαςον, καὶ τῷ βούλεσθαι ἀγνοεῖν καὶ αὐτὰ τὰ ὀνόματα τῆς Ἱερουσαλὴμ τῆς Σαμαρείας, τῆς Τύρου, τῆς Σιδῶνος, τῆς Πτολεμαΐδος, τῆς Καισαρείας, τῆ Ἀσκάλωνος, τῆς Γάζης, τῆς Τιβεριάδος, τῆς Σκυθοπόλεως, τῆς Διοσπόλεως, τῆς Ἐλευθεροπόλεως, τῆς Χεβρὼν. κτ, κτ.

3. Ἀλλ' ἀκούσωμεν αὐτοῦ ἕως τέλους. „Ὁ δὲ λίθος, φησὶν, ὁ εἰς „μνημόσυνον ἀνιςάμενος, συνήθεια ἦν τῆς παλαιοτάτης ἀρχαιότη„τος, ἥτις ἐκάλει τὰ παχυλὰ ταῦτα μνημεῖα Βαιθύλας..... Ταῦτα „δὲ ἐνομίζοντο ἱερά.... Οἱ ἀνδριάντες οὐκ ἀντεκατεςάθησαν ἀντὶ τῶν „λίθων τούτων, εἰμὴ πολλῷ ὕςερον, ὁ Σαγχουνιάθων λαλεῖ περὶ τῶν „Βαιθύλων ἱερῶν (377).“

Ἀλλ' οὐδὲ ὁ Σαγχουνιάθων, οὐδὲ ἄλλος τις τῶν θύραθεν συγγραφέων οἶδασκε τὸ σημαινόμενον τούτου τοῦ ὀνόματος, οὐδὲ τὸν λόγον, ὃν προσενεμήθη τοῖς νομιζομένοις ἱεροῖς λίθοις. μόνος ὁ Μωϋσῆς δίδωσι τὴν ἀληθῆ αὐτοῦ ἐτυμολογίαν. Βαιθύλη παράγει ἀπὸ τοῦ Βαιθὴλ, ὅπερ σημαίνει οἶκον Θεοῦ, τόπον, ἐν ᾧ ὁ Κύριος ἰδικῶς πάρεςιν. (378) ὁ αὐτὸς δὲ Ἱερὸς συγγραφεὺς ἀποκαλύπτει ἡμῖν τὸν λόγον ταύτης τῆς ὀνομασίας ἐν τῇ ὁράσει, ἐν ᾗ ὁ Ἰακὼβ εἶδε τὸν Θεόν. ὁ συγγραφεὺς ἄρα τῆς Γενέσεως ἐςὶ πολλῷ μᾶλλον καὶ ἀρχαιότερος, καὶ πεπαιδευμένος τῶν ἐθνικῶν συγγραφέων. ἓν μόνον τῶν ῥημάτων αὐτοῦ φῶς ἐκχέει ἐπὶ τὰ ἀρχαῖα πράγματα, τὰ ἐν τοῖς θύραθεν συγγραφεῦσι μηδὲν ἕτερον παρισῶντα, εἰ μὴ σκοτεινὸν χάος.

ΆΡΘΡΟΝ, Ε'.

Περὶ τοῦ πῶς ἐποίησεν ὁ Ἰακὼβ τὰ πρόβατα ῥαντά.

1. Σιωπῶ τὰ ψευδοαιτιάματα (379) ὧν τὸ ψεῦδος ὑπὸ τοῦ ὕφους προφανῶς ἐλέγχεται, τὰς παλιλογίας, τὰς σκαιότητας, τὰ ἄπρεπα, ὧν μυρμηκιῶσιν αἱ τοῦ νομιζομένου φιλοσόφου σημειώσεις, ἵνα εἰς πράγματιώδη τινὰ δυσκολίαν καταντήσω. ὁ λόγος ἐςὶ περὶ τοῦ πῶς ὁ Ἰακὼβ ἐποίησε πρόβατα ῥαντὰ ἐκ τῶν ὁμοιοχρόων προβάτων. „Ἐὰν „ἐξίρκῃ, λέγει αὐτὸς, τὸ τιθέναι χρώματα ἐνώπιον τῶν ὀφθαλμῶν

τῶν,

„τῶν θηλέων πρὸς τὸ τίκτειν νεογνὰ ὁμοιόχροα, ἔτικτον ἂν πᾶσαι αἱ „δαμάλεις μόσχους πρασίνους, ὡσάυτως ἡ πάντα τὰ πρόβατα, ὧν αἱ „μητέρες ἐν τῇ χλόῃ νέμονται, ἦσαν ἂν πράσινα. πᾶσαι δὲ αἱ γυναῖ„κες αἱ θεασάμεναι ῥοδωνιὰς, ἔσχον ἔκγονα ῥοδόχροα. ὁ ἰδιωτι„μὸς ὅτι τῆς τοῦ Ἰακὼβ ἱστορίας οὐδὲν ἕτερον δείκνυσιν, ἢ μὴ ὅτι „αὕτη ἡ ἄπρεπὴς πρόληψις ἐστὶ λίαν παλαιά. οὐδὲν δὲ παλαιότερον „τοῦ σφάλματος ἐν παντὶ πράγματι.... Αὕτη ἡ σημείωσις ἐστὶ τοῦ „κυρίου Φρερέτου, ἥτις καλὴ μὲν ἐστὶ φυσιολογία, κακὴ δὲ Θεολογία."

Ἐν πρώτοις, ὁ συλλογισμὸς, ὃν τῷ κυρίῳ Φρερέτῳ ἐπιγράφει, κάκιστος δοκεῖ μοι κατὰ τοὺς τῆς Λογικῆς κανόνας. τὰ ἀντικείμενα οὐκ ἐνεργοῦσιν ἐν τῷ τοῦ θήλεως καρπῷ, εἰ μὴ ὅταν ἰσχυρῶς προσβάλλωσιν ἐν τοῖς ὀργάνοις τῆς μητρός. ἡ δὲ μήτηρ ὑπὸ μόνων τῶν ἀσυνήθων ἰσχυρὰς πάσχει προσβολάς. ὑπὸ γὰρ τῶν συνήθων πάθος οὐ γίνεται. αἱ μὲν δαμάλεις ἢ τὰ πρόβατα χλοὸν διαπαντὸς ἔχουσι πρὸ ὀφθαλμῶν τὴν χλόην. αἱ δὲ γυναῖκες εἰθισμέναι εἰσὶ ταῖς ῥοδωνιαῖς, ἢ τοῖς ῥόδοις. πρεπόντως ἂν τὰ ἀντικείμενα ταῦτα οὐ δύνανται ἐνεργῆσαι ἐν τῇ καταστευῇ τῆς χρόας τῶν καρπῶν αὐτῶν, οὐδὲ ποιῆσαι προβατα ἢ μόσχους πρασίνους, ἢ τέκνα ῥοδόχροα. οὐκ ἀνενέργητοι δὲ πεφύκασιν εἶναι αἱ λελεπισμέναι ῥάβδοι, αἱ τοῖς ὀφθαλμοῖς τῶν οἴνου τῆς συνουσίας θερμανθέντων προβάτων παριςῶσαι διαφόρων σιγμάτων ἀλλεπάλληλον ποικιλίαν λευκοῦ τε ἢ πρασίνου. διότι οἱ ὀφθαλμοὶ αὐτῶν μὴ ὄντες εἰθισμένοι τῷ τῆς χρόας ταύτης ποικίλῳ, εἰκότως ἐπλήγησαν ἰσχυρῶς. αὕτη δὲ ἡ προσβολὴ, ἡ ἐν αὐτῷ τῷ τῆς συνουσίος καιρῷ γενομένη εὐδυνήθη ἐνεργῆσαι ἐν τῷ παραχθέντι καρπῷ. ἡ ἄρα παλαιὰ πρόληψις τοῦ σοφίσματος τούτων τῶν Φιλοσόφων καθαρθεῖσα, ἢ κατὰ τὴν ἑαυτῆς ἐμφανισθεῖσαν ἀλήθειαν, οὐδὲ ἄπρεπός ἐστιν, οὐδὲ γελοιώδης. ἀναρίθμητα ἔχομεν παραδείγματα ἐκτῶν ἀποτελεσμάτων, ἐν τοῖς ἐμβρύοις γεγονότων ὑπὸ τῶν ἐφελκυσικῶν, ἢ ἢ τῶν φοβερῶν ἀσυνήθων ἀντικειμένων, τῶν ἐν τῷ τῆς κυήσεως καιρῷ τυχόντων ἐνώπιον τῶν ὀφθαλμῶν τῶν μητέρων. εὑρίσκομεν δὲ τὰ παραδείγματα ταῦτα ἐν τῷ τοῦ θεοῦ Ἱερωνύμου εἰς τόδε τὸ κεφάλαιον τῆς Γενέσεως ὑπομνήματι, ἢ παρὰ τῷ Ἀπιανῷ, τῷ Ἀριστοτέλει, τῷ Πλινίῳ, τῷ Γαληνῷ, τῷ Ἀβικένᾳ, τῷ Ἀβσύρτῃ, κτ, (380) συνελόντι εἰπεῖν παρά τε τοῖς παλαιοῖς ἢ νεωτέροις συγγραφεῦσιν. ἄπρεπον ἄρα τὸ τοσοῦτον ἀποφαντικῶς λέγειν, ὅτι ὁ συλλογισμὸς οὗτος καλή ἐστι φυσιολογία. οὐδένα δὲ οἶδα τῶν θεολογούντων ἀποφαινόμενον, ὅτι ὁ παράδοξος πολλαπλασιασμὸς τῶν ῥαντῶν τοῦ Ἰακὼβ ποιμνίων ἦν ἁπλοῦν φυσικὸν ἀποτέλεσμα. τῶν ἐν τοῖς ποτισηρίοις

Α'π. β 1. Κυνηγ. Α'ριστ. ἐν προβλ. πλίν. β. 7. κ. 12. Γαλην. ἐν Θηρ'ακ. Α'βικ. β. 1. περὶ ζώων.

ςηρίοις τεθέντων ποικιλοχρόων ῥάβδων. πάνυ δὲ ἐνδεχόμενον τὸ ἀποτυχεῖν ὅπερ ὁ Ἰακὼβ ἐπέτυχε, κἂν τὸ αὐτὸ ποιήσωμεν ὅπερ ἐκεῖνος. Ἡ δὲ Γένεσις ἔοικε λέγουσα, ὅτι ὁ Ἰακὼβ ὀφείλει τὴν τοσοῦτον γενικὴν καὶ βεβαίαν ἔκβασιν τῇ ἰδιαζούσῃ τῆς προνοίας διοικήσει.

Ἄ Ρ Θ Ρ Ο Ν ς'.

Περὶ τοῦ ἐὰν ὁ τοῦ Ἀβραὰμ οἶκος ἦν διαπαντὸς εἰδωλολάτρης.

1. Ἰδοὺ πολλά τινα, κατὰ τὸν κριτικὸν, ἀξιοσημείωτα. „Ὁ Θεὸς ἀπα„γορεύει, φησὶ, τῷ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ λαβεῖν γυναῖ„κας εἰδωλολάτριδας. πάντες δὲ οὗτοι οἱ τρεῖς κατὰ προςαγὴν αὐτοῦ „τοῦ Θεοῦ γυναῖκας λαμβάνουσι τὰς εἰδωλολάτριδας συγγενίδας αὐ„τῶν, ἐγγόνους τοῦ Θάῤῥα τοῦ πλινθουργοῦ, καὶ εἰδωλοπλάςου."

Οὐδὲν τῶν κεκυρωμένων συγγραμμάτων διαλαμβάνει, ὅτι ὁ Θάῤῥα ἦν πλινθουργὸς καὶ εἰδωλοπλάςης. αὕτη δὲ ἡ γνώμη οὐ τεθεμελίωται, εἰμὴ ἐπὶ τὰς νομιζομένας παραδόσεις τῶν Ἰουδαίων, τῶν ὑπαρξάντων μετὰ τὸν τέλειον διασκορπισμὸν αὐτῶν, τὸν ἐπὶ τῆς Βασιλείας τοῦ Ἀδριανοῦ. Τὸ τοῦ Ἰησοῦ βιβλίον φησὶν, ὅτι ὁ Θάῤῥα καὶ οἱ πατέρες αὐτοῦ
Ἰε. 24. 2, παρῳκήσαντες πέραν τοῦ ποταμοῦ ἐλάτρευσαν Θεοῖς ἑτέροις. ἀλλ' ἡ πα-
Γεν. 12. 1. τριὰ αὕτη ὅτε τὴν τῶν Χαλδαίων κατέλιπε γῆν, καὶ τὴν τοῦ Θεοῦ ἤκουσε φωνὴν, ἀπεςράφη εὐθὺς τὴν εἰδωλολατρείαν. ὁ Ἀβραὰμ, ὁ τούτου ἀδελφιδοὺς Λὼτ, ἡ Σάῤῥα, ὁ Ἰσαὰκ, ἡ Ῥεβέκκα; καὶ πᾶς ὁ οἶκος αὐτῶν ἐπεκαλοῦντο τὸν ἕνα καὶ μόνον Θεὸν. ἀναγινώσκομεν ἀληθῶς ἐν
Γεν. 31. 16. τῇ Γενέσει, τὸ, Ἔκλεψε Ῥαχὴλ τὰ Θεραφεὶν τοῦ πατρὸς αὐτῆς Λάβαν, (381) ἀλλ' οὐδὲ τὸ τί εἰσι τὰ Θεραφεὶν ἀκριβῶς οἴδαμεν, οὐδὲ τίνι λόγῳ ἔκλεψεν αὐτὰ ἡ Ῥαχήλ (382). Ὁ Λιγθφοότος νομίζει, ὅτι ἦσαν αἱ τῶν τοῦ Λάβαν προγόνων εἰκόνες. ἀλλ' οἱ Ἑβδομήκοντα καὶ ἡ Βουλγάτα μεταφέρουσι τὴν λέξιν ταύτην εἰς τὸ, εἴδωλα. ἡ δὲ τούτων μετάφρασις ςηρίζεται ἐπὶ τὸ εἰρημένον ἐν τῷ τριακοςῷ πέμπτῳ κεφαλαίῳ. „Καὶ ἔδωκαν τῷ Ἰακὼβ τοὺς Θεοὺς τοὺς ἀλλοτρίους, οἳ „ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν." καὶ κατέκρυψεν αὐτὰ Ἰακὼβ ὑπὸ τὴν Τερέβινθον. Ἐπὶ τῇ ὑποθέσει οὖν, ὅτι τὰ τοῦ Λάβαν Θεραφεὶν, τὰ ὑπ' αὐτοῦ ε λ ο χ α ι, Θεοὺς αὐτοῦ καλούμενα, ἦσαν εἴδωλα, οὐχ ἕπεται τὸ καὶ τὸν Βαθουὴλ, καὶ τὴν Ῥεβέκκαν, καὶ τὴν Λείαν, καὶ αὐτὴν τὴν Ῥαχὴλ εἰς τὴν τῆς εἰδωλολατρείας πλάνην κατολισθῆσαι, ἀλλὰ τὸ, αὐτὸν μονον τὸν Λάβαν τὰς τῶν εἰδωλολατρῶν δεισιδαιμονίας δεξάμενον, διϊσχυρίζεσθαι

συνά-

συνάπτειν αὐτὰς τῇ τῦ ἀληθινῦ Θεῦ λατρείᾳ, ὅτινος τὸ ὄνομα ἐνόρκως ἐπεκαλέσατο. κἂν δὲ ὑποτεθῇ ἁπλῶς, ἢ ἄνευ τινὸς ἀποδείξεως, ὅτι ἡ Ῥαχὴλ, δεισιδαιμονικῇ εὐλαβείᾳ, ἔκλεψε τὰ Θεραφὶν, μακρὰν ὅμως ἀπέχουσιν οἱ ὑπὸ τῦ Ἀβραὰμ ἀπαγορευθέντες γάμοι μετὰ τῶν Χανανίτιδων ἀπὸ τῦ τῆς Ῥαχὴλ, ἣν ὁ Ἰακὼβ ἐνυμφεύσατο. ὁ μὲν οἶκος τῦ Ἀβραὰμ εἰς τὴν γῆν Χαναὰν μετατεθεὶς, ἐκινδύνευε σφόδρα πάσας δεχθῆναι τὰς τῶν Χαναναίων δεισιδαιμονίας, ἅπερ διὰ τῶν γάμων, αὐτοῖς συνήπτετο. ὁ δὲ Ἰακὼβ λαβὼν πέραν τῦ Εὐφράτου γυναῖκα ἐκ τῶν συγγενίδων αὐτῦ, ἢ εἰσαγαγὼν αὐτὴν ἐν τῷ οἴκῳ τῦ Ἰσαὰκ τοιαύτῃ βλάβῃ οὐχ ὑπέκειτο (383).

ΑΡΘΡΟΝ Ζ.

Περὶ τῦ ἐὰν ὁ Ἰακὼβ ἐπάλαισε μόνῳ φάσματι, ἢ περὶ τῆς σημασίας τῦ ὀνόματος αὐτῦ Ἰσραήλ.

1. „Ὁ Ἰακὼβ, φησὶ, παλαίει ὅλην τὴν νύκτα μετὰ εἰδώλου, φάσμα„τος, ἀνθρώπου. ὅτος δὲ ὁ ἄνθρωπος, τῦτο τὸ εἴδωλον ἐστὶν αὐ„τὸς ὁ Θεός.„

Οὕτως οὐ μόνον οὐκ ἠχύνθη μετελθεῖν τάυτην τὴν βλάσφημον ἔκθεσιν, ἀλλ' εἰς τοσαύτην ἀναίδειαν κατήντησεν, ὥςε ἢ ἐνέθηκεν ἐν τῇ λεγομένῃ μεταφράσει αὐτῦ τὰ τῦ εἰδώλου, ἢ τῦ φάσματος ἀποτρόπαια ὀνόματα, τὰ μηδὲ ἐν τῷ ὕφει, μηδὲ ἐν μηδεμιᾷ τῶν μεταφράσεων κείμενα. ὁ δὲ μετὰ τῦ Ἰακὼβ παλαίσας ὁ Ἄγγελός ἐστιν, ὁ ὑπὸ Θεῦ ἀπεσταλμένος, ἢ ἐν μορφῇ ἀνθρώπου ἐμφανισθεὶς, ἵνα μετὰ τῦ Ἰακὼβ παλαίσας, δηλοποιήσῃ αὐτῷ, πόσον δύναται τῇ τῦ Θεῦ βοηθείᾳ ὁ ἀδύνατος ἄνθρωπος. Ωσ. 12. 4. Σοφ. 10. 10.

2. Ἀριθμήσας, ὁ αὐτὸς, διάφορα τῦ μηρῦ νεῦρα, προσίθησι τήνδε τὴν σκέψιν. „Ὁ συγγραφεὺς οὐκ ἠδύνατο εἰς τοιαύτας λεπτο„λογίας, ἡ ἀνατομία τότε οὐκ ἦν γνωστή.“

Λαλεῖ ὥσπερ ἄν εἰ ὁ Ἱστορικὸς ὁ διηγούμενος τὸ συμβὰν, δῦ γέγονέ τις χωλὸς, ὤφελε εἰπεῖν ἢ τὸ ὄνομα τῦ βλαβέντος νεύρου κατὰ τὴν τῶν ἀνατομικῶν, δοθεῖσαν αὐτῷ ὀνομασίαν.

3. Ἄλλη τῦ φιλοσόφου παρατήρησις ἐστὶν ἡ ἑξῆς. „Ἀκμὴ μόνευτός „ἐστιν ὁ καιρὸς, ἐξότου ἤρξαντο πιστεύειν, ὅτι πάντα τὰ φάσματα φεύ„γουσιν ἐπιφωσκούσης τῆς ἡμέρας. παράγει δὲ ἡ ἰδέα αὕτη ἀπὸ τῶν „νυκτερινῶν ἐνυπνίων, τῶν ἐκλειπόντων τὸ πρωΐ, ἐπειδὰν ἐξεγερ„θῶμεν.“

Προσ-

Προειδὼς, ὡς δοκεῖ, ὁ Ἱερὸς συγγραφεὺς τοῦτο τῇ ἀπίσῃ τὸ ἐ-
Γεν. 32. 31, νύπνιον, ἔφην. Ἀνατέλλοντος τοῦ Ἡλίου ὁ μὲν Ἰακὼβ ἀληθῶς ἐ-
32. πέσκαζε τῷ μηρῷ αὐτοῦ, ὁ δὲ οἶκος αὐτοῦ εἰς μνημόσυνον τοῦ συμβάν-
τος ἐκ ἤθελε τὸ νεῦρον τοῦ μηροῦ τῶν ζώων, ὅπερ ὁ Ἄγγελος ἥψατο
τοῦ Ἰακώβ.

4. Περὶ τοῦ ὀνόματος τοῦ Ἰακὼβ, τοῦ μεταβληθέντος εἰς τὸ τοῦ
Ἰσραὴλ φησὶν ὁ αὐτός. Τοῦτο τὸ ὄνομά ἐστιν Ἀγγέλου Χαλδαίου.
Οὐδέποτε ὑπῆρξεν ὠδὲ Ἄγγελος καλούμενος Ἰσραὴλ, ὠδὲ Ἄγ-
γελος Χαλδαῖος.

5. „Φίλων ὁ Ἰουδαῖος ὁ σοφώτατος. εἰπὼν ἔδει ὁ εὐφραδέσα-
„τος. λέγει, ὅτι τοῦτο τὸ Χαλδαϊκὸν ὄνομα σημαίνει ὁρῶν τὸν Θεὸν,
„οὐχὶ δὲ ἰσχυρὸν ἐναντίον τοῦ Θεοῦ (384)."

Εἶπον αὐτῷ ἐν τῷ ὑπ' ἐμοῦ συντεθέντι πονήματι τῆς ὑπεραπίσεως
τῶν τῆς παλαιᾶς Διαθήκης βιβλίων, ὅτι τὸ ὄνομα Ἰσραὴλ οὐκ ἔχει
Χαλδαϊκὸν, ἀλλ' ἑβραϊκόν, οὐκ ἐμφαίνει ἄρα ἑαυτὸν ὁ φιλόσοφος
παραλογώτατον, ὑποτιθέμενος ὅτι ὁ Φίλων ὁ ἑλληνιστὴς Ἀλεξαν-
δρεὺς Ἰουδαῖος, ὁ ἐν τῷ πρώτῳ αἰῶνι τοῦ Χριστιανικοῦ ἔτους, ἠπίστατο
τὴν ἑβραΐδα διάλεκτον, νεκρὰν τότε ὡσεὶ πρὸ ἐτῶν πεντακοσίων καὶ
ἐπέκεινα, ἐντελέστερον τοῦ Μωϋσέως τοῦ τῆς Γενέσεως ποιητοῦ, καὶ τοῦ
προφήτου Ὡσηὲ, ὧν ἡ διάλεκτος αὐτὴ ἦν φύσει ἰδία, καὶ ὑπ' αὐτῶν
λαλουμένη, ὑπὸ μὲν τοῦ πρώτου πεντεκαίδεκα, ὑπὸ δὲ τοῦ δευτέρου ὀκ-
τὼ αἰῶνας πρὸ τοῦ τὸν Φίλωνα ὀφθῆναι ἐν τῷ κόσμῳ; οἱ δύω οὗτοι
συγγραφεῖς, οἱ διὰ τὴν ἀρχαιότητα αὐτῶν, παλαιῶ δὲ μᾶλλον διὰ τὸ
Γεν. 42. 28. Ἱερὸς εἶναι συγγραφεῖς, σεβάσμιοι, ἐθηλοποίησαν, ὅτι τὸ ὄνομα Ἰσ-
Ωσ. 12. 3, 4. ραὴλ σημαίνει, ἰσχυρὸν ἐναντίον τοῦ Θεοῦ.

Ἄρθρον Η'.

Περὶ τῆς κατὰ τῆς Δείνας βίας, καὶ τῶν ἐπακολουθημάτων αὐτῆς, καὶ περὶ τοῦ ἐὰν αὐτὴ τότε ἦν μόνον ἑξαέτης.

1. Περὶ τῆς βίας, ἣν ὑπέσχε ἡ Δείνα ὑπὸ τοῦ τῶν Σηκίμων Βα-
σιλέως, καὶ περὶ τῶν θανατηφόρων αὐτῆς ἐπακολουθημάτων, φησὶν ὁ
αὐτός. „Ὁ Ἀβενέζρας, εἶτα καὶ Ἀλφόνσος ὁ ἐπίσκοπος τῆς Ἀβί-
„λας, (οὗτος ἐστιν ὁ Τοσάτος) ὁ Καρδινάλιος ὁ Καιετάνος, καὶ σχε-
„δὸν πάντες οἱ νεώτεροι ὑπομνηματισταὶ, ἐπὶ πᾶσι δὲ ὁ Ἀρὰκ, ἀ-
„πέδειξαν ἐκ τῆς τῶν ἁγίων βιβλίων διατάξεως, ὅτι κατὰ τὴν τῆς
„χρονολογικῆς τάξεως ἀκολουθίαν, ἡ μὲν Δείνα, ὅτε ὁ Βασιλεὺς τῆς
„Σηχὲμ ὑπερβαλλόντως αὐτῆς ἠράσθη, τὴν ἑξαέτη οὐχ ὑπερηκοντι-

ζεν

„ζεν ἡλικίαν, ὁ δὲ Συμεὼν ἦν ἐνδεκαέτης, ἢ δωδεκαέτης, ὁ δὲ Λευὶ „δεκαέτης, ὅτε μόνοι ἀπέκτειναν πάντας τοὺς Σιχεμίτας. ἑπομένως „δὲ ἡ ἰσορία αὕτη, ἐάν ἡ Γένεσις μένῃ ἐν τῇ ἐνεσώσῃ αὐτῆς τάξει, „ἐμφαίνει τὰ ἀδύνατα-"

Βλέπομεν καθαρῶς, ὅτι λαλεῖ περὶ ὕλης, ἣν ὐδόλως κατανοεῖ. Ἡ ὑπ' αὐτῦ προτεινομένη δυσκολία περὶ τῆς ἡλικίας τῆς Δείνας ἢ τῦ Συμεὼν ὐκ ἔχει τόπον, ἐμὴ ἐπὶ τῇ ὑποθέσει τῦ ὅτι τῦτο τὸ ἀλιθερὸν συμβὰν ἠκολύθησε κατὰ τὸ αὐτὸ ἔτ☉, καθ' ὃ Ἰακὼβ ἐπέςρεψεν ἀπὸ τῆς Παλαιςίνης. ἀλλ' ἡ Γένεσις μὴ τιθεῖσα τὸ συμβὰν κατὰ τῦτο αὐτὸ τὸ ἔτ☉, διδάσκει ἡμᾶς τὸ, ὅτι ὁ Πατριάρχης Ἰακὼβ πολὺν διέτριψε χρόνον ἐν Παλαιςίνῃ. ἢ πρῶτον μὲν ἔμεινεν ἐν Γεν. 33. 17. Σοκὸθ (385), εἶτα ἐςάθη ἐν Σηκίμοις, ὅπυ ἐκτήσατο ἀγρόν. οἱ δὲ 19. ἄριςοι χρονολόγοι ἀναλογίζονται, ὅτι ἐχρονοτρίβησεν ἐν Σοκὸθ, ἢ ἐν Σηκίμοις, ἔτη δέκα. ὐδεμία δὲ λέξις κεῖται ἐν τῇ Γενέσει, δυναμένη προξενῆσαι δυσκολίαν τινὰ κατὰ τύτυς τοὺς ἀναλογισμύς. ἡ μὲν ὖν Δείνα ἐτῶν ἦν δεκαὲξ, ἢ δεκαεπτά. οἱ δὲ ἀδελφοὶ αὐτῆς Λευὶ ἢ Συμεὼν, εἰκοσιδύω, ἢ εἰκοσιτριῶν, ὅτε τὸ δυσχὲς τῦ Σιχὲμ συμβὰν ἠνάγκασε τὸν Ἰακὼβ καταλιπεῖν μὲν τὸν νομὸν τῶν Σηκίμων, ἐλθεῖν δὲ εἰς Γεν. 35. 27. Βαιθὴλ, ὅθεν ἀπῆλθεν εἰς τὴν Μαμβρῆ παρὰ τῷ πατρὶ αὐτῦ Ἰσαὰκ.

Ἀληθῶς ἡ τῦ Ἰσαὰκ τελευτὴ, ἡ ἐν τῷ τέλει τῦ τριακος ῦ πέμπτυ κεφαλαίυ τῆς Γενέσεως δηλυμένη, συνέβη μετὰ τὴν εἰς τὴν Αἴγυπτον τῦ Ἰωσὴφ μεταπομπὴν, καθ' ὃν περὶ αὐτῆς ὐδεὶς λόγ☉, ἐμὴ ἐν τῷ τριακοσῷ ἑβδόμῳ κεφαλαίῳ. ἀλλὰ ῥᾴδιον καταμαθεῖν, ὅτι ὁ ἱερὸς συγγραφεὺς προέγραψε τὴν διήγησιν τῆς τῦ Ἰσαὰκ τελευτῆς, ἢ τὴν γενεαλογίαν τῶν τῦ Ἡσαῦ ἀπογόνων, ὐκ ἄλλυ τινὸς ἕνεκα, ἐμὴ, ἵνα μὴ μετὰ ταῦτα ἀναγκασθῇ παρακόψαι τὰ περὶ τῦ Ἰωσὴφ, ἢ τῶν ἄλλων τέκνων τῦ Ἰακὼβ ἰσορύμενα, ἢ ὑπ' αὐτῦ συνεχιζόμενα ἄχρι τῦ τῆς βίβλυ αὐτῦ τέλυς. τῦτο δὲ ὐκ ἔςιν ἀταξία, ἀλλὰ μέθοδ☉, ἥπερ ἐπακολυθῦσι πάντες οἱ ἱςορικοὶ, οἱ μὴ βυλόμενοι διαχωρίζειν ψυχρῶς τὰ πράγματα. ἀλλὰ τῦτο ὐδὲν συντείνει πρὸς τὴν χρονολογίαν τῶν περὶ τῆς Δείνας ἱςορυμένων, τῶν γεγονότων πρὸ τῆς τελευτῆς τῦ Ἰσαὰκ, ἢ τῆς πράσεως τῦ Ἰωσήφ. ὁ Ἰσαὰκ, ὁ ζήσας ἔτη ὀγδοήκοντα πρὸς τοῖς ἑκατὸν, ὅτε μὲν ἡ Δείνα ἐβιάσθη, ἦν ἐτῶν ἑκατὸν ἢ ἑβδομηκονταετῶν. ὅτε δὲ ὁ Ἰωσὴφ ἐπράθη διὰ τῶν ἀδελφῶν αὐτῦ, ἑκατὸν ἢ ἑβδομηκονταετεσσάρων. πᾶσα δὲ ἡ ὑπό τινων κριτικῶν ὑποθετικῶς νυμένη ἐνταῦθα ἀταξία ἴσα ἐν ταύταις ταῖς δυσὶ λέξεσι τῦ δευτέρυ ἑδαφίυ τῦ τριακος ῦ ἑβ όμυκεφαλαίυ. Αὗται δὲ εἰσιν αἱ γενέσεις Ἰακώβ. διαλογίζονται δὲ ἤτοι, ὅτι πρέπον ἦν ἀναχθῆναι Γεν. 37. 2.

Γεν. 27. 2. αὐτὰς ἐν τῷ εἰκοστῷ ἕκτῳ ἐδαφίῳ τοῦ τριακοστοῦ πέμπτου κεφαλαίου, ὅπου διαπεραιοῦται ὁ τῶν ἡμῶν τοῦ Ἰακὼβ κατάλογος.

2. Οἱ σοφοὶ, φησὶν, ἀρνοῦνται ἐξ ὁλοκλήρου ὅλον τὸ τῇ Δείνᾳ, καὶ τῷ Σηχὲμ συμβάν.

Ὅταν λέγῃ οἱ σοφοὶ, λαλεῖ περὶ ἑαυτοῦ. οὗτοι οὖν οἱ σοφοὶ ὑποτίθενται, ὅτι ἡ ἱστορία αὕτη ἐπλάσθη ὑπό τινος τῶν εἰκειακῶν τοῦ Ἰακὼβ, καὶ ταῦτα ἵνα τιμήσῃ πάντως πάντας τοὺς ἰδίους προγόνους, ἀλλὰ τούτου κειμένου, διατὶ ὁ πλάστης οὗτος παρίστησι τὸν Ἰακὼβ καταρώμενον τὸν Συμεὼν καὶ τὸν Λευΐ, ὡς ἀρχηγοὺς χρηματίσαντας τοῦ κατὰ τῶν Σηκιμιτῶν ἐγχειρήματος;

3. „Πολλοὶ, φησὶ, τῶν κριτικῶν θαυμάζοντες καὶ λυπούμενοι, ἐ„σημείωσαν, ὅτι ὁ Θεὸς τοῦ Ἰακὼβ οὐδεμίαν ἔνδειξιν ἐποίησεν ὑπὲρ τῶν φονευθέντων Σηκιμιτῶν.

Γελοιώδεις κριτικοὶ, οἱ πιστεύσαντες ὅτι ὁ ἱστορικὸς ὁσάκις διηγεῖταί τινα πονηρὰν πρᾶξιν, ὀφείλει σημειῶσαι καὶ τὴν κατ' αὐτῆς τοῦ Θεοῦ ἀποστροφήν· οὐκ ἐσημείωσεν ἄρα ἱκανῶς ὁ Θεὸς τοῦ Ἰακὼβ τὴν ὀργὴν αὐτοῦ, φωτίσας τὸν Πατριάρχην Ἰακὼβ ἐν τῇ ὥρᾳ τοῦ θανά-
Γεν. 49. 5-7. του αὐτοῦ μὴ εὐλογῆσαι τὸν Συμεὼν καὶ τὸν Λευΐ εἰς ποινὴν τῆς δυναστείας, ἣν ἐποίησαν ἐν Σηκίμοις;

Ἄ Ρ Θ Ρ Ο Ν, Θ'.

Περὶ τοῦ ὀνόματος Ἐφραθᾶ τοῦ δοθέντος τῇ Βηθλεὲμ, καὶ τῆς διαδοχῆς τῶν τῆς Ἰδουμαίας Βασιλέων.

1. „Ἄλλη σημείωσις. Τὸ λεγόμενον ἐν τῷ ὕφει περὶ τῆς πόλεως „Ἐφραθᾶ, καὶ τῆς κώμης Βηθλεὲμ, ἀφορμὴν πρὸς τούτοις παρέχει „τοῖς κριτικοῖς λέγειν, ὅτι ὁ Μωϋσῆς οὐσυνέγραψε τὴν Πεντάτευχον· „ὁ δὲ λόγος αὐτῶν οὗτός ἐστιν. Ἡ πόλις ἐφραθᾶ οὐκ ἔλαβε ταύτην „τὴν ὀνομασίαν, εἰμὴ ἐκ τοῦ Χάλεβ ἐπὶ Ἰησοῦ. ὕπω δὲ τότε οὐδὲ ἡ „Βηθλεὲμ, οὐδὲ ἡ Ἱερουσαλὴμ ὑπῆρχε. τῇ δὲ Βηθλεὲμ ἐδόθη ἡ ὀνομασία „ἐκ τῆς τοῦ Χάλεβ γυναικὸς, τῆς καλουμένης Ἐφραθᾶ. αὕτη, „ἐπαναλαμβάνει ὁ φιλόσοφος, ἡ νέα ἐπίκρισις ἐστὶν ἰσχυρά. Ὑπῆρχεν ἂν λόγου τινὸς ἀξία, εἴπερ εἰρημένον ἦν, ὅτι ἡ Βηθλεὲμ ἐκλήθη Ἐφραθᾶ ἐκ τῆς Ἐφραθᾶ γυναικὸς τοῦ Χάλεβ. ἀλλὰ τοῦτο οὐδαμοῦ κεῖται. βλέπομεν ἐν τῷ πρώτῳ βιβλίῳ τῶν Παραλειπομένων τὴν γυναῖκα τοῦ
1. Παραλ. 2. 19. Χάλεβ καλουμένην Ἐφρὰθ, ἀλλ' οὐδὲ ἐν αὐτῷ, οὐδὲ ἀλλαχοῦ λέγεται. ὅτι αὐτὴ παρέσχε τὸ ὄνομα αὐτῆς τῇ Βηθλεέμ. πείθει δὲ ὁ λόγος πιστεύειν, ὅτι αὐτὴ οὐκ ἐκλήθη Ἐφρὰθ, εἰμὴ ἐκ τοῦ ὀνόματος Ἐφρὰθ

τῆς πατρίδος αὐτῆς. ὁ δὲ φιλόσοφος ὅτος προτείνων τὴν Βηθλεὲμ, λαβοῦσαν τὸ ὄνομα Ἐφραθᾶ ἐκ τῆς γυναικὸς τοῦ Χάλεβ ἐπὶ Ἰησοῦ, ὑποτίθεται τὴν Βηθλεὲμ ὑπάρχουσαν ἐπὶ Ἰησοῦ. διὸ καταργεῖ τὸ ἀμέσως ὑπ' αὐτῶ προειρημένον, τουτέστι τὸ, ὅτι τότε οὐδὲ ἡ Βηθλεὲμ ὑπῆρχεν, οὐδὲ ἡ Ἱερουσαλήμ.

2. Τῇ νέᾳ ταύτῃ ἐπικρίσει προσίθησιν ὁ ἄπιστος ἄλλην παλαιοτέρας ἐκδόσεως· „Ἐπίθηλόν ἐστι, λέγει, ὅτι τὰ λόγια ταῦτα. Προ- Γε. 36. 31.
„τοῦ βασιλεῦσαι Βασιλέα ἐν Ἰσραὴλ, οὐκ ἐγράφησαν, εἰμὴ ἐν τοῖς χρό-
„νοις τῶν Βασιλέων τοῦ Ἰσραήλ. ὕτω φρονεῖ ὁ σοφὸς Κλὲρκ, πολ-
„λοὶ θεολόγοι Ὁλανδοὶ, ἡ Ἄγγλοι, & αὐτὸς ὁ μέγας Νεύτων....
„Ἑάντις τῶν νεωτέρων συγγραφέων ἔγραφεν. ἰδοὺ οἱ Βασιλεῖς οἱ βα-
„σιλεύσαντες ἐν τῇ Ἰασανίᾳ πρὸ τῆς ὑπάρξεως τῶν ἐν τῇ Γερμανίᾳ
„Ἐλεκτόρων. ἐπείθετο ἂν πάντως ὁ κόσμος ὅλος, ὅτι ὁ συγγραφεὺς
„ἔγραψε ταῦτα ἐν τῶ τῶν Ἐκλεκτόρων καιρῶ.

Ἀναμφιβόλως ὅλος ὁ κόσμος ὕτως ἐπείθετο, εἰδὼς, ὅτι ὁ νεώτερος ὅτος συγγραφεὺς οὐδὲ νομοθέτης ἦν, οὐδὲ Προφήτης. ἡμεῖς δὲ οἴδαμεν, ὅτι ὁ Μωϋσῆς ἦν ἑκάτερον τούτων. προειδὼς δὲ προείρηκεν, ὅτι οἱ Ἰσραηλῖται ἔξουσί ποτε Βασιλέα, ἑπομένως ἡ διέταξε πε- Δευτ. 17. 14 κτ.
ρὶ τοῦ ποίους δεῖ εἶναι τοὺς ἐκλεχθησομένους Βασιλεῖς. Ἄλλως τε, ἔξιν ἀρά γε τοσοῦτον βέβαιον, ὅσον αὐτὸς ὑποτίθεται, ὅτι ταῦτα τῆς Γενέσεως τὰ ῥήματα, „προτοῦ βασιλεῦσαι Βασιλέα ἐν Ἰσραὴλ, ἐπιβλέπουσιν ἐπὶ τὸν Σαοὺλ, & τοὺς ἄλλους Βασιλεῖς τοῦ Ἰσραήλ; ὁ ἱερὸς συγγραφεὺς καταλέγων τοὺς Βασιλεῖς τοὺς βασιλεύσαντας ἐν τῇ Ἰδουμαίᾳ προτοῦ βασιλεῦσαι Βασιλέα ἐν Ἰσραὴλ, οὐκ ἐπαριθμεῖ ἀμὴ μόνον ὀκτὼ Γε. 36. 31. — 40.
μετὰ τὸν Ἡσαῦ. ἐὰν δέ τις ἀναλογιζόμενος ἑτέραν τούτων τῶν Βασιλέων σὺν τῇ ἑτέρᾳ, ἀπονέμῃ ἑκάστῃ διάρκειαν ἐτῶν εἰκοσιπέντε, ἀπονέμει πολύ. διότι οὐκ ἔστιν ὁ λόγος ἐνταῦθα περὶ διαδοχικῆς Βασιλείας, ἐν ᾗ πολλάκις Βασιλεὺς λίαν νέος διαδέχεται τὸν πατέρα, ἢ τὸν πάππον αὐτοῦ, ἀλλὰ περὶ Βασιλείας ἐκλεκτικῆς, διὰ τὸ τούτους τῆς Ἰδουμαίας τοὺς Βασιλεῖς κατάγεσθαι πάντας ἐκ διαφόρων πατριῶν ἢ τόπων. ἀλλὰ κἂν εἰκοσιπενταέτης ὑποτεθῇ ἑκάστη τούτων τῶν Βασιλέων, οὐχ ὁλοχερῶς ἀναπληροῦσιν αὗται τὰ διακόσια δεκαπέντε ἔτη τῆς ἐν Αἰγύπτῳ διαμονῆς (386) τῆς τοῦ Ἰακὼβ οἰκίας. ἥτις ἐξελθοῦσα ἐκ τῆς Αἰγύπτου ἤρξατο συγκροτεῖν αὐτοκέφαλον ἐπικράτειαν, ἧς ὁ Θεὸς ἐν τῷ ὄρει τῷ Σινᾷ ἠξίωσεν ἀνακηρύξαι ἑαυτὸν κεφαλὴν ἢ Βασιλέα, ὡς δηλοῖ τὸ τῶν Ἀριθμῶν βιβλίον διὰ τῶν δὲ τῶν ῥημάτων. „Κύριος ὁ Θεὸς αὐτοῦ μετ' αὐτοῦ. ἡ σάλπιγξ τοῦ Βασιλέως αὐτοῦ ἠχεῖ διαπαντὸς ἐν μέσῳ αὐτοῦ.„ (383) Οὗτός ἐστιν ὁ Βασιλεὺς,

ὁ μήπω βασιλεύσας ἐν Ἰσραὴλ, ὅτε οἱ ὀκτὼ Βασιλεῖς βεβασιλευκότες ἦσαν ἤδη ἀλληλοδιαδόχως ἐν τῇ Ἰδουμαίᾳ. αὕτη δὲ ἡ τῶν Ἑβραίων Βασιλεία, ἥτις, μετὰ τὴν τούτων ἀπαλλαγὴν ἀπὸ τῆς δουλείας παντὸς ἀλλοτρίου γένους, ἀρχὴν λαβοῦσα κατ' αὐτὴν τὴν ἐκ τῆς Αἰγύπτου Ἔξοδον εἴτουν τεσσαράκοντα ἔτη πρὸ τῆς τοῦ Μωϋσέως τελευτῆς, συνέστη διὰ τῆς Διαθήκης, τῆς καταστησάσης αὐτοὺς ἰδικὸν τοῦ Θεοῦ λαόν. διατὶ οὖν ὁ ἄπιστος οὗτος οὐδὲ κατὰ ταύτης τῆς τοῦ ζητήματος αὐτοῦ λύσεως, οὐδὲ κατὰ τῆς πρώτης τῆς πανταχοῦ εὑρισκομένης ἀντέστη; διατὶ ἰσχυρογνωμόνως διαστέλλει τὸν Κλέρη ἀπὸ τῶν Ὁλανδῶν θεολόγων, καὶ ταῦτα μετὰ τὸ μαθεῖν τὸ, ὅτι τὸ βιβλίον, τὸ ἐπιγεγραμμένον, Γνῶμαι τινῶν θεολόγων τῆς Ὁλλανδίας, ἐστὶν αὐτὸ τὸ τοῦ Κλέρκ πόνημα;

Ἄ Ρ Θ Ρ Ο Ν Ι'.

Περὶ τῆς τοῦ Ἰωσὴφ πράσεως, καὶ περὶ τοῦ ἐὰν ἡ λέξις ᾅδης σημαίνῃ ἐνταῦθα μνῆμα.

1. Ἡ τοῦ Ἰωσὴφ πρᾶσις ὕλη γίνεται τῷ κριτικῷ πολλῶν παρατηρήσεων. Ἰδοὺ ἡ τούτων πρώτη. „Οἱ ἔμποροι Ἰσμαηλῖται ἐνεπορεύοντο ἀ„ρώματα καὶ αἰχμαλώτους. τοῦτο ἐμφαίνει ὑπερβολικὸν ἀνθρώπων πλη„θυσμόν. οἱ μὲν δώδεκα υἱοὶ τοῦ Ἰσμαὴλ ἐγέννησαν ἤδη λαὸν ἄμετρον, „οἱ δὲ δώδεκα υἱοὶ τοῦ ἀνεψιοῦ αὐτοῦ Ἰακὼβ κατήντησαν εἰς τὸ φυλάτ„τειν κριούς.

Οὗτος ὁ καθολικὸς τὴν πολυμάθειαν ἠγνόει, ὅτι ὁ ποιμαντικὸς βίος, ὁ παρ' ἡμῖν τοσοῦτον εὐτελὴς, ὑπερβαλλόντως ἐτιμᾶτο παρὰ πᾶσι τοῖς παλαιοῖς. οἵτινες τὸ ἐπάγγελμα τοῦτο τοσοῦτον εὐγενὲς ἐνόμιζον, ὥστε ἐξ αὐτοῦ ἐλάμβανον τὸν τίτλον, τὸν τοῖς Βασιλεῦσιν ἀπονεμομενον. Ποιμένες λαῶν. τοῦτό ἐστι τὸ ὄνομα, ὅπερ ἀρεστὸν ἐφάνη τῷ Ὁ-
Ομ. Ιλ. ἰσχ. 263. μήρῳ διακοσμῆσαι τοὺς Ἡγεμόνας. ἄχρι δὲ τῆς σήμερον οἱ Ἄραβες, καὶ οἱ Τάρταροι, κατὰ μίμησιν τῶν παλαιῶν Σκυθῶν, ἐξ ὧν κατάγονται, καυχῶνται ὑπὲρ τοῦ ὅτι διέρχονται τὰ κυριώτερα τῆς Ἀσίας μέρη, τὰς ποίμνας αὐτῶν ποιμαίνοντες. καὶ οἱ μὲν Ἄραβες καθ' ὑπερβολὴν περιφρονοῦσι τοὺς ἐμπόρους τῆς Δαμασκοῦ, τοῦ Χαλὲπ, καὶ τῆς Καίρου. οἱ δὲ Τάρταροι, οὐδὲν ἧττον τοὺς τοῦ Ἀστραχανίου, (388) τοῦ Πεκὶν, καὶ τῆς Μόσχας. ταῦτα δὲ οὗτος οὐκ ἠγνόει, ἀλλ' ἔπαιζε μετὰ τῶν θαυμαζόντων αὐτὸν, καὶ ἀπατωμένων. ἡ τῶν Ἰσμαηλιτῶν ἐμπορία τῶν ἀρωμάτων καὶ τῶν αἰχμαλώτων, μέγαν μὲν ἐμφαίνει πληθυσμὸν οὐχὶ τῶν Ἰσμαηλιτῶν, ἀλλὰ τῶν ἐν Αἰγύπτῳ, ὅπου ταῦτα ἐπώλουν, οὐδὲν δὲ ἕτερον δείκνυσιν, εἰ μὴ ὅτι ἐκεῖνοι ἐν μὲν τῇ τῆς Συρίας ἐρή-

μῳ,

μω, ἐν ᾗ κατώκȣν, ἀρώματα ἔυρισκον, ἅπερ οἱ Αἰγύπτιοι ἠγόραζον εἰς τὸ τȣ̀ς νεκρȣ̀ς αὐτῶν ἀλείφειν. συνεχῶς δὲ περιφερόμενοι, καὶ αἰχμαλώτȣς κτώμενοι, ἐνεπορεύοντο.

2. „Ὁ Ἰακὼβ, φησὶν, ἐκραύγαζεν ἐν τῇ θλίψει αὐτȣ̃. Κατα- Γεν. 37. 35.
„βήσομαι πρὸς τὸν υἱόν μȣ εἰς ᾅδȣ. ἡ λέξις δὲ χεολ σημαίνει μὲν
„λάκκον, ὑπόγειον, μνῆμα, μετεφράσθη δὲ ἐν τῇ Βȣλγάτῃ infernum,
„ᾅδης, ὅπερ κυρίως δηλοῖ μνημεῖον. ȣ̀δεμία δὲ λέξις ἐν τῇ Πεντα-
„τεύχῳ ἐςὶ μικράν τινα ἔχȣσα ἀναφορὰν μηδὲ πρὸς τὸν ᾅδην τῶν
„παλαιῶν, μηδὲ πρὸς τὸν ἡμέτερον, μηδὲ πρὸς τὴν τῆς ψυχῆς ἀθα-
„νασίαν. μηδὲ πρὸς τὰς μετὰ θάνατον ἀμοιβάς τε ϗ ποινάς (389).

Πρέπον ἦν αὐτῷ ἀνασκευάσαι ὧδε τὸ ἀντιπροτεθὲν αὐτῷ ὑπ' Κεφ 6 Αρθρ.
ἐμȣ̃ διαλεγομένȣ περὶ τῆς τῶν Ἰȣδαίων διδασκαλίας, τῆς περὶ τῆς δια- 3. Τ' ἀνασκ.
μονῆς τῶν ψυχῶν μετὰ θάνατον· „Ὁ Ἰακὼβ. εἶπον αὐτῷ, πιςεύ- τῆς παλ. διαθ.
„ων, ὅτι ὁ Ἰωσὴφ ἐβρώθη ὑπὸ ἀγρίȣ θηρίȣ, ἔλεγεν, ὅτι ἀπελεύ-
„σεθ θρηνῶν ἐνωθῆναι τῷ υἱῷ αὐτȣ̃ ἐν τοῖς ὑπογείοις. διὰ τȣ́τȣ δὲ
„ȣ̀κ ἐννόει μνῆμα. διότι ἐπίςευεν, ὅτι ὁ Ἰωσὴφ ἄλλο μνῆμα ȣ̀κ ἔσχεν,
εἰμὴ τὰ σπλάγχνα λέοντος, ἢ τίγρεως. Ὁ δὲ ȣ̀ μόνον ȣ̀δὲν ἀπεκρίθη
ȣ̀δὲ πρὸς ταῦτα, ȣ̀δὲ πρὸς τὰς ἄλλας προςεθείσας ἀποδείξεις, ἀλλὰ
λίαν ἀναιδῶς ἐσιώπησεν ἐν τῇ νομιζομένῃ μεταφράσει αὐτȣ̃, ταῦτα τὰ
ἐπίσημα τȣ̃ Ἰακὼβ ῥήματα· „Χιτὼν τȣ̃ υἱȣ̃ μȣ ἐςί. θηρίον πονηρὸν κα- Γεν. 37. 33.
„τέφαγεν αὐτόν. θηρίον ἥρπασε τὸν Ἰωσήφ· φοβηθεὶς, μήτι οἱ ἀ-
ναγινώσκοντες κατανοήσωσιν, ὅτι τὸ χεολ, ᾅδης, ἐνταῦθα ȣ̀ σημαί-
νει μνῆμα.

Ἄ Ρ Θ Ρ Ο Ν ΙΑ'.

Περὶ τῶν παχυλῶν τȣ̃ κριτικȣ̃ σφαλμάτων, περὶ τῶν λέξεων κιλίκιον, ϗ εὐνȣ̃χος.

Τίς ποτε ἐνόμιζεν, ὅτι αὐτὸς μετὰ τὸ ἀκȣ̃σαι ἡμᾶς αὐτὸν ὁμολογȣ̃ντα τὸ ἴδιον σφάλμα περὶ τῆς λέξεως Πύθων, πάλιν ἐμπεσεῖται ἐν ὁμοίῳ παραπτώματι; ἰδȣ̀ ὅμως πάλιν ὁ αὐτὸς, οἷος ἐφάνη ἐν τῇ περὶ τȣ̃ Πύθανος σημειώσει αὐτȣ̃. „Τὸ κιλίκιον, φησὶν, ὥπερ ἐνεδύ-
„θη ὁ Ἰακὼβ διαῤῥήξας τὰ ἱμάτια αὐτȣ̃, νέα ἡτοίμασε τοῖς κριτι-
„κοῖς ὅπλα. οἵτινες διϊσχυρίζονται, ὅτι ἡ Πεντάτευχος ȣ̀κ ἐγράφη,
„εἰμὴ ἐν τοῖς μεταγενεςέροις αἰῶσι. τὸ κιλίκιόν ἐςι πέπλον τῆς Κι-
„λικίας. ἡ δὲ Κιλικία πρὸ τȣ̃ Ἔσδρα ȣ̀κ ἦν γνωςὴ τοῖς Ἑβραίοις.

Ἐν τῇ ἐνςάσει ταύτῃ ὑποτίθεθ τὸν τῆς Γενέσεως συγγραφέα μετελθεῖν τὴν λέξιν κιλίκιον. Τὶ ȣ̀ν ἐρȣ̃σιν οἱ μαθόντες τὴν λέξιν

ταύ-

ταύτην, τὴν ἐν τῇ βουλγάτῃ, καὶ ἐν τῇ ἑλληνικῇ μεταφράσει (390) κειμένην, μετάφρασιν εἶναι τῆς ἐν τῷ ἑβραϊκῷ σακ, ἐξ οὗ εἰς πάσας σχεδὸν διέβη τὰς ἄλλας διαλέκτους. ὁ φιλόσοφος οὗτος μετὰ ταύτην τὴν τῆς σοφίας αὐτοῦ ἔνδειξιν παρατίθησιν πολυμάθειαν περὶ τῶν διαφόρων τοῦ καμηλότου εἰδῶν, ἀξίαν μεγάλου τινος ἐμπόρου τῶν τοιούτων πέπλων. ἆρά γε δὲ ἠθέλησε διὰ τούτου δεῖξαι ἡμῖν, ὅτι πλείονα γνῶσιν ἔχει τῶν τοιούτων ἤπερ τῆς ἑβραΐδος.

2. Ἰδοὺ κατ' αὐτὸν ὁ κολοφὼν τοῦ ἀδυνάτου. „Ὁ Ἰούδας ξένος ὢν „ἐν τῇ Χαναναίων γῇ, καὶ μηδὲ μικρόν τι κτῆμα ἔχων, ἑπομένως μη„δὲ φέουδον (391) μηδὲ ἀνώτατον κριτήριον, μαθὼν ἐγκυμονοῦσαν εἶναι „τὴν ἰδίαν νύμφην, κελεύει μὲν κατακαυθῆναι αὐτὴν, ἑτοιμάζει δὲ πα„ραυτίκα πυρκαϊὰν, ἵνα αὐτὴν κατακάυσῃ, ὥσπερ ἂν εἰ ἦν κριτὴς, καὶ „κύριος τοῦ τόπου.

Τοῦτο ἐπιβεβαιοῖ τὸ καὶ ἀλλαχόθεν δῆλον, τουτέστι τὸ, ὅτι οἱ πατριάρχαι ἦσαν ἡγεμόνες τῶν πατριῶν αὐτῶν. ἡμεῖς εἴδαμεν τὸν Ἀ-
Γεν. 14. βραὰμ πολεμοῦντα μετὰ τῶν βασιλέων, καὶ συνωμοσίας ποιοῦντα μετὰ
Γεν. 21. τῶν ἡγεμόνων τῶν Χαναναίων· ὡσαύτως καὶ τὸν Ἰσαὰκ τὰ αὐτὰ πράτ-
Γεν. 26. τοντα μετὰ τοῦ τῶν Τεράρων βασιλέως. Οἱ τῶν Ἀράβων ἀρχηγοὶ τὴν αὐτὴν κατάστασιν ἔχουσιν ἄχρι τῆς σήμερον, περιοδεύοντες μετὰ τῶν φατριῶν αὐτῶν τὴν τοῦ Σουλτάνου γῆν, ἀπὸ Τίγρεως ἕως τοῦ Νείλου. οἱ δὲ πατέρες ἡμῶν εἶδον τὴν τῆς Σβεκίας βασιλίδα Χριστίναν μετὰ τὴν παραίτησιν αὐτῆς θανάτῳ κατακρίνασαν, καὶ ἀποκτείνασαν ἕνα τῶν ὑπουργῶν αὐτῆς ἐν τῷ παλατίῳ τοῦ Φοντενεβλοῦ ἄνευ τῆς ἐπικυρώσεως τῆς βασιλικῆς αὐλῆς τῶν Γάλλων, καὶ ἄνευ τινος ἐγκλήσεως. Τελευταῖον δὲ οἱ παλαιοὶ τῶν Ῥωμαίων νόμοι, καὶ ἡ περὶ τούτων ἱστορία μαρτυροῦσιν, ὅτι παρ' αὐτοῖς οἱ πατέρες ἐν τῷ οἴκῳ αὐτῶν εἶχον
Γεν. 39. 1. ἢ 40. 2. δικαίωμα ζωῆς τε καὶ θανάτου.

3. Τὸ τοῦ εὐνούχου ὄνομα τὸ ἀπονεμηθὲν τῷ Πετεφρῇ, καὶ δυσὶν ἄλλοις τοῦ Φαραὼ ὑπουργοῖς, ἐξεγείρει τῷ κριτικῷ τοὺς ἑπομένους διαλογισμούς. „Ἡ περὶ τοῦ Ἰωσὴφ, φησὶν, ἱστορία μεγάλην ἔχει τὴν ἀνα„φορὰν πρὸς τὴν περὶ τοῦ Βελλερεφόντου, καὶ Προίτου, καὶ Θησέως, καὶ Ἱπ„πολύτου, (392) καὶ πρὸς πολλὰς ἄλλας Ἑλληνικάς τε καὶ Ἀσιατικὰς ἱστορίας.

Τοῦτο ἐκ ἔστι παράδοξον. διότι ἐν παντὶ καιρῷ, καὶ τόπῳ εὑρίσκονται ἐμπαθεῖς γυναῖκές τε καὶ ἄνδρες, ὧν οἱ μὲν δι' ἀρετὴν, οἱ δὲ δι' ἀδιαφορίαν ἀνθίστανται ταῖς ἐπιθυμίαις.

4. „Ἀλλ' ὅτι ὁ Πετεφρὴς ἦν εὐνοῦχος, καὶ γυναικὶ συνεζευγμέ„νος, ἀνόμοιόν ἐστι πάσῃ τῇ τῶν θύραθεν μυθολογίᾳ. ἐνδεχομένως „δὲ ἐν τοῖς μεταγενεστέροις καιροῖς τοῦ ὄνομα εὐνοῦχος ἐγένετο τῖτλος

„τι-

„τιμῆς.... Τῦτο δὲ ὐκ ἠδύνατο γενέσθαι ἐν τοῖς ἐγγὺς τῦ κατακλυσ-
„μῦ χρόνοις (393).

Τὸ ἐναντίον κατὰ ἀκρίβειαν ἀληθεύει. διότι τὸ ἐν τοῖς μεταφράσεσιν ὄνομα τῦ εὐνύχυ, ἢ τὸ ἐν τῷ ἑβραϊκῷ σαρις, ἐξ ἀρχῆς ἐδόθη τοῖς ὑπηργοῖς, ἢ ἀξιωματικοῖς. ὁ Φαβερῖνος, (394) ὁ ἐν τῇ ἀρχῇ τῦ δεύτερυ αἰῶνος τῦ χριστιανικῦ ἔτυς συγγράψας, φησί. „Τὸ
„τῦ εὐνύχυ ὄνομα παράγεται ἀπὸ τῦ εὐνῆν ἔχειν, ὅπερ ἐστὶ φυλάτ-
„τειν τὴν κλίνην, τὸ ἔνδον τῆς οἰκίας. Ἐσήμαινεν ἄρα κυρίως ὑπηρέτην τῦ Παλατίυ. αὕτη δὲ ἐστιν ἐν τῇ Γενέσει ἡ μόνη σημασία τῆς λέξεως σαρις. ἐν δὲ τοῖς μεταγενεστέροις καιροῖς ἡ ὑποψία ἢ ζηλοτυπία ἔπεισε τὺς ἡγεμόνας ἢ ἄρχοντας παρασκευάζειν ὑπὲρ τῶν τοιύτων ὑπηρετημάτων ἄνδρας στερημένυς τῶν γεννητικῶν μορίων. τότε ὢν ἤρξατο ἡ συνήθεια ἐπιγράφειν τῷ ὀνόματι τῦ εὐνύχυ ἢ τῦ σαρις ταύτην τὴν ἔννοιαν. κατ' αὐτὴν δὲ πρῶτον εὑρίσκεται τὸ εὐνῦχος ἐκλαμβανόμενον ὑπὸ τῦ Ἡσαΐυ. ἐν δὲ τῇ Γενέσει σημαίνει ὑπηρέτην τῦ παλατίυ, ϗ ὐδὲν πλέον. Ὁ Πετεφρὴς ἄρα μὴ εὐνῦχος ὤν, ὥσπερ οἱ τῆς Ἄγρας, ἢ οἱ τῆς Κωνσταντινυπόλεως, γυναῖκα εἶχε, ϗ τέκνα δὲ ἔχειν ἠδύνατο. Ησ. 56. 3. 4.

5. Ὅτι δὲ ὁ Ἰωσὴφ ἔλαβεν, ὡς μετάτινας σελίδας φησὶν ὁ κριτικὸς, „γυναῖκα τὴν Ἀσυνὲθ, θυγατέρα τῆς γυναικὸς τῦ εὐνύχυ,
„τῦ δήσαντος αὐτὸν ἐνπέδαις σιδηραῖς, ἀναπόδεικτόν ἐστι, ἢ ἐναντίον πάσης πειθανότητος. διότι ὁ μὲν Πετεφρὴς, ὁ τῦ Ἰωσὴφ δεσπότης. διέτριβεν ἐν τῇ βασιλικῇ αὐλῇ, ὅπυ ἀρχηγὸς ἦν τῦ στρατῦ. (395) ὁ δὲ πατὴρ τῆς Ἀσυνὲθ τῆς γυναικὸς τῦ Ἰωσὴφ, ὁ καλύμενος ἑβραϊστὶ Πυτιφεραγχ, ἢ ὐχὶ Πυτιφαρ, ὡς ὁ πρῶτος ἦν ἱερεὺς τῆς Ἡλιυπόλεως.

ΑΡΘΡΟΝ ΙΒ'.

Περὶ τῦ ἐὰν γνωστὴ ἦν τῷ τῆς Γενέσεως συγγραφεῖ ἡ τῶν Αἰγυπτίων θρησκεία.

1. „Λέγυσι, φησὶν, ὅτι ἐὰν οἱ Πατριάρχαι ἐφόρτιζον τὰς ὄνυς αὐ-
„τῶν, ἐνδεχομένως περιεπάτυν πεζοὶ ἀπὸ τῆς Χαναὰν ἕως τῆς Μέμ-
„φεως.

Οἱ Μαραιῶται φορτίζυσιν ὀψαρίοις τὰ ἀχθηφόρα αὐτῶν ζῶα, ἢ ὅμως ὑ περιπατῦσι πεζοί. Τίς δὲ ἐκώλυε τὺς υἱὺς τῦ Ἰακὼβ πλὴν τῶν ἀχθηφόρων ζώων ἔχειν ἢ ἄλλα πρὸς ἱππασίαν, καθάπερ τῦτο ἔτι γίνεται αι ἐν ταῖς συνοδοιπορίαις; ὅτοι ὅμως ὐκ ἐπορεύοντο πρὸς τὴν

Μέμ-

Μέμφιν. διότι ἡ τῦ Βασιλέως τῆς Αἰγύπτυ καθέδρα, ὕτινος ὑπαγὸς ἦν ὁ Ἰωσὴφ, ἦν ἐν Τάνει, ὡς ἀνωτέρω ἔδειξα, περὶ τῆς ἐξόδυ διαλεγόμενος. Ἀλλ' ἐπειδὴ αὐτὸς ἀπεφάσισεν, ὅτι περιεπάτυν πεζοὶ, πρέπον ἦν αὐτῷ μὴ ἀμνημονῆσαι τῦ ὑπ' αὐτῦ εἰρημένυ ἐν τῷ αὐτῳ βιβλίῳ, εἴτυν τῦ, „ὅτι οἱ τῆς ἀρχαιότητος ἥρωες περιεπάτυν πάν„τοτε πεζοὶ, ὅτε ἂκ εἶχον ἵππυς πτερωτύς.

2. Ἄλλη μέμψις. „Θύονται, λέγει, θύματα. ἐν αὐτῷ τῷ οἴ„κῳ τῦ πρώτυ ὑπυργῦ, ᾗ χρῶνται τύτοις ἐν τῇ τραπέζῃ. ὐδεὶς ὅ„μως λόγος ὐδέποτε ὐδὲ περὶ Ἰσεως, ὐδὲ περὶ Ὀσίρεως (396).

Ἡ τῦ Ἰσεως ᾗ Ὀσίρεως λατρεία ἂκ ἣν τυχὸν διατεταλμένη ἐν τοῖς τῦ Ἰωσὴφ καιροῖς. κείσθω δὲ τὸ ὅτι ἔκτοτε ἤκμαζε παρὰ τοῖς Αἰγυπτίοις. τί ὖν, ὤφειλεν ἄρα ὁ Ἰωσὴφ ἐνεργεῖν αὐτὴν. ᾗ κελεύειν ἐκτελεῖσθαι ἐν τῇ ἑαυτῦ τραπέζῃ;

3. „Λίαν παράδοξον, φησὶ, τὸ τὸν συγγραφέα τῆς Γενέσεως ἀ„γνοεῖν παντελῶς τὴν τῶν Αἰγυπτίων θρησκείαν, καί περ ἐν ταῖς αὐ„τῶν ἀνατραφέντα ἐπισήμαις. ἔσιν ὖν ᾗ ὗτος εἷς τῶν λόγων, τῶν „πεισθόντων, ὅτι ὁ Μωϋσῆς ὂκ ἠδύνατο συγγραφεὺς εἶναι τῆς Πεν„τατεύχυ (397).

Καφ. 22. Φιλοσ. περὶ τῆς ἱστορ. Σημ. 69.

Πῶς τετόλμηκε ταῦτα γράψαι, εἰπὼν ἀλλαχῦ, „ὅτι οἱ Ἰσδαῖ„οι παρέλαβον παρὰ τῶν Αἰγυπτίων τὴν περιτομὴν, ᾗ μέρος τῶν τελετῶν αὐτῶν, ᾗ ἐπιβεβαιώσας τῦτο ἐν μιᾷ τῶν ἰδίων σημειώσεων εἰς τὴν Γένεσιν, τελευταῖον δὲ ᾗ μετὰ τὸ ἀκῦσαι ἡμᾶς αὐτὸν διϊχυριζόμενον, μετὰ τὸν Σπεγκέρον, „ᾗ Μαρχάμον, ᾗ Κιρκέρον, ὅτι ἡ „τῆς ἐρυθρᾶς θαλάσσης τελετὴ ἐλήφθη ὁλοκλήρως ἐκ τῶν Αἰγυπ„τίων, ὁμοίως ᾗ ὁ ἀποπομπαῖος κριὸς, ᾗ σχεδὸν πᾶσαι αἱ τῶν Ἑβραί„ων τελεταὶ, ὥςε πιςεύτεον ἔοικεν, τὺς Ἑβραίυς μιμητὰς εἶναι κατὰ „πάντα τῶν Αἰγυπτίων; Οὐδεὶς δὲ ὐδὲ μιμεῖται, ὐδὲ μεταγράφει ἣν ἀγνοεῖ θρησκείαν. ἀλλ' ὁ φιλόσοφος ὗτος ἐπηγγείλατο ἀσυμφωνεῖν ὂχ ἧττον ἑαυτῷ, ἢ τῇ ἀληθείᾳ.

Σημ. 12. εἰς τὺς Ἀριθ.

ΑΡΘΡΟΝ ΙΓ.

Περὶ τῦ ἐὰν ὁ Ἰωσὴφ μετῆλθε τὴν μαγείαν.

1. Κινεῖ πάντα κάλων, ἵνα πείσῃ, ὅτι ὁ Ἰωσὴφ μετήρχετο τὴν μαγείαν. „Φανερόν ἐσι, κατ' αὐτὸν, κἂν εἴτικεν λέγῃ ὁ Γρότιος, ὅτι „τὸ ὕφος ἐμφαίνει τὸν Ἰωσὴφ μάγον. ὁ Ἰωσὴφ ἐμάντευε τὸ μέλλον, „θεωρῶν τὸ ποτήριον αὐτῦ. τῦτό ἐσι παλαιὰ δεισιδαιμονία λίαν κοι„νὴ

„νὴ παρά τε Χαλδαίοις καὶ Αἰγυπτίοις, διασωθεῖσα καὶ ἄχρις αὐτῶν τῶν καθ' ἡμᾶς ἡμερῶν.

Οἱ Χαλδαῖοι καὶ οἱ Αἰγύπτιοι, ὡς παρὰ Ἰουλίῳ ἀναγινώσκομεν τῷ Σερενίῳ λεκάναις ἐχρῶντο ὕδατος πεπληρωμέναις εἰς πρόσκλησιν τοῦ Δαίμονος, ὅστις διὰ συριγμοῦ ἀπεκρίνετο αὐτοῖς, ἐκ τῆς τοῦ σκεύους βάσεως ἀκουομένου. μαντείαν δὲ ἐν τῇ ἀρχαιότητι διὰ ποτηρίου γενομένην οὐδεμίαν εὑρίσκομεν. ἀλλὰ κἂν παρέσχεν ἡ ἀρχαιότης παραδείγματα, ἐνταῦθα ὅμως οὐδόλως ἁρμάζουσι. τὸ ὕφος οὐ λέγει, ὅτι ὁ Ἰωσὴφ ἐμάντευε διὰ τοῦ ποτηρίου αὐτοῦ, ἀλλ' ὅτι καλῶς περὶ τοῦ ποτηρίου αὐτοῦ ἐμάντευε. τῷ ὄντι δὲ ὁ Ἰωσὴφ πρὸς τοὺς μήπω γνωρίσαντας αὐτὸν ἀδελφοὺς αὐτοῦ λαλῶν οὕτως. Οὐκ οἴδατε, ὅτι οὐδείς ἐστιν οὕτω καλῶς μαντεύων ὥσπερ ἐγώ; Οὐκ ἀπονέμει τῇ χρήσει τοῦ ποτηρίου, ὅπερ οὐκ εἶχεν, ὅτε ἐμάντευε, τὴν ἀλήθειαν τῆς νομιζομένης αὐτοῦ εἰκασίας, περὶ τοῦ τίνες ἦσαν οἱ αὐτὸ κατέχοντες. Ὁ Οὐβιγάντης ἀπέδειξεν, ὅτι ἡ μετάφρασις τοῦ τῆς Βουλγάτης συγγραφέως ἐν τούτῳ οὐκ ἔστιν ἀκριβής. (398) Ἀλλὰ καὶ ἐὰν δεχθῶμεν τὴν ὑπ' αὐτῆς παρισταμένην ἔννοιαν, οὐ συνάγεται ὅτι ὁ Ἰωσὴφ ἀληθῶς μετήρχετο τὴν μαντικὴν τέχνην. ἕπεται δὲ μόνον τὸ, ὅτι αὐτὸς, καὶ ὁ δοῦλος αὐτοῦ πρὸς ἰδίαν ὠφέλειαν ἐχρήσαντο τῇ κοινῇ προλήψει, ἣν ἐνδεχομένως προεξένησεν ἡ τῶν ἐνυπνίων τοῦ Φαραὼ ἐξήγησις, ἵνα περιπλέξωσι τοὺς υἱοὺς Ἰακὼβ, καὶ ἀναγκάσωσιν αὐτοὺς δηλοποιῆσαι τὰ περὶ τοῦ Βενιαμὶν ὑπ' αὐτῶν φρονούμενα.

Ἐν Τ. 9. περὶ πεπρωμ.

2. „Οἱ κριτικοὶ, φησὶ, διϊσχυρίζονται, ὅτι ἐνταῦθα ἐστὶν ἀντίφα„σις. οὐκ ἠδύνατο δὲ ὁ Θεὸς εἰπεῖν τῷ Ἰακώβ. Ἐγὼ ἀναβιβάσωσε· „διότι ὁ Ἰακὼβ, καὶ πάντες οἱ υἱοὶ αὐτοῦ ἐτελεύτησαν ἐν Αἰγύπτῳ. „Πρὸς τοῦτο δὲ ἀποκρίνονται, λέγοντες· ὁ Θεὸς ἀνεβίβασεν αὐτὸν „μετὰ θάνατον.

Γεν. 46. 4.

Σύντομός ἐστιν ἡ ἀπόκρισις. Πρέπον ἦν ἀντὶ τοῦ προτεῖναι τὴν περὶ τοῦ σώματος τοῦ Ἰωσὴφ μεταφρασθεῖσαν ὑπὸ τοῦ Γαουλμίνου (399) ῥαψῳδίαν, μνημονεῦσαι τοῦ πεντακοστοῦ κεφαλαίου τῆς Γενέσεως, τοῦ κατὰ πλάτος ἐκτιθεμένου τὴν ἐν γῇ Χαναὰν μετακομιδὴν τοῦ σώματος τοῦ Ἰακὼβ, καὶ τὴν ταφὴν αὐτοῦ, τὴν ἐν τῷ σπηλαίῳ τῷ ἐν Μαμβρῇ. ἐξόχως δὲ πρέπον ἦν ἐπισυνάψαι καὶ τὸ, ὅτι αἱ μὲν περὶ τοῦ Ἰακὼβ, καὶ τῶν ἄλλων Πατριαρχῶν Προφητεῖαι, καὶ ἐπαγγελίαι ἐπέβλεπον μᾶλλον ἐπὶ τὴν διαδοχὴν αὐτῶν, ἢ ἐπ' αὐτούς. οἱ δὲ τοῦ Ἰακὼβ διάδοχοι ἀνεβιβάσθησαν ἀπὸ τῆς Αἰγύπτου εἰς τὴν Χαναὰν δι' ἐπισημοτάτης ὁδηγίας τῆς τοῦ Θεοῦ προνοίας.

Ἄ Ρ Θ Ρ Ο Ν ΙΔ'.

Περὶ τȣ̃ ἐὰν συνέφερε τοῖς υἱοῖς Ἰακὼβ σιωπῆσαι τὸ ὅτι ἦσαν ποιμένες.

1. „Οὐδένα λόγον ἔχει, φασὶν οἱ κριτικοὶ, τὸ συμβȣλεύειν ἀνθρώ„πȣς ξένȣς, ὁμολογῆσαι ὅτι εἰσὶ ποιμένες, ὅπȣ οἱ ποιμένες εἰσὶν ἀπο„τρόπαιοι. πρέπον ἦν εἰπεῖν αὐτοῖς τὸ ἐναντίον, εἴτȣν τὸ, προσέχε„τε καλῶς, μὴ παραχεῖν ὑποψίαν περὶ τῆς τέχνης, ἣν ὧδε βδελύτ„τονται (400).

Λαλεῖ ὥσπερ ἂν εἰ δυνατὸν ἦν, τȣ̀ς Αἰγυπτίȣς ἀγνοεῖν τὸ ἐπάγγελμα, ὅπερ ἔτη διακόσια ϗ ἐπέκεινα μετήρχετο ἡ πολυάριθμος ϗ ἐπίσημος τȣ̃ Ἰακὼβ πατριά. Ἄλλως τε, ἡ τȣ̃ Ἰακὼβ πα-
Γεν. 46. 1. 6. τριὰ ἔρχεται εἰς τὴν Αἴγυπτον, λέγει ἡ Γένεσις, μετὰ πάντων τῶν ὑπαρχόντων αὐτῶν. πάντα δὲ σχεδὸν τὰ ὑπάρχοντα αὐτῶν ἦσαν τὰ ποίμνια. πρέπον ȣ̃ν ἦν ἄρά γε καταλιπεῖν αὐτὰ τοῖς Χαναναίοις, ἵνα τȣ̀ς Αἰγυπτίȣς πείσωσιν, ὅτι ȣ̀ μετέρχονται τὸν ποιμαντικὸν βίον; Ἡ πρόληψις δύναται ποιῆσαι, ϗ ἀληθῶς ποιεῖ μισητὰς, ἢ περιφρονητὰς τὰς πατριὰς τινῶν τεχνȣργῶν. ἐπειδὴ ὅμως αἱ τοιαῦται τέχναι εἰσὶν ἀναγκαῖαι, ἐν ἀσφαλείᾳ εἰσὶν οἱ ταύτας μετερχόμενοι. Τὸ τῆς Ἐξό-
Ἐξ. 8. 26. δȣ βιβλίον δηλοῖ τὸν λόγον, δι' ὃν μισητὸς ἦν τοῖς Αἰγυπτίοις ὁ ποιμαντικὸς βίος. οἱ τȣ̃τον μετερχόμενοι, ἐξόχως δὲ ὁ τȣ̃ Ἰακὼβ οἶκος ἤσθιον, ϗ θυσίαν προσέφερον τȣ̀ς βόας ϗ τὰ πρόβατα, τὰ ὑπὸ τῶν Αἰγυπτίων νομιζόμενα ἱερά. τȣ̃το δὲ γνωστὸν ἦν τῇ θύραθεν ἀρχαιότητι: „Οἱ Ἰȣδαῖοι, φησὶν, ὁ Τάκιτος, μετὰ τὸ σφάξαι τὸν κριὸν, „ὥσπερ χλευάζοντες τῷ Ἄμμωνι, θυȣσι ϗ τὸν βȣ̃ν, τὸν ὑπὸ τῶν „Αἰγυπτίων λατρευόμενον ἐπ' ὀνόματι τȣ̃ Ἄπεως. Ὁ δὲ Μανεθὼν
Μαν. παρὰ Ἰωσ. β. 1. κατὰ Ἀπίων. πολλῷ πρότερον παρετήρησεν, ὅτι ὁ Ὀσαρσὶφ, ὅστις μεταθέμενος, „Μωϋσῆν ἑαυτὸν προσηγόρευσεν, ἐκέλευσε τοῖς περὶ αὐτὸν ἐσθίειν „πᾶν ζῶον τῶν νομιζομένων ἱερῶν παρὰ τοῖς Αἰγυπτίοις. Οὐδεμία ȣ̃ν ἀνάγκη καταφεύγειν ἐπὶ τὴν ἐν Αἰγύπτῳ τῶν ποιμαίνων ἔφοδον, ϗ ἐπὶ τὴν ὑπὸ τȣ̃ αὐτȣ̃ Μανεθῶνος ἱστορȣμένην τυραννίαν τῶν ἐκ τῆς φυλῆς αὐτῶν Βασιλέων, ἵνα τὸν λόγον εὕρωμεν τῆς κατὰ τȣ̃ ποιμαντικȣ̃ βίȣ προλήψεως τῶν Αἰγυπτίων. ȣ̃τοι κἂν ἀπεστρέφοντο τȣ̀ς ποίμνας ἐνεργείᾳ ποιμαίνοντας, διὰ τὸν λόγον ὃν εἴρηκα, ὅμως χρείαν εἶχον διαπαντὸς τῶν ποιμνίων, ἵνα τȣ̃ γάλακτος, ϗ τῶν ἐρίων ἀπολαμβάνωσιν. ἀλλὰ ϗ ἐὰν ὑποθετικῶς, ἡ μὲν τοιαύτη τῶν Αἰγυπτίων διάθεσις κατὰ πάντων τῶν τῷ ποιμαντικῷ βίῳ ἑαυτȣ̀ς καθιερω-

σάν-

σάντων, προῆλθεν ἐκ τῆς ἐφόδου τῶν Βασιλέων τῶν ποιμενων. ἡ δὲ τούτων ἔφοδος προϋπῆρξε τῆς τοῦ Ἀβραὰμ γεννήσεως ἔτη ἑκατὸν ἢ ἐπέκεινα, ὡς ὁ κριτικὸς εἶπε, μηδὲ μικρὰν προθεὶς ἀπόδειξιν, οὐχ ἕπεται, ὡς αὐτὸς διίσχυρίζεται, „ὅτι οἱ ποιμένες οὗτοι πρὸ τοῦ κοινοῦ ἐβασίλευσαν κατακλυσμοῦ. διότι ἡ κατ' αὐτὴν τὴν τῆς Βουλγάτης χρονολογίαν, τὴν κατὰ πολλοὺς αἰῶνας συντομωτέραν τῆς τῶν Ἑβδομήκοντα, ἢ τῆς τοῦ Σαμαρειτικοῦ ὕφους, μεταξὺ τῆς τοῦ κατακλυσμοῦ ἢ τῆς τοῦ Ἀβραὰμ γεννήσεως ἀριθμοῦ ἔτη διακόσια ἢ ἐννενήκοντα. ἀλλ' ἐπειδὴ οἱ ποιμένες οὗτοι ἐβασίλευσαν κατὰ τὸν Μανεθῶνα ἔτη πεντακόσια. ἐξ ἀνάγκης ἑπόμενον ἦν μόνον, τὸν κατὰ τὸν καιρὸν τοῦ Ἰακὼβ ἐν θρόνῳ καθήμενον Βασιλέα ἐκ τῆς φυλῆς αὐτῶν τυγχάνειν, ὅπερ οὐκ ἔστιν ἀδύνατον. οἱ ξένοι δὲ, οἱ γῆν καρποφόρουντε ἢ λαῶν πεπληρωμένην κτησάμενοι. οὐ καταργοῦσι πάντοτε τὰς τῶν ἐγκατοίκων προλήψεις, οὐδὲ ἐκριζοῦσι τὰς τούτων δεισιδαιμονίας. Ἐὰν οὖν ἐξ ὑποθέσεως ὁ τῆς Τάνεως Βασιλεὺς ἐκ τοῦ τῶν ποιμένων γένους κατῆγετο, φύσει ἑπόμενον ἦν ὑπεραισίζεσθαι τοὺς ποιμένας Ἑβραίους, κἂν οἱ τὸ γένος Αἰγύπτιοι ἀπεστρέφοντο αὐτοὺς, ἢ ἀφίσαντο ἀπ' αὐτῶν διὰ τὸ ποιμαντικὸν ἐπάγγελμα.

ΑΠΟΡΙΑ ΙΕ'.

Περὶ τοῦ ἐὰν τὸ τοῦ Ἰωσὴφ ὑπούργημα ἦν τυραννία ἄτοπον.

1. „Ὁ Ἰωσὴφ, φησὶν αὐτὸς, δοκεῖ γελοῖός τε ἢ τερατώδης τύραν„νος. ἀφελὼν γὰρ τὰ ζῶα ἀπὸ τῶν Αἰγυπτίων, συναφείλετο ἀπὸ πά„σης τῆς γῆς Αἰγύπτου ἢ τὸν τρόπον τοῦ ἀσείρειν ἐν αὐτῇ. Ὁ συγ„γραφεὺς οὐδὲ λέξιν λέγει περὶ τῆς περιοδικῆς τοῦ Νείλου πλημμύρας „ἀλλ' οὐδὲ ἐμφαίνει τὸν λόγον, δι' ὃν ὁ Ἰωσὴφ ἀπηγόρευσε τὸ ἀσείρειν„τε ἢ φιλοπονεῖν.

Οὐδὲ κατὰ τοῦ φιλοπονεῖν, οὐδὲ κατὰ τοῦ ἀσείρειν ἀντέσχε ὁ Ἰωσήφ. Ἐὰν δὲ συναγαγεῖν ἐκέλευσε τὰς ὑπ' αὐτοῦ ἀγορασθείσας ἀγέλας, τοῦτο πεποίηκε διὰ τὴν ἀκαρπίαν. ἐξ αὐτῆς γὰρ ἀνωφελεῖς μὲν ἐγίνοντο οἱ ἐν τοῖς ἀγροῖς πόνοι, ἐπ' ἀπωλείᾳ δὲ ἐασείρετο ἐν τῇ γῇ ὁ ἀσπόρος. κακὸν δὲ νομίζει ὁ κριτικὸς τὴν τοῦ συγγραφέως τῆς Γενέσεως παντελῆ σιωπὴν περὶ τῆς περιοδικῆς τοῦ Νείλου πλημμύρας. ἀλλ' ἄρα γε ὑπέλαβε τὸν συγγραφέα μὴ εἰδότα αὐτήν; τὸν ἱερὸν συγγραφέα τὸν ἕτερον μηδὲν συλλογιζόμενον, εἰμὴ τὸ νουθετεῖν, ὐκ ἕτερον αἱ μάταιαι παρεκβάσεις, αἱ πρᾶγμα παντὶ τῷ κόσμῳ ἐπίδηλον περιγράφουσαι.

2. „Ὁ Ἐρβέρτ, ὁ Βολιγγβρόκι, ὁ Φρερέτ, καὶ ὁ Βυ-
„λαγγέρος φασὶν, ἀδύνατον εἶναι τὸ ἐπταέτη τοῦ Νείλου πλημμύραν
„γενέσθαι. διότι πᾶσα μὲν ἡ γῆ ἐκείνη μετέβαλεν ἂν τὸ πρόσωπον
„αὐτῆς, ἡ δὲ μεταβολὴ μὴν αἰώνιος. Ἀνάγκη δὲ τὰς τοῦ Νείλου κα-
„ταράκτας ἐμφραγῆναι. ἐκ τούτου δὲ πᾶσα ἡ Αἰθιοπία τότε ὑδὲν ἕ-
„τερον ἦν, εἰμὴ θάλασσα..... Ἐὰν δὲ αἱ βροχαὶ, αἱ κατὰ πᾶν ἔτος
„εὐτάκτως πίπτουσαι, ἔτη ἑπτὰ ἐξέλειπον, ἀοίκητον ἐγένετο τὸ τῆς
„Ἀφρικῆς ἐνδότερον μέρος.

Ἔξιν ἄρα ἀνάγκη διδάξαι τοὺς φυσιολόγους τούτους τὸ, ὅτι ἐν Αἰ-
γύπτῳ ἡ μεγάλη πλημμύρα τὸ αὐτὸ ποιεῖ, ὅπερ ἡ μεγάλη ξηρα-
σία; ἀρκεῖ πρὸς τὸ ἑπτὰ ἔτη συνεχῶς ἔνδειαν γενέσθαι ἐν Αἰγύπτῳ,
τὸν Νεῖλον ἐν αὐτοῖς τοῖς ἑπτὰ ἔτεσι ποτὲ μὲν πάνυ ὀλίγον πλημμυ-
ρῆσαι μὴ χορηγεῖν τῇ γῇ τὴν ἰλὺν, καὶ τὴν ἀναγκαίαν ὑγρασίαν. ποτὲ
δὲ πολὺ, μὴ καταλιμπάνοντα τὴν γῆν ἀνακεκαλυμμένην τῷ δέοντι
τοῦ σπείρειν καιρῷ. πᾶς μαθητὴς οἶδε ἀγνοεῖ τοῦτο καὶ πρὸς ἐξελθεῖν
ἐκ τῆς σχολείας. ἀλλ' ὁ φιλόσοφος οὗτος, ὡς ἔοικε, τοῦτο ἐπελάθετο.
ἡ δὲ ἑπταέτης ἀκαρπία ἡ ὑπὸ τοῦ Ἰωσὴφ προρρηθεῖσα, καὶ ἐν τῷ καιρῷ
τῆς ὑπουργίας αὐτοῦ συμβᾶσα, ὑδὲ τὰς τοῦ Νείλου καταράκτας ἐμ-
φραγέντας, ὑποτίθεται, ὑδὲ βροχὴν μὴ πεσοῦσαν ἐν τοῖς αὐτοῖς ἔτε-
σιν εἰς τὸ τῆς Ἀφρικῆς ἐνδότερον μέρος· ὑποτίθεται δὲ μόνον, ὅτι
ὁτὲ μὲν ἔβρεχε πολὺ, ὁτὲ δὲ ὀλίγον, ὥστε τὸν Νεῖλον μὴ δύνασθαι
πλημμυρεῖν κατὰ τὸν ἀναγκαῖον τῇ Αἰγύπτῳ βαθμόν. ἐκ τούτου ἐ-
ξασθενεῖται καὶ ἡ ἐξῆς ἔνσασις τῶν αὐτῶν κελτικῶν.

3. „Ἀτοπώτατον ἦν τὸ ἰδιοποιηθῆναι πάντα τὰ ζῶα, ὅτε ἡ
„γῆ οὐκ ἐβλάστανε τὴν τῇ τροφῇ αὐτῶν ἀναγκαίαν χλόην. ἐὰν δὲ τὴν
„χλόην ἡ γῆ ἐβλάστανεν, ἐκαρποφόρει πάντως ὁ τὸν κόκκον.

Ἐν τοῖς ἔτεσιν, ἐν οἷς μεγάλη ἐγίνετο πλημμύρα, ἡ γῆ οὐκ ἠ-
δύνατο ἀποδοῦναι σπόρον διὰ τὸ τὰς ἀγρὰς οὐχ οὕτω ταχέως ἀνακα-
λύπτεσθαι, ὥστε τῷ δέοντι καιρῷ σπείρειν δύνασθαι, χλόην δὲ πολλὴν
εἰς τροφὴν τῶν ζώων ἀναγκαίως ἀπεδίδω. ὑποτίθεσθαι δὲ ἕξιν τῶν
ἑπτὰ ἀκάρπων ἐτῶν τρία ἄκαρπα πεποιηκέναι τὴν μεγάλην πλημ-
μύραν (401).

4. Καὶ ἄλλην πρὸς τούτοις προτείνουσιν οἱ κελτικοὶ κατὰ τοῦ Ἰω-
σὴφ μέμψιν. „Οὗτος, φασὶν, ὁ καλὸς ὑπουργὸς αἰχμαλωτίζει τὸ γέ-
„νος, ὁ πωλεῖ τῷ Βασιλεῖ πάντας τοὺς ἀνθρώπους, καὶ πᾶσαν τῆς
„Βασιλείας τὴν γῆν. τοῦτό ἐστιν ἔργον ἄτιμον.... Ἐάντις τῶν ὑπουρ-
„γῶν τοιοῦτον νόμον προέτεινεν ἐν τῇ Ἀγγλίᾳ, ἤγαγεν ἂν εὐθὺς
„τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τῆς πυρᾶς.

Ἡ

Ἡ κατεπείγουσα ἀνάγκη πανταχῦ δεσπόζει, καὶ ἐν αὐτοῖς δηλαδὴ τοῖς ἀπηνεστάτοις ἔθνεσι. Καὶ αὐτὴ ἡ Ἀγγλία οὐκ ἓν μόνον περὶ τούτου προτείνει παράδειγμα. αὐτοκινήτως ἦλθεν ὁ Αἰγύπτιος λαὸς προσενεγκεῖν τὴν γῆν καὶ τὰ ζῶα αὐτῦ, ἵνα λάβῃ σῖτον ἐκ τῦ ἐν τοῖς σιτῶσι τῦ Βασιλέως τεθησαυρισμένου. κἂν δὲ ὁ ὑπουργὸς ταῖς περιστάσεσιν ἐχρήσατο εἰς τὸ σηρίξαι τε, καὶ ἐπικυρῶσαι τὴν τῦ δεσπότου αὐτῦ ἐξουσίαν, ὅμως οὐ κατεχρήσατο. διότι ἐπέστρεψε τοῖς Αἰγυπτίοις τὰ ποίμνια αὐτῶν καὶ τὴν γῆν, ὅτε ἐξ αὐτῶν ὠφεληθῆναι ἠδύναντο, ὑπόχρεως αὐτοὺς ποιήσας τῇ δασμοφορίᾳ τῦ πεμπτημορίου τῶν εἰσοδημάτων αὐτῶν. ἀναλογισθήτωσαν δὲ τὰ ζηλοτυπώτερα τῆς ἐλευθερίας αὐτῶν γένη, καὶ ἰδέτωσαν, ἐὰν οἱ θεμελιώδεις αὐτῶν νόμοι, καὶ ἡ ἐξουσία τῶν ὑπουργῶν, τῶν τοὺς δεσπότας αὐτῶν ἐμφανόντων λαμβάνῃ τοσοῦτον μερίδας δασμοφορίας, καὶ μετὰ τοσαύτης εὐταξίας τε καὶ ἡσυχίας, ὅσας ἡ τῦ Ἰωσὴφ φρόνησις καὶ ἡ φιλανθρωπία.

Οὐκ ἔστιν ἄρα ἀνάγκη ἐπὶ τὴν θείαν καταφεύγειν ἔμπνευσιν, καὶ τὴν τῆς Ἐκκλησίας ἐξουσίαν, ὡς ὁ φιλόσοφος οὗτος χλευαστικῶς φησὶν, εἰς τὸ ἐπισομίζειν τοὺς αὐθάδεις, τοὺς νομίζοντας πᾶσαν τὴν ἰσορίαν ταύτην πλάσμα ἄτοπον. τὰ ἔθνη, τὰ ἀπὸ τῦ Μωϋσέως ἄχρι τῶν καθ' ἡμᾶς ἡμερῶν, τὰς τῦ Νείλου ὄχθας, καὶ τὰ τῆς Αἰγύπτου μεθόρια κατοικήσαντα δεδημίαν περὶ τῆς ἰσορίας ταύτης προέτεινον ἀμφιβολίαν. Οἱ παλαιοὶ τῆς Ἑλλάδος καὶ Ῥώμης συγγραφεῖς, οἷός ἐστιν ὁ παλαιὸς Φίλων, καὶ Τρῶγος ὁ Πομπήιος, (402) μαρτυροῦσι περὶ αὐτῆς, ἐξόχως δὲ περὶ τῆς συνετῆς τῦ Ἰωσὴφ διοικήσεως. οὗτοι ἐγίνωσκον πάντως τὰ τῆς πλημμύρας τῦ Νείλου ἀποτελέσματα, τὰ φυσικὰ ἰδιώματα τῆς γῆς Αἰγύπτου, τὰς συνηθείας τῆς αὐτῆς Βασιλείας, καὶ τὰ παλαιὰ αὐτῆς φρονήματα ὑπέρτινα τῶν ὀκνηρῶν ἀνθρώπων, οἵτινες τῷ τῆς φιλοσοφίας μανδύᾳ περικαλυπτόμενοι, κόπους παρέχουσι, τὴν Γαλλίαν καὶ Ἀγγλίαν σκανδαλίζοντες.

Ἐνταῦθα ὁ φιλοσοφοϊσορικὸς καὶ κριτικὸς, φυσιολόγος καὶ θεολόγος, ὁ χρονολόγος καὶ Γεωγράφος, ὁ ἑβραΐζων ἅματε καὶ ἑλληνίζων, ὁ ἀρχαιολόγος καὶ διαλεκτικὸς, ὁ σεμνός τε καὶ εὐσεβὴς, ἀποπεραίνει τὰς ἑαυτῦ σημειώσεις εἰς τὴν Γένεσιν. Τὴν Διαθήκην τῦ Ἰακὼβ τὴν ἐν τῇ ὥρᾳ τῦ θανάτου αὐτῦ, καὶ τὰς ἐν αὐτῇ περιεσταμένας, καὶ κατὰ τὸ γράμμα ἐκπεπληρωμένας προρρήσεις ὁ ἄπιστος οὗτος, οὐδὲ ἐπέκρινεν ὅλως, κἂν σφόδρα ἠνάγκαζεν αὐτὸν ἡ ὑπόθεσις, κἂν ῥῆμα ἓν περὶ αὐτῆς εἰπεῖν. προέκρινε δὲ μᾶλλον τέλος ἐπιθεῖναι, „εἰπὼν „ἄνου τινὸς λόγου, ὅτι ὁ τῆς Αἰγύπτου λαὸς μεταγενέστερός ἐστι τῆς εὐ-

„ρω-

„ρυχώρυ τῶν Ἰνδῶν Αὐτοκρατορίας, ϗ τῆς Σίνας. ἀλλ' ἡ ἀπόφανσις αὕτη ἐς τὸ παντελὲς κατήργηϑ διὰ τῶν ἀλλαχῆ ὑπ' ἐμῆ εἰρημένων περὶ τῆς τῶν Σινῶν ϗ Αἰγυπτίων ἀρχαιότητος (403).

Ὧδε ἂν κἀγὼ πέρας τιϑημι τῇ ἀναιρέσει τῆς
ἀϑλίας ἐπιτομῆς, ἣν αὐτὸς Διαϑήκην
τελευταῖον διερμηνευϑεῖσαν κα-
λέσαι τετόλμηκε.

ΤΕΛΟΣ.



ΣΗΜΕ-

ΣΗΜΕΙΩ'ΣΕΙΣ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ.

ΕΙ'Σ ΤΑ' Ε'ΥΑΓΓΕ'ΛΙΑ.



Σημείωσις 1. Τὶ βούλονται ἄρα δεῖξαι οἱ ἄπιστοι, τὸ πλῆθος προτείνοντες τῶν νόθων Εὐαγγελίων; καταργῆσαι τὰς ἐν τοῖς γνησίοις Εὐαγγελίοις θεμελειώδεις ἀληθείας; ἢ νόθα δεῖξαι καὶ αὐτὰ τὰ γνήσια; ἀλλὰ καὶ αὐτὰ τὰ ἐπιδήλως νόθα τὰς τῆς χριστιανικῆς πίστεως βασίμους ἀληθείας ἐκήρυττον, ἀμέλειτοι ἕνα Θεὸν ἐν Πατρὶ, Ὑιῷ, καὶ Πνεύματι Ἁγίῳ λατρευτὸν, τὸν δὲ Ὑιὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ παρθένου σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, θαυματουργήσαντα, παθόντα, ταφέντα, ἀναστάντα, εἰς οὐρανοὺς ἀνελθόντα, πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. τὸ πλῆθος οὖν τῶν νόθων Εὐαγγελίων οὐ καταργεῖ, ἀλλ' οἰκοδομεῖ, καὶ συνίστησι τὰς στοιχειώδεις εὐαγγελικὰς ἀληθείας. ὅσῳ γὰρ πλείονες οἱ τὸ αὐτὸ διαμαρτυρούμενοι, τοσούτῳ ἰσχυροτέρα τῆς ἀληθείας ἡ ἀπόδειξις. Βλάπτουσι οὐδὲν δὲ τὸ ὅλον τῆς ἀληθείας κῦρος αἱ προσθῆκαι, ἢ αἱ ἀφαιρέσεις καὶ ἀλλοιώσεις τῶν περιστάσεων, αἱ μηδόλως τοῦ οὐσιώδους τῆς ἀληθείας ἐφαπτόμεναι. Τὶ γὰρ λυμαίνει τὴν τῆς πίστεως οὐσιώδη διδασκαλίαν ἡ ἐν τῷ καλουμένῳ Εὐαγγελίῳ τῶν Αἰγυπτίων ἱστορία περὶ τοῦ ἐρωτήσαντος τὸν Ἰησοῦν, „πότε ἔσται τὸ τοῦ κόσμου τέλος, ἀποκριθέντα δὲ αὐτῷ· ὅταν ἔσται τὰ „δύω ἕν, καὶ τὰ ἔξω ὡς ἔσω, καὶ τὸ ἄρσεν μετὰ τῆς θηλείας, οὔτε ἄρσεν „οὔτε θῆλυ; ἡ ἄλλως· ὅταν τὸ τῆς αἰσχύνης ἔνδυμα πατήσητε; ἰτὶ δὲ ἢ ἐν τῷ Εὐαγγελίῳ τῆς γεννήσεως τῆς μακαρίας παρθένου διήγησις περὶ τῆς ἐν τῷ ναῷ ὀπτασίας Ζαχαρίου τοῦ πατρὸς τοῦ Προδρόμου. ἢ τὶ τὸ πλῆθος τῶν θαυμάτων, τῶν ὑπὸ τοῦ Ἰησοῦ, ἔτι

Παρὰ Κλήμ. τῷ Ρώμ. ἐπιστ. 2. παρχρ. 12. παρὰ Κλημ. Αλεξ. ἐν στρώμμ. β. 3. παρὰ Ἐπιφ. Αἱρ. 26. 2. 12.

νηπίου

νηπίȣ ὄντος τελεσθέντων, τῶν ἐν τῷ Ἐυαγγελίῳ τῆς νηπιότητος τȣ̃ Σωτῆρος; ἢ τὶ τὸ τȣ̃ Νικοδήμȣ Ἐυαγγέλιον περὶ τῶν πρακτικῶν τȣ̃ Πιλάτȣ διαλαμβάνον; Ἐὰν δὲ οἱ ἄπιστοι τῇ ἀρίστῃ διαλεκτικῇ αὐτῶν συλλογίζωνται ȣ̓τως. ἦσαν πολλὰ νόθα Ἐυαγγέλια, ἄρα ȣ̓δὲν Ἐυαγγέλιον γνήσιον. τὶς ȣ̓χ ὁρᾷ, ὅτι τȣ̃το ταὐτόν ἐστι τοῖς ἑξῆς; πολὺς ὁ νενοθευμένος χρυσὸς, ἄρα ȣ̓δεὶς γνήσιος. πολὺς ὁ κεκαπηλευμένος οἶνος, ȣ̓δεὶς ἄρα οἶνος ἄκρατος. πολλὰ ἄτεχνα οἰκοδομήματα, ȣ̓δὲν ἄρα ἀρχιτεκτονικόν. πολλὰ νόθα συγγράμματα τȣ̃ Χρυσοστόμȣ, τȣ̃ Ἀθανασίȣ, καὶ ἄλλων, ȣ̓δὲν ἄρα γνήσιον αὐτῶν σύγγραμμα. ὁ φρενήρης μόνον ȣ̓τω συλλογίζεται, κατανοεῖν μὴ δυνάμενος τȣ̃ παραλογισμȣ̃ τὸ πρόδηλον. ἀνεβλάστησαν πάντως ἐν μέσῳ τȣ̃ καθαρȣ̃ σίτȣ, εἴτȣν τῶν τεσσάρων ἁγίων Ἐυαγγελίων, ζιζάνια, τȣτέστι νόθα, ψευδεπίγραφα, καὶ ἀδήλων ποιητῶν Ἐυαγγέλια, ἀλλὰ τῇ περὶ ταῦτα ἐπιστήμῃ τῶν σοφῶν ἁγίων ἀνδρῶν διεκρίθησαν ἀπὸ τῶν γνησίων καὶ διεστάλησαν. καὶ τὰ μὲν γνήσια διαμένȣσιν ὁμολογȣ́μενα, καὶ σεβαζόμενα, καὶ κηρυττόμενα, τὰ δὲ νόθα ἀπεσκορακίσθησαν, καὶ ἐξέλειπον.

Σημ. 2. Ὅτι μὲν τὸ τȣ̃ Ἰωακὶμ ὄνομα λείπει τῇ ἐν τῷ κατὰ Ματθαῖον δευτέρᾳ τετραδεκάδι, δῆλον. ὁ δὲ Ἰωσίας ȣ̓κ ἔστι πατὴρ τȣ̃ Ἰεχονίȣ, ἀλλὰ πάππος, πατὴρ δὲ αὐτȣ̃ ὁ Ἰωακὶμ κατὰ τὴν πρώτην τῶν Παραλειπομένων βίβλον. „Καὶ υἱοὶ Ἰωσία, φησὶ, πρω„τότοκος Ἰωανὰν, ὁ δεύτερος Ἰωακὶμ, ὁ τρίτος Σεδεκίας, ὁ „τέταρτος Σαλȣ̀μ. Καὶ υἱοὶ Ἰωακὶμ, Ἰεχονίας υἱὸς αὐτȣ̃, Σεδεκίας υἱὸς αὐτȣ̃. Τὸ δὲ λέγειν, ὅτι παραδρομῇ τȣ̃ μεταγραφέως κατελείφθη τὸ τȣ̃ Ἰωακὶμ ὄνομα, ȣ̓ πάνυ πειθανὸν ἔοικεν. ὑποτίθεται δὲ ἤτοι τὸ ἕνα ἐκ μόνον μεταγραφέα τὸ τȣ̃ κατὰ Ματθαῖον Εὐαγγελίȣ πρωτότυπον μεταγράψαντα παραδραμεῖν τὸ τȣ̃ Ἰωακὶμ ὄνομα, ἐξ αὐτȣ̃ δὲ μόνȣ ὡς ἐκ πρωτοτύπȣ τ' ἄλλα μεταγραφῆναι τὰ κατὰ Ματθαῖον ἀντίγραφα. ἢ πολλȣ̀ς μὲν μεταγράψαντας, πάντας δὲ ἐπίσης κατὰ παραδρομὴν τὸ αὐτὸ τȣ̃ Ἰωακὶμ καταλιπειν ὄνομα· ἑκατέρα δὲ τȣ́των τῶν ὑποθέσεων ȣ̓κ εὐπαράδεκτος. κἂν δὲ τὰ χειρόγραφα, τὰ ὑπὸ τȣ̃ Ῥοβέρτȣ καὶ Φέβρε ὁραθέντα ὑποτεθῇ παλαιὰ εἶναι καὶ ἀξιόπιστα, δυσσαράδεκτόν ἐστι τὸ πῶς ταῦτα μόνα, καὶ ȣ̓δὲν ἕτερον ἐνεφάνη τὸ τȣ̃ Ἰωακὶμ περιέχον ὄνομα, πῶς δὲ ἐν σκότει διαμεμενήκασι, τῆς ἐλλείψεως τȣ̃ ὀνόματος Ἰωακὶμ πάνυ αἰσθητῆς ȣ̓σης, καὶ πάντων περὶ αὐτῆς ἀπορȣ́ντων; πρὸς τῷ λόγῳ, ὃν περὶ τȣ́τȣ ὁ Ἐπιφάνιος, ὁ Αὐγȣ-

1. Παραλ. 3. 15. 16.

Ἐπιφαν. Ἀρεσ. Ἐπικȣρ. Αὐγ. β. 2.

γυςῖνος, ὁ Ἀμβρόσιος, καὶ ἄλλοι ὑπομνηματιςαὶ προτείνουσι, δὸς καὶ τήνδε τὴν ἡμετέραν προτεῖναι εἰκασίαν. Ἐπίτηδες, ἔοικεν, ὁ Εὐαγγελιςὴς τὸ τοῦ Ἰωακὶμ παρεσιώπησεν ὄνομα. ἀλλὰ διατί; διότι οὐδὲ ἐννόμως, οὐδὲ κατ' ἔθος ὁ Ἰωακὶμ ἐβασίλευσε. ζῶντος δὲ ἔτι τοῦ ἀδελφοῦ αὐτοῦ Ἰωάχαζ, βασιλεὺς προκεχείριςο, καὶ ταῦτα ὑπὸ Φαραὼ, τοῦ καὶ τὸ ὄνομα αὐτοῦ ἐπιςρέψαντος, ὡς μαρτυρεῖ τὸ τέταρτον τῶν Βασιλειῶν βιβλίον. „Καὶ μετέςησεν αὐτὸν (τὸν Ἰω„άχαζ) Φαραὼ Ναχαὼ ἐν Ῥαβλαὰμ ἐν γῇ Ἐμὰθ, τοῦ μὴ βασι„λεύειν ἐν Ἱερουσαλήμ. Καὶ ἐβασίλευσε Φαραὼ Νεχαὼ ἐπ' αὐτοὺς „τὸν Ἐλιακὶμ, υἱὸν Ἰωσίου βασιλέως Ἰούδα· καὶ ἐπέςρεψε τὸ ὄνο„μα αὐτοῦ Ἰωακὶμ, καὶ τὸν Ἰωάχαζ ἔλαβε, καὶ εἰσήνεγκεν εἰς Αἴ„γυπτον, καὶ ἀπέθανεν ἐκεῖ. Τοῦ ὀνόματος οὖν, τοῦ ὑπὸ τοῦ Φαραὼ επιτεθέντος τῷ οὕτω παρανόμως βασιλεύσαντι Βασιλεῖ μνημονεῦσαι, καὶ τοῖς λοιποῖς συντάξαι ἀπαξιώσας ὁ θεῖος Εὐαγγελιςὴς, δήλου τούτου ὄντος ἐκ τῶν εἰρημένων τῆς θείας Γραφῆς βιβλίων, τὸν πάππον δὲ Ἰωσίαν, καὶ τὸν τούτου ἔγγονον Ἰεχονίαν προβαλὼν, ἐπλήρωσε μὲν τὰς δεκατέσσαρας γενεὰς τῆς δευτέρας αὐτοῦ τετραδεκάδος, ἠλήθευσε δὲ κατὰ πάντα. οὐ δὲ εἶπε, καὶ ἀπὸ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος ὀνόματα, ἢ πρόσωπα, δεκατέσσαρα, „ἀλλὰ γενεαὶ δεκατέσσαρες. τῷ ὄντι δὲ δεκατέσσαρες εἰσὶ καὶ αἱ ἐν τῇ δευτέρᾳ τετραδεκάδι γενεαὶ, ἀναλογιζομένων τῶν μεταξὺ τοῦ Πάππου καὶ ἐγγόνου δύω γενεῶν.

περὶ συμφων. Εὐαγγ. Ἀμβρ. β. 3. εἰς τὸ κατὰ Λουκ.

4. Βασ. 23, 33, 34.

Ματθ. 1. 17.

Σημ. 3. Ταύτην μὲν τὴν ῥῆσιν ἐνόθευσεν ὡς ἀξιόπιςος· τὴν δὲ „ἑξῆς, εἴτουν τὴν, Πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαςρὶ ἔχουσα, ἐσιώπησεν ὡς φιλόσοφος· διὸ ἐπήγαγεν ὡς ἄλογος τὸν Εὐαγγελιςὴν λέγοντα, ὅτι ὁ Ἰησοῦς Χριςὸς ἐγεννήθη ἐκ τοῦ Ἰωσήφ.

Ματθ. 1. 18.

Σημ. 4. „Ὅτι ἡ Μαρία, φησὶν ὁ συγγραφεὺς, (ἐν β. 2. σ. 151. „τοῦ περὶ τῶν χαρακτήρ. τοῦ Μεσίου πονήμ.) θυγάτηρ ἦν τοῦ Ἡ„λὶ, οἱ Ἰουδαῖοι μαρτυροῦσιν. ἐν δὲ τῷ τῆς Ἱερουσαλὴμ Ταλμοὺδ, „ἐν τῷ περὶ τοῦ Χαγιγαχ πονήματι ψευδοαποκάλυψις κεῖται, „περιέχουσα τάδε· ἡ Μαρία, ἡ θυγάτηρ τοῦ Ἡλὶ, κτ. ἐπιῤῥών„νυται δὲ ἡ παράδοσις αὕτη τῇ ὁμοιότητι, ἣν ἔχει τῇ τῶν χριςια„νῶν περὶ τοῦ ὀνόματος τοῦ πατρὸς τῆς Μαρίας παραδόσει, τῇ „ἐν τοῖς πρώτοις τοῦ χριςιανισμοῦ χρόνοις ἀναφανείσῃ. κεῖται δὲ αὕ„τη ἐν τῷ τῶν Ἑβιωναίων Εὐαγγελίῳ, καὶ ἐν τῷ κατὰ τὸν ἅγιον

„Ἰάκωβον πρωτοδιαγγελῶ, καὶ τῷ περὶ τῆς γεννήσεως τῆς Μα-
„ρίας. ταῦτα δὲ πονήματά εἰσιν, ὡς οἶδαμεν, ἐν τῷ τέλει τῦ πρώ-
„του αἰῶνος, ἢ ἐν τῇ ἀρχῇ τῦ δευτέρου καταγραφόμενα, διδάσκον-
„τα δὲ, τὸν τῆς Μαρίας πατέρα Ἰωακὶμ προσαγορεύεσθαι. ταύ-
„την δὲ τὴν παράδοσιν οἵ τε πατέρες διεφύλαξαν, καὶ αἱ δύω Ἐκ-
„κλησίαι, ἥτε τῶν Ἑλλήνων, καὶ ἡ τῶν λατίνων ἐδέξαντο, γνῶσιν
„δὲ καὶ αὐτῶ τῶ Ἀλκοράν.

„Οἴδαμεν δὲ, ὅτι τὰ ὀνόματα Ἰωακὶμ καὶ Ἐλιακὶμ εἰσι συνώνυ-
„μα, ὧν ὑποκοριστικὸν τὸ Ἠλί. ἑκατέρῳ δὲ τούτων προσηγόρευ-
4. Βασ. 23. 34. „εἷς τῶν ἐχόντων τὸ Ἰούδα Βασιλέων· ὁ δὲ Καλμέτ (ἐν τῇ
„προσδιαλ. τῇ ἐν κεφαλ. τῦ τῆς Ἰουδὶθ βιβ.) ἀπέδειξεν, ὅτι ὁ
„μέγας Ἱερεὺς, ὁ ἐπὶ Μανασσῆ ἀκμάσας, ἐκαλεῖτο Χὶλ, Χελκίας,
„Ἐλιακὶμ, καὶ Ἰωακίμ.

„Ἀντιλέγειν ἂν δύναμαι τοῖς λόγοις, τοῖς πειθῦσιν, ὅτι
„ὁ μὲν Ἠλὶ, ὁ ἐν τῇ γενεαλογίᾳ τῦ κατὰ Λυκᾶν Εὐαγγελίῦ, ὁ
„πατὴρ ἦσι τῆς Μαρίας, γενεαλογία δὲ αὐτῆς ἐστὶν ἡ ὑπὸ τῦ
„αὐτῦ Εὐαγγελιστῦ παραδοθεῖσα.

„Ἐὰν δέτις ζητῇ, τίνος ἕνεκα ἐν τῇ γενεαλογίᾳ ταύτῃ τὸ
„τῦ Ἰωσὴφ ὄνομα ἐγράφη αὐτὶ τῦ τῆς Μαρίας. ἀποκρινόμεθα
„λέγοντες· ὃκ ἔστιν ἔθος τοῖς Ἰουδαίοις τιθέναι τὰς γυναῖκας ἐν
„τῇ κατ' εὐθείαν τῆς γενεαλογίας ἀκολουθίᾳ. τῦτο δὲ ἀκμὴν παρ'
„αὐτοῖς ἀκμάζει τὸ γνωμικόν· ἡ τῆς μητρὸς πατριὰ ὃκ ἔστι πα-
„τριά. περὶ δὲ τῦ ὀνόματος τῦ Ἰωσὴφ, τῦ ἐν τῇ γενεαλογίᾳ
„ταύτῃ κειμένυ, δύω λόγυς προτεῖναι ἔχομεν. τούτων τὸν πρῶτον,
„ὃς καὶ προτιμητέος κατάγε τὸ ἡμῖν δοκῦν, ἐφεξῆς ἑρμηνεία τῦ
„23. ἐδ. τῦ 3. κεφ. τῦ κατὰ Λυκᾶν Εὐαγγελίυ ἐμφαίνει· ὁ Ἰησῦς,
„ὡς ἐνομίζετο, υἱὸς τῦ Ἰωσὴφ, κατήγετο ἐκ τῦ Ἐλὶ, τῦ ἐκ τῦ
„Ματθὰτ, κτ. ἑρμηνεύσας, τῦ ἑλληνικῦ ὕφυς, συνάψασα τῇ
„τῶν Λιβιόπων μεταφράσει, δυναμένη δὲ συμφωνῆσαι καὶ τῇ τῆς Βυλ-
„γάτης, καὶ πᾶσαν δυσκολίαν ἐκ μέσυ αἴρυσα. δεύτερος δὲ λόγος ἐ-
„στὶν ὁ ἐφεξῆς· τὸ τῦ Ἰωσὴφ ὄνομα ἐτέθη ὡς γαμβρῦ τῦ Ἠλὶ, ἀν-
„τὶ τῦ τῆς Μαρίας τῆς αὐτῷ μνηστευθείσης. ἐκώλυε δὲ τὸ τῶν Ἰυ-
„δαίων ἔθος συνεισάξαι τὸ ὄνομα αὐτῆς ἐν ταύτῃ τῇ γενεαλογίᾳ.

Σημ. 5. Πρόδηλες καὶ τῶν δύω υἱῶν αὐτῦ, ὡς μαρτυρεῖ ὁ Ἰώσηπος ἐν β. 16. κ. 17. τῆς Ἀρχαιολογ.

Σημ. 6. „Καὶ τὺς μὲν καθιμήσαντος ἑαυτὺς ἅμα τοῖς σοφισταῖς
„κατέ-

„κατέκαυσε ζῶντας, τὰς λοιπὰς δὲ τῶν συλληφθέντων παρέδωκε „τοῖς στρατιώταις ἀνελεῖν. ταῦτα ὁ Ἰώσηπος ἐν β. 1. κ. 17. περὶ πολέμου.

Σημ. 7. Τὸ μὲν ῥητὸν τοῦ Ἱερεμίου, τὸ ὑπὸ τοῦ Εὐαγγελιστοῦ Ματθαίου προτεινόμενον ἐστὶ τό· Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρήνου καὶ „κλαυθμοῦ καὶ ὀδυρμοῦ πολλοῦ, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. Τοῦτο τὸ νόημα ὁ Βολτέρος διασύρει οὐκ ἠδυνήθη ἀπὸ τῆς ἀκολουθίας τῶν τοῦ Προφήτου ῥημάτων· τὸ δὲ τοῦ Ὡσηὲ περὶ οὗ λαλεῖ ὁ τοῦ δὲ τοῦ βιβλίου συγ- „γραφεὺς, ἐστὶ τὸ, Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. Ἰδοὺ δὲ ἡ ἀπάντησις τοῦ αὐτοῦ συγγραφέως πρόσθε τὰ δύο ῥητὰ ταῦτα, καὶ πρὸς ἄλλα τινὰ ὑπὸ τῶν Ἑβραίων προβαλλόμενα. „Παχυλῶς ἀ- „παταῖ ὁ πιστεύων, ὅτι οἱ πρῶτοι τοῦ χριστιανισμοῦ διδάσκαλοι, οἱ „ἐν πολλοῖς τῶν συγγραμμάτων αὐτῶν τόποις τὴν παλαιὰν Διա- „θήκην προτείνοντες, οὐδὲν ἕτερον ἐποίουν, ἀμὴ ἀπολογίαν. διότι „οὗτοι πρὸς τούτῳ καὶ διηρμήνευον, ἀνακαλύπτοντες τὸ ὑπὸ τὴν „φλοιὰν τοῦ γράμματος κεκρυμμένον νόημα, καὶ τὸν ἐδικὸν σκο- „πὸν, ὃν εἶχε τὸ Πνεῦμα τὸ ἅγιον, τὸ τὸν κάλαμον τῶν τῆς „παλαιᾶς Διαθήκης συγγραφέων διοδεύνον. ἐξῆν δὲ αὐτοῖς τοῦτο „ποιῆσαι ἅτε δὴ ἐδόσιν, ὅτι οἱ Ἰουδαῖοι ἐδέχοντο τὰς ἀλληγορικὰς „ἐννοίας πρὸς τῷ ἐκ τοῦ γράμματος νοήματι, οἷον ὁ Φίλων ἐν „πᾶσι τοῖς αὐτοῦ συγγράμμασιν, ὁ Ἀρισταῖος ἐν τῷ βιβλίῳ αὐτοῦ, „τῷ παρ' Εὐσεβίῳ (ἐν β. 8. κ. 9. τῆς εὐαγγελ. προπαρ.) οἱ πα- „λαιοὶ Ῥαββῖνοι ἔντε τῇ Μίσχνᾳ κὰν τῷ Ταλμούδ. Καὶ μετ' ὀλί- „γα. Ὁ εὐαγγελιστὴς Ματθαῖος εἶπε μὲν, ὅτι τὰ τοῦ Ὡσηὲ ῥή- „ματα ἐπληρώθησαν ἐν τῷ Ἰησοῦ Χριστῷ· τὰ δὲ τοῦ Ἱερεμίου ἐν „τοῖς ἀναιρεθεῖσιν ἐν Βηθλεὲμ νηπίοις, οὐκ ἐξέλεν ὅμως τὴν πρώ- „την τούτων ἐκπλήρωσιν, τὴν ἐν τῇ ἐξόδῳ ἐξ Αἰγύπτου, καὶ τὴν „ἐν τῇ μετοικεσίᾳ τῶν δέκα φυλῶν. τὸ δὲ ἐφαρμόζειν ῥήματα. ἐν- „τελῶς καὶ μετὰ πασῶν τῶν περισάσεων ὑποθέσει τινὶ ἁρμόζοντα, „κἂν ταῦτα προλαβὸν ἔρρεθη περὶ ἄλλης ὑποθέσεως, τρόπος ἐστὶ „τοῦ λέγειν πάνυ εὐαπόδεκτος. τὸ δὲ διασέλλον τὰς ὑπὸ τῶν Εὐ- „αγγελιστῶν γεγενημένας ἐφαρμογὰς ἀπὸ τῶν καθ' ἑκάστην γινο- „μένων ἐν ταῖς τῶν ἀνθρώπων ὁμιλίαις, ἐστὶ τὸ, τὰς Εὐαγγελιστὰς· „ὧν ἡ ἀποστολὴ καὶ ἡ θεία ἔμπνευσις ἐπικεκυρωμέναι εἰσὶ τοῖς τοῦ „διδασκάλου αὐτῶν θαύμασι καὶ τοῖς ὑπερφυέσιν αὐτῶν ἔργοις, „τοῖς καθ' ἡμέραν ἐνώπιον τῶν ὀφθαλμῶν τοῦ κοινοῦ ἐνεργουμένοις·

Ἰερ. 31. 15.

Ὡσ. 11. 1.

„πάσης πίςεως ἀξίους εἶναι, ἀνακηρύττοντας τὸ ὅτι ἐκτὸς τοῦ ἀντι-
„κειμένου, εἰς ὃ ἀμέσως ἀπέβλεπόν τινες τῶν Προφητῶν ῥήσεις,
„νοουμένου κατὰ τὴν τῆς ὁμιλίας αὐτῶν ἀκολουθίαν, ὅπερ ἐγὼ ἔννοιαν
„τῆς ὑφῆς προσαγορεύω, εἶχον προσέτι καὶ ἕτερον ἀντικείμενον κα-
„τὰ τὸν τοῦ ἁγίου Πνεύματος σκοπὸν, τοῦ τὸν κάλαμον τῶν Ἱε-
„ρῶν σύγγραφέων εὐθύναντος, καὶ συγκλείσαντος αὐτοὺς μετελ-
„θεῖν φράσεις, ἀληθεῖς μὲν φανείσας ἅπαξ διὰ τῶν προτέρων
„ἐκβάσεων, μελλούσας δὲ προσέτι ἀληθεῦσαι ἐντελέςερον καὶ καθ'
„ὑψηλοτέραν ἔννοιαν ἐπὶ τοῦ Μεσίου. αἱ τοιαῦται οὖν μαρτυρίαι, αἱ
„ἐνίοτε ἐν τῇ νέᾳ Διαθήκῃ συναντώμεναι, διδασκαλίαι εἰσὶ τοῦ κα-
„θηγητοῦ, οὗτινος ἀλλαχόθεν δεδειγμένη ἐςὶν ἡ θεία ἐξουσία. μη-
„δὲν δὲ λυμαίνουσαι τὴν ὑπόθεσιν τῶν προφητειῶν, εἰς ἣν ἀμέσως ἡ
„ἔννοια ἀνάγεται, ἢ τῷ ἀναγινώσκοντι εὐθέως παρίςαται, ἐμφανί-
„ζουσι τοὺς τοῦ Μεσίου χαρακτῆρας κατὰ τὸ γράμμα ἐκπεπληρωμέ-
„νους ἐν τῷ Ἰησοῦ Χριςῷ.

Σημ. 8. „Ἰδοὺ τὰ τοῦ Βολτέρου ῥήματα, τὰ περὶ τῆς προῤῥήσεως τοῦ
„Ησαΐου. Διϊσχυρίζονται (οἱ κριτικοί) ὅτι τὸ συμβὰν τῷ Ἡσαΐᾳ
„γεννῆσαι παιδίον ἐκ τῆς γυναικὸς αὐτοῦ, οὐδεμίαν ἔχει σχέσιν τῇ
„τοῦ Ἰησοῦ Χριςοῦ γεννήσει. ἀλλ' οὐδὲ ὁ τοῦ Ἡσαΐου υἱὸς, οὐδὲ ὁ τῆς
„Μαρίας ὠνομάσθη Ἐμμανουήλ. ἐκλήθη δὲ ὁ τοῦ Προφήτου υἱὸς
„Μαχερ Σακχ Ασβας, ταχέως σκύλευσον, ὀξέως προνό-
„νευσον, τὰ δὲ σκύλα καὶ αἱ προνομεύσεις οὐδὲ κατ' αὐτὰς τὰς βε-
„βιασμένας ἀλληγορίας ἀνήκουσι τῷ ἐν Καπερναοὺμ διδάξαντι Ἰη-
„σοῦ Χριςῷ. τελευταῖον δὲ αὕτη ἡ συνεχὴς ασουδὴ τοῦ διαςρέφειν
„τὴν τῶν παλαιῶν Ἰουδαϊκῶν βιβλίων ἔννοιαν, παχυλόν ἐςι τεχ-
„νούργημα.

Ἡ ὑπὸ τοῦ συγγραφέως τῆςδε τῆς βίβλου μνημονευομένη ἀ-
πόδειξις μακροσκελής ἐςι, καὶ οὐκ ἐπὶ σκοπῷ τοῦ ἀπαντῆσαι πρὸς
πάντα τὰ προκείμενα τοῦ Βολτέρου ῥήματα. διὸ ἐξ αὐτῆς τινὰς συ-
νερανισάμενοι ἐννοίας, τὰ ἑξῆς παρατίθεμεν. Τριῶν μνημονεύει
παιδίων ὁ Ἡσαΐας ἐν τῷ ζ'. καὶ η'. κεφ. τοῦ Ἰασοὺβ, ὃν κατ' ἐπιτα-
γὴν Θεοῦ μεθ' ἑαυτοῦ παρέλαβεν· „Ἔξελθε, τοῦ φησιν, εἰς συν-
Ησ. 7. 3. άντησιν Ἄχαζ σὺ, καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱόςου· τοῦ Ἐμ-
μανουὴλ, τοῦ ἐκ Παρθένου τεχθησομένου, καὶ τοῦ ἑτέρου υἱοῦ αὐτοῦ, τοῦ
γεννηθέντος ἐκ τῆς προφήτιδος, τουτέςι τῆς γυναικὸς αὐτοῦ.
Ησ. 8. 3. „Καὶ προσῆλθον, φησὶ, πρὸς τὴν προφῆτιν, καὶ ἐν γαςρὶ ἔλαβε,
„καὶ ἔτεκεν υἱόν. ὅτι δὲ οὐ μόνον περὶ τοῦ Ἐμμανουὴλ, ἀλλὰ καὶ περὶ

τῶν

τῶν δύω ὑῶν αὐτῦ ὁ Ἡσαΐας λαλεῖ ἐν τοῖς ῥηθεῖσι κεφαλαίοις. δῆλον ἢ ἐκ τῶν ἑξῆς ῥημάτων αὐτῦ· „Ἰδὺ ἐγὼ Ϛ τὰ παιδία, Ησ. 8. 18.
„ἅμοι ἔδωκεν ὁ Θεὸς. περὶ μὲν ὃν τῦ πρώτυ ὑῦ αὐτῦ τῦ Ἰασὺϛ φησί· „Διότι πρινὴ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπαθεῖ Ησ. 7. 16.
„πονηρία, ἐκλέξασθαι τὸ ἀγαθόν· ἢ καταλειφθήσεται ἡ γῆ, ἣν „σὺ φοβῆ, ἀπὸ προσώπυ τῶν δύω Βασιλέων. Ὅτι δὲ τὰ ῥήματα ταῦτα πρὸς τὸν Ἰασὺϛ ἀνάγονται δῆλον ἀ. ἐκ τῦ ἐν τῷ ἑβραϊκῷ ὕφει κεῖσθαι πρὸ τῦ ναγχαρ, τυτέστι παιδίον, τὸ χε, ὅπερ πρὸ τῦ ὀνόματος τιθέμενον, δεικτικὴν ἀντωνυμίαν πολλάκις ἐμφαίνει. ἀναγνωστέον ὃν πρινὴ γνῶναι τῦτο τὸ παιδίον. ταῦτα δὲ λέγων ὁ Ἡσαΐας, ἐδείκνυε τὸν μετ' αὐτῦ ὑὸν αὐτῦ τὸν Ἰασύϛ. β'. Ἐκ τῦ μὴ μάτην τὸν Θεὸν ἐπιτάξαι τῷ Ἡσαΐᾳ παραλαβεῖν μεθ' ἑαυτῦ τὸν Ἰασύϛ. κατ' ὐδὲν δὲ ἕτερον συντείνων φαίνεται ὁ Ἰασὺϛ ἐν ταύτῃ τῇ ἀποσολῇ, εἰ μὴ καθότι πρὺτέθη δεικνύμενος ὑπὸ τῦ πατρὸς αὐτῦ. ἀλλ' ὐδὲ ἄλλο ῥῆμα, πλὴν τῶν εἰρημένων, περὶ αὐτῦ ἐνταῦθα ἐῤῥέθη. γ. Ἐκ τῦ μὴ ἀνάγεσθαι τὰ διαληφθέντα ῥήματα πρὸς ὐδέτερον τῶν λοιπῶν δύω παιδίων. ὃ πρὸς τὸν Ἐμμανυὴλ τὸν ἐκ Παρθένον τεχθησόμενον. ὐδεμία γὰ Παρθένος ἔτεκεν ἐν τῷ μεταξὺ τῦ καιρῦ, ἐν ᾧ οἱ δύω Βασιλεῖς, ὁ Ῥασὶν ἢ ὁ Φακεὲ, ἐπολέμυν τὴν Ἱερυσαλήμ. ὁ δὲ Ἡσαΐας εἰρηκε, πρινὴ „γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, καταλειφθήσεται ἡ γῆ, εἴτυν ἀπαλλαγήσεται ἀπὸ προσώπυ τῶν δύω πολεμύντων Βασιλέων. ἀλλ' ὐδὲ πρὸς τὸν ἕτερον ἀνάγονται ὑὸν τῦ Ἡσαΐυ, τῦ ἐν τῷ ἡ κεφ. μνημονεύοντος αὐτῦ, ἢ ἄλλα τινὰ περὶ αὐτῦ λέγοντος, ἅπερ κατωτέρω παραθησόμεθα. Περὶ δὲ τῦ μήπω γεννηθέντος Ἐμμανυὴλ προαγορεύει ὁ Ἡσαΐας, λέγων. „Διὰ τῦτο δώσει Κύ- Ησ. 7. 14.
„ριος αὐτὸς ἡμῖν σημεῖον· Ἰδὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, κτλ. εἶτα ἐν τῷ θ' κεφ, ἐπαναλαβὼν πάλιν τὰ περὶ τῦ Ἐμμανυὴλ, φησίν· „Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς ἢ ἐδόθη ἡμῖν, ὃ ἡ ἀρ- Ησ. 9. 6, 7.
„χὴ ἐγενήθη ἐπὶ τῦ ὤμυ αὐτῦ. ἢ καλεῖται τὸ ὄνομα αὐτῦ με-
„γάλης βυλῆς ἄγγελος, θαυμασὸς σύμβυλος, Θεὸς ἰσχυρὸς,
„ἐξυσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τῦ μέλλοντος αἰῶνος. μεγά-
„λη ἡ ἀρχὴ αὐτῦ, ἢ τῆς εἰρήνης αὐτῦ ὐκ ἔσιν ὅριον. ἐπὶ τὸν θρο-
„νον Δαβὶδ, ἢ τὴν Βασιλείαν αὐτῦ κατορθῶσαι αὐτὴν, ἢ ἀντι-
„λαβέσθαι ἐν κρίματι ἢ ἐν δικαιοσύνῃ ἀπὸ τῦ νῦν Ϛ εἰς τὸν αἰῶ-
να. ὐδέτερος δὲ τῶν τῦ Ἡσαΐυ ὑῶν, ἀλλ' ὐδὲ ἄλλος τις πλὴν τῦ Ἐμμανυὴλ, θαυματυργικῶς ἐκ παρθένυ γεγένηται. ἢ τὰ λοιπὰ δὲ προτεθέντα ῥήματα, πλὴν τῦ θεανθρώπυ, ὐδενὶ ἀνήκει.

Περὶ

Περὶ δὲ τῦ ἑτέρυ υἱῦ αὐτῦ ὁ Ἡσαΐας ἔφη· „Καὶ εἶπε Κύριός
„μοι, κάλεσον τὸ ὄνομα αὐτῦ, ταχέως σκύλευσον, ὀξέως προνό-
Ησ. 8. 13. 4. „μευσον, διότι πρινὴ γνῶναι τὸ παιδίον καλεῖν πατέρα, ἢ μητέρα,
„λήψε) δύναμιν Δαμασκῦ, ϗ τὰ σκύλα Σαμαρείας ἔναντι Βασι-
„λέως Ἀσσυρίων. Τυτέσιν ὁ τῶν Ἀσσυρίων Βασιλεὺς ταχέως
τὴν μὲν ἐπικράτειαν τῦ Βασιλέως Ῥασὶν, ἔτυν τὴν Δαμασκὸν,
προνομεύσει, τὴν δὲ τῦ Φακεὲ, ἤτοι τὴν Σαμάρειαν σκυλεύσει. ὅ-
περ δὴ ϗ ταχέως πεπλήρωϗ. ἡ γὰ Ἱερυσαλὴμ τῆς πολυορκίας τῶν
Βασιλέων Ῥασὶν ϗ Φακεὲ ταχέως ἀπήλλακϗ μετὰ δὲ πολὺ δὲ
ἐπρονομεύθη μὲν ἡ Δαμασκὸς, ἐσκυλεύθη δὲ ἡ Σαμάρεια, ὡς
δῆλον ἐκ τῦ ις ϗ ιζ κεφ. τῆς δ' τῶν Βασιλειῶν.

Εἰ δὲ οἱ τρισάθλιοι δτοι κριτικοὶ, ϗ ὁ κακοδαίμων Βολτέ-
ρος ὐκ ἐμπαθῶς ϗ ἐπιπολαίως, ἀλλ' ἀπαθῶς ϗ κατὰ βάθος
τὴν θέαν ἐμελέτων Γραφὴν, ὐκ ἂν διέστρεφον τὰς τῦ Ἡσαΐυ
προῤῥήσεις, συγχέοντες τὺς δύω υἱὺς αὐτῦ μετὰ τῦ Ἐμμανυὴλ,
ὐδὲ ἔχρηζον βεβιασμένων, ἢ ἀπαραβιάστων ἀλληγοριῶν. ἀλλὰ τύ-
τυς διαξέλοντες, κατενόυν τίνα μὲν περὶ ἑκατέρυ τῶν υἱῶν αὐτῦ
ἄρηκεν ὁ Ἡσαΐας, τίνα δὲ περὶ τῦ Ἐμμανυὴλ. εὐρων δὲ ϗ τὸ,
Ματθ. [1. 23. ὅτι ὁ Ἐμμανυὴλ ἐςὶν ὁ Ἰησῦς. ἐπεὶ γὰ Ἐμμανυὴλ σημαίνει τὸ,
μεθ' ἡμῶν ὁ Θεὸς, τῦτο δὲ ἦν ὁ Ἰησῦς, Θεὸς μεθ' ἡμῶν, Θεὸς
ϗ ἄνθρωπος, θεάνθρωπος, ἔσχεν ἄρα ἐκ τῦ πράγματος τὸ Ἐμ-
μανυὴλ ὄνομα. ὥσπερ γὰ τὰ ὀνόματα δηλωτικά εἰσι τῶν πραγμά-
των, ὕτω ϗ τὰ πράγματα τῶν ὀνομάτων. αὐτὰ ὖν τὰ πράγματα
ἐκάλυν τὸν Σωτῆρα Ἰησῦν, Ἐμμανυὴλ.

Σημ. 9. Ἐπειδὴ ἡ ἀλλαχῦ ἀπάντησις, ἣ πρὸς Ὀροβιόντινα Ἰυ-
δαῖον, ὐκ ἔχι τῇ προκειμένῃ ἐνςάσει πάνυ κατάλληλος, λαβὼν
ἐξ αὐτῆς μόνην τὴν τῶν Ῥαββίνων μαρτυρίαν, ἀπαντῶ ὕτω. Διατὶ
ὐκ ἐπίσης πάντες βλέπυσι τὸ αὐτὸ φῶς, ἀλλ' οἱ μὲν μᾶλλον,
οἱ δὲ ἧττον, οἱ δὲ ὐδόλως; Διατὶ τὸ αὐτὸ ἀγαπητὸν πρᾶγμα ὐκ
ἐπίσης ὑπὸ πάντων ἀγαπᾶϗ ἀλλ' ὑπὸ τῶνδε μὲν μᾶλλον, ὑπ'
ἐκείνων δὲ ἧττον, ὑπ' ἄλλων δὲ ὐδόλως, ὑπ' ἐνίων δὲ ϗ μισεῖϗ;
Διότι πάντες ὐκ ἔχυσι τὴν αὐτὴν τῶν ὀφθαλμῶν κατασκευὴν ϗ ῥώ-
σιν, ὐδὲ τὰς αὐτὰς σωματικὰς ϗ ψυχικὰς διαθέσεις. συμπεραίνες
ἄραγε σὺ, ὅτι ὐκ ἔςι φῶς, ἐπειδὴ ὐχ ὁρᾷ αὐτὸ ὁ τυφλός; ἢ ὅτι
ὐκ ἔςιν ἀγαπητὸν τὸ φύσει ἀγαπητὸν, ἐπειδὴ ὑπότινων μισεῖϗ;
ὐδαμῶς. ϗ ὅμως ὐ λανθάνεις συνάγων, ὅτι ὐδὲ οἱ ὐρανοὶ ἠνεώχ-
θησαν, ὐδὲ ἡ φωνὴ ὐρανόθεν ἠνέχθη, ἐπειδὴ τὸ τῶν Ἰυδαίων γε-

ϗ

νῷ ὐχ ὡμολόγησε τὸν Ἰησῦν Θεὸν, ὐδὲ ἠγάπησεν αὐτὸν, ἀλλὰ σαρκὶ θανάτῳ κατεδίκασεν. ἀγνοεῖς ἄρα σὺ, ὅτι ἡ προκατάληψις ἐπιπροσθεῖ τῇ ὀρθῇ κρίσει, ἢ ὁ φθόνος ἀμβλύνει τὸ διακριτικὸν, ἢ τῦ κέρδους ἡ ἐπιθυμία σκοτίζει τὸν νῦν, ἢ ἡ ὑπερηφάνεια, ἢ ἡ φιλοδοξία, ἢ τὸ μῖσος, ἢ αὐτὸς συγχέει τὰς νοήμονας ἢ εὐφυεῖς; ἑωράκασιν οἱ Ἰουδαῖοι τά τε ἐρημένα, ἢ τὰ λοιπὰ τῦ Κυρίυ θαύματα, ἀλλὰ τοῖς πάθεσιν αὐτῶν σκοτόμενοι, ὐχ ὡμολόγησαν αὐτὸν Θεὸν, ἀλλ' ἐν τῷ ἄρχοντι τῶν Δαιμονίων ἔλεγον, ἐκβάλλει τὰ Δαιμόνια.

Εἶτα, τὸ γένος, λέγεις, γενικῶς, μὴ ὑποδιαξέλλων τὰς ἐκ τῦ αὐτῦ γένους ἢ λογισαμένους ἢ ὁμολογήσαντας αὐτὸν Θεὸν, ἢ ὑπὲρ τῆς ὁμολογίας ταύτης μυρίας ὑποσάντας βασάνους ἢ θάνατον. ἢ ἢ τῦτο ὐκ οἶδας, ὅτι ὐ μόνον οἱ Ἀπόστολοι ἢ μαθηταὶ Θεὸν αὐτὸν ὡμολόγησαν, ἀλλὰ ἢ πολλοὶ τῶν Ἀρχόντων ἐπίστευσαν εἰς αὐτὸν, ἢ μυριάδες ἀλλήλους συνθλιβόντων ὄχλων ἀθροιζομένων ἀκῦσαι αὐτῦ, ἢ ὁ ὄχλος ὁ μαρτυρῶν, ὅτι τὸν Λάζαρον ἤγειρεν ἐκ νεκρῶν, ἢ ὁ κόσμος ὁ ὀπίσω αὐτῦ πορευόμενος; τῦτοις πρόσθες τὸ, ὅτι ἢ αὐτοὶ οἱ ἀπειθήσαντες Ἰουδαῖοι τὰ τῦ Ἰησῦ Χριστῦ θαύματα ὐκ ἠρνήσαντο, ἀλλ' ὁμολογήσαντες αὐτὰ, τῇ τῆς μαγείας δυνάμει, ἢ τῷ μεγάλῳ τῦ Θεῦ ὀνόματι, τῷ ὑπὸ τῦ Ἰησῦ ἐν τῷ θυσιαστηρίῳ, κλεπτικῶς ἀναγνωσθέντι, ταῦτα γεγονέναι ἔφησαν. μάρτυρες τῦτυ οἱ Ῥαββῖνοι, Αβοδα, Ζαρα, Μιδρασγ, Κοχελεθ, (σ. 104. τῦ Ταλμὸδ) ἢ τὸ βιβλίον τὸ καλύμενον Τολδος Ἰεσχυ. (ὅρα σ. 6, 7, 14. τῦ αὐτ. βιβλ. ἐν τῇ συλλογῇ τῦ Βασενγελίυ.) Ἰδὺ δὲ ἢ τὰ χλευασικὰ ῥήματα, οἷ ὧν ὁ αὐτὸς Βολτὴρος ἅπαντα τῇ ἰδίᾳ ἐνσάσει.

„Ἀποκρίνου, φησὶ, τῇ ἐνσάσει ταύτῃ, ὅτι αἱ τῶν Ἰουδαί-„ων καρδίαι ἐσκληρύνθησαν. διὰ δὲ μέζονος θαύματος τοσῦτον „ἐτύφλωσεν αὐτὺς ὁ Κύριος, ὥσε μὴ ἰδεῖν τὰ θαύματα, τὰ ἀκα-„ταπαύστως ἐνώπιον τῶν ὀφθαλμῶν αὐτῶν τελύμενα."

Οὐχ ὁ Κύριος, πανάθλιε, ἀλλ' ἡ κακία ἢ τὰ πάθη τὸν νῦν αὐτῶν σκοτίσαντα, πίστευσαι ὐκ ἀφῆκαν, κἂν ἑῶρων τὰ θαύματα. εἰ μὲν γὰρ Κύριον ὁμολογεῖς, δῆλον ὅτι ἢ παντέλειον. τῦ δὲ παντελείυ ὄντος πόῤῥω ἀφέσηκεν ἡ τῦ βλάπτειν κακία. εἰ δὲ Κύριον ὐχ ὁμολογεῖς, ἵνα τί τῦτον ἐπάγεις, τὰς Ἰουδαίας τυφλῦντα; ἄρα γε διὰ τὸ, „Τετύφλωκεν αὐτῶν τὰς ὀφθαλμὰς, ἢ πεπώρωκεν Ἰωάνν. 12. 40. „αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, ἢ νοήσωσι τῇ „καρδίᾳ, ἢ ἐπιστραφῶσιν." ἀλλ' ἵνα τὶ φιλόσοφος εἶναι ἐπαγγελόμενος.

μενος. οὐκ ἀναγινώσκεις ἡ τὸ ἑξῆς, ἵνα τὸ, καὶ ἰάσωμαι αὐτούς; τὸ δὲ ἰάσωμαι πρῶτον πρόσωπον ὂν, καὶ ὑ τρίτον ὥσπερ τὸ, τετύφλωκε, καὶ τὸ, πεπώρωκε, καὶ τοῖς παιδίοις, λάλησαι τὴν ἔννοιαν. ὁ δὲ φησι τετύφλωκα, καὶ πεπώρωκα, καὶ ἰάσωμαι, ἀλλὰ τετύφλωκε, καὶ πεπώρωκε, καὶ ἰάσωμαι. ἄλλος ἄρα ὁ τετυφλωκὼς καὶ πεπωρωκὼς, ἀμέλειαι ἡ τῆς καρδίας κακία, ἢ ἐκεῖνος ὁ καὶ σὲ τυφλώσας, καὶ ἄλλος ὁ ἰασόμενος, ὁ Θεὸς. ἵνα τί δὲ καὶ τὸν Ἡσαΐαν οὐκ ἀναγινώσκεις, ἐξ οὗ ἡ ῥῆσις αὕτη ἐλήφθη, τὸν αὐτὸν ἐμφαίνουσα νοῦν;

Ησ. 6. 10. „Ἐπαχύνθη, φησὶν ὁ Προφήτης, ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς „ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν, μή πο„τε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συ„νῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς.

Σημ. 10. Φάσματι καὶ πράγματι ἔδειξε τῷ Κυρίῳ Ἰησοῦ ὁ Διάβολος πάσας τὰς Βασιλείας. ὅπερ ὁ μὲν ἱερὸς Λουκᾶς ὑποσημαίνειν δοκεῖ διὰ τοῦ, ἐν στιγμῇ χρόνου. ὁ δὲ θεῖος Χρυσόστομος (ἐν τῇ εἰς τὸ κατὰ Ματθ. Σερ.) ἐκπεφασμένως τοῦτο ἐκτίθησι, λέγων. „Οὐ „δὲ νοητῶς ἐφάνη αὐτῷ ὁ Διάβολος, ἀλλ' αἰσθητῶς. καὶ τὰς Βασιλείας φανταστικῶς αὐτῷ ὑπέδειξε. πρὸς τούτοις δὲ παρατηρητέον καὶ τὸ ὅτι, τὸ μὲν, ἔδειξεν ὁ Διάβολος τῷ Ἰησοῦ πάσας τὰς Βασι-

Ματθ. 4. 8. λείας, ἑκάτερος τῶν θείων Εὐαγγελιστῶν ὅτε Ματθαῖος καὶ ὁ Λου-

Λουκ. 4. 5. κᾶς, ἔγραψε. τὸ δὲ ὅτι ὁ Ἰησοῦς οὐδὲ τὰ ὑπὸ τοῦ Διαβόλου δεικνύμενα. ἑκάτερος, σημαίνοντες διὰ τῆς τοιαύτης σιωπῆς, ὅτι οὐδὲ ὁ Διάβολος πραγματικῶς ἔδειξεν, οὐδὲ ὁ Ἰησοῦς πραγματικῶς ἐθεάσατο. πῶς γὰρ ἄντικρυς ἐν στιγμῇ χρόνου πράγματι καὶ ἀληθείᾳ ἦτοι δείξῃ, ἢ ἴδῃ πάσας τὰς τοῦ κόσμου Βασιλείας. ἔτι δὲ καὶ τὴν δόξαν αὐτῶν; ὅπερ ὁ Εὐαγγελιστὴς Ματθαῖος προσέθηκε, τὸ φανταστικῶς ταῦτα γεγονέναι δηλῶν.

Σημ. 11. Τὸ παραλαμβάνω οὐ σημαίνει τὸ μεταπέμπω, ἀλλὰ τὸ λαμβάνω παρ' ἐμοῦ, τὸ συμπορεύεσθαί μοι τινα πείθω, ὥσπερ καὶ τὸ

Ματθ. 17. 1. παρὰ τοῦ αὐτοῦ Ματθαίου, Παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, „καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ. καὶ ἀναφέρει αὐτοὺς „εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν." διὸ δὴ νοεῖν οὐ χρὴ, ὅτι καταπυριεύσας ὁ Διάβολος τοῦ θεανθρωπικοῦ σώματος, ἦρεν αὐτὸ, καὶ μετεκόμιζεν ὅπου ἤθελε. μόνον γὰρ κατὰ θείαν συγχώρησιν ἐπετράπη αὐτῷ πειράσαι τὸν Ἰησοῦν ὡς ἄνθρωπον. „διὸ δὴ τὸ, παραλαμβά„νει αὐτὸν ὁ Διάβολος εἰς τὴν ἁγίαν πόλιν, ὡσαύτως καὶ τὸ, παραλαμ-

ραλαμβάνει αὐτὸν ὁ Διάβολος εἰς ὄρος ὑψηλὸν, οὐδὲν ἕτερον δηλοῖ, εἰμὴ τὸ ὅτι ὁ μὲν Διάβολος προέτρεπε τὸν Ἰησοῦν σὺν αὐτῷ ἐλθεῖν εἰς τὴν ἁγίαν πόλιν, καὶ συναναβῆναι αὐτῷ εἰς ὄρος ὑψηλόν. ὁ δὲ Ἰησοῦς ἀνθρωπικῶς συνείπετο αὐτῷ, πειρασθῆναι ὑπ' αὐτοῦ συγχωρῶν, εἰς ἔνδειξιν τῆς τοῦ πειράζοντος ἀδυναμίας, καὶ θάρσος τῶν πιστευόντων κατὰ τῶν αὐτοῦ πειρασμῶν. ὁ δὲ πάνσοφος καὶ εὐφυέστατος φιλόσοφος ἐπιλαθόμενος, ὡς ἔοικεν, ὅτι ὁ Ἰησοῦς Χριστὸς καὶ ἐστὶ καὶ πιστεύεται οὐ μόνον Θεὸς, ἀλλὰ καὶ ἄνθρωπος, τοὺς τοῦ Διαβόλου πειρασμοὺς παραλογῶν τῷ Θεῷ ἀπένειμε, καὶ τοῦ Θεοῦ κατακυριεῦσαι τὸν Διάβολον βλασφημῶν ἀπεφθέγξατο. εἶτα αὐτὸς ἐν τοῖς ὑπὸ τῶν ἁγίων Εὐαγγελίων ἱστορουμένοις ἀτοπολογῶν, καὶ βλασφημῶν, καὶ γελοιωδέστατος δεικνύμενος, τὴν εὐαγγελικὴν ἱστορίαν ἄτοπον, καὶ βλάσφημον, καὶ γελοιώδη λέγειν καταθρασύνεται.

Σημ. 12. Ὅτι μὲν τὸ μέθυ σημαίνει οἶνον, μάρτυς ὁ Ὅμηρος. Μέθυ νεῖμον πᾶσιν ἀνὰ μέγαρον. ὡσαύτως καὶ ὁ Πλούταρχος, ἄντικρυς ἄκρατον λέγων εἶναι τὸ μέθυ. ποῦ δὲ ὁ συγγραφεὺς εὗρε τὴν ὑπ' αὐτοῦ προτεινομένην τοῦ μεθύω σημασίαν ἀγνοῶ. ἀρκετὸν δὲ πρὸς ἀπάντησιν τῆς προκειμένης τοῦ Βολτέρου παραλογίας τὸ, ὅτι τὸ μεθυσθῶσιν, οὐδόλως ἀνήκει τοῖς ἐν Κανᾷ δαιτυμόσιν. ὁ τοῦ ἀρχιτρίκλινος εἰπών. πᾶς ἄνος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι τὸν ἐλάσσω. „οὐ τὸ τὶ γέγονε τότε εἴρηκεν, ἀλλὰ τὸ τὶ κατ' ἔθος γίνεται. προσθεὶς δὲ καὶ τὸ, σὺ δὲ τετήρηκας τὸν καλὸν οἶνον „ἕως ἄρτι, δύω τινὰ ἐξέθετο." πρῶτον μὲν, ὅτι ἐκ τοῦ καλοῦ οἴνου μεθύσκονται, καὶ ὅταν μεθυσθῶσι, πίνουσι τὸν ἐλάσσω. δεύτερον δὲ, ὅτι οἱ ἐκεῖ δαιτυμόνες πρῶτον ἔπιον τὸν ἐλάσσω, εἶτα τὸν καλὸν, ἀμέλειτοι τὸν τῇ μεταβολῇ τοῦ ὕδατος ὑπὸ τοῦ Ἰησοῦ γεγενημένον. ἐκ τούτων οὖν δῆλον, ὅτι τότε τοὐναντίον τῆς συνηθείας οἱ δαιτυμόνες πεποιήκασι. διὸ τὸν ἐλάσσω πιόντες πρῶτον, οὐκ ἦσαν μεμεθυσμένοι ὅτε τὸ ὕδωρ εἰς οἶνον μετεβλήθη. ταῦτα παραβαλὼν τοῖς ἐκ τῶν τοῦ ἀρχιτρικλίνου ῥημάτων ὑπὸ τοῦ Βολτέρου συναγομένοις, ἐπιγνώσῃ τὴν τούτου κακεντρέχειαν.

Ὀδ. ξ.
β, 3. συμποσ.
ζητ. 2.

Σημ. 13. Οἱ ἐνεργούμενοι εἰσὶ μελαγχολικοί; ἔστω. ἡ μελγχολία ἄρα κατεξανισταμένη κατὰ τοῦ πρωτίστου τῆς φύσεως νόμου, δι' οὗ πᾶν ζῶον ἑαυτὸ διατηρεῖν πάσαις ασουδάζει δυνάμεσι, τὸν μελαγχολικὸν πότε εἰς τὸ πῦρ βάλλει, καὶ πότε εἰς τὸ ὕδωρ, ἄγει δὲ αὐτὸν ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς μνήμασι διαπαντὸς ἡμέρας καὶ νυκτὸς κράζοντα, καὶ λίθοις ἑαυτὸν κατακόπτοντα. ἔχει ἄρα ἡ μελεγχολία ἰ-

Ματθ. 17.15.
Μάρ. 5.
Λουκ. 8.

χὺν τȣ̃ διασσᾶν τὰς αλύσεις, ϗ συντρίβειν τὰς πέδας, ϗ ὑπὸ μηδενὸς δαμάζεσθαι, ϗ παρακαλεῖν ἵνα πεμφθῇ εἰς τȣ̀ς χοίρȣς. ἐξέρχεται ἄρα ἡ μελαγχολία ἐκ τȣ̃ μελαγχολικȣ̃, ϗ εἰσέρχεται εἰς τȣ̀ς χοίρȣς, ϗ πνίγει αὐτȣ̀ς ἐν τῇ θαλάσσῃ. ἀλλὰ ποία ἡ τȣ́των ἀπόδειξις; τίς ποτε ἀπέδειξεν, ἢ ἀποδεῖξαι δύναται. ὅτι τοσαύτας ϗ τοιαύτας δυνάμεις ϗ ἐνεργείας ἔχει ἡ μέλαινα χολή; τίς ȣ̃ν ποτε πεισθείη τȣ́τοις τοῖς παρὰ φύσιν ϗ λόγον; πάνυ πειθανότερον ἔοικε τὸ, ἤτοι ἕν, ἢ πολλὰ ἅμα τῶν Δαιμονίων, τῶν τότε εἰσελθόντων εἰς τȣ̀ς χοίρȣς, εἰσελθεῖν μετὰ ταῦτα εἰς τὸν εἰπόντα τȣ̀ς ἐνεργȣμένȣς, μελαγχολικȣ̀ς εἶναι ϗ σπωμένȣς, ϗ κατακρημνίσαντα αὐτὸν εἰς τὴν τῆς ἀπιστίας θάλασσαν, ἀφελεῖν ἀπ' αὐτȣ̃ ϗ νȣ̃ν ϗ φρένας, ὥστε μὴ νοεῖν μήτε ἃ λέγει, μήτε περὶ τίνων διαβεβαιȣ̃ται.

Σημ. 14. Βȣλγάτα, εἴτȣν δημώδης, ἐστὶν ἡ Λατινικὴ τῆς παλαιᾶς Διαθήκης ἐκ τῆς Ἑλληνίδος, ὥς φασι, διαλέκτȣ μετάφρασις, ἣ χρῶνται οἱ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας παῖδες. ϗ πότε μὲν, ϗ ὑπὸ τίνος ἡ τοιαύτη πεφιλοπόνηται μετάφρασις, ἄδηλον. πότε δὲ ϗ τίνες ἐπιδιορθῶσαι αὐτὴν ἐπεχείρησαν, δῆλον. ἐν ἔτει τȣ̃ 1589, ὁ Πάπας ὁ Σίξτος, ὁ Ἐ εἶτα ἐν ἔτει 1592 ὁ Κλήμης ὁ Ἡ τῆς διορθώσεως ἀρχηγοὶ ϗ προστάται γεγόνασιν. ὅμως μέντοι καίπερ δὶς ἐπιδιορθωθεῖσα, πολλὰ περιέχει τῷ πρωτοτύπῳ ἀπᾴδοντα, ὡς μαρτυρεῖ ὁ Καρδινάλλιος ὁ Βελλαρμῖνος, εἷς ὢν τῶν τὴν ἐσχάτην τῶν εἰρημένων ποιησάντων διόρθωσιν, ἐν τῇ πρὸς Λȣκᾶν τὸν Βȣργένσην ἐπιστολῇ αὐτȣ̃, λέγων. „εἰδέναι σε βȣ́λομαι, ὅτι ȣ̀κ ἐπ' „ἀκριβὲς παρ' ἡμῶν ἐπιδιώρθωται." πολλὰ τȣ̃ ἐπίτηδες δικαίοις παρεωράκαμεν λόγοις. (βλέπε τὸ τȣ̃ Καλμέτȣ λεξ. τῆς Γραφ. εἰς τὸ Vulgata) ȣ̀ δικαίοις δὲ πάντως. ταῦτα γὰρ τὰ παροραθέντα, σφάλματά εἰσιν, ἐξ ὧν πολλοὶ σκανδαλίζονται.

Σημ. 15. Ὁ λόγος, ὃν ποιεῖ περὶ τȣ́των ὁ συγγραφεὺς (ἐν κεφ. 4. Ἀ'ρθρ. 2. Ἀ'ριθ. 3.) πάνυ σύντομος, μόνῃ δὲ τῇ ἰσχύεϊ τῶν περὶ τῆς Ἀ'ποκαλύψεως ὑπ' αὐτȣ̃ εἰρημένων ῥωννύμενος. Προκείσθω ȣ̃ν αὐτὰ τὰ τȣ̃ ἀπίστȣ ῥήματα. „Οἱ Ἀ'πόστολοι, φησὶ, το„σȣ̃τον ἦσαν πεπεισμένοι τῇ προῤῥήσει ταύτῃ, ὥστε τὸν μὲν ἅγιον „Παῦλον ἐν τῇ πρὸς Θεσσαλονικεῖς ἐπιστολῇ αὐτȣ̃ ῥητῶς εἰπεῖν. ἡμεῖς „οἱ ζῶντες, ϗ ὑμῖν λαλȣ̃ντες ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάν„τησιν τȣ̃ Κυρίου εἰς τὸ μέσον τȣ̃ ἀέρος. Τὸν δὲ ἐν ἁγίοις Πέτρον ἐν „τῇ πρώτῃ ἐπιστολῇ αὐτȣ̃. Τὸ Εὐαγγέλιον ἐκηρύχθη τοῖς νεκροῖς.

„το

„τὸ τέλος τῦ κόσμυ ἐγγίζει. Τὸν δὲ ἅγιον Ἰούδαν. ἰδὺ Κύριος „μετὰ μυριάδων ἁγίων κρίναι τὺς ἀνθρώπυς."

Ὅρα μετὰ ποσης ἀναισχυντίας διαφθείρει τὰς ὑπ' ὄψιν πάντων θείας γραφάς· ἢ ταῦτα ἐπαγγελλόμενος ἐκφράζειν ῥητῶς τὰ τῶν θεηγόρων Ἀποστόλων ῥήματα. ἀντὶ γὰρ τῦ, οἱ περιλειπόμενοι, τίθησι τὸ, ἡμῖν λαλῆντες· ἀντὶ δὲ τῦ πάντων τὸ τέλος ἤγγικε, γράφει, τὸ τέλος τῦ κόσμυ ἐγγίζει. ἐν δὲ τοῖς τῦ Ἐνὼχ ῥήμασι, τοῖς ὑπὸ τῦ Ἀποστόλυ Ἰούδα μνημονευομένοις· „Προεφήτευσε καὶ τύτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ, λέγων· ἰδὺ ἦλθε Κύριος ἐν „μυριάσιν ἁγίαις αὐτῦ. σιωπήσας τὸ, ἦλθε," προβάλλει αὐτὰ ὡς τῦ Ἰούδα ῥήσιν, ἐπιβεβαιῦσαν, ὡς πεπεισμένος ἦν αὐτός τε ὁ Ἰούδας καὶ οἱ λοιποὶ Ἀπόστολοι, ὅτι τὸ τῦ κόσμυ τέλος ἤξει ἐπὶ Τιβερίυ Καίσαρος. Ἀλλ', ὦ τῶν θείαν λογίων φθόρε κακεντρεχέστατε, ὐκ ἀνέγνως τὴν ἡλίυ λαμπροτέραν τῦ Κυρίυ Ἰησῦ περὶ τῆς συντελείας ἀπόφανσιν; „Περὶ δὲ τῆς ἡμέρας ἐκείνης, καὶ τῆς ὥρας, „ὐδεὶς οἶδεν, ὐδὲ οἱ Ἄγγελοι τῶν ὐρανῶν, εἰμὴ ὁ πατὴρ μόνος. Πῶς ὖν οἱ Ἀπόστολοι, οἱ πιστεύοντες, ὅτι τὰ λόγια τῦ Ἰησῦ Χριστῦ εἰσὶ λόγια Θεῦ, πεπεισμένοι ἦσαν, ὅτι οἴδασι τῆς συντελείας τὸν καιρόν.

1. Θεσσ. 4. 15.
1. Πέτρ. 4. 7.
Ἰούδ. 14.
Ματθ. 24. 36.

Ἀλλὰ διατὶ, ἐρεῖτις, εἶπεν ὁ Παῦλος, ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι; Τὸ δὲ ἡμεῖς. ἑρμηνεύει ὁ θεῖος Χρυσόστομος, (ἐν τῇ Ζ'. ὁμιλ. εἰς τὴν 1. πρὸς Θεσσ. Ἐπισ.) ὃ περὶ ἑαυτῦ φησίν. „ὃ γὰρ δὴ ἔμελλεν αὐτὸς μέχρι τῆς ἀναστάσεως μένειν, ἀλλὰ „τὺς πιστὺς λέγει. διὰ τῦτο προσέθηκεν οἱ περιλειπόμενοι εἰς τὴν „παρυσίαν τῦ Κυρίυ ὃ μὴ φθάσωμεν τὺς κοιμηθέντας. ὡσὰν εἴ „ἔλεγε, μὴ νομίσητε ἐργωδίαν εἶναι τινὰ ἀκύων, ὅτι οἱ ζῶντες τό„τε τὺς διαλυθέντας, τὺς σαπέντας, τὺς μυρία ἔτη ἔχοντας ὃ μὴ „προλάβωσι· Θεός ἐστιν ὁ ποιῶν. ἀλλ' ὥσπερ εὔκολον αὐτῷ ἐκείνυς „τὺς ἀπηρτισμένυς ἀγαγεῖν, ὕτω καὶ τὺς διαλελυμένυς. Ὁ δὲ Πέτρος μὴ εἰπὼν, παντὸς τῦ κόσμυ τὸ τέλος ἐγγίζει, ἀλλὰ πάντων τὸ τέλος ἤγγικε, δῆλον ὡς περὶ τῦ τέλυς τῆς ζωῆς πάντων, τῶν τότε βιώντων ἐλάλει. διὸ δὴ καὶ προσέθηκε τὸ, σωφρονήσατε ὖν, καὶ νήψατε εἰς τὰς προσευχάς. ἐὰν δὲ τὸ βραχὺ τῦ βίυ ἀναλογιῶ̃ης, ὐκ ἀπάδον ἐστὶ τὸ, ἤγγικε τὸ τέλος. πολλάκις γὰρ ὃ μόνον περὶ τῶν λίαν ἐγγὺς, ἀλλὰ καὶ περὶ τῶν ὃ πάνυ πόρρω τὸ, ἤγγικε, λέγειν εἰώθαμεν. τὶς δὲ ὃ κατανοεῖ. ὅτι τὸ ἦλθεν σὺν μυριάσιν ἁγίαις αὐτῦ, τῷ Ἰούδᾳ μὴ ἀνῆκον, τῷ σκοπῷ τῦ ἀπίυ ὃ δόλως συντείνει.

Πρὸς τούτοις ἠγνόει ἄρα ὁ παντεχνήμων διάβολος τὸν τρόπον τοῦ λέγειν; ἢ ὅτι ἐμφαντικώτερον δηλῶσαι θέλοντες τὰ πράγματα, περὶ τῶν μελλόντων, ἢ παρεληλυθότων, ὡς περὶ ἐνεστώτων λαλοῦμεν, καὶ ἑαυτοὺς περιλαμβάνομεν τοῖς μὴ καθήκουσιν ἡμῖν, καὶ τὸ ὅλον ἀντὶ τοῦ μέρους προφέρομεν; ἢ ἢ τοῦτο, ὅπερ κοινόν ἐστι, μᾶλιστα τοῖς διδάσκουσι, ἀπαγορεύει τοῖς ἁγίοις Ἱεροκήρυξι;

Σημ. 16. Κἂν πάντες οἱ νεώτεροι Ἀστρονόμοι τὴν μὲν γῆν περιφέρεσθαι, τὸν δὲ Ἥλιον Ἱστάναι νομίζωσιν, οὐδένα ὅμως ἀπατῶσι, τῇ κοινῇ λαλοῦντες γνώμῃ, ἢ λέγοντες, ὁ Ἥλιος ἀνατέλλει ἢ δύνει, ἢ περιοδεύει τὰ Ζῴδια.

§

Σημ. 17. Ἰδοὺ αἱ ὑπὸ τοῦ Βολτέρου προτεινόμεναι ῥήσεις, αἷς οἱ Ἀρειανοὶ κατεχρῶντο. „Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί Ἰωάν. 17. 3. „σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Διὸ „χυρίζον), φησὶν αὐτὸς, ὅτι ἡ ῥῆσις αὕτη καταγγέλλει μὲν ἐπι„δήλως τὸ τῆς Θεότητος ἐνιαῖον, λέγει δὲ σαφῶς, ὅτι ὁ Ἰησοῦς, „ἐστὶν ἁπλοῦς ἄνθρωπος, ἀπεσταλμένος ὑπὸ Θεοῦ. (Τοῦτο ψεῦδός ἐστιν ἐπίδηλον. οὐδὲ δὴ σαφῶς, οὐδὲ ἀσαφῶς λέγει τὸ ῥητὸν, τυχὸν δὲ οὐδὲ οἱ Ἀρειανοὶ, ὅτι ὁ Ἰησοῦς ἐστὶν ἁπλοῦς ἄνθρωπος). „ἐνισχύ„ουσι τὸ ἐδάφιον τοῦτο, διὰ τῶν δὲ τῶν τοῦ ἁγίου Ἰωάννου ῥημάτων. Ἰωάν. 20. 17. „Ἀναβαίνω πρὸς τὸν πατέρα μου, ἢ πατέρα ὑμῶν, ἢ Θεόν μου ἢ Θεὸν ὑ- Ἰωάν. 14. 28. „μῶν. ἔτι δὲ μᾶλλον διὰ τῶν δὲ ὁ πατήρ μου μείζων μού ἐστί. προσέτι Marc. 13. 32. „ἢ διὰ τοῦ, οὐδεὶς οἶδεν, εἰμὴ ὁ πατήρ μου.

Οὐ Θεὸν ἀσώματον, οὐδὲ πάλιν ἄνθρωπον ψιλὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἶναι πιστεύσιν οἱ τὸν λόγον τῆς ἀληθείας ὀρθοτομοῦντες, ἀλλὰ τέλειον Θεὸν ἢ τέλειον ἄνθρωπον, τὸ τῆς Θεότητος ἐνιαίοντε ἢ μοναδικὸν, κἂν ὁ εἷς τῆς Τριάδος, ὁ υἱὸς ἢ λόγος σεσάρκωται, ἢ δογματίζοντες ἢ ἀνακηρύττοντες, ἢ τῶν πολυθέων τὴν πλάνην ἀναθέματι καταποβάλλοντες. τὰ δὲ προκείμενα ῥητὰ τῷ τῆς ἀνθρωπίνης Φύσεως τοῦ Ἰησοῦ Χριστοῦ λόγῳ εἴρηται, καθάπερ ἢ τὸ πεινᾶν, ἢ τὸ διψᾶν, ἢ τὸ καθεύδειν, ἢ τὸ πάσχειν. Ἱκανὰ δὲ περὶ τούτου οἱ τῆς εὐσεβείας πρόμαχοι ἐξέθεντο, οὐκ ἄφρακτα καταλιπόντες ἢ τὰ σόφισματα τῶν μὴ ὁμολογούντων, ὅτι ὁ Ἰησοῦς Χριστὸς μόνῳ τῷ τῆς ἀνθρωπίνης Φύσεως λόγῳ οἰκονομικῶς ἔφη, τὸν τῆς συντελείας καιρὸν μόνον τὸν Πατέρα γινώσκειν, κἂν διὰ τὴν καθ' ὑπόστασιν τῆς Θεότητος ἕνωσιν, τὰ πάντα ἐγίνωσκεν.

Ἀκου-

Ἄκυσον δὲ καὶ τὰ μετὰ ταῦτα, ὑπὸ τοῦ αὐτοῦ Βολτέρου προτεινόμενα. „Οἱ Εὐσεβειανοὶ, φησὶν, ἢ οἱ Ἀρειανοὶ μετὰ τριακόσια ἔ„τη ἀπὸ Χριστοῦ, πολλὰ συνέγραψαν πεῖσαι θέλοντες, ὅτι μετὰ „ταύτας τὰς ἐκπεφασμένας τοῦ Ἰησοῦ μαρτυρίας ἀδύνατον ἦν πιστεῦ„σαι τὸν Ἰησοῦν ὁμοούσιον τῷ Θεῷ. γνωστοὶ δὲ οἱ ὑπὲρ τούτου ἐξαφ„θέντες πόλεμοι. Τούτοις δὲ διὰ τοῦ ἐδόκει ἐπισυνάπτει τὴν ἐξῆς παραλογίαν. „Ἐδόκει, φησὶν, ὅτι ἐξ ἀρχῆς κατὰ τὸν πρῶτον τῆς „Ἐκκλησίας αἰῶνα οἱ χριστιανοὶ οὐκ ἐγνώρισαν Θεὸν τὸν Ἰησοῦν. τὸ „δὲ παραπέτασμα τὸ τὴν Θεότητα αὐτοῦ ἐπικαλύπτον, βαθμηδὸν ἤρθη ἀπὸ τῶν ἀθρώπων ὀμμάτων τῶν ἀνθρώπων. ὃς ἐκτῆσαι δύ„να) τὸ αἰφνίδιον τοῦ φωτὸς ἀπαύγασμα.

Ὁ τῆς διαλεκτικῆς ἐπιστήμης αὐτοῦ συλλογισμὸς δοκεῖ ὁ ἑξῆς. μετὰ τριακόσια ἔτη ἀπὸ Χριστοῦ ὁ Ἄρειος, ἢ οἱ μαθηταὶ αὐτοῦ, οὐκ ἐγίνωσκον Θεὸν τὸν Ἰησοῦν, ἆρα ἐξ ἀρχῆς κατὰ τὸν πρῶτον τῆς Ἐκκλησίας αἰῶνα, πάντες οἱ χριστιανοὶ οὐκ ἐγίνωσκον Θεὸν τὸν Ἰησοῦν. Τὰ ἐπιχειρήματα ταῦτα, ἢ βέλτιον φάναι παραλογήματα, ὡς ἐκ τῶν μερικῶν τὰ καθόλου συνάγοντα, ἢ ἐκ τῶν νεωστὶ φανέντων τὰ πρότερα, αὐτεξέλεγκτα ὄντα ἢ αὐτοκατάκριτα, οὐδεμιᾶς χρήζουσιν ἀπαντήσεως. τῷ τούτων δὲ στοιχοῦντες κανόνι, μυρία συνάξομεν ψευδῆ τε ἢ παράλογα. οἷον τὸ, ὅτι οἱ μὲν πρὸ τοῦ Νεύτωνος Φυσιολογήσαντες, ἐγίνωσκον τὴν τῶν ἀκτίνων τοῦ φωτὸς εἰς τὰ χρώματα διαίρεσιν, ἢ τὰς δευτέρας πλανήτας, καὶ τὰ λοιπὰ ὅσων αὐτὸς πρῶτος εὑρετὴς ἢ διδάσκαλος· οἱ δὲ χριστιανοὶ ἐξ ἀρχῆς ἦσαν, ἢ Πνευματομάχοι, καὶ Θεοτοκομάχοι, ἢ Θεοπαχῖται, ἢ Μονοθελῆται. εἶτα, εἴπερ ἐξ ἀρχῆς οἱ χριστιανοὶ ἦσαν Ἀρειανοὶ, τίνι λόγῳ ὁ Ἀλέξανδρος, ἢ ἡ περὶ αὐτὸν ἅπασα τῆς Ἀλεξανδρείας Ἐκκλησία τῇ Ἀρείᾳ κακοδοξίᾳ ἅμα ἀναφανείσῃ ἀντέστη, εἶτα ἢ αἱ λοιπαὶ Ἐκκλησίαι, ἢ ἡ οἰκουμενικὴ Σύνοδος, ἢ οἱ γνωστοὶ, ὡς αὐτὸς φησιν ὑπὲρ τούτου ἐξαφθέντες πόλεμοι;

Σημ. 18. Οὐ μόνον παραλόγως θαυμάζει ὁ Ἄπιος, ἀλλὰ ἢ βλασφήμως ἐπιφέρει λέγων. „Ἡ τούτων σιωπὴ ἀπόδειξις ἐστὶ τοῦ ψεύ„δους.

Ἀλλ' ἐκ τῆς σιωπῆς οὐδὲν ἕτερον εὐλόγως συνάγεται, εἰμὴ σιωπή. ὅπερ ἐστὶν, οὐδὲ ἐπικύρωσις, οὐδὲ ἀναίρεσις. ὅτε δὲ συνάγει ψεῦδος, τοῦτό ἐστι τοῦ θαύματος ἀναίρεσιν. Ἀπαιτεῖ ἀπὸ τοῦ Πιλάτου, ἢ Ἰωσήπου, ἢ Φίλωνος τὴν τοῦ θαύματος τούτου ἱστορίαν. ὅπερ ταὐτόν ἐστι τῷ ἀπαιτεῖν ἀπ' αὐτῶν τὴν εἰς Χριστὸν πίστιν. ἄλλως δὲ

πῶς

πῶς ἠδύναντο ȣτοι τῶ Χριςῶ μὴ πιςεύσαντες, διδάσκαλοι γενέσθαι ϗ κήρυκες τȣ́τȣ τȣ̃ θαύματος, τȣ̃ τὴν εἰς Χριςὸν Πίςιν ἐπικυρȣ̃ντος; κἂν δὲ εἰδικῶς περὶ τȣ́τȣ τȣ̃ θαύματος ȣ̃τοι ȣ̓κ ἐλάλησαν, μεμαρτυρήκασιν ὅμως περὶ τȣ̃ Ἰησȣ̃ Χριςȣ̃ ὅ, τε Πιλάτος, ϗ ἡ γυνὴ αὐτȣ̃, ϗ ὁ Ἰώσηπος ὅσα ἱκανὰ εἰς μαρτύριον τῆς Θεότητος, ϗ τῶν θαυμάτων αὐτȣ̃. ὁ μὲν δὲ Πιλάτος ἔφη. „Τὶ δὲ κακὸν ἐποίησεν ȣ̃τος; ȣ̓δὲν αἴτιον θανάτȣ εὗρον ἐν αὐτῶ. Ἡ δὲ γυ-
Λȣκ. 23, 32. „νὴ αὐτȣ̃, μηδέν σοι, ϗ τῶ δικαίω ἐκείνω· πολλὰ δὲ ἔπαθον σήμε-
Ματθ 21.19. „ρον κατ' ὄναρ δι' αὐτόν. Ὁ δὲ Ἰώσηπος ὁ Φλάβιος, Γίνεται δὲ
Ἰωσ. β. 18. κ. „κατὰ τȣ̃τον τὸν χρόνον Ἰησȣ̃ς σοφὸς ἀνὴρ, εἴγε ἄνδρα αὐτὸν
ι. ἀρχ. „λέγειν χρή. ἦν δὲ παραδόξων ἔργων ποιητὴς, διδάσκαλος ἀν-
„θρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων. ϗ πολλȣ̀ς μὲν Ἰȣδαίȣς,
„πολλȣ̀ς δὲ ϗ ἑλληνικȣ̀ς ἐπηγάγετο. ὁ Χριςὸς ȣ̃τος ἦν. ϗ αὐτὸν
„ἐν δείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν, ςαυρῶ ἐπιτετιμηκότος Πι-
„λάτȣ, ȣ̓κ ἐπαύσαντο οἵγε πρῶτον ἀγαπήσαντες. ἐφάνη δὲ αὐ-
„τοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων Προφητῶν ταῦ-
„τα, ϗ ἄλλα μυρία θαυμάσια περὶ αὐτȣ̃ εἰρηκότων κτ. Τὶ τȣ́των
„πλεῖον εἰπεῖν ἠδύνατο περὶ τȣ̃ Ἰησȣ̃ Χριςȣ̃ ἀνὴρ Ἰȣδαῖος; κἂν
δέτινες τῶν μεταγενεςέρων διςάζωσι περὶ τῆς γνησιότητος τῆς μαρ-
τυρίας ταύτης, ȣ̓δένα ὅμως γενναῖον ἀμφιβολίας λόγον προτείνȣ-
σι. διὸ ȣ̓δὲν ἰσχύȣσιν οἱ τȣ́των διςαγμοί. ἐπικυρȣ̃σι δὲ τὴν ταύτης
γνησιότητα ὅ,τε Εὐσέβιος, (β. 1. κ. 2. ἱςορ.) ϗ ὁ Σωζόμενος, (β.
1. κ. 1.) ϗ ὁ Ἱερώνυμος, (Καταλ. τῶν ἐκκλησ. συγγρ.) ϗ ὁ Φώ-
τιος (ἐν Κώδ 96.) ϗ ὁ Σȣΐδας.

„Ἀλλ' ȣ̃τοι οἱ ἄπιςοι, φησὶν ὁ ἄπιςος, τολμηρῶς ἐπιβεβαι-
„ȣ̃σιν, ὅτι ȣ̓κ ἠδύναντο ἀντιςῆναι τῷ τοιȣ́τῳ τεραςίῳ οἱ τȣ̃το ἰ-
δόντες. ἐπιφέρει δὲ ϗ τὴν ἀπάντησιν, λέγων. ἡ διηνεκὴς ἀπόκρι-
σις ἐςὶν αὕτη. ὁ Θεὸς ἐσκλήρυνε τὴν τῶν Ἰȣδαίων καρδίαν, κα-
θάπερ ϗ τὴν τȣ̃ Φαραώ.

Ἀλλ' ἀγνοȣ̃σιν ἆρά γε ȣ̃τοι οἱ ἄπιςοι τὸ σκληροκάρδιον ἐνίων
ἀνθρώπων; ἢ ȣ̓χ ὁρῶσι καθ' ἑκάςην πολλȣ̀ς πταίοντας, ϗ ȣ̓ προσ-
βολαῖς αἰσθήσεων, ἀλλὰ σωματικαῖς καθυποβαλλομένȣς ποιναῖς τε
ϗ μάςιξι ἐπ' ἐλπίδι ἐπανορθώσεως, ϗ ὅμως ἐπὶ τὰ αὐτὰ πάλιν,
ἢ ϗ χείρονα ἐπανακυλιομένȣς πταίσματα; εἰ ȣ̓ν ἐνίων ἀνθρωπίνων
καρδιῶν ȣ̓δὲ αἱ σωματικαὶ μάςιγες μεταβάλλȣσι τὴν διάθεσιν, ȣ̓δὲ
ὁ τȣ̃ θανάτȣ φόβος αὐτὰς μαλάσσει, πῶς μετατρέψειον ἂν τὸ
θαῦμα, τὸ τῇ αἰσθήσει ἄνευ τινὸς βίας, ἢ δυναςείας προσβάλλον;
ἐὰν δὲ ὁ ἄπιςος τὸ περὶ τȣ̃ Φαραὼ εἰρημένον, κατὰ τὴν καθήκȣ-

σα

σαν αὐτῷ ἐκλαμβάνῃ ἔννοιαν, ὃν ἀποβλητέα ἡ ἀπάντησις αὐτῷ. τὸ δὲ σκληρυνῶ τὴν καρδίαν Φαραὼ ὅδεν ἕτερον σημαίνει, εἰμὴ τὸ, ἐμφανίσω τὴν σκληρότητα τῆς καρδίας Φαραώ. ἡ δὲ σκληρότης, οὐδὲ ἄλλης τινὸς μοχθηρίας πρόξενον τὸ ὃν τὸ παντέλειον. ὥσπερ δὲ τὰς τῶν ἀδιορθώτων καρδίας ἡ σκληρύνουσιν οἱ τύπτοντες πρὸς διόρθωσιν αὐτῶν τιμωροῦντες, ἀλλὰ διὰ τῶν ποινῶν ἀποκαλύπτουσι τὸ σκληροκάρδιον αὐτῶν καὶ ἀνένδοτον. οὕτω τὴν τοῦ Φαραὼ καρδίαν, οὐκ ἐσκλήρυνεν ὁ μαστίζων αὐτὸν Θεὸς, ἀλλὰ διὰ τῶν πληγῶν ἐνέφηνε καὶ ἐδήλωσε, τὴν ἐνδομυχοῦσαν ἐνδιάθετον τῆς καρδίας αὐτοῦ ἀντιτυπίαν. ὡσαύτως οὐχ ὁ Θεὸς τοὺς Ἰουδαίους, τοὺς τὰ θαύματα θεασαμένους καὶ μὴ πιστεύσαντας ἐσκλήρυνεν, ἀλλὰ διὰ τῶν θαυμάτων τὸ τῆς καρδίας αὐτῶν σκληρὸν καὶ ἄκαμπτον δῆλον πεποίηκε.

Σημ. 19. Ὁ ἀρχαιότατος Κώδιξ τοῦ Καμεραρίου, ὁ τοῦ Βεχελίου, ὁ τοῦ Βέζα, ὁ τοῦ Βυναίου, ὁ τοῦ Τοϋνάρδου, καὶ οἱ δύο οἱ ἐν τῇ Βασιλικῇ Βιβλιοθήκῃ τῇ ἐν Παρισίῳ. ταῦτα εἰσὶ τὰ ὑπὸ τοῦ Καλμέτου μνημονευόμενα (ἐν ταῖς σημ. ταῖς ἐν τῷ ὑπομν. τοῦ 27. κεφ. τοῦ κατὰ Ματθ.) παλαιὰ χειρόγραφα.

Σημ. 20. Ἦν δὲ παρασκευὴ. ὥρα ἦν ὡσεὶ τρίτη, καθὼς τὰ ἀκριβῆ βιβλία περιέχει, αὐτό τε τὸ ἰδιόχειρον τοῦ Εὐαγγελιστοῦ Ἰωάννου, ὅπερ μέχρι νῦν πεφύλακται, χάριτι Θεοῦ, ἐν τῇ Ἐφεσίων ἀρχαιοτάτῃ Ἐκκλησίᾳ, καὶ ὑπὸ τῶν πιστῶν ἐκεῖ προσκυνεῖται. Ταῦτα ὁ ἐν ἁγίοις Πέτρος Ἀλεξανδρείας, ὁ ἐν τῷ τέλει τοῦ δευτέρου αἰῶνος ἀκμάσας, ἐν τῷ χρονικῷ, τῷ τοῖς βιβλίοις τῆς Βυζαντίδος συνεκδοθέντι.

Σημ. 21 Εἰ δέ τις τούτοις ἀπειθεῖ, ἰδοὺ καὶ ἕτερος λόγος ὑπὸ τοῦ αὐτοῦ Καλμέτου (ἐν τοῖς ὑπομν. τοῦ 45. ἐδ. τοῦ 27. κεφ. τοῦ κατὰ Ματθ. Εὐαγγ.) προβαλλόμενος. „Πλὴν τῆς συνήθους διαιρέσεως „τῆς ἡμέρας εἰς ὥρας δώδεκα, καὶ ἑτέρα τις διαίρεσις ἦν κατὰ τὴν „τοῦ ναοῦ συνήθειαν, καὶ τὴν τῶν προσευχῶν διανομὴν, ἀμέλει τοι εἰς „ὥραν τρίτην, ἕκτην, καὶ ἐννάτην, (ὅρα Πράξ. κεφ. 3. ἐδ. 1. καὶ „κεφ. 10. ἐδ. 3. καὶ Ματθ. κεφ. 20. ἐδ. 3. καὶ 5.) τουτέστιν εἰς ὥ„ραν πρωϊνὴν, μεσημβρινὴν, καὶ τρίτην μετὰ τὴν μεσημβρίαν. αἱ „τοιαῦται δὲ ἐκκλησιαστικαὶ ὧραι ἐν ταῖς ἐπισήμοις ἡμέραις διὰ „σαλπίγγων ἐσημαίνοντο, παραχρῆμα δὲ ὁ λαὸς εἰς τὸν ναὸν συ„νερχόμενος, ἢ ἐν τῷ οἴκῳ αὐτῶν, προσήυχοντο. εἴθισαι δὲ παρ' αὐ-

„αὐτοῖς τὸ μεταξὺ τούτων τῶν τριῶν ὡρῶν τὸ καιρὸ διάστημα ἤ-
„τοι ἀπὸ τῆς προλαβούσης, ἢ ἀπὸ τῆς ἑπομένης ὥρας ὀνομάζων.
„τὸ Κυρίου οὖν Ἰησοῦ ἐν τῷ μεταξὺ τῆς τρίτης καὶ ἕκτης ὥρας, εἴτουν
„ἐν τῷ μεταξὺ τῆς ἐννάτης τῆς πρωΐνης. ἢ τῆς μεσημβρίας (ὥρας
νόει τὰς ἀπὸ τῆς μεσημβρίας, ἢ τὸ μεσονυκτίου διαμετρουμένας) κα-
τακεντήθη τε καὶ σταυρωθῆναι, „ὁ μὲν Μάρκος ἔγραψε τῇ τρί-
„τῃ ὥρᾳ αὐτὸν σταυρωθῆναι, ἐκλαβὼν τὴν τρίτην ἤδη παρελθοῦσαν,
„ἢ χρεὼν παρελθοῦσαν. ὁ δὲ Ἰωάννης τῇ ἕκτῃ ὑπὸ Πιλάτου καθεδί-
„καδθῆναι, ἐκλαβὼν τὴν ἕκτην ἀρχομένην. διὸ οὐκ εἴρηκεν ὥρᾳ ἕκ-
„τῃ, ἀλλ' ὥρᾳ ὡσεὶ ἕκτῃ.

Σημ. 22. Οὐκ ἐγκαταλειπτέα ἡ τοιαύτη παράθεσις, δι' ἧς αὐτὸς
παίζων τὰ ἄπαικτα, παίγνιον γίνεται. „Τὰ ῥήματα ταῦτα, φησὶν,
„ἐνεφύσησεν αὐτοῖς, πολλῶν ζητημάτων ἀφορμὴν παρέχων. ἐν ταῖς
„ἀρχαίαις θεουργίαις διηρίζοντο, ὅτι τὸ φύσημα ἀναγκαῖον μὲν
„ἦν τῇ ἐνεργείᾳ, ἠδύνατο δὲ διαθέσεως τῇ ψυχῇ μεταδίδοναι· αὐ-
„τὴ ἡ ἔννοια τοσοῦτον κοινὴ ἦν, ὥσε τὸν μὲν συγγραφέα τῆς Γε-
Γν. 2. 7. νέσεως μετελθεῖν τὴν φράσιν ταύτην. Καὶ ἐνεφύσησεν αὐτῷ ὁ Θεὸς
Ηζ. 40. 8. „ἐν ταῖς ῥισὶ, κατὰ τὸ ἑβραϊκὸν, φύσημα ζωῆς. τὸν δὲ Ἡσαΐαν,
Γεζ. 21, 31. „Φύσημα Κυρίου ἐνεφύσησεν ἐπ' αὐτῷ. τὸν δὲ Ἰεζεκιὴλ, ἐγὼ φυσή-
Σοφ. 15. 11. „σω ἐν τῇ ὀργῇ μου τὸν δὲ συγγραφέα τῆς Σοφίας; Ὁ ἐμφυσή-
„σας εἰς αὐτὸν πνεῦμα. Ἀνακαλύψας δὲ τὴν θαυμασίαν ταύτην
μετάφρασιν αὐτοῦ σὺν τῇ ψευδοποθέσει τοῦ ὅτι ὁ τῆς Γενέσεως
συγγραφεὺς καὶ οἱ λοιποὶ, οὓς προτείνει, κατὰ τὴν κοινὴν τῶν ἐμ-
φυσημάτων ἔννοιαν περὶ ἐμφυσήματος ἐλάλησαν, ἄλλο προσίθη-
σι μάθημα.

„Πρὸ τοῦ Κωνσταντίνου, φησὶ, ἔθος ἦν φυσᾶν εἰς τὸ πρόσω-
„πον τῶν μελλόντων βαπτισθῆναι κατηχουμένων· διὰ δὲ
„τοῦ φυσήματος μεταδίδοσαν αὐτοῖς τὸ πνεῦμα τῆς χάριτος. Με-
τὰ τοῦτο καὶ ἕτερον εὐθὺς ἐπισυνάπτει τῆς συνήθους αὐτῷ ἀκριβο-
λογίας ἄξιον.

„Καταχρᾶται, λέγει, ἡ τῶν ἀνθρώπων μανία καὶ αὐτῶν τῶν
„θειοτάτων καὶ ἁγίων ἔργων. ἐκ τούτου συνέβη, τινὰς τῶν κακοτρό-
„πων χρεσιανῶν, νομιζομένῃ θεουργίᾳ παραδοθέντων, ἀσυδάσαι
„φυσηθῆναι ὑπὸ τῶν τῆς τέχνης διδασκάλων εἰς τὸ σῶμα καὶ τὰ
„ὦτα, καὶ πεισθῆναι, ὅτι διὰ τοῦ φυσήματος ὑποδεχθήσονται τὸ
„πνεῦμα καὶ τὴν ἐξουσίαν τῶν Δαιμόνων, ἢ ὀρθότερον εἰπεῖν μεταλα-
„λέσουσι τὰς ἀρχαίας τελετὰς τῆς τῶν Χαλδαίων καὶ Σύρων θεουρ-
„γί-

„γίας. αἱ δὲ τοιαῦται τελεταὶ τῶν νομιζομένων μάγων μετέβησαν „κατὰ συνέχειαν ἀπὸ αἰῶνος εἰς αἰῶνα. ἄθλιοι δέ τινες ἢ ἀναίσθη„τοι ἐφαντάσθησαν, ὅτι ἄλλοι τινὲς ἄφρονες ἐφύσησαν τὸν Διάβο„λον ἐν τῷ σώματι αὐτῶν. πανταχοῦ δὲ ἐφάνησαν, ἄχρι τοῦ πα„ρόντος αἰῶνος, κείμενοι ἀσθενέστατοι καὶ βαρβαρώτατοι, οἵτινες πυ„κνὰ παρέδωκαν τοὺς τοιούτους δυσυχεῖς ἀνθρώπους. γνωστά εἰσι τὰ ἱ„στορούμενα περὶ τοῦ ἐφημερίου Γοφφρέδου, τοῦ πεισύσαντος, ὅτι εἰβία„σε τὴν Μαγδαληνὴν Δα-Πάλμα ἐραδῆναι αὐτῷ, ἐμφυσήσας εἰς „αὐτήν. γνωστὸν τὸ θανατηφόρον ἢ περιφρονητικὸν συμβὰν ταῖς „Μοναστριαις τοῦ Λαουδούν, ἃς ἐμάγευσεν ὁ ἐφημέριος ὁ Οὐρ„βανὸς ὁ Γρανδιέρος. γνωστὸν δὲ τελευταῖον, εἰς αἰώνιον τοῦ „γένους αἰσχύνην, ὅτι τὸν Ἰησοῦν τὸν Γηράρδον, ἐν ταῖς καθ' ἡ„μᾶς ἡμέραις κατέκαυσε μὲν τὸ ἥμισυ μέρος τῶν κριτῶν αὐτοῦ, διὰ „τὸ φυσῆσαι εἰς τὴν Καθέδραν, εὑρηνται δὲ οἱ ἄνανδροι συνήγοροι „ἐπικυροῦντες ἐμβριθῶς, ὅτι ὄντως μᾶλλον δεδειγμένον τῆς δυνάμε„ως τοῦ τῶν μάγων φυσήματος. Μετὰ δὲ τὰ γενναῖα ταῦτα φλυα„ρήματα. δείκνυσιν ὡς ἀγχίνους ἢ Φιλαλήθης φιλόσοφος ἢ τὴν „τούτων πηγήν.

„Ἡ γνώμη αὕτη, φησὶ, τῆς δυνάμεως τοῦ φυσήματος πα„ράγει ἀπὸ τῆς ἐν ὅλῃ τῇ γῇ διαπαρείσης ἰδέας τοῦ τὴν ψυχὴν „ναέριον εἶναι φάντασμα. ἐκ τούτου δὲ εὐχερῶς κατήντησαν πιστεύ„ειν, ὅτι δύναταί τις ἐκχέειν μέρος τῆς ψυχῆς αὐτοῦ. ἐν τῇ ἑτέρᾳ „ψυχῇ. διὸ τὸ παρὰ τοῖς ἀληθέσι χριστιανοῖς ἱερὸν μυστήριον, τοῦ„το ἄλλως πηγὴ σφαλμάτων.

Ταῦτα ὧν εἰσὶ τὰ τούτου φιλοσοφικὰ εἴτε ὑπομνήματα, εἴτε σημειώματα εἰς τὸ, ἐνεφύσησεν αὐτοῖς. προτεθείκαμεν δὲ ταῦτα, ἵνα αὐτὰ ἀνασκοπάσωμεν. αὐτανασκεύασα γάρ εἰσιν, ἀλλ' ἵνα οἱ ἀναγινώσκοντες, ὁρῶντες τοὺς λήρους, τὰ ἀναπόδεικτα πλάσματα, ἢ τὰς ψευδοϋποθέσεις αὐτοῦ, εἰδέναι ἔχωσιν ὁποῖος ὁ φιλόσοφος ἐστὶ, ἢ ἡ τούτου φιλοσοφία.

Σημ. 23. Σαφές τε ἢ ἐξηκριβωμένον ἐστὶ τὸ τῆς Εὐαγγελίου ῥῆμα, τὸ περὶ τοῦ θανάτου τοῦ Εὐαγγελιστοῦ Ἰωάννου. „κἂν γὰρ ἐξῆλθεν ὁ „λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνή„σκει, τὸ προσεθὲν ὅμως, ἐκ μέσου αὐτοῦ τὸν εἰς τοὺς ἀδελφοὺς ἐ- Ἰωαν. 21. 23.
ξελθόντα λόγον. Καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνή„σκει, ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Οὐ„δὲν δὲ παράδοξον, εἴπερ ὁ μηδὲ περὶ δόγματος, μηδὲ περί τινος

τῶν ἀσιωδῶν τῆς πίστεως λόγος, ὁ τότε ἐξελθὼν εἰς τὰς ἀδελφὰς, ἐξῆλθε καὶ εἰς ἑνίους τῶν μετὰ ταῦτα. ὅτι δὲ ὁ Εὐαγγελιστὴς Ἰωάννης ἀπέθανε, διαῤῥήδην τοῦτο μαρτυρᾷ καὶ ὁ θεῖος Χρυσόστομος (ἐν τῷ προοιμ. τῆς πρὸς Ἔφες. ἐπιστ.) λέγων. „Καὶ ὁ μακάριος „δὲ Ἰωάννης ὁ Εὐαγγελιστὴς τὰ πολλὰ ἐνδιέτριψεν ἐκεῖ. (ἐν Ἔ„φέσῳ) καὶ δὴ καὶ ἐξωρίσθη ἐκεῖ, καὶ ἐτελεύτησε.

Ἄκουσον νῦν καὶ τὴν τοῦ Βολτέρου ῥαψῳδίαν. ὁ μὲν Γεώργιος ὁ Τραπεζούντιος, εἷς ὢν τῶν ἀθανασίαν ἐπιγραφόντων τῷ Ἰωάννῃ, ἔφη. „Δοκεῖ, ὅτι ἐλλείπῃς ἔσαι ὁ τοῦ Κυρίου πόλεμος κατὰ τοῦ ἐχ„θροῦ τοῦ ψευδοῦς αὐτοῦ, ἐὰν τὸν Ἐνὼχ, καὶ τὸν Ἠλίαν μόνον ἀντιπρο„τείνῃ αὐτῷ. οὐκ ἀρκεῖ εἷς τῶν πρὸ τοῦ νόμου, καὶ εἷς τῶν ἐν τῷ „νόμῳ Προφητῶν, ἀναγκαίως ἐστὶ καὶ τρίτος ὁ ἐν τῷ Εὐαγγελίῳ. Ὁ δὲ Καλμέτος διαφόροις μαρτυρίαις τε καὶ ἐπιχειρήμασι τὸν τοῦ Ἰωάννου θάνατον συνιςῶν, τὸν Τραπεζούντιον ῥαπίζει, λίαν ἐμπαθῶς καὶ ἀνοήτως κατὰ τῆς ὀρθοδόξου τῶν Γραικῶν Ἐκκλησίας ἀντιφερόμενος. ὁ δὲ Βολτέρος τὰ τοῦ Τραπεζουντίου ῥήματα τῷ Καλμέτῳ ἀπονείμας, ἐπάγει· „Κατὰ τὸν δὲ καὶ τὸν ὑπομνηματιςὴν (τὸν „Καλμέτον) πέντε κριταὶ κεκινοῦσι τὸν κόσμον. ὁ Θεὸς ὁ πατὴρ. ὁ „Θεὸς ὁ υἱὸς, ὁ Ἐνὼχ, ὁ Ἠλίας, καὶ ὁ Ἰωάννης. Σὺ δὲ, ὦ ἀναγνῶςα, σημείωσον, ὅτι ἐν τοῖς τοῦ Τραπεζουντίου ῥήμασι, τοῖς ὑπὸ τοῦ Βολτέρου τῷ Καλμέτῳ ἀπονεμομένοις, οὐδὲ γρὺ τὸ τοῦ λόγου, περὶ κρίσεως. μόνον δὲ περὶ τῶν πολεμησόντων τῷ Ἀντιχρίςῳ λαλεῖ ὁ Τραπεζούντιος. ἐκ δὲ τῆς σημειώσεως ταύτης γνῶναι ἔχεις τὴν τοῦ Βολτέρου συκοφαντίαν, καὶ προφανῆ παραλογίαν. Μετὰ δὲ ταῦτα. καὶ ἕτερα τούτων χείρονα ὁ αὐτὸς προσέθηκεν, οἷον κορωνίδα τοῦ παναθλίου αὐτοῦ πονήματος. ἅτινα κἂν κατελείφθη ὑπὸ τοῦ συγγραφέως τῆς δὲ τῆς βίβλου, αὐτεξέλεγκτα τυχὸν λογισαμένου, οὐ παροράτεα ὅμως, ὡς δυνάμενα τοὺς ἀμαθεῖς διαφθεῖραι καὶ ἀςηρίκτους·

„Δῆλαι, φησὶν, αἱ μεταξὺ τῶν διερμηνευτῶν ἀπέραντοι δια„λέξεις χεδὸν περὶ πασῶν τῶν Εὐαγγελικῶν ῥήσεων, τῶν πράξε„ων τῶν Ἀποςόλων, καὶ τῶν ἐπιςολῶν. τοσοῦτον δὲ ἀνέσκαψαν „τὴν ἄβυσσον ταύτην, ὥςε ἡ ἀνασκαλευθεῖσα γῆ ἐπὶ τοὺς κοπιῶν„τας ἐπιπεσοῦσα, πολλοὺς ἐξ αὐτῶν συνέτριψεν.

Ἀριθμεῖ τὰ ἐν τούτοις ψεύδη. α. Αἱ διαλέξεις οὐ μεταξὺ τῶν διερμηνευτῶν, ἀλλὰ μεταξὺ τῶν ὀρθοδόξων καὶ αἱρετικῶν, καὶ τῶν πιςῶν καὶ ἀπίςων, β'. Οὐκ ἀπέραντοι αἱ διαλέξεις. πέρας γὰρ εἰλήφασιν, ἀναφανείσης τῆς ἀληθείας, καὶ καταργηθέντος τοῦ ψεύ-

δους,

δȣς, κἂν τινες τῷ πείσματι διαμεμενήκασιν. γ'. Οὐ περὶ πασῶν σχεδὸν τῶν Εὐαγγελικῶν ῥήσεων, καὶ τῶν Πράξεων, καὶ τῶν ἐπιστολῶν τῶν Ἀποστόλων, ἀλλὰ σχεδὸν περὶ πάνυ ὀλίγων. δ'. ἡ ἀνασκαλευθεῖσα γῆ ȣ̓κ ἐπὶ τȣ̀ς κοπιῶντας ὑπομνηματιστὰς ἐπέπεσε, τȣ̀ς τῇ ἀληθείᾳ στηριχθέντας, ἀλλ' ἐπὶ τȣ̀ς αἱρετικȣ̀ς καὶ ἀπίστȣς, τȣ̀ς τῇ ὑπερηφανείᾳ τȣ̃ νοὸς αὐτῶν δȣλεύοντας, καὶ διὰ τὴν σκοτόμαιναν τῶν συνεχόντων αὐτȣ̀ς παθῶν τῇ ἀληθείᾳ μὴ πειθομένȣς.

„Ἐναρχόμενοι, λέγει, (οἱ κριτικοὶ) ἀπὸ τȣ̃ ἐδαφίȣ, τȣ̃ τὰ „περὶ τὸν ἅγιον Ἰωάννην διαλαμβάνοντος, διϊσχυρίσαντο, ὅτι αὐ„τὸ τὸ ῥητὸν δείκνυσι τὸν ἐν ἁγίοις Ἰωάννην μηδὲ γράψαντα, μη„δὲ δυνηθέντα γράψαι τὸ ἑαυτȣ̃ Εὐαγγέλιον. διότι ἐν τῷ τέλει τῆς „ῥήσεως ταύτης περιέχεται τὸ, ȣ̃τός ἐστιν ὁ μαθητὴς Ἰωάννης, ὁ „μαρτυρῶν περὶ τȣ́των. καὶ οἴδαμεν, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία „αὐτȣ̃. πασίδηλον δὲ ὅτι ὁ Ἰωάννης ȣ̓κ ἠδύνατο ȣ̃τω περὶ ἑαυτȣ̃ „λαλῆσαι ἐν τῷ ἰδίῳ πονήματι.

Ὁ μὲν Ἰωάννης, λέγεις, ȣ̓δὲ ἠδύνατο γράψαι, ȣ̓δὲ ἔγραψε τὸ ἑαυτȣ̃ Εὐαγγέλιον, τȣτέστιν ἅπερ εἶδε, καὶ ἤκȣσε, καὶ ὑπὸ Θεȣ̃ γράψαι ἐφωτίσθη. σὺ δὲ περιφρονήσας τὸ ὀφειλόμενον ἐν ταῖς προτεινομέναις μαρτυρίαις ἀξιόπιστον, καὶ ἣν ἐπαγγέλη ἀλήθειαν, γράψαι μὲν ἐδυνήθης ὅπερ ȣ̓δὲ εἶδες, ȣ̓δὲ ἤκȣσας, ἤτοι τὴν ἐν τῷ προκειμένῳ ῥητῷ προσθήκην τȣ̃ ὀνόματος, Ἰωάννης. καταλιπεῖν δὲ τὸ, καὶ γράψας ταῦτα. καὶ ὅτι μὲν ὁ Ἰωάννης ȣ̓ μόνον ἐδυνήθη γράψαι, ἀλλὰ καὶ ἔγραψε τὸ Εὐαγγέλιον αὐτȣ̃, μαρτυρȣ̃σιν ȣ̓ μόνον τὰ τῶν πιστῶν πλήθη, τά τε τῷ Ἰωάννῃ συνακμάσαντα, οἷον ὁ μαθητὴς αὐτȣ̃ Πολύκαρπος, καὶ ὁ Εἰρηναῖος ὁ ἐκ τȣ̃ Παλυκάρπȣ παραλαβὼν, καὶ οἱ μετ' αὐτȣ̀ς ἄχρι τῆς σήμερον, ἀλλὰ καὶ οἱ ἄπιστοι, οἷον ὁ Ἰȣλιανὸς καὶ ὁ Πορφύριος, οἱ ἔργον καὶ σκοπὸν προθέμενοι τὴν τῶν Εὐαγγελίων ἀναίρεσιν. σὺ δὲ ποίαν ἀπόδειξιν προτείνεις περὶ τȣ̃ ὅτι ȣ̓δὲ ἐδυνήθη ὁ Ἰωάννης γράψαι, ȣ̓δὲ ἔγραψε τὸ ἑαυτȣ̃ Εὐαγγέλιον; ἰδȣ̀ ἡ ἀπόδειξίς σȣ.

„Ἐντῷ τέλει τȣ̃ ῥητȣ̃ τȣ́τȣ περιέχεται τὸ, ȣ̃τός ἐστιν ὁ μαθητὴς Ἰωάννης, ὁ μαρτυρῶν περὶ τȣ́των. καὶ οἴδαμεν, ὅτι ἀληθής „ἐστιν ἡ μαρτυρία αὐτȣ̃. ἄρα ὁ Ἰωάννης ȣ̓δὲ ἔγραψεν, ȣ̓δὲ ἠδύνατο γράψαι τὸ ἑαυτȣ̃ Εὐαγγέλιον. Ταύτην δὲ τὴν καταγέλαστον ἀπόδειξίν σȣ ἐπικυροῖς, τὰ ἀβέβαια καὶ ἄδηλα, ὡς ὁμολογȣ́μενα καὶ πασίδηλα ἐκλαμβάνων. Πασίδηλον δὲ λέγεις, ἐστὶν, ὅτι ὁ Ἰω„άννης ȣ̓κ ἠδύνατο ȣ̃τω λαλῆσαι περὶ ἑαυτȣ̃ ἐν τῷ ἰδίῳ πονήματι.

Ἀλλὰ τὸ πασίδηλόν σε πανάδηλόν ἐςι. ποία δὲ τῷ Ἰωάννῃ ἀδυναμία πρὸς τὸ ὕτω λαλῆσαι περὶ ἑαυτῦ ἐν τῷ ἰδίῳ πονήματι; ἢ τί τὸ ἀνθισάμενον, ἢ τὴν τότε συντρίζον δύναμιν; ἀχ' οἱ πλείονες μικρῦ δεῖν τῶν ἰσορικῶν λαλῦσι περὶ ἑαυτῶν ἐν τοῖς ἰδίοις πονήμασιν, ἐπιμαρτυρόμενοι, ὅτι οἴδασιν ἀληθῆ εἶνα τὰ ὑπ' αὐτῶν γραφόμενα; τῦτο δὲ τὸ ἔθος ἢ αὐτοῖς τοῖς Ἀποςόλοις φίλον.

Μάτθ. 9. 9. Λυκ. 1. 3. ὁ μὲν δὴ Ματθαῖος περὶ ἑαυτῦ λαλεῖ ἐν τῷ ἰδίῳ Εὐαγγελίῳ, ὡσαύτως ἢ ὁ Λυκᾶς. ὁ δὲ Παῦλος ἐν ταῖς ἐπιςολαῖς αὐτῦ ὐ μόνον τὰς ἰδίας ἀγῶνας ἢ τὰ ἄθλα ἐκτίθητιν, ἀλλὰ ἢ περὶ τῶν ὀπ[illegible]σιῶν, ἢ τῆς ἕως τρίτυ ὐρανῦ ἀναβάσεως αὐτῦ διαμαρτύρε). ποία ὖν ἀδυναμία τῷ Ἰωάννῃ εἰπεῖν περὶ ἑαυτῦ. ἐγώ εἰμι ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τύτων. καὶ οἶδα, ὅτι ἀληθής ἐςιν ἡ μαρτυρία μυ; ταῦτα ὖν εἶπε, διὰ τρίτυ προσώπυ σχηματίσας τὸν λόγον, κατὰ τὸ ἀποςολικὸν, μᾶλλον δὲ θεοπτικὸν ἔθος. ἢ αὐτὸς δὴ ὁ Κύριος ὕτω πολλάκις ἐσχημάτισε τὸν λόγον. ὐκ ἀδυναμίαν δὲ ἀλλὰ δύναμιν εἶχεν εἰπεῖν. „Καὶ οἴδαμεν, ὅτι ἀληθής ἐςιν ἡ „μαρτυρία αὐτῦ. αὐτόπτης δὴ ἦν ἢ πεπληροφορημένος μάρτυς· ἐπεὶ δὲ πάντες οἱ τῦ λόγυ αὐτόπται πρὸ αὐτῦ τετελεύτηκασιν, ὐδενὸς, ὅσον ἡ ἑαυτῦ μαρτυρία, τοσαύτην εἶχεν ἰσχύν. ἡ δὲ ἀρετὴ αὐτῦ ἢ ἡ ἁγιότης, τοῖς πᾶσι γνωςὴ ὖσα, δύναμιν αὐτῷ ἐχορήγει τῦ εἰπεῖν ταῦτα, πεποιθότι, ὅτι τῇ μαρτυρίᾳ αὐτῦ ὑπὲρ ταῖς

Ἰωάν. 19. 35. τῶν ἄλλων πιςεύσι. διὸ ἢ ἀλλαχῦ ἔλεγε. „Καὶ ὁ ἑωρακὼς με „μαρτύρηκε. ἢ ἀληθινὴ αὐτῦ ἐςὶν ἡ μαρτυρία.

Περὶ δὲ τῆς προκειμένης ῥήσεως ἢ ὁ προτεχάντης ὁ Γρότιος ἠπόρησεν, ὡς ἔοικεν, ὐ τοιῦτον ὅμως παραλογισμὸν ἐπήνεγκεν, οἷον ὁ Βολτέρος ὁ ἄπιςος. εἴρηκε δὲ μόνον, (ἐν τοῖς ὑπομν. εἰς τὸ κατὰ Ἰωάν. Εὐαγγέλιον τοῖς συνεκδεδ, τῷ βιβλίων τῶν καλυμ. ἱερ. κριτικ.) ὅτι τὰ ἔσχατα ταῦτα τῦ κατὰ Ἰωάννην Εὐαγγελίυ ῥήματα προσέθηκεν ἡ Ἐφεσίων Ἐκκλησία, ἴτως δὲ ὁ πρεσβύτερος αὐτῆς Ἰωάννης. ἀλλὰ ἢ ταῦτα ἀπαράδεκτα. εἰκασία γὰρ εἰτι γυμνὴ, μηδεμιᾷ ςηριζομένη μαρτυρίᾳ, ἢ ἀποδείξει.

„Αἱ ἀντιφάσεις, προσίθησιν, ἃς εὑρεῖν ἐνόμισαν ἐν τοῖς ἄλ„λοις Εὐαγγελίοις οἱ αὐθάδεις κριτικοὶ, ἠνάγκασαν αὐτὸς ἀπο„βαλεῖν μὲν ὁλοκλήρως ταῦτα τὰ συγγράμματα, ἀπονεῖμαι δὲ „αὐτὰ ἄλλοις ψευδωνύμοις ἡμιιουδαίοις ἢ ἡμιχριςιανοῖς, οἷον τῷ „Ἀβίᾳ, τῷ Μαρκέλλῳ, τῷ Αἰγησίππῳ, ἢ ἄλλοις, ἐν τῷ τέλει „τῦ πρώτυ τῆς χριςιανικῆς Ἐκκλησίας αἰῶνος ἀκμάσασι.

Κατὰ

Κατὰ ταύτην ἄρα τὴν ἐπίκρισιν, ὁσάκις νομίζομεν εὑρίσκειν ἀντιφάσεις ἔντινι τῶν ἀναγινωσκομένων συγγραμμάτων, ὐ χρὴ λογίζεσθαι τὸν συγγραφέα αὐτῦ ἀντιφάσκοντα, ἐν ᾧ δοκεῖ ἀντιφάσκειν. ἀλλ' ἀποβάλλειν ὁλοκλήρως τὸ σύγγραμμα, ἢ ἄνδ τιν@ λόγυ ἀπονέμειν αὐτῷ ὁποίῳ ἄν βυλώμεθα. καινὰ νομοθετῦσιν ὕτοι οἱ κριτικοὶ, Ϛ τοῖς κανόσι τῆς ἐπικρίσεως, εἴτυν τῷ ὀρθῷ λόγῳ ἢ τῇ ἀληθείᾳ ἀντιπίπτονται. ποῖαι δέ εἰσιν ἐν τοῖς ἱεροῖς βιβλίοις αἱ δοκῦσαι ἀντιφάσεις, αἱ μὴ τοσῦτον συμβιβασθεῖσαί τε ἢ συμφωνηθεῖσαι ὑπὸ τῶν ὑπομνηματισάντων αὐτὰ ἱερῶν ἀνδρῶν, ὅσον ἢ τὰς ἀπορίας λυθῆναι, Ϛ τὺς ἐπαπορῦντας ἀναπαυθῆναι; εἴδαμεν ἀνωτέρω ὁποίας πρὸτεινεν ὁ σοροδαίμων ὕτος κριτικὸς ἀντιφάσεις, ὀψόμεθα δὲ ἢ μετὰ ταῦτα ὁποίας προτεῖναι ἔχει.

Τὶς δὲ λόγος πείθει, ἀποσρέψαι μὲν τὸν νῦν ἀπὸ τῶν μαρτυριῶν τοσῦτον θαυμασίων ἀνδρῶν, ὅσοι τε τοῖς Ἀποσόλοις συνήκμασαν, ὅσοι τε ὑπὲρ τῆς τῶν ἱερῶν Βιβλίων ἀληθείας τοσύτυς ἀγῶνας ὑπέσησαν, ἢ τὸ αἷμα αὐτῶν ἐξέχεον, μαρτυρικὸν ὑπομείναντες θάνατον, ὅσοι, φημὶ, ἀπὸ τῦ πρώτυ χρισιανικῦ αἰῶνος ἄχρι τῆς σήμερον ἀλληλοδιαδόχως τε Ϛ ἀδιακόπως παραδόσει ἐπιβεβαιῦσι, τὴν νέαν Διαθήκην πόνημα εἶναι τῶν θεηγόρων Ἀποσόλων, μηδὲ τῶν ἀπίσων, τῶν ταύτην καταργῆσαι πάσαις ἀσυδασάντων δυνάμεσι, τῦτο ἀρνησαμένων, πισεῦσαι δὲ τῇ μαρτυρίᾳ ἀπίσε τινὸς χθιζῦ καθάρματ@, τῦ ἄνδ τιν@, ὐδὲ γῦν μικρᾶς ἀποδείξεως, ἐκ μόνης δὲ τῆς κωμῳδοποιῦ αὐτῦ φαντασίας ταύτην ἀποneίμαντ@ τῷ Ἀβδίᾳ, ἢ Μαρκέλλῳ, ἢ Αἰγησίππῳ. ὃς αὐτὸς χειροτονεῖ Ἰσδαίυς ἅματε Ϛ χρισιανύς; ὐδεὶς οἶμαι πειθεὶη ἂν ταῖς τοιαύταις αὐτῦ μωρολογίαις, εἰ μὴ φρενόληπτός τις εἴη, ἢ ὑπὸ Θεῦ πάντη ἐγκαταλελειμμένος.

„Οἱ ἡμέτεροι, λέγει, ἀκαταθάμαστοι κριτικοὶ, περὶ ὧν ἡμεῖς το„σῦτον ἐλαλήσαμεν, φασὶν, ὅτι ὐδύναν} δεχθῆναι τὰς τῶν Ἀποσόλων „πράξεις. ὡς ἐναντίας τοῖς Εὐαγγελίοις. ἀποῤῥίπτυσι δὲ ἢ τὰ Εὐαγγέλια, ὡς ἐναντία τῇ τῦ Ἰησῦ πολιτείᾳ, „τῇ ἐν αὐτοῖς παρα„τεθείσῃ. ἴδε πῶς ἐπισηρίζυσιν ὕτοι τὴν θανατηφόρον αὐτῶν γνώ„μην. Ὁ Ἰησῦς κατὰ τὴν τῶν Εὐαγγελίων δήγησιν ὐδένα ὐδέπο„τε ἐβάπτισε. ἢ ὅμως τὰ αὐτὰ Εὐαγγέλια ἀναγγέλλυσιν, ὅτι δεῖ „βαπτίζειν τὸ τῶν Ἰσδαίων βάπτισμα εἰς τὸ ὄνομα τῦ Πατρ@, „ἢ τῦ Ὑῦ, ἢ τῦ ἁγίυ Πνεύματ@. διορισάντων δὲ τῶν Εὐαγ„γελίων τῦτο τὸ βάπτισμα εἰς τὸ ὄνομα τύτων τῶν τρεῖς προσώ„πων, ἔρχονται μετὰ ταῦτα αἱ Πράξεις, βαπτίζυσαι, ὡς ἐκ πολ-

λῶν

„λῶν αὐτῶν ῥήσεων δῆλον, εἰς μόνον τὸ τȣ̃ Ἰησȣ̃ ὄνομα. τίνι ȣ̃ν πι-
„ςεῦσαι; ȣ̓δενὶ, προςιθέασιν οἱ δύσχρηςοι ȣ̃τοι διερευνηταί. ἡμεῖς
„ȣ̓κ οἴδαμεν, ȣ̓δὲ τίνες εἰσὶν οἱ τῶν βιβλίων τȣ́των συγγραφεῖς,
„ ȣ̓δὲ κατὰ τίνα καιρὸν συνεγράφησαν. οἴδαμεν δὲ μόνον, ὅτι τῷ ἑτέ-
„ρῳ ἕτερον ἀντιλέγει, πάντα δὲ ὁμȣ̃ ἀντίκειται τῷ ἀσθενεῖ ἀνθρω-
„πίνῳ λόγῳ, τῷ μόνῳ φωτὶ, τῷ ὑπὸ Θεȣ̃ εἰς τὸ κρίνειν δεδομένῳ.

Ἐπαναλαμβάνω τὰ αὐτὰ συνοπτικώτερον, ȣ̓ ἑτέρᾳ εὐτάκτῳ μεθόδῳ. Πρότασις πρώτη. Αἱ πράξεις τῶν Ἀποςόλων εἰσὶν ἐναντίαι τοῖς Εὐαγγελίοις. Δεῖξις. Τὰ μὲν Εὐαγγέλια ἀναγγέλλȣσιν, ὅτι δεῖ βαπτίζειν τὸ τῶν Ἰȣδαίων βάπτισμα εἰς τὸ ὄνομα τȣ̃ Πατρὸς, ȣ̓ τȣ̃ Ὑιȣ̃, ȣ̓ τȣ̃ ἁγίȣ Πνεύματος, αἱ δὲ Πράξεις βαπτίζȣσιν εἰς μόνον τὸ τȣ̃ Ἰησȣ̃ ὄνομα. Πρότασις δευτέρα. Τὰ Εὐαγγέλιά εἰσιν ἐναντία τῇ τȣ̃ Ἰησȣ̃ πολιτείᾳ. Δεῖξις. ὁ μὲν Ἰησȣ̃ς ȣ̓δένα ȣ̓δέποτε ἐβάττισε, τὰ δὲ Εὐαγγέλια ἀναγγέλλȣσιν, ὅτι δεῖ βαπτίζειν. Πρότασις τρίτη. Οὐδενὶ τῶν βιβλίων τȣ́των πιςευτέον. Δεῖξις. Οὐκ οἴδαμεν, ȣ̓δὲ τίνες εἰσὶν οἱ τȣ́των συγγραφεῖς, ȣ̓δὲ κατὰ τίνα καιρὸν ταῦτα συνεγράφησαν. οἴδαμεν δὲ, ὅτι ἕτερον τῷ ἑτέρῳ ἀντιλέγει, πάντα δὲ ὁμȣ̃ ἀντίκειται τῷ ἀσθενεῖ ἀνθρωπίνῳ λόγῳ.

Τὰ ἐν τῇ δείξει τῆς πρώτης προτάσεως λεγόμενα εἰσὶ ψευδῆ. ȣ̓δαμȣ̃ γὰρ ἀναγγέλλȣσι τὰ Εὐαγγέλια βαπτίζειν τὸ τῶν Ἰȣδαίων βάπτισμα εἰς τὸ ὄνομα τȣ̃ Πατρὸς, ȣ̓ τȣ̃ Ὑιȣ̃, ȣ̓ τȣ̃ ἁγίȣ Πνεύματος, ἄλλο δὲ τὸ Εὐαγγελικὸν βάπτισμα, ȣ̓ ἄλλο τὸ Ἰȣδαϊκόν. τὸ μὲν δι' ὕδατος ȣ̓ Πνεύματος, τὸ δὲ δι' ὕδατος μόνȣ. ȣ̓ τὸ μὲν καθαρτήριον ψυχῆς, ȣ̓ ἡοθεσία, ȣ̓ θύρα ȣ̓ρανῶν Βασι-
Μάρκ. 4. 7. 8. λείας, τὸ δὲ ψιλὴ σώματος πλύσις. διὸ ȣ̓ ποτήρια οἱ Ἰȣδαῖοι ἐβάπτιζον, ȣ̓ ξέςας, ȣ̓ Χαλκία, ȣ̓ κλίνας, τῶν ὑλικῶν μολυσ-
Ἰωάν. 3. 5. μῶν αὐτὰ καθαίροντες. ȣ̓ τὸ μὲν ἀναγκαῖον τῇ σωτηρίᾳ κατὰ θείαν νομοθεσίαν. „Ἐὰν γὰρ μήτις, φησὶ, γεννηθῇ ἐξ ὕδατος ȣ̓ Πνεύ-
„ματος ȣ̓ δύναται εἰσελθεῖν εἰς τὴν Βασιλείαν τȣ̃ Θεȣ̃. τὸ δὲ ȣ̓δὲ ἀναγκαῖον τῇ σωτηρίᾳ. ȣ̓δὲ κατὰ νόμον, ἀλλ' ἐκ μόνης τῆς παραδόσεως τῶν ἀνθρώπων, ἀφορμὴν τυχὸν λαβόντων ἀπὸ τῶν ἐν τῷ 15. κεφ. τȣ̃ Λευιτικȣ̃. Περὶ δὲ τȣ̃ βαπτίζειν ἐπὶ τῷ ὀνόματι Ἰησȣ̃ Χριςȣ̃, φαμὲν α'. ὅτι τȣ̃το ȣ̓κ ἔςιν ἐναντίον τȣ̃ βαπτίζειν εἰς τὸ ὄνομα τȣ̃ Πατρὸς, ȣ̓ τȣ̃ Ὑιȣ̃, ȣ̓ τȣ̃ ἁγίȣ Πνεύματος. τὸ γὰρ ἐναντίον τȣ́τȣ ἐςὶ τὸ μὴ βαπτίζειν εἰς τὸ ὄνομα τȣ̃ Πατρὸς, ȣ̓ τȣ̃ Ὑιȣ̃, ȣ̓ τȣ̃ ἁγίȣ Πνεύματος. ὅπερ ȣ̓δαμȣ̃ αἱ Πράξεις δι-
Πράξ. 4. 18. δάσκȣσι. β'. ὅτι ὥσπερ τὸ μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνό-

ὀνόματι τῦ Ἰησῦ ἐμφαίνει τὸ διδάσκειν τὰ ὑπὸ τῦ Ἰησῦ Χριςῦ διδαχθέντα, ὥτω ϗ τὸ βαπτίζειν ἐπὶ τῷ ὀνόματι τῦ Ἰησῦ Χριςῦ σημαίνει τὸ βαπτίζειν κατὰ τὴν τῦ Ἰησῦ Χριςῦ διδασκαλίαν, ὅπερ ἐςὶ τὸ βαπτίζειν εἰς τὸ ὄνομα τῦ Πατρὸς, ϗ τῦ Υἱῦ, ϗ τῦ ἁγίυ Πνεύματος. ὥτω δὲ βαπτίζειν ἐδίδαξεν ὁ Ἰησῦς Χριςός. Ἀλλὰ διατὶ, ἐρεῖτις, αἱ Πράξεις ἔφησαν ἐπὶ τῷ ὀνόματι Ἰησῦ Χριςῦ, ϗ ὐκ εἰς τὸ ὄνομα τῦ Πατρὸς, & τῦ Υἱῦ, ϗ τῦ ἁγίυ Πνεύματος; Διότι εἰπῦσαι ἐπὶ τῷ ὀνόματι Ἰησῦ Χριςῦ, τῦτο αὐτὸ εἶπον, εἴτυν τὸ, εἰς τὸ ὄνομα τῦ Πατρὸς, ϗ τῦ Υἱῦ, ϗ τῦ ἁγίυ Πνεύματος. ὁ δὲ Ἰησῦς, ὡς Θεὸς, ἀδιαίρετός ἐςι τῦ Πατρὸς ϗ τῦ Πνεύματος. κατὰ δὲ τὴν ἐντολὴν αὐτῦ οἱ Ἀπόςολοι τῦτο τὸ μάθημα πρῶτον ἐμαθήτευον τὰς βαπτιθησομένας, εἶτα αὐτὰς ἐβάπτιζον.

Ἀνεμώλια δὲ ϗ τὰ ἐν τῇ τῆς δευτέρας προτάσεως ἀποδέχει. ἐνετείλατο μὲν δὲ ὁ Ἰησῦς βαπτίζειν, πρῶτος δὲ αὐτὸς ἔργω τὴν ἐντολὴν αὐτῦ ἐκπληρῶν, ἐβαπτίθη. ἡ δὲ ἐντολὴ ὐκ εἰς τὸ βαπτίζειν κυρίως ἀφορᾷ, ἀλλ' εἰς τὸ βαπτίζεθαι. ὁ δὲ ὁ μὴ βαπτίζων, ἀλλ' ὁ μὴ βαπτιζόμενος, τὴν ἐντολὴν ἀθετεῖ. ὁ δὲ ἔφη, ἐὰν μήτις ἀναγεννήθη ὕδατι ϗ Πνεύματι, „ἀλλ' ἐὰν μήτις ἀνα- „γεννηθῇ ἐξ ὕδατος ϗ Πνεύματος, ὁ δύναται εἰσελθεῖν εἰς τὴν Βα- 1. Κορ. 1. 1ς.
σιλείαν τῦ Θεῦ. διὸ ϗ ὁ μακάριος Παῦλος ἔλεγεν· Οὐ δὲ ἀπέςειλέ με Χριςὸς βαπτίζειν, εἶτα κἂν ὁ Ἰησῦς ὐκ ἐβάπτιζεν ὡς ὑπηργός, ἐβάπτιζεν ὅμως ϗ ἀκμὴν βαπτίζει ὡς τελεσιυργός. οἱ μὲν δὲ Ἀπόςολοι, ϗ πάντες οἱ ὀρθοδόξως βαπτίζοντες, ὑπηργοί εἰσι τῦ βαπτίσματος, αὐτὸς δὲ ὡς Θεὸς ἐν μέσω αὐτῶν ἑςὼς, τελεσιυργεῖ τὸ βάπτισμα, ἄφεσιν ἁμαρτιῶν διδῦς, & τὴν δωρεὰν τῦ ἁγίυ Πνεύματος.

Ἀλλὰ ϗ ἡ ἀπόδειξις τῆς τρίτης προτάσεως ψεύδη παχυλὰ περιέχει ϗ ἀναίσχυντα. ϗ δὲ οἴδαμεν, συμμαρτυρόντων, ὀκτωκαίδεκα ϗ ἐδὸν αἰῶνας, μυριάδων ἀξιοπίςων ἀνδρῶν, ἑκάςυ τῶν τῆς νέας Διαθήκης βιβλίων ϗ τὸν συγγραφέα ὀνομαςὶ, ϗ τὸν βίον αὐτῦ ϗ τὴν πολιτείαν, ϗ τὸν καιρὸν, καθ' ὃν συνέγραψεν. οἴδαμεν δὲ, ὅτι ἕτερον τῷ ἑτέρῳ συνᾴδει, πάντα δὲ ὁμῦ τῷ ἀθενεῖ ἀνθρωπίνῳ λόγῳ ὐκ ἀντίκειται. ὁ δὲ ἐναντία προτείνει τῷ ὀρθῷ λόγῳ, κἂν ἔνια μὲν ὑψηλότερα τῆς τῦ ἀνθρωπίνυ νοὸς καταλήψεως, ἔνια δὲ ϗ ὁ τοῖς πᾶσι χωρητὰ διὰ τῆς σαρκὸς τὴν ἀθένειαν. „διὸ ϗ τὸ ὁ δυνάμενος χωρεῖν χωρείτω, εἰρηται. τὸ δὲ ἀκα- Matth. 19. 12.
τάληπτον ϗ ἀχώρητον ὁ ταυτὸν τῷ ἀντιπίπτοντι ϗ ἀντιλέγοντι.

πολ-

πολλὰ δὲ ἡ τῶν ὑπὸ τὴν αἴσθησιν ἀκατάληπτά εἰσι ἡ ἀχώρητα, ἀλλ' ὁ διὰ τοῦτο ἡ ἀντιφάσκοντα, ἢ ἀντιλέγοντα τῷ ὀρθῷ λόγῳ. ἐκ τούτων δὲ τῶν ὑπιδανῶν αὐτοῦ προτάσεων, ἡ παραλόγων ἀποδείξεων, ἐπάγει τὴν τούτων χείρονα εἰκασίαν αὐτοῦ, ἀπιστίας τε ἡ παραλογίας ὄσαν πλήρωμα.

„Τοῦτο μόνον, φησὶ, δοκεῖ ἡμῖν παθανὸν, εἶτον τὸ ὅτι ὁ Ἰη„σοῦς ἐκτήσατο μὲν συνομίλους, ἠνώχλει δὲ τοὺς Φαρισαίους ἡ ἱερεῖς, „κατεβλήθη δὲ ὑπὸ τῶν ἐχθρῶν αὐτοῦ, τῶν παραδόντων αὐτὸν, „εἰς θάνατον. οἱ δὲ συνόμιλοι αὐτοῦ διεκδικοῦντες αὐτὸν, ἐκραύγα„ζον πανταχοῦ, ὅτι ὁ Θεὸς ἤγειρεν αὐτόν.

Συνόμιλοι τοῦ Κυρίου Ἰησοῦ ἦσαν οἱ Ἀπόστολοι, οἱ τοῖς ζωηροῖς αὐτοῦ ῥήμασιν ἐφελκυσθέντες, ἡ τοῖς ὑπερφυέσιν ἐκπλαγέντες θαύμασι, τὰ πάντα καταλιπόντες, ἠκολούθησαν αὐτῷ, πτωχείαν διδάσκοντι, ἡ τῶν σαρκικῶν θελημάτων ἄρνησιν, ἡ ἀγάπην ἐχθρῶν, ἡ διωγμοὺς, ἡ πάθη, ἡ θάνατον. τῶν δὲ Γραμματέων ἡ Φαρισαίων τὴν ὑπόκρισιν ἡ τὰς ἀνομίας δικαίως ἤλεγχεν ὁ Ἰησοῦς καὶ θεοπρεπῶς. παρεδόθη δὲ εἰς θάνατον ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν, φθόνῳ τυφλωθέντων, ἡ μὴ δυνηθέντων γνῶναι, ὅτι αὐτός ἐστιν ὁ λυτρωτὴς τοῦ κόσμου. „Εἰ δὲ ἔγνωσαν. οὐκ ἂν τὸν Κύ-
2. Κορ. 2. 8. „ριον τῆς δόξης ἐσταύρωσαν. οἱ δὲ συνόμιλοι αὐτοῦ αὐτόπται γενόμενοι τῆς ἐγέρσεως αὐτοῦ, ἡ ἰδόντες, ἡ συλλαλήσαντες, ἡ συναυλισθέντες, ἡ ψηλαφήσαντες αὐτὸν ἀναστάντα ἐκ νεκρῶν ἐκραύγαζον πανταχοῦ, ὅτι ὡς ἄνθρωπον ἀνέστησεν αὐτὸν ὁ Θεὸς. ἐπέμειναν δὲ τὸ αὐτὸ πανταχοῦ κραυγάζοντες, ἡ ὑπὲρ τούτου φυλακὰς, ἡ δεσμὰ, ἡ πληγὰς, ἡ μυρία ὑπομένοντες παθήματα, ἡ θάνατον. τίς δὲ πιστεύσειεν ἄν, ὅτι ὑπὲρ τοῦ ἐκδικῆσαι θανόντα ἡ μὴ ἀναστάντα ἄνθρωπον, οὐχ εἷς οὐδὲ δύο, ἀλλὰ πάντες οἱ συνόμιλοι αὐτοῦ ἐπέμειναν λοιδορούμενοι, βλασφημούμενοι, διωκόμενοι, θανατούμενοι διὰ τὸ κηρύττειν τὴν τούτου ἀνάστασιν; τίς ἂν ποτε πεισθείη, ὅτι οἱ γονυπετῶς ἐν τῇ ὥρᾳ τοῦ θανάτου αὐτῶν δεόμενοι ὑπὲρ τῆς σωτηρίας τῶν λιθαζόντων αὐτοὺς, κηρύττοντας τὴν ἐκ νεκρῶν τοῦ Κυρίου ἀνάστασιν, ἐκήρυττον αὐτὴν ἐκδικῆσαι θέλοντες τοὺς ἐχθροὺς τοῦ διδασκάλου αὐτῶν;

„Μετὰ ταῦτα, φησὶν, εὐθὺς διεχωρίσθησαν παντελῶς (οἱ „συνόμιλοι) ἀπὸ τοῦ τῶν Ἰουδαίων κόμματος, οὐκ ἔτι ἦσαν χίσμα, „ἀλλὰ κόμμα νέον, ἐκπολεμοῦν πάντα τὰ ἄλλα. εἶχον δὲ ἅπαν τὸ „τῶν Ἰουδαίων πεῖσμα, ἡ ὅλον τὸν ἐνθουσιασμὸν τῶν κακοτρόπων.

Ἀλλὰ

Ἀλλὰ τὶς ἀνήγγειλέσοι, ὅτι οἱ Ἀπόστολοι εὐθὺς ἐχωρίσθησαν παντελῶς ἀπὸ τοῦ τῶν Ἰουδαίων κόμματος; Δοκεῖ, εἶπας ἀνωτέρω. ἀλλὰ τὴν δόκησίνσου αὐτὰ ἐξελέγχει τὰ πράγματα. οὐ μόνον δὲ εὐθὺς, ἀλλ' οὐδέποτε οἱ Ἀπόστολοι ἀπὸ τῶν Ἰουδαίων ἐχωρίσθησαν. ἐπέμειναν δὲ διαπαντὸς διδάσκοντες αὐτοὺς, καὶ τοὺς ἀξίους τῆς εἰς Χριστὸν πίστεως ἐπιστρέφοντες. αὐτοῖς πρῶτον ἔντε Ἱερουσαλὴμ, καὶ πάσῃ πόλει καὶ χώρᾳ τῆς ἀληθείας τὸν λόγον καταγγέλλοντες; καὶ ἀπὸ τῶν Γραφῶν πείθοντες, καὶ αὐτοῖς κηρύττοντες τὸ „Ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. Μόλις δὲ μετὰ τὰς ὀπτασίας ἤρξαντο καὶ τὰ ἔθνη διδάσκειν. ταῦτα δῆλα ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων, καὶ τῶν ἐπιστολῶν τοῦ Παύλου, ἃς σὺ ἀναγνοὺς, τὴν ἀλλόκοτόνσου δόκησιν ἐξήγαγες, ἤτοι μὴ κατανοήσας τὰ ἀναγνωσθέντα, ἢ ἑκουσίως κακεντρεχήσας, ὃ καὶ πειθανώτερον. πῶς δὲ οὐκ ἐρυθριᾷς λέγειν, ὅτι ἐξεπολέμουν πάντα τὰ ἄλλα κόμματα; τίνι δὲ ὅπλω ἐπολέμουν οἱ ἄοπλοι, καὶ πένητες, καὶ ἀγράμματοι, καὶ ξένοι, καὶ ἀλλοεθνεῖς, καὶ ἀλλόγλωσσοι; οὐχ ὁρᾷς, ὅτι μόνη τοῦ Θεοῦ ἡ δύναμις διὰ τῶν ἐπακολουθούντων σημείων ἐβεβαίου τὸ κήρυγμα, σοφούστε καὶ ἀσόφους πείθουσα, ἀλλὰ λέγεις, ὅτι οἱ τοῖς πᾶσι τὰ πάντα γενόμενοι, ἵνα τοὺς πλείονας κερδήσωσιν, ἦσαν πεισματικοὶ καὶ ἐνθουσιῶντες; ταῦτάσε εἰκάζειν ἐδίδαξαν ἡ καινή σου φιλοσοφία, καὶ τῆς ἐπιστημονικῆσσου ἐπικρίσεως οἱ κανόνες;

Πράξ. 13. 26.

Μάρ. 16. 20.

1. Κορ. 9. 16.

„Οὗτοι, ἐπάγει, (οἱ συνόμιλοι) διεσπάρησαν ἐν τῇ τῶν Ῥω„μαίων Αὐτοκρατορίᾳ, ὅπου δεκτὴ ἦν πᾶσα θρησκεία ἑκατὸν δια„φόρων λαῶν. ἐξ ἀρχῆς δὲ ἐν τοῖς πένησιν ὁ χριστιανισμὸς ἐστη„ρίχθη· ὅστις ἦν ὁμήγυρις τεθεμελιωμένη ἐπὶ τῆς μεταξὺ τῶν „ἀνθρώπων καταρκτικῆς ἰσότητος, καὶ τῆς κατὰ τοὺς Ἑσταίους καὶ „Θεραπευτὰς ἀπαλλοτριώσεως, οὓς οἱ πρῶτοι ὁπαδοὶ τοῦ Ἰησοῦ ἐ„μιμήσαντο.

Ἐν μόνῃ τῇ τῶν Ῥωμαίων Αὐτοκρατορίᾳ; ἀλλ' ἐκ τῆς ἱστορίας δῆλον, ὅτι οὐ μόνον ἐν τῇ τῶν Ῥωμαίων Αὐτοκρατορίᾳ διεσπάρησαν οἱ θεῖοι Ἀπόστολοι, ἀλλὰ καὶ ἐν ἑτέραις Βασιλείαιστε καὶ Αὐτοκρατορίαις, μακρὰν ἀπὸ τῆς τῶν Ῥωμαίων ἀπεχούσαις. ἄκουσον τοῦ Εὐσεβίου, τοὺς λοιποὺς ἱστορικοὺς παραλείπω· „Τῶν δὲ ἱερῶν τοῦ Σωτῆρος ἡμῶν Ἀποστόλωντε καὶ μαθητῶν ἐφ' ἅπασαν κα„τασπαρέντων τὴν οἰκουμένην, Θωμᾶς μὲν, ὡς ἡ παράδοσις περιέχει, τὴν Παρθίαν εἴληχεν, Ἀνδρέας δὲ τὴν Σκυθίαν, κτ. Ποῖαι δὲ ἦσαν τότε αἱ θρησκεῖαι τῶν ἑκατὸν διαφόρων λαῶν, αἱ τοῖς Ῥωμαίοις δεκταί; πλὴν τῆς Ἰουδαικῆς, ἧς οἱ Ῥωμαῖοι ἠνέσχοντο

Εὐσ. β. 3. κ. 1. ἱστορ.

διὰ τὸ τοὺς Ἰουδαίους ὑπηκόους αὐτῶν εἶναι, ἢ παρέβλεπον, εὐτελῆ καὶ οὐδαμινὴν νομίζοντες, οὐδεμία ἄλλη ἦν, εἰ μὴ ἡ πολύθεος εἰδωλική. ἐντεῦθεν πᾶν εἴδωλον, καὶ πᾶς εἰδωλολάτρης λαὸς δεκτὸς ἦν τοῖς τότε Ῥωμαίοις. ἡ δὲ χριστιανικὴ θρησκεία οὐ δεκτὴ αὐτοῖς, ἀλλ' ἀπαράδεκτος, καὶ ἀπηνῶς τε καὶ ἀπανθρώπως διωκομένη. μαρτυροῦσι περὶ τούτου αἱ ὑπὲρ τοῦ χριστιανισμοῦ ἀπολογίαι Ἰουστίνου καὶ Ἀθηναγόρου, καὶ τὸ αἷμα τοῦ πλήθους τῶν μαρτύρων, καὶ ὁ ἐν Ῥώμῃ θάνατος τῶν πρωτοκηρύκων Πέτρου καὶ Παύλου, κἂν εἴτικεν, ἄνευτινὸς ἀποδείξεως, ψευδηγορεῖ ὁ παμφλύαρος, δεκτὴν πᾶσαν θρησκείαν παρὰ Ῥωμαίοις, ὡς ἐκ ψευδοτρίποδος ἀποφαινόμενος κατὰ τῆς ὑπὸ τῶν πραγμάτων κηρυττομένης ἀληθείας. χάρις δὲ αὐτῷ ὁμολογήσαντι, ὅτι ἐξ ἀρχῆς ἐν τοῖς πένησιν ὁ χριστιανισμὸς ἐκηρύχθη. χρεὼν δὲ αὐτῷ δεῖξαι, ἐν ποίᾳ δυνάμει οἱ πένητες τοὺς πλουσίους ὑπέταξαν, καὶ οἱ ἄσοφοι τοὺς σοφοὺς, καὶ οἱ ἀδύνατοι τοὺς δυνάστας. ἀλλ' ἰστέον αὐτῷ, ὅτι κἂν οἱ κήρυκες τῆς πίστεως, οἱ πανταχοῦ κατασπαρέντες, πένητες ἦσαν, ἐξ ἀρχῆς ὅμως, καὶ ἐκ πρώτης τοῦ χριστιανισμοῦ βαλβίδος, καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς τὸν Ἰησοῦν, διδάσκοντα καὶ θαυματουργοῦντα αὐτὸν ἰδόντες.

Ἰωάν. 12. 42.

Τοὺς δὲ Ἐσσηνοὺς, ἢ Ἐσσαίους, ἢ Ἰεσσαίους, τοὺς αὐτοὺς καὶ Θεραπευτὰς εἶναι φησὶν ὁ Ἐπιφάνιος. ὅπερ καὶ ἐκ τῶν τοῦ Φίλωνος ῥημάτων συνάγεται, τοὺς μὲν Ἐσσαίους πρακτικοὺς, τοὺς δὲ Θεραπευτὰς θεωρητικοὺς καλοῦντος. „Ἐσσαίων γάρφησι πέρι διαλεφθεὶς, „οἱ τὸν πρακτικὸν διεζήλωσαν καὶ διεπόνησαν βίον ἐν ἅπασιν, ἢ, „τὸ γοῦν φορητότερον εἰπεῖν, τοῖς πλείστοις μέρεσι διενεγκόντες, „αὐτίκα καὶ τῶν θεωρίαν ἀσπασαμένων, ἀκολουθίᾳ, τῆς πραγματείας ἑπόμενος, τὰ προσήκοντα λέξω. Ταῦτα δὲ εἰπὼν ὁ Φίλων πάντα ἐφεξῆς τὰ τῶν Θεραπευτῶν ἐκτίθησιν. ἐξ ὧν δὲ αὐτός τε καὶ ὁ Ἰώσηπος περὶ Ἐσσαίων καὶ Θεραπευτῶν ἱστοροῦσιν, εἴτουν ἀπαλλοτριώσεως κόσμου, καὶ παρθενίας, καὶ κοινοῦ βίου, καὶ συνεχῶν εὐχῶν, καὶ βιβλίων μελέτης, καὶ ἀλληγορικῶν ἑρμηνειῶν, καὶ τῶν ἄλλων, δῆλον, ὅτι οἱ Ἐσσαῖοι καὶ οἱ Θεραπευταὶ τῆς εὐαγγελικῆς φωνῆς ἦσαν ἀκροαταὶ, καὶ πρῶτοι τοῦ χριστιανισμοῦ μοναστάι. οὐδὲν δὲ θαυμαστὸν, εἴπερ ἔτι τὰ σάββατα ἐτήρουν τὸν Μωϋσέα σεβόμενοι, ἐξ Ἑβραίων, ὡς ἔοικε, καταγόμενοι. πολλοὶ γὰρ ἐκ τῶν κατ' ἀρχὰς εἰς Χριστὸν πιστευσάντων Ἰουδαίων, ἀκμὴν ἰουδαίζοντες, περιτέμνεσθαι ἤθελον, καὶ σάββατα τηρεῖν, καὶ ἄλλα ἰουδαϊκὰ ἔθη. τοὺς δὲ Ἐσσαίους καὶ Θεραπευτὰς χριστιανοὺς ὑπάρξαι ἡγοῦνται ὁ Εὐσέβιος, ὁ Σωζόμενος, ὁ Ἐπιφάνιος, καὶ ὁ Κασιανός. τούτου οὖν κειμένου, ὅπερ

Ἐπιφ. Αἱρ. 29.

Φίλ. ἐντῷ περὶ βιουθεωρητ.

Ἰωσ. β. 2. κ. 12. περὶ Ἰουδι πολ.

Εὐσ. β. 2. κ. 17. ἱστορ.

καὶ

ἢ ἀληθὲς ἐστι, κἂν τινες τῶν νεωτέρων (ὅρα τὸ τῆς Γραφ. λεξ. τῦ Καλμ. ἐς τὸ Θεραπόδ.) ἀπαρέσκωνται, τὸ ἐναντίον ἔπεσθαι τῦ ὅπερ ὁ Βολτέρος εἴρηκεν. ὁ γὰρ οἱ ὀπαδοὶ τῦ Ἰησῦ Χριςῦ τὰς Ἐσταίας ἢ Θεραπόδας ἐμιμήσαντο, ἀλλ' οἱ Ἐσταῖοι ἢ Θεραπόδαι τὰς τῦ Ἰησῦ Χριςῦ. Ἀκόσωμεν ἢ τὰ λοιπά.

„Ὅσον δὲ ἡ ὁμήγυρις αὕτη ἐφηπλῶτο, τοσῦτον διεφθείρετο. „ἡ φύσις ἀνελάμβανε τὰ δικαιώματα αὐτῆς. οἱ χριςιανοὶ μὴ συγ- „χωρέμενοι προβιβασθῆναι εἰς τὰ τῆς Αὐτοκρατορίας ἀξιώματα, „προσήλωσαν ἑαυτὰς τῇ ἐμπορίᾳ ὥσπερ ποιῦσι τὴν σήμερον ἐν τῇ „Εὐρώπῃ πάντες οἱ ἑτερόδοξοι. θησαυρὰς δὲ κτησάμενοι τῷ τῦ „Κωνσταντίνυ πατρὶ ἐδάνεισαν. τὰ ἑξῆς δῆλα.

Σωζ. β. 1. κ. 12. ἰσορ. Ἐπιφ. Αἰρ. 29. Ἱερ. κ. 8. περὶ ἐπισ. ὀνδρ. Κασ. β. 2. κ. 5. τῶν ὑποθηκ

Σημέωσον τὸν παραλογισμόν. ὅσον ἐφηπλῶτο, ἔτυν ὅσον ἠυξανεν ἡ χριςιανικὴ ὁμήγυρις, τοσῦτον διεφθείρετο. κατ' αὐτὸν ἄρα ἡ τῦ χριςιανισμῦ αὔξησις ἦν τῦ χριςιανισμῦ διαφθορά. σημέωσον ἢ τὴν ἀντίφασιν. πρὸ μικρῦ μὲν εἴρηκεν, ὅτι ὁ χριςιανισμὸς τεθεμελιωμένος ἦν ἐπὶ τῆς μεταξὺ τῶν ἀνθρώπων καταρκτικῆς ἰσότητος. δῆλον δὲ, ὅτι ἡ καταρκτικὴ ἰσότης δικαίωμά ἐστι τῆς Φύσεως. νῦν δὲ λέγει. ὁ χριςιανισμὸς διεφθείρετο, ἡ Φύσις ἀνελάμβανε τὰ δικαιώματα αὐτῆς. κατ' αὐτὸν ἄρα ὁ χριςιανισμὸς ἢ θεμέλιον ἔχει τὰ τῆς Φύσεως δικαιώματα, ἢ διεφθείρει αὐτά. εἰ γὰρ τῇ τῦ χριςιανισμῦ φθορᾷ, ἡ Φύσις ἀνελάμβανε τὰ δικαιώματα αὐτῆς, δῆλον ὅτι ὁ χριςιανισμὸς ἦν ὁ τῶν δικαιωμάτων αὐτῆς φθορεύς. ἀλλὰ ἢ δευτέραν ὅρα ἀντίφασιν· ἀνωτέρω εἴρηκεν, ὅτι ἐν τῇ Ῥωμαίων Αὐτοκρατορίᾳ δεκτὴ ἦν πᾶσα θρησκεία, νῦν δὲ ὡσπερεὶ τῦτο ἐπιλαθόμενος, λέγει· οἱ χριςιανοὶ ὐκ ἐσυγχωρῶντο προβιβασθῆναι εἰς τὰ ἀξιώματα. ἀλλὰ διατὶ ὐκ ἐσυγχωρῶντο; διότι ἐθίωκον αὐτὰς οἱ κρατῦντες, ἐδήμοσιον τὰς τῦτων περιυσίας, παρεδίδοσαν αὐτὰς εἰς ποινὰς ἀνηκέστυς, ἢ ἀπηνέσατον θάνατον. ὅτοι ὖν, ὡς αὐτὸς διδάσκει, οἱ διωκόμενοι, ἢ δημευόμενοι, ἢ ἐν ασηλαίοις ἢ ὄρεσι, ἢ ταῖς ὀπαῖς τῆς γῆς κρυπτόμενοι διὰ τῆς ἐμπορίας ἐκτήσαντο θησαυρὰς, εἰς τῶ τῦ Κωνσταντίνυ πατρὶ ἐδάνεισαν. ἀλλὰ τὶς ἂν τῇ διδασκαλίᾳ ταύτῃ πειθάνη; παρατηρητον δὲ ἢ τὴν διακριτικὴν αὐτῦ παράθεσιν. τὰς καθ' ἡμᾶς ἡμερωτάτας Βασιλᾶς τῆς Εὐρώπης, τὰς τῶν ἑτεροδοξύντων ἀνεχομένας, τοῖς τῦ τότε καιρῦ ἀπηνεσάτοις διώκταις τῆς χριςιανικῆς πίςεως παραβάλλει. „Τὰ ἑξῆς, φησὶ, δῆλα.

Δῆλα πάντως, ἢ πασίδηλα. ὁ μὲν τῦ Κωνσταντίνυ πατὴρ, ὦ, σὺ λέγεις, ὅτι οἱ διὰ τῆς ἐμπορίας θησαυρὰς κτησάμενοι χρι-

ςιανοὶ ἐδάνεισαν, τὴν εἰς Χριςὸν πίςιν ȣ̓κ ἐδέξατο· ὁ δὲ ὑῖος αὐτȣ̃, ὁ Κωνςαντῖνος διὰ τȣ̃ ἐν ȣ̓ρανῷ φανέντος αὐτῷ τȣ̃ ςαυρȣ̃ σημείȣ εἰς Χριςὸν πιςεύσας, τὴν πίςιν ἐκράτυνε. ταῦτά εἰσι τὰ δῆλα ϗ ἐμφανέςατα, ὡς ἱςορηθέντα, ϗ μαρτυρηθέντα, ϗ ὑπ' αὐτῶν τῶν πραγμάτων ἐπικυρωθέντα. τὰ δὲ κατὰ σὲ δῆλα, ἅπερ ȣ̓δὲ σὺ αὐτὸς εἰπεῖν ἐτόλμησας, ἄδηλά εἰσιν, εἴπερ εἰσὶ, ϗ ἀφανῆ, ϗ ἀμάρτυρα, ϗ ψευδῆ, ϗ ὑπὸ τῶν ὁμοίων σοι ἐπιπλασθέντα.

„Αἱ θανατηφόροι τȣ́των (τῶν χριςιανῶν) ἔρεις ὑπὲρ μεταφυσικῶν χιμαιρῶν ἐπὶ πολλῷ ἐτάραξαν πᾶσαν τὴν τῶν Ῥωμαίων Αὐτοκρατορίαν.

Τίνες εἰὶν αἱ μεταφυσικαὶ χίμαιραι; τὰ περὶ πίςεως ζητήματα ȣ̓τω καλεῖν τοῖς ἀπίςοις φίλον. τίνες δὲ οἱ τὰς θανατηφόρȣς ἔρεις προβάλλοντες; οἱ ὀρθόδοξοι, ἢ οἱ αἱρετικοὶ, ϗ οἱ ἄπιςοι; τίς ἐςιν ὁ προτείνας τῆς προκειμένης χιμαίρας, τῆς πολλὰς ἀνθρώπων ψυχὰς εἰς τὸν τῆς ἀσεβείας βυθὸν καταποντησάσης, τὴν ἔριδα; ὁ ἄπιςος ὁ Βολτέρος. οἱ εὐσεβεῖς ϗ ὀρθόδοξοι κατὰ
Tir. 3. 9. τὴν ἀποςολικὴν ἐντολὴν ȣ̓δέποτε ἔρεις πρȣ̃τεινον, ὑπὸ δὲ τῶν τὴν ἀλήθειαν πολεμȣ́ντων ἀναγκαζόμενοι, ἀπεκρίνοντο, τῆς εὐσεβείας ὑπερασπιζόμενοι. οἱ ȣ̓ν ταραξίαι πάσης, ὡς αὐτός φησι, τῆς τῶν Ῥωμαίων Αὐτοκρατορίας ȣ̓κ ἦσαν οἱ τὸν λόγον τῆς ἀληθείας πρεσβεύοντες, ϗ τὴν εἰρήνην ϗ ὁμόνοιαν ἔργωτε ϗ λόγῳ διδάσκοντες, ἀλλ' οἱ τῇ πλάνῃ τȣ̃ νοὸς αὐτῶν ἑπόμενοι, ϗ τὰ σκάνδαλα σπείροντες, ϗ τῶν εὐσεβῶν ἑαυτȣ̀ς σχίζοντες. δῆλον τȣ̃το παντὶ τῷ τὰς ἐκκλησιαςικὰς ἱςορίας ἐμφρόνωςτε ϗ εὐςόχως ἀναγινώσκοντι. ἐβȣ́λετο δὲ ὁ φιλοδίκαιος ȣ̓τος, ὡς ἔοικε, τȣ̀ς εὐσεβεῖς ἀλάλȣς γενομένȣς, καταλιπεῖν τὸν μὲν ἀπατηλῶς πεῖσαι, ὅτι ὁ ὑῖος ϗ λόγος ἑτεροȣ́σιός ἐςι τῷ Πατρί. τὸν δὲ, ὅτι τὸ πανάγιον Πνεῦμά ἐςι κτίσμα. τὸν δὲ, ὅτι δυαρχία τὸ πᾶν κρατεῖ, ϗ ἡ μὲν τῶν καλῶν, ἡ δὲ τῶν κακῶν ἐςὶ χορηγός. τὸν δὲ, ὅτι περιφρονῆσαι δεῖ τὴν εἰς τὸν ἕνα ἀληθινὸν Θεὸν πίςιν, λατρεύειν δὲ τοῖς ξοάνοις· αὐτὸν δὲ, διὰ τῆς ψευδολογίας ϗ τῶν λήρων ὑποσκελίζειν τȣ̀ς ἀφελεςέρȣς.

„Τελευταῖον, φησὶν, ἡ θρησκεία αὕτη ἐκδιωχθεῖσα τῆς Ἀνατολῆς, ὅπȣ ἐγεννήθη, κατέφυγεν ἐπὶ τὴν Δύσιν, ἣν τῷ τε ἰδίῳ, ϗ τῷ τῶν λαῶν αὐτῆς αἵματι ἐπέκλυσε.

Βλέπε πρὸς Θεȣ̃ τὸ ἀναίσχυντον ψεῦδος. ἡ χριςιανικὴ θρησκεία, ἡ ἐν τῇ ἀνατολῇ γεννηθεῖσα, ϗ κατὰ ἀδιάκοπον συνέχειαν ἐκεῖ διαμείνασα ἄχρι τῆς σήμερον, ἐκδιωχθεῖσα, φησὶ, τῆς ἀνατολῆς,

τολῆς, κατέφυγεν ἐπὶ τὴν δύσιν. ἀλλὰ πότε ἔμεινεν ἡ ἀνατολὴ ἄμοιρος τῆς χριστιανικῆς θρησκείας; σημείωσον καὶ τὴν ἀδίκου συκοφαντίαν· ὅπερ ἐποίησεν ἡ τῶν αἱρετικῶν κακία, πεισμονήντων, καὶ παντοίοις ἀθεμίτοις τρόποις φατριαζὰς ποιῆσαι θελόντων, τῇ ἁγιωτάτῃ ἀποστόλων ἐκκλησίᾳ πίστει, τῇ διδασκούσῃ προφανῶς „τὸ, Εἴτις θέλει ὀπίσω μου ἐλθεῖν. καὶ τὸ, ὅταν διώκωσιν ὑμᾶς ἐν Matth. 5. 44.
„τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην· ⸗ τὸ, Μάθετε ἀπ' ἐ- Matth. 10. 23.
„μοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ τὸ, Ἐν τούτῳ γνώ- Matth. 11. 29.
„σονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. καὶ Ἰωάν. 13. 35.
τὸ, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. Matth. 5. 44.

„Κατελέφθη δὲ ἐν ταῖς χερσὶ τῶν ἀρχιποντιφίκων αὐτῶν „ἡ δρόσος τοῦ οὐρανοῦ, καὶ ἡ πιότης τῆς γῆς. ἀπολαβέτωσαν ὅτοι τύ„των διαπαντὸς ἐν εἰρήνῃ, ἀλλὰ δεξάτωσαν σπλάγχνα οἰκτιρμῶν „ἐπὶ τοὺς δυσχυνίας, μηδέποτε δυσχερεῖς ποιοῦντες. μὴ ἔστω δὲ ὁ „τῆς ἰδιώτου ταύτης ὁμηγύρεως, τῆς καὶ κυριάρχου θρησκείας κα„θαιρεθείσης αὐτῇ, ἀρχηγὸς Ἰησοῦς, ὁ πένης καὶ γεννηθεὶς, καὶ „θανών· θυγάτηρμου, ἀνομοίαν σεαυτὴν δεικνύεις τῷ πατρί σου.

Εἰς τίνα τὰ ῥήματα ταῦτα ἀφορᾷ, δῆλον. διὸ δὴ αὐτῷ ἀπαντῆσαι καθήκει.

Εἰς τὰ λοιπὰ τῆς νέας Διαθ. βιβλία.

Σημ. 24. Τῶν δὲ ἀντιλεγομένων, γνωρίμων δ' ὅμως τοῖς πολλοῖς. ταῦτα ὁ Εὐσέβιος ἐν β. 3. κ. 3. τῆς ἐκκλ. ἱστορ. τὰ αὐτὰ δὲ αὐταῖς λέξεσι καὶ ἐν κ. 25. τοῦ αὐτοῦ βιβλ.

Σημ. 25. Τὴν πρὸς Ἑβραίους μὴ συναριθμήσας ταῖς λοιπαῖς, (ὁ „λογιώτατος Γάιος) ἐπεὶ καὶ ἐς δεῦρο παρὰ Ῥωμαίοις τισὶν οὐ νο„μίζεται τοῦ Ἀποστόλου τυγχάνειν. Εὐσέβιος ἐν β. 6. κ. 20. τῆς ἐκκλ. ἱστορ.

Σημ. 26. Καὶ τοῦ Κλήμεντος ἐν τῇ ἀνωμολογουμένῃ παρὰ πᾶσιν, „ἣν ἐκ προσώπου τῆς Ῥωμαίων Ἐκκλησίας τῇ Κορινθίων διετυπώ„σατο. ἐν ᾗ τῆς πρὸς Ἑβραίους πολλὰ νοήματα παραθεὶς, ἤδη δὲ „καὶ αὐτολεξεὶ ῥητοῖς τισὶν ἐξ αὐτῆς χρησάμενος, σαφέστατα πα„ρίστησιν, ὅτι μὴ νέον ὑπάρχει τὸ σύγγραμμα. ὅθεν εἰκότως ἔ„δοξεν αὐτὸ τοῖς λοιποῖς ἐγκαταλεχθῆναι γράμμασι τοῦ Ἀποστό„λου. Ἑβραίοις γὰρ διὰ τῆς πατρίου γλώττης ἐγγράφως ὁμιλήσαν„τος τοῦ Παύλου, οἱ μὲν τὸν Εὐαγγελιστὴν Λουκᾶν, οἱ δὲ τὸν „Κλήμεντα τοῦτον αὐτὸν ἑρμηνεῦσαι λέγουσι τὴν γραφήν. ὃ καὶ

μᾶλλον

„μᾶλλον εἴη ἂν ἀληθὲς, τῷ τὸν ὅμοιον τῆς Φράσεως χαρακτῆρα „τήντε τῆ Κλήμεντ@ ἐπιστολὴν, ϗ τὴν πρ@ Ἑβραίϐς ἀποσώ„ζειν. ϗ τῷ μὴ πόρρω τὰ ἐν ἑκατέροις τοῖς συγγράμμασι νοήμα„τα καθεζάναι. ὁ Αὐτ. Εὐσ. ἐν β. 3. κ. 38. τῆς ἱστορ.

Σημ. 27. „Ἔτι πρ@ τούτοις περὶ τῆς πρ@ Ἑβραίϐς ἐπιστολῆς ἐν „ταῖς εἰς αὐτὴν ὁμιλίαις ταῦτα διαλαμβάνει, (ὁ Ὠριγένης) ὅτι ὁ „χαρακτὴρ τῆς λέξεως τῆς πρ@ Ἑβραίϐς ἐπιγεγραμμένης ἐπι„στολῆς οὐκ ἔχει τὸ ἐν λόγῳ ἰδιωτικὸν τῆ Ἀποστόλῳ, ὁμολογήσαν„τ@ ἑαυτὸν ἰδιώτην εἶναι τῷ λόγῳ, τυτέστι τῇ Φράσει. ἀλλ' ἔ„στιν ἡ ἐπιστολὴ συνθέσει τῆς λέξεως ἑλληνικωτέρα. πᾶς ὁ ἐπισά„μεν@ κρίνειν Φράσεων διαφορὰς ὁμολογῆσαι ἂν. πάλιντε αὖ, ὅ„τι τὰ νοήματα τῆς ἐπιστολῆς θαυμάσιά ἐστι, ϗ ὁ δεύτερα τῶν ἀ„ποστολικῶν ὁμολογουμένων γραμμάτων. ϗ τοῦτο ἂν συμφωνῆσαι εἶναι ἀληθὲς πᾶς ὁ προσέχων τῇ ἀναγνώσει τῇ ἀποστολικῇ. Τού„τοις μεθ' ἕτερα ἐπιφέρει, λέγων· „Ἐγὼ δὲ ἀποφαινόμεν@ εἰ„ποιμι ἄν, ὅτι τὰ μὲν νοήματα τοῦ Ἀποστόλου ἐστίν· ἡ δὲ Φράσις „ϗ ἡ σύνθεσις, ἀπομνημονεύσαντός τιν@ τὰ ἀποστολικὰ, ϗ ὡ„σπερεὶ χολιγραφήσαντ@ τὰ εἰρημένα ὑπὸ τοῦ διδασκάλου. εἴτις „ἂν Ἐκκλησία ἔχει ταύτην τὴν ἐπιστολὴν ὡς Παύλου, αὕτη εὐδο„κιμείτω ϗ ἐπὶ τούτῳ. ὁ γὰρ εἰκῇ οἱ ἀρχαῖοι ἄνδρες ὡς Παύλου αὐ„τὴν παραδεδώκασι. τὶς δὲ ὁ γράψας τὴν ἐπιστολὴν, τὸ μὲν ἀλη„θὲς Θεὸς οἶδεν· ἡ δὲ εἰς ἡμᾶς φθάσασα ἱστορία, ὑπότινων μὲν „λεγόντων, ὅτι ὁ Κλήμης ὁ γενόμεν@ ἐπίσκοπ@ Ῥωμαίων ἔγρα„ψε τὴν ἐπιστολήν· ὑπό τινων δὲ, ὅτι ὁ Λουκᾶς ὁ γράψας τὸ „Εὐαγγέλιον ϗ τὰς Πράξεις. Καὶ ταῦτα παρ' Εὐσεβ. ἐν β. 6. κ. 25. τῆς ἱστορ.

Σημ. 28. Δομετιανὸς μετὰ Νέρωνα δεύτερος χριστιανὸς ἐδίωξεν. „ἐπὶ αὐτοῦ δὲ ϗ ὁ Ἀπόστολος Ἰωάννης εἰς Πάτμον ἐξορίζε@, ὄνθα „τὴν ἀποκάλυψιν ἑώρακεν ὡς δηλοῖ Εἰρηναῖος. ταῦτα ὁ Εὐσέβιος, (ἐν σ. 267 τοῦ ἐν Ἀμσελ. ἔτ. 1658 ἐκδοθ. χρονικῶ) μηδὲν δὲ περὶ διερμηνεύθεισης ὑπὸ Εἰρηναίου Ἀποκαλύψεως.

ΕΙΣ ΤΟ Α'. ΚΑΙ Β'. ΒΙΒΛ. ΤΩΝ ΜΑΚΚΑΒ.

Σημ. 29. „Οὐ μυριάδες βιβλίων εἰσὶ παρ' ἡμῖν ἀσυμφώνων ϗ μαχο„μένων. δύω δὲ μόνα πρὸς τοῖς εἴκοσι βιβλία τοῦ παντὸς ἐχόντα χρό„νου τὴν ἀναγραφὴν, τὰ δικαίως πεπισθμένα ..... Ἀπὸ δὲ Ἀρ„ταξέρξου μέχρι τοῦ καθ' ἡμᾶς χρόνου γέγραπ@ μὲν ἕκαστα, πίστεως

δὲ

„δὲ ὐχ ὁμοίας ἠξίω) τοῖς πρὸ ἑαυτῶν, διὰ τὸ μὴ γενέσθαι τὴν τῶν „Προφητῶν ἀκριβῆ διαδοχήν. Ἰώσ. ἐν τῷ 1. κατὰ Ἀπίων λόγ.

Σημ. 30. Τοῦτο ἐν τῷ ἑλληνικῷ τοῦ Ἰωσήπου ὕφα (τῆς κατὰ τὸ 1691. ἔτος ἐν Κολον. ἐκδ.) ὡ κεῖ). ὁ Ῥοτεροδάμος δὲ ἐν τῇ λατινικῇ αὐτοῦ μεταφράσει, εἴτε παραφράσει προσέθηκε.

Σημ. 31. Ῥᾷον, ἔφοι ἄντις, τὸ ἁπαντᾶν ταῖς τοιαύταις ἐνστάσεσι, σφάλματα τῶν τὰ ἱερὰ βιβλία μεταγραψάντων εἶναι λέγοντας. ἀλλ' ὅσον ῥᾷον, τοσοῦτον ἢ ἀσθενὲς, κᾆν πάνυ προσφυὴς ἡ τοῦ προτεινομένου σφάλματος ἐπανόρθωσις. τὶς δὲ ἡ ἀνάγκη καταφεύγειν ἐπὶ τὰ σφάλματα, ἢ τὴν τούτων ἐπανόρθωσιν, ὅπου λόγος πρόκειται τὴν ἀπορίαν λύων ἀποχρώντως ἢ πέφυκεν; ὁ τοῦ πρώτου τῶν Μακκαβαίων βιβλίου συγγραφεὺς ἀρχόμενος τῆς περὶ τῶν Ῥωμαίων διηγήσεως, φησί· Καὶ ἤκουσεν Ἰούδας τὸ ὄνομα τῶν Ῥωμαίων, ὅτι εἰσὶ δυνατοὶ ἰσχύι κτ. ὅσα δὲ περὶ τῶν Ῥωμαίων ἱστορεῖ, πάντα εἰς τὸ ἤκουσεν ἀνάγει), ἢ αὐτὰ δὴ τὰ ῥήματα, περὶ ὧν ὁ λόγος· Ἔ- „λαβον αὐτὸν ζῶντα, ἢ ἔσησαν αὐτοῖς δίδοναι αὐτόν τε ἢ τοὺς βα- „σιλεύοντας μετ' αὐτὸν φόρον μέγαν, δίδοναι ὅμηρα ἢ διαζολήν, „ἢ χώραν τὴν Ἰνδικὴν, ἢ Μηδέαν, ἢ Λυδίαν, κτ. Οὐδὲν ἂν παράδοξον, μᾶλλον δὲ σύνηθες, ἄλλα εἶναι τὰ πράγματα, ἢ ἄλλα τὰ ἀκουόμενα. διὰ τοῦτο ἂν ὁ τοῦ βιβλίου τῶν Μακκαβαίων συγγραφεὺς ὐκ εἶπεν, ἠπίστατο, ἢ ἔγνω, ἢ κᾆν γοῦν, ἔφη ὁ Ἰούδας, ἀλλ' ἤκουσεν ὁ Ἰούδας, δηλῶν διὰ τοῦ, ἤκουσεν, ὅτι οὐδὲ ὁ Ἰούδας, οὐδὲ αὐτὸς ὁ τὰ ἀκουσθέντα τῷ Ἰούδα, γράφων, ὡς βέβαια ἢ ἀναντίῤῥητα, ἀλλ' ὡς ἀκουσιαθέντα προτίθησιν. οὐδὲ ὁ Ἰούδας ἂν ἐψεύσθη, εἰπὼν ἀκοῦσαι, τὴν Ἰνδικὴν χώραν, τὴν μηδέποτε ὑπὸ τὴν τῶν Ῥωμαίων ἀρχὴν ὑπάρξασαν, ἢ τὴν Μηδέαν, τὴν μήπω τότε ὑπ' αὐτῶν ἐξουσιασθεῖσαν, δοθῆναι ὑπὸ τοῦ Ἀντιόχου τῇ τούτων ἐξουσίᾳ, οὐδὲ δὴ ὁ γράψας ἅπερ ἤκουσεν ὁ Ἰούδας, ἀλλ' αὐτὸς, ὁ παρὼν ὁ Ἰούδας ταῦτα ἤκουσεν, ἤτοι ἁπλότητι ἀπατηθεὶς, ἢ μεγαλύναι θέλων τὰ περὶ τῶν Ῥωμαίων, ἵνα τὸν Ἰούδαν πάσῃ πρεσβείαν φιλίας πρὸς αὐτοὺς ἀποσεῖλαι, πρὸς ὑπεράσπισιν τοῦ γένους αὐτοῦ. ἕτερον δὲ ὐκ ἀπεικότως λόγον προβάλλεται ὁ Καλμέτος. (ἐν τοῖς ὑπομν. τοῦ 8. κεφ. τοῦ 1. βιβ. τῶν Μακκαβ.) „Τὸ τῶν Ἰνδῶν ὄνομα, φησὶ, τοῖς παλαιοῖς ὐχ ἧττον ἢ „ἡμῖν ἀβέβαιόν τε ἢ ἀκατάσατον. οὐ μόνον δὲ οἱ μεταξὺ τοῦ Γάγγου ἢ „Ἰνδοῦ, Ἰνδοὶ προσηγορεύοντο, ἀλλὰ ἢ οἱ Αἰθίοπες, οἵτε κατὰ δύσ- „μας ἢ ἀνατολὰς τοῦ ἐρυθραίου, ἢ οἱ κατὰ τὴν μεσόγειον, Λίβυες, „Λίγύ-

I. Μακκ. 8. 1, 2.

„Αἰγύπτιοι, Ἄραβες, Παλαιστινοί. πάντες δὲ οὗτοι ἐκ τῶν Ἰνδῶν „κατάγεσθαι ἐνομίζοντο. οὐδὲν οὖν παράδοξον, εἴπερ οἱ Ἑβραῖοι Ἰν„δοὺς προσηγόρευσαν τοὺς τῆς ἐλάσσονος Ἀσίας λαοὺς, ὧν ὁ Ἀντίο„χος ἀπέστη, ἢ ὧν ὁ Μάνλιος τῷ Βόλσῳ ἐν τῇ Γαλατίᾳ παρε„χώρησε.

Σημ. 32. Οὐκ Ἀρέσιον, ἀλλ' Ἄρειον καλεῖ αὐτὸν ὁ Ἰώσηπος ἐν κεφ. 4, καὶ 5. τοῦ 12. βιβλίου τῆς Ἰουδ. ἀρχ. Σημείωσαι δὲ, ὅτι ἐν τῇ ἑλληνικῇ ἐκδόσει τοῦ πρώτου τῶν Μακκαβαίων βιβλίου ἐν κεφ. 12. ἐδ. 20. ἀντὶ τοῦ Ὀνιάρης, γραπτέον, Ὀρίᾳ Ἄρης. οὕτω δὲ ὁ λόγος πείθει, καὶ ἔντισι χειρογράφοις κεῖται, ὡς μαρτυρεῖ ὁ Δρούσιος. (ἐν τοῖς εἰς τὸ 12. κεφ. τοῦ 1. βιβ. τῶν Μακκαβ, ὑπομν. τοῖς συνεκδοθ. τοῖς καλουμ. ἱερ. κριτικ.) γράφει δὲ καὶ ὁ Ἰώσηπος οὕτω.

Ἰώσ. β. 12. κ. 4, καὶ 5. Ἀρχ.

„Τελευτήσαντος δὲ καὶ τούτου, ὁ υἱὸς αὐτοῦ διάδοχος τῆς τιμῆς αὐ„τοῦ Ὀνίας γίνεται, πρὸς ὃν ὁ Λακεδαιμονίων Βασιλεὺς Ἄρειος „πρεσβείαντε ἔπεμπε καὶ ἐπιστολὰς, ὧν τὸ ἀντίγραφον ἔστι τοιοῦτον· „Βασιλεὺς Λακεδαιμονίων Ἄρειος Ὀνίᾳ χαίρειν.

Ἰώσ. β. 1. κ. 8. Ἀρχ.

Σημ. 33. Ἰδοὺ τὰ τοῦ Ἰωσήπου ῥήματα· Μνημονεύει δὲ τοῦ πατρὸς ἡ„μῶν Ἀβράμου Βηρωσσὸς, οὐκ ὀνομάζων, λέγων οὕτω. μετὰ τὸν κα„τακλυσμὸν δεκάτῃ γενεᾷ παρὰ Χαλδαίοις τις ἦν δίκαιος, ἀνὴρ „μέγας, καὶ τὰ οὐράνια ἔμπειρος. Ἑκάταιος δὲ, καὶ τοῦ μνησθῆναι „πλέον τι πεποίηκε. βιβλίον δὲ περὶ αὐτοῦ συνταξάμενος κατέ„λειπε. Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν „λέγει οὕτως· Ἀβράμης ἐβασίλευσε Δαμασκοῦ ἔπηλυς σὺν στρατῷ „ἀφιγμένος ἐκ τῆς γῆς τῆς ὑπὲρ Βαβυλῶνος Χαλδαίων λεγομέ„νης. μετ' οὐ πολὺν δὲ χρόνον μεταναστὰς καὶ ἀπὸ ταύτης τῆς χώ„ρας σὺν τῷ σφετέρῳ λαῷ, εἰς τὴν τότε μὲν Χαναναίαν λεγομέ„νην, νῦν δὲ Ἰουδαίαν μετώκησε, καὶ οἱ ἀπ' ἐκείνου πληθύναντες, πε„ρὶ ὧν ἐν ἑτέρῳ λόγῳ διέξειμι τὰ ἱστορούμενα. τοῦ δὲ Ἀβράμου ἔτι „καὶ νῦν ἐν τῇ Δαμασκηνῶν τὸ ὄνομα δοξάζεται, καὶ κώμη ἀπ' αὐτοῦ „δείκνυται, Ἀβράμου οἴκησις λεγομένη.

Σημ. 34. Ἔστι δὲ Μιλησίοις πρὸ τῆς πόλεως Λάδη νῆσος, ἀπερρώ„γασι δὲ ἀπ' αὐτῆς νησίδες, Ἀστερίου τὴν ἑτέραν ὀνομάζουσι, καὶ „τὸν Ἀστέριον ἐν αὐτῇ ταφῆναι λέγουσιν, εἶναι δὲ Ἀστέριον μὲν „Ἄνακτος, Ἄνακτα δὲ γῆς παῖδα. ἔχει δ' οὖν ὁ νεκρὸς οὐδέν τι „μεῖον πηχῶν δέκα. Παυσαν. Ἀττικ.

Σημ.

Σημ. 35. „Σπάρτη ἐκλίθη ὑπὸ] τῦ Σπάρτυ παιδὸς Φωρωνέως.„ ταῦτα ὅτως ἐν τῷ τῦ Εὐσεβίυ χρονικῷ σελ. 101. τῆς ἐν Λ'μφελοδ. ἐκδόσεως. ἐν δὲ σελ. 24. ταῦτα· „Βασιλεύει δὲ πρῶτος Ἴναχος „Λ'ργείων καὶ Θυρίμαχον, ὃς ἕβδομος ἦν τῆς Σικυωνίων ἀρχῆς. „δεύτερος Φωρωνεὺς, κτ.λ. Πόθεν δὲ ὁ συγγραφεὺς παρειλαβὼν ἔφη, τὸν Σπάρτον υἱὸν Ἰνάχυ, ὐκ οἶδα.

Σημ. 36. Ἐνταῦθα σημειοῖ ὁ συγγραφεὺς τὰ ἑξῆς. „Ο' Ἰώσηππος „Ἐν β. 13. κ. 9. τῆς Λ'ρχ.) ὑπεναντίως ἐκλαβὼν τὴν ἔννοιαν τῦ ὕ„φυς τῦ 1. βιβλίυ τῶν Μακκαβαίων, ἐφήλκυσε πρὸς τὸ ἑαυτῦ „σφάλμα πολλὰς ὑπομνηματισὰς, ἐν οἷς κ τὸν κύριον Καλμέτον.„ Περὶ ὧν ἰτέον, ὅτι ὁ μὲν Ἰώσηππος τὴν προσκειμένην ῥῆσιν ἐκφράζει ὅτως· „Οὐ δέομενοι τῆς τοιαύτης ἀποδείξεως, διὰ (τὸ) ἐκ „τῶν ἱερῶν ἡμῶν πεπεισθαι γραμμάτων. Μηδὲν περὶ τῆς συζητυμένης λέγων συγγενείας. ὁ δὲ Καλμέτος ὅτω· „Κἂν μὴ ἀναγκαία „ἡμῖν ἡ τῆς ἐπιστολῆς τῦ Λ'ρέυ ἀπόδειξις πρὸς τὸ γνωρίσαι τὴν „ἀμοιβαίαν μεταξὺ ἡμῶν συγγένειαν διὰ τὸ ἐκ τῶν ἱερῶν ἡμῶν πε„πεισθαι γραμμάτων·“ Εἶτα προσίθησι κ ταῦτα· „Οὕτως ἐχη„γῦσιν ὁ Ἰώσηπος, ὁ Σεράριος, κ ὁ Γρότιος.“ τῦτο δὲ πεθανότερον ἡμῖν δοκεῖ. Ἐκ τύτων δὲ ἦν δῆλον, ὅτι ὐχ ὁ Ἰώσηπος ὑπεναντίως ἐξέλαβε τῦ ὕφυς τὴν ἔννοιαν, ὡς ὁ συγγραφεὺς σημειοῖ, ἀλλ' ὁ Καλμέτος κ οἱ λοιποὶ, οἱ προσθέντες τοῖς τῦ Ἰωσήπυ ῥήμασι τὸ, „πρὸς τὸ γνωρίσαι τὴν ἀμοιβαίαν μεταξὺ ἡμῶν συγγένειαν. Ἰώσ. β. 13. κ. 9. Λ'ρχ. Καλμ. ν τως ὑπομν. εἰς τὸ αὐτὸ ῥητ.

Σημ. 37. Ἔκειτο, φασὶν, ὁ Ταλάνταος ἐπὶ κλίνης ἀνιάτως πάσχων, κ τὴν ἐπὶ θάνατον βαδίζων. Τινὲς δὲ τῶν συνήθων αὐτῷ ἐλπίσαντες εἰς μετάνοιαν αὐτὸν ἀνακαλέσασθαι, βυλὴν ἐβυλεύσαντο προσκαλέσαι τινὰ τῶν παρ' αὐτοῖς ἱερέων, τελεσιυργὸν τῦ ἔργυ. προσεκαλέσαντο δὲ τὸν Λ'βᾶν Βονέτο, ἄνδρα, ὡς φασιν, αἰδέσιμον, λόγιον, τοῖς τοιοῖσδε ἔργοις γεγηρακότα ἤδη κ πάνυ τελειμμένον, κ πρὸς τὸ ταῖς εἰσηγήσεσι κ ὑποβήκαις κ τὰς λίαν σκληροκαρδίας μαλάξαιτε κ πεῖσαι, κ ἀπὸ τῆς ὁδῦ τῆς πλάνης αὐτῶν ἐπιστρέψαι πάνυ ἐπιτήδειον. ἐλθὼν δὲ ὁ Βονέτο, κ τῇ τῦ παναθλίυ κλίνῃ παραστὰς, λογιώτατα συμβυλεύειν αὐτῷ ἤρξατο. ὁ δὲ ἐνατενίσας πρὸς αὐτὸν, ἔφη· σὺ μὲν εἶ Βονέτο, (Βονέτο σημαίνει τὴν ἐκ τριχῶν τῆς κεφαλῆς καλύπτραν, εἴτυν parrucca) ἐγὼ δὲ ὥσπερ ἄνθ χιτῶνος γεγέννημαι, ὅτω δ ἄνθ Βονέτυ ἀπο-

θανοῦμαι, τὴν πίστιν διὰ τοῦ Βονέτου αἰνιττόμενος. ταῦτα δὲ εἰπὼν, καὶ τὰ νῶτα τῷ διδάσκοντι Βονέτῳ ἐπιστρέψας, τὴν ἀσεβῆ αὐτοῦ ψυχὴν εὐθέως ἐξέμεσεν.

Σημ. 38. Οὐδὲν τοιοῦτον ἐν τοῖς τοῦ Πολυβίου ἐκδεδομένοις (ἔτ. 1670. ἐν Ἀμστελοδ.) εὑρεῖν ἐδυνήθημεν. τοῖς δὲ συνεκδεδομένοις αὐτοῖς ἀποσπασματίοις, τοῖς περὶ αὐτοῦ διαλαμβάνουσι, τὰ ἑξῆς κεῖται. Ἐκ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας Ἰωσήπου. (β. 12. κ. 13.) „Ἀντίοχος νόσου μηκυνομένης, καὶ αὐξανομένων τῶν παθῶν, συ„νεὶς ὅτι μέλλει τελευτᾶν, συγκαλεῖ τοὺς φίλους· καὶ τήν τε νόσον „αὐτοῖς χαλεπὴν οὖσαν ἐμήνυε, καὶ τοῦτο ὅτι πάσχει κακώσας τὸ Ἰου„δαίων ἔθνος παρεδήλου, συλήσας τὸν ναὸν, καὶ τοῦ Θεοῦ καταφρο„νήσας· καὶ ταῦτα λέγων, ἐξέπνευσεν. ὥστε θαυμάζειν Πολύβιον „τὸν Μεγαλοπολίτην. ὃς ἀγαθὸς ὢν ἀνὴρ, ἀποθανεῖν λέγει τὸν „Ἀντίοχον, βουληθέντα τὸ τῆς ἐν Πέρσαις Ἀρτέμιδος ἱερὸν συ„λῆσαι. τὸ δὲ μηκέτι ποιῆσαι τὸ ἔργον βουλευσάμενον, οὐκ ἔστι τι„μωρίας ἄξιον. εἰ δὲ διὰ τοῦτο Πολυβίῳ δοκεῖ καταστρέψαι τὸν „βίον Ἀντίοχον οὕτω· πολὺ πειθανώτερον διὰ τὴν ἱεροσυλίαν τοῦ „ἐν Ἱεροσολύμοις ναοῦ τελευτῆσαι τὸν βίον. ἀλλὰ περὶ μὲν τούτου οὐ „διαφέρομεν τοῖς τὴν ὑπὸ τοῦ Μεγαλοπολίτου λεγομένην αἰτίαν, „παρὰ τὴν ὑφ' ὑμῶν ἀληθῆ νομίζουσι.

Εἰς τὴν Σοφ. Σειρ. καὶ Σολομ. καὶ εἰς τὰ δύω βιβλ. τοῦ Ἔσδρ. καὶ Νεεμ.

Σημ. 39. Εἴτουν Πτολεμαίου τοῦ Λάγου, τοῦ πρώτου τῶν ἐν Αἰγύπτῳ Πτολεμαίων Βασιλέων. ποῦ δὲ ὁ Ἱερώνυμος ταῦτα λέγων, τῇ γνώμῃ ταύτῃ συμφωνεῖ, εὑρεῖν οὐκ ἠδυνήθημεν.

Σημ. 40. Πολλαχοῦ ὁ Ὠριγένης ῥήσεις προτείνει ἐκ τῆς Σοφίας τοῦ Σολομῶντος, καὶ ὀνομαστὶ ἐνιαχοῦ αὐτῆς μνημονεύει, ῥητῶς δὲ θείαν Γραφὴν οὐ καλεῖ. ἐν δὲ τῇ ἕκτῃ ὁμιλίᾳ εἰς τὴν Ἔξοδον (αἱ ὁμιλίαι αὗται λατινιστὶ μόνον ἐκδεδομέναι εἰσὶν ἐν τῷ 2. Τόμ. τῆς τοῦ Δελαρούε ἐκδόσ.) τάδε φησί· „Περὶ οὗ ὁ Προφήτης προεῖπε. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν. Ἐκ τούτου οὖν δῆλον, ὅτι τὰ ἐν αὐτῇ ῥήματα, προφητικὰ ἐλογίζετο.

Σημ. 41. Ὁ συγγραφεὺς παρασημειοῖ, ὅτι ταῦτα φησὶν ὁ Εὐσέβιος κατὰ τὴν τοῦ Ῥουφίνου μετάφρασιν. τὶ μὲν οὖν λέγει ὁ Ῥουφῖνος τὸν Εὐσέβιον μεταφράζων, οὐκ οἴδαμεν. οὐδὲ δὲ πάρεστιν ἡμῖν ἡ τούτου μετάφρασις· ὁ δὲ Εὐσέβιος τοῦ Κλήμεντος ὀνομαστὶ μὴ μνη-

Εὐσ. β. 6. κ. 2. ἱστορ. ἐκκλ.

„μνημονεύων, τὰ δὲ φησίν· Οὐ μόνος δὲ οὗτος, (ὁ Ἡγήσιππος) ἀλλὰ „καὶ Εἰρηναῖος, καὶ ὁ πᾶς τῶν ἀρχαίων χορὸς, παναρέτου Σοφίαν „τὰς Σολομῶντος Παροιμίας ἐκάλεσαν. Ἐξ ὧν δῆλον, ὅτι ὁ περὶ τῆς Σοφίας, ἀλλὰ περὶ τῶν Παροιμιῶν τοῦ Σολομῶντος ὁ Εὐσέβιος ἐλάλησε. Μέμνηται δὲ Κλήμης ὁ Ἀλεξανδρεὺς τῆς τοῦ Σολομῶντος Σοφίας ἐν βιβ. στρωμ. 6. τμῆμα ἐξ αὐτῆς προτείνων, ὡς τοῦ Σολομῶντος λόγον. προβάλλεται δὲ καὶ ῥῆσιν ἐξ αὐτῆς ἐν τῇ ἀρχῇ τοῦ 2. βιβλ. τῶν στρωμάτων.

Σημ. 42. Οἱ τοῦ Βασιλέως ὑπηργοὶ ἐρωτῶσι πρῶτον τοὺς οἰκοδομοῦντας τὸν ναόν. „Τίς ἔθηκεν ὑμῖν γνώμην τοῦ οἰκοδομῆσαι τὸν οἶκον Ἔσδρ. 5. 3. 4.
„τοῦτον, καὶ τὴν χορηγίαν ταύτην καταρτίσασθαι; εἶτα ἐρωτῶσι πάλιν. „Τότε ταῦτα εἶπον αὐτοῖς, τυτέστιν οἱ αὐτοὶ βασιλικοὶ ὑπηρ„γοὶ εἶπον τοῖς Ἰουδαίοις· Τίνα ἐστὶ τὰ ὀνόματα τῶν ἀνδρῶν, τῶν „οἰκοδομούντων τὴν πόλιν ταύτην; Ταῦτα οὖν πάντα εἰσὶν αἱ τῶν ὑπηργῶν τοῦ Βασιλέως ἐρωτήσεις. τὴν δὲ τῶν Ἰουδαίων πρὸς τὰς ἐρωτήσεις ταύτας ἀπόκρισιν περιέχει ἡ πρὸς τὸν Βασιλέα Δαρεῖον ὑπὸ τῶν αὐτῶν ὑπηργῶν σαλεῖσα ἐπιστολὴ, ἡ ἐν τῷ αὐτῷ 5. κεφ. τοῦ Ἔσδρα περιεχομένη. „Τότε, φασὶν, οἱ ὑπηργοὶ, ἠρωτήσαμεν Ἔσδρ. 5. 9. 11.
„τοὺς πρεσβυτέρους ἐκείνους, καὶ οὕτως εἴπαμεν αὐτοῖς, τίς ἔθηκεν ὑ„μῖν γνώμην τὸν οἶκον τοῦτον οἰκοδομῆσαι, καὶ τὴν χορηγίαν ταύτην „καταρτίσασθαι; καὶ τὰ ὀνόματα αὐτῶν ἠρωτήσαμεν αὐτοὺς γνωρίσαι „σοι, ὥστε γράψαι σοι τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀρχόντων αὐ„τῶν. Καὶ τοιοῦτο τὸ ῥῆμα ἀπεκρίθησαν ἡμῖν λέγοντες, ἡμεῖς ἐσ„μὲν δοῦλοι τοῦ Θεοῦ τοῦ οὐρανοῦ καὶ τῆς γῆς κτ. Ἐὰν οὖν ὁ Οὐέτος ὁ τὴν Βυλγάταν, ἀλλὰ τὸ ἑλληνικὸν ἀνεγίνωσκεν ὕφος, τὸ σύμφωνον τῷ ἑβραικῷ κατὰ τὴν τοῦ Καλμέτου μαρτυρίαν (ἐν τοῖς ὑπομν. τοῖς εἰς τὸ 5. κεφ. τοῦ Ἔσδρα) οὐκ ἂν ἐξελάμβανε τὴν ἐρώτησιν τῶν ὑπηργῶν τοῦ Βασιλέως ὡς ἀπόκρισιν τῶν Ἰουδαίων, οὐδὲ ἔλεγεν, ἡμεῖς ἀπεκρίθημεν αὐτοῖς, οὐδὲ τοιαύτην ἔννοιαν ὑπὲρ τοῦ βιβλίου τοῦ Ἔσδρα ἀνελάμβανεν. ἡ δὲ τοῦ ἑλληνικοῦ ὕφους ἀνάγνωσις ἐξαφανίζει τὰ ὑπ' αὐτοῦ λεγόμενα.

Σημ. 43. Τὸ Φοντενοὶ χωρίον ἐστὶ τῆς Φλανδρίας, περίφημον διὰ τὴν ἐν αὐτῷ γενομένην ὑπὸ τῶν Γάλλων νίκην κατὰ τὸ 1745. ἔτος.

Σημ. 44. Ὁ μὲν Εἰρηναῖος φησί. „Καὶ οὐδὲν θαυμαστὸν, τὸν Θεὸν τοῦ- Εἰρην. β. 3.
„το ἐνεργηκέναι. ὅς γε καὶ ἐν τῇ ἐπὶ Ναβυχοδονόσορ αἰχμαλωσίᾳ κ. 21. κατὰ Ἀρεσ.
„τοῦ

„τῦ λαῦ, διαφθαρεισῶν τῶν Γραφῶν, ἡ μετὰ ἑβδομήκοντα ἔτη „τῶν Ἰσδαίων ἀνελθόντων εἰς τὴν χώραν αὐτῶν, ἔπειτα ἐν τοῖς „χρόνοις Ἀρταξέρξυ τῦ Περσῶν Βασιλέως ἐνέπνευσεν Ἔσδρα τῷ „ἱερεῖ ἐκ τῆς φυλῆς Λευΐ, τὰς τῶν προγεγονότων Προφητῶν πάν- „τας ἀνατάξασθαι, ἡ ἀποκαταστῆσαι τῷ λαῷ τὴν διὰ Μωσέως νο- „μοθεσίαν. Τὰ αὐτὰ ὡς ἐκ τῦ Εἰρηναίυ ἐπαναλαμβάνει ὁ Εὐσέ-
Εὐσ. β. 5. κ. 8. ἐκκλ. ἱστορ. βιος. ὁ δὲ Κλήμης ὁ Ἀλεξανδρεύς. „Ἐνταῦθα Ζοροβάβελ σοφίᾳ
Κλημ. β. στρωμ. 1. „νικήσας τὰς ἀνταγωνιστὰς, τυγχάνει παρὰ Δαρείυ ὠνησάμενος „ἀνανέωσιν Ἱερουσαλὴμ, ἡ μετὰ Ἔσδρα εἰς τὴν πατρῴαν γῆν ἀνα- „ζεύγνυσι. δι' ὃν γίνεται ἡ ἀπολύτρωσις τῦ λαῦ, ἡ ὁ τῶν θεοπνεύ- „στων ἀναγνωρισμὸς, ἡ ἀνακαινισμὸς λογίων, ἡ τὸ σωτήριον ἄγε- „ται Πάσχα, ἡ λύσις ὀθνείας ἐπιγαμβρίας. Καὶ μετ' ὀ πολλά. „Κἂν τῇ Ναβυχοδονόσορ αἰχμαλωσίᾳ, διαφθαρεισῶν τῶν Γραφῶν „κατὰ τὰς τῦ Ἀρταξέρξυ τῦ Περσῶν Βασιλέως χρόνυς, ἐπίπνυς „Ἔσδρας ὁ Λευίτης, ὁ ἱερεὺς γενόμενος, πάσας τὰς παλαιὰς αὖ- „θις ἀνανεύμενος προεφήτευσε Γραφάς. ὁ δὲ ὑρανοφάντωρ Βασί-
Βασ. Ἐπισολ. πρὸς Χίλωνα. „λειος· Ἐνταῦθα τὸ πεδίον, ἐν ᾧ ἀναχωρήσας Ἔσδρας, πάσας
Χρυσ. ὁμιλ. 8. εἰς τὴν πρὸς Ἑβρ. ἐπιστ. „τὰς θεοπνεύστυς βίβλυς προσάγματι Θεῦ ἐξηρεύξατο. ὁ δὲ Ἰω- „άννης ὁ Χρυσόστομος. Ἐπῆλθε πόλεμος, ἀνεῖλον πάντας, κατέ- „κοψαν, ἐνεπρήσθησαν αἱ βίβλοι. ἑτέρῳ πάλιν ἀνδρὶ θαυμαστῷ ἐ- „νέπνευσεν, ὥστε αὐτὰς ἐκθέσθαι, τῷ Ἔσδρᾳ, λέγω, ἡ ἀπὸ λε- „ψάνων συντεθῆναι ἐποίησεν. ὁ δὲ Θεοδώριτος ἐν μὲν τῷ τῶν Ψαλ- „μῶν προοιμίῳ· „Πρὸ πεντήκοντα δὲ ἡ ἑκατὸν τῆς ἑρμηνείας ἐνι- „αυτῶν θείας ἀναπλησθεὶς χάριτος ὁ θαυμάσιος Ἔσδρας τὰς ἱερὰς „ἀνέγραψε βίβλυς, ὑπὸ τῆς τῶν Ἰσδαίων ἀμελείας, ἡ τῆς τῶν „Βαβυλωνίων δυστεβείας πάλαι διαφθαρείσας. Ἐν δὲ τῷ Ἀσματι τῶν Ἀσμάτων. „Ἐπειδὴ δὲ αἱ θεῖαι Γραφαὶ, αἱ μὲν ὑπὸ Μα- „ναστῦ, τῆ πονηρίᾳ ἡ δυστεβείᾳ τύς τε πρὸ αὐτῦ ἡ μετ' αὐτὸν ἅ- „παντας ἀποκρύψαντος, ἐνεπρήσθησαν. αἱ δὲ κατὰ τὸν τῆς αἰχ- „μαλωσίας καιρὸν φρῦδοι παντελῶς ἐγένοντο, τῶν Βαβυλωνίων ἡ „τὸν θεῖον ναὸν ἐμπρησάντων, ἡ τὴν πόλιν ἀνάστατον πεποιηκότων, „ἡ τὸν λαὸν ἐξανδραποδισαμένων, μετὰ πολὺν ἐτῶν ἀριθμὸν, τῦ „λαῦ πάλιν ἀνακλήσεως τετυχηκότος, ὁ μακάριος Ἔσδρας, ἀνὴρ „ἀρετῇ διαπρέπων, ἡ τῦ παναγίυ Πνεύματος πλήρης γενόμενος, „ὡς βοᾷ τὰ πράγματα, τὰς ἀναγκαίας ἡμῖν ἡ σωτηρίας παρεκτι- „κὰς ἀναγράφει Γραφάς. ἡ ὐ μόνον τὰ Μωσέως συγγράμματα, „ἀλλὰ ἡ τὴν τῦ Ἰησῦ, ἡ τῶν Κριτῶν, ἡ τῶν Βασιλειῶν τὴν ἱ- „στορίαν, ἡ τῦ γενναίυ Ἰὼβ τὸ διήγημα, ἡ τὴν ἱερὰν τῦ Δαβὶδ

„με-

„μελωδίαν, τὴν τῆς Ἐκκλησίας εὐφροσύνην, ἢ τὸς Ἑκκαίδεκα Προ-
„φήτας, ἓ τῷ σοφῷ Σολομῶντι τὰς Παροιμίας, ἢ τὴν Ἐκκλη-
„σιαςὴν, ἢ τὸ Ἆσμα τῶν Ἀσμάτων. πῶς τοίνυν ταύτην ἔχε
„τὴν διάνοιαν, ἣν φατὲ, τὸ βιβλίον, ὦ βέλτιςοι, ἃ ὁ μὲν Ἔσ-
„δρας ταῦτα συνέγραψεν, ὐκ ἐξ ἀντιγράφων δὲ ἔγραψεν, ἀλλὰ
„τῷ θείῳ Πνεύματι πλήρης γενόμενος, ἵνα πᾶσιν ἀνθρώποις ἀ-
„νάγραπτον παραπέμψῃ τὴν ὠφέλειαν;

Ἀλλ' ἔςιν ἄρά γε πιθανὸν ἀπωλεσθῆναι πάντα τὰ ἱερὰ βι-
βλία, ἢ μηδὲ παρὰ τοῖς ἐν Ἱερουσαλὴμ καταλειφθεῖσι τότε Ἰουδαί-
οις διασωθῆναι, μηδὲ ὑπὸ τῶν ἀχθέντων ἐν τῇ γῇ τῆς αἰχμαλω-
σίας μετακομισθῆναι κἂν γῆν ἓν τεῦχος τότων; ἢ τὶς ἂν πιςεύσαι.
τοσαύτην ἔλλειψιν τῶν τοσότων σεπτῶν παρ' Ἑβραίοις βιβλίων.
παρ' οἷς πᾶς μὲν Βασιλεὺς ἢ γράφειν αὐτὰ ὤφελε, ἢ ἀναγινώ-
σκειν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῦ· παντὶ δὲ ἰδιώτῃ ἐντέταλ-
το, „καὶ ὐκ ἀποχήσεσθαι ἡ βίβλος τῦ νόμυ τότυ ἐκ τῦ ςόματός συ, Λευ. 17. 18
„ἢ μελετήσεις ἐν αὐτῇ ἡμέρας ἢ νυκτός; Τοσαύτη ἔλλειψις βιβλί-
ων, ὧν ἡ χρῆσις ἀναγκαία τε ἢ διηνεκὴς διὰ τὰ τοσαῦτα τῶν τελε-
τῶν ἐνταλμάτα, δι' ὧν τῷ Θεῷ ἐλάτρευον, ἓ διὰ τὸς νόμυς, δι'
ὧν τὸ πολιτικὸν αὐτῶν διεύθυνον σύςημα;

Ἀλλὰ πόθεν ὅτοι, οἱ ὐχ ἧττον διὰ τὴν ἀρετὴν, ἢ διὰ τὴν
παιδείαν ἢ ἀρχαιότητα, σεβασοὶ ἄνδρες παρέλαβον ἅπερ ἡμᾶς πε-
ρὶ τῦ Ἔσδρα διδάσκυσιν; ὐδὲν τῶν μετὰ τὸν Ἔσδραν γραφέντων
Ἑβραϊκῶν βιβλίων, τῶν ὑπὸ τῆς χριςιανῶν Ἐκκλησίας τιμωμένων,
τοιῦτόν τι διαλαμβάνει. ἐν ὐδενὶ τῶν τῆς νέας Διαθήκης Βιβλίων
ὐδὲ ἴχνος τῦ τοιύτυ φρονήματος εὑρίσκομεν. πόθεν ὖν ταῦτα πα-
ρέλαβον;

Τὸ νομιζόμενον ἓ καλύμενον τέταρτον βιβλίον τῦ Ἔσδρα ἐν
κεφαλαίῳ δεκάτῳ τετάρτῳ περιέχει τάδε. (ἐκ τῦ λατινικῦ ὕφυς
μετεφράσθη, τῦ παρὰ τῷ Καλμέτῳ ἐν τῇ διαλέξει, τῇ πρὸ τῶν
εἰς τὸν Ἔσδραν ὑπομν.) „Ἀνύτας ὁ Ἔσδρας φωνὴν καλῦσαν αὐ-
„τὸν, ἢ κελεύσαν διδάξαι τὸς ἀδελφὸς αὐτῦ, ἀπεκρίνατο. ἰδῦ
„ἐγὼ ἀπέρχομαι, ὡς ἐπέταξάς μοι, ἢ ἐλέγξω τὸν νῦν λαόν, ἀλ-
„λὰ τὶς ὁ τὸς γεννησομένυς παιδαγωγήσων; ἐν σκότει ἄρα ὁ αἰὼν
„κεῖται, ἢ οἱ ἐν αὐτῷ ἄνυ φωτός. ὁ γὰρ νόμος συ ἐνεπρήσθη. διὸ
„ὐδεὶς γινώσκει τὰ ὑπὸ σῦ πεποιημένα, ἢ τὰ ἀρχὴν μέλλοντα λα-
„βεῖν ἔργα. εἰ ὖν εὗρον χάριν παρὰ σοὶ, πέμψον μοι τὸ Πνεῦμα
„τὸ ἅγιον. γράψω δὲ τά τε γεγενημένα ἀπ' ἀρχῆς αἰῶνος, τὰ
„ἐν τῷ νόμῳ συ γεγραμμένα, ὅπως ἂν δυνηθῶσιν οἱ ἄνθρωποι εὑ-

ρεῖν

„ρεῖν τὴν ὁδὸν. ὅσοι δ' ἂν θέλωσι ζῆν ἐν τοῖς καιροῖς, ζήτωσαν· ἡ ἀπεκρίνατο πρός με, ἡ εἶπεν· ἀπελθὼν συνάγαγε τὸν λαὸν, „ἡ εἰπὲ αὐτοῖς, μὴ ζητῆταί σε ἡμέρας τεσσαράκοντα. σὺ δὲ παρα„σκεύασον σεαυτῷ πυξὶς, ἡ λάβε μετὰ σεῦ τὸν Σαμαίαν, Δαβρί„αν, Σαλεμίαν, Ἔλαμον, ἓ Ἀσίηλον, τοὺς πέντε τούτους, οἵτινες „ἕτοιμοι ἔσωσαν ταχέως γράφειν. ἐλθὲ δὲ ὧδε, καγὼ ἀνάψω ἐν „τῇ καρδίᾳ σου λύχνον συνέσεως, ὃςις οὐ σβεσθήσεται ἕως ἂν ἐκτελε„σθῶσιν, ἅπερ ἤρξω γράφειν. τότε δέ τινα τοῖς τελείοις δῆλα ποί„ησον, τινὰ δὲ τοῖς σοφοῖς μυστικῶς παράδος. αὔριον δὲ ἐν τῇ ὥρᾳ „ταύτῃ γράφειν ἄρξῃ.

„Ὁ οὖν Ἔσδρας τὸ τοῦ λαοῦ πλῆθος ταῦτα, διδάξας, ἐκέλευσε, „μηδένα ἡμέρας τεσσαράκοντα πρὸς αὐτὸν προσελάσαι. καλέσας τε „τοὺς διαταχθέντας αὐτῷ ἄνδρας, τὸ πρωὶ τῆς ἐφεξῆς ἡμέρας, ἦ„κουσε φωνὴν κελεύουσαν ἀνοῖξαι τὸ στόμα, ἓ πιεῖν τὸ προτιθέμε„νον ποτήριον. ὁ δὲ παραχωῆμα τὸ στόμα πλατύνας, ῥοῦζον ὑδα„ρώδες πυρόχρουν ἔπιε. μετὰ δὲ τὴν πόσιν τὰ μὲν στέρνα αὐτοῦ πολ„λῇ ὡσπερεὶ θερμότητι κατανοήσεως ἐπλημμύρα, ὁ δὲ νοῦς σοφίας „ὑπερεπληροῦτο, τὸ δὲ πνεῦμα μνήμης οὐδέποτε ἐγκαταλέλειπτο, „τὸ δὲ στόμα ἀνεωγμένον, λαλεῖν οὐδέποτε ἐπαύετο. τὸ αὐτὸ δὲ τῆς „νοήσεως πνεῦμα ὑπὸ τοῦ ὑψίστου δεδώρηται ἐκείνοις τοῖς πέντε ἀν„δράσιν, οἵτινες τοῦ ὑπαγορεύοντος τὰ ῥήματα ὅτως ἐδέχοντο, „ὥστε ἡ τὰ ἀσαφῆ γράφειν οὐκ ἀπέλειπον. ἡ ὅτοι μὲν τὴν τῆς τρο„φῆς μετάληψιν ἄχρι νυκτὸς ἀνεβάλλοντο, ὁ δὲ Ἔσδρας οὐκ ἐ„παύετο λαλῶν διαπαντὸς ἡμέρας τε ἡ νυκτός. ἐν ἡμέραις οὖν τεσ„σαράκοντα ἐγράφη τέσσαρα πρὸς τοῖς διακοσίοις Βιβλία. ὅτε δὲ „ἐπληρώθησαν ἡμέραι τεσσαράκοντα, ἐλάλησεν ὁ ὕψιστος λέγων. „Τὰ πρῶτον γεγραμμένα δήλωσον. ἀναγινωσκέτωσαν δὲ ἄξιοί τε, „ἡ ἀνάξιοι. τὰ δὲ ἑβδομήκοντα, τὰ καινοτάτα διατήρησον, ἵνα πα„ραδῶς αὐτὰ τοῖς ἐκ τοῦ γένους σου σοφοῖς. ἐν αὐτοῖς γὰρ ἡ τῆς συ„νέσεως φλὲψ, ἡ ἡ πηγὴ τῆς σοφίας. ἡ τῆς ἐπιστήμης ὁ ποτα„μός.

Ἰσέον δὲ πρῶτον, ὅτι βιβλίον τέταρτον τοῦ Ἔσδρα λατινιστὶ πολλάκις ἐκδέδοται· κεῖται δὲ καὶν ταῖς τῶν Σλάβων, αἷς οἱ Ῥῶσοι χρῶνται, τῆς θείας Γραφῆς ἐκδόσεσιν, ἐκ τῆς Λατινιδος εἰς τὴν τῶν Σλάβων μετενεχθὲν διάλεκτον. ἑλληνιστὶ δὲ οὐδὲ ἐκδέδοται, οὐδὲ ἀνέκδοτον σώζεται. ὑπάρξαι δέ ποτε εἰκάσαιεν ἄντις ἐκ τῆς ἐφε-
Κλήμ. Ρ. ρωμ. 1. ξῆς ῥήσεως, ἣν ὁ Κλήμης τῷ Ἔσδρᾳ ἐπιγράφει, λέγων· „Καὶ δὴ „ἐν τῷ Ἔσδρᾳ γέγραπται, ἡ ὅτως ἐγένετο Χριστὸς Βασιλεὺς Ἰσ-

„δαί-

„δαίων ἡγούμενος, πληρωμένων τῶν ἑπτὰ ἑβδομάδων ἐν Ἱερουσαλήμ. „ᾗ ἐν ταῖς ἑξηκονταδύω ἑβδομάσιν ἡσύχασεν ἅπασα ἡ Ἰουδαία, ᾗ „ἐγένετο ἄνευ πολέμων. ᾗ ὁ Κύριος ἡμῶν Χριστὸς, ἅγιος τῶν ἁ„γίων. ἐλθὼν ᾗ πληρώσας τὴν ὅρασιν, ᾗ τὸν Προφήτην, ἐχρί„σθη τὴν σάρκα τῷ τῦ Πατρὸς αὐτῦ Πνεύματι. Ταῦτα δὲ ἐν τῷ λεγομένῳ τετάρτῳ βιβλίῳ τῦ Ἔσδρα περιέχεται, ὡς ὁ Καλμέτος μαρτυρεῖ ὅπου ἀνωτέρω σεσημείωται. μηδὲ τὸ ἑβραϊκὸν δὲ παρ' Ἑβραίοις σώζεσθαι μαρτυρεῖ ὁ Ἱερώνυμος. β. ὅτι ἀπαράδεκτά τινα, μᾶλλον δὲ ἄτοπα περιέχει τὸ βιβλίον, ὧν ἓν μόνον παρατίθημι. „Ἀπὸ κτίσεως κόσμυ, φησὶ, δύω ὑπερμεγέθη τέρατα ἐκτίσθη, „ὧν τῷ μὲν Ἐνὼχ, τῷ δὲ Λεβιάθαν ὄνομα. ἐπεὶ δὲ τὸ ἕβδομον „τῆς γῆς μέρος ἀμφότερα χωρῆσαι ὐκ ἠδύνατο, τὸ μὲν Ἐνὼχ ἐν „μέρει τῆς γῆς ἑπτὰ χιλιάσιν ὀρέων συμπηχθέντι ἔθετο. τὸ δὲ „Λεβιάθαν ἐν τῇ θαλάσσῃ, τροφὴν ἐσόμενον ἐν τῇ τελευταίᾳ περαθησομένῃ τοῖς ἐκλεκτοῖς παιδαισίᾳ. γ. Μνεία τετάρτυ βιβλίυ τῦ Ἔσδρα ἐδεμία, ὐδὲ ἐν τῷ 85. κανόνι τῶν Ἀποστόλων, ὐδὲ ἐν τῇ ἑορταστικῇ ἐπιστολῇ τῦ Ἀθανασίυ, ὐδὲ ἐν τῷ περὶ τῶν γνησίων βιβλίων τῆς θεοπνεύστυ Γραφῆς στοιχειώματι τῦ θεολόγυ Γρηγορίυ, ὐδὲ ἐν τῷ Ἰαμβικῷ τῦ ἐν ἁγίοις Ἀμφιλοχίυ, ὐδὲ ἐν τῇ φερομένῃ τῦ Ἀθανασίυ συνόψει, ὐδὲ ἐν τῇ χρονολογίᾳ Μιχαὴλ τῦ Συγκέλλυ. δύω δὲ μόνα ἐν τούτοις τῦ Ἔσδρα μνημονεύονται βιβλία. τὰ ἄχρι τῆς σήμερον ἀναγινωσκόμενα.

Πάνυ ὖν πεθανὸν ἔοικε, τὺς διαληφθέντας πατέρας ἐκ τῦ τετάρτυ βιβλίυ τῦ Ἔσδρα ἀπαντλῆσαι τὰ περὶ αὐτῦ ἀνωτέρω ὑπ' αὐτῶν εἰρημένα. πόθεν γὰρ ἄλλοθεν; ἀλλ' ἐκ τοιαύτης πηγῆς, ἐρεῖτις, τοιῦτοι ἄνδρες, μηδεμιᾶς ἀνάγκης κατεπειγύσης, ἀπαντλῆσαι ἠθέλησαν; Ἀκμὴν τυχὸν εὐδόκει ἐν τῇ τῦ τρίτυ μετὰ Χριστὸν αἰῶνος ἀρχῇ, καθ' ἣν ὅ,τε Εἰρηναρχος ᾗ ὁ Κλήμης ἐτελεύτησαν, πίστεως ᾗ ὑποδοχῆς ἄξιον τὸ τέταρτον τῦ Ἔσδρα βιβλίον, καίπερ ἀκανόνιστον. διὸ δὴ ὅτοι μὲν ἐξ αὐτῦ ἠρύσαντο τὸ τοιῦτον περὶ τῦ Ἔσδρα φρόνημα, οἱ δὲ ἐφεξῆς τῇ τῶν πρὸ αὐτῦς μαρτυρίᾳ στηριχθέντες, ἐμφαντικώτερον τὸ αὐτὸ ἐξέθεντο. Σημειωτέον δὲ, ὅτι κἂν οἱ πατέρες ὅτοι ἐοίκασιν, ἐκ τῦ εἰρημένυ βιβλίυ τὴν ἔννοιαν ταύτην εἰληφότες, ὐδεὶς ὅμως ὡς μέσον ἤγαγεν αὐτὸν τὸν Ἔσδραν περὶ τύτυ μαρτυρῦντα. πλὴν δὲ τῦ Θεοδωρήτυ ὐδεὶς ἐξ αὐτῶν εἴρηκε τὸ, ὐκ ἐξ ἀντιγράφων δὲ ἔγραψεν, ἀλλὰ τῦ θεῦ Πνεύματος πλήρης γενόμενος.

Γερων. προλεγ. εἰς τὸν Ἔσδρ. καὶ Νεεμ. Τῦ 14. βιβλ. κ. 6.

Ἐν τῇ ἑρμηνείᾳ τῶ ἐν ἁγίοις Ἀθανασίᾳ Συνόψει ἡ τάδε περιέχει). „Ἱστορεῖται δὲ ἡ τοῦτο περὶ τῦ Ἔσδρα, ὅτι ἀπωλομένων „τῶν βιβλίων ἐξ ἀμελείας τῶν λαῶν, ἡ διὰ τὴν πολυχρόνιον αἰχ„μαλωσίαν, αὐτὸς Ἔσδρας φιλόκαλος ὢν ἡ εὐφυὴς, ἡ ἀναγνώ„στης, ἐφύλαξε πάντα καθ' ἑαυτὸν, (τοῦτο παθανώτατον) ἡ λοι„πὸν προήνεγκε, ἡ πᾶσιν ἐκδέδωκε. Τοῦτο δὲ ὁ μόνον παθανώτα„τον, ἀλλὰ ἡ τοῖς ῥήμασι τῦ ὁμολογυμένυ ἡ κανονικῦ βιβλίῳ τῦ
Νεεμ. 8. 1. ες. Νεεμίᾳ σύμφωνον. Φησὶ γὰρ ὁ Νεεμίας, „ἡ εἶπαν τῷ Ἔσδρα τῷ „Γραμματεῖ ἐνέγκαι τὸ βιβλίον νόμυ Μωϋσῆ, ὃν ἐνετείλατο Κύ„ριος τῷ Ἰσραήλ. Καὶ ἤνεγκεν Ἔσδρας ὁ ἱερεὺς τὸν νόμον ἐνώ„πιον τῆς Ἐκκλησίας ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἡ πᾶς ὁ συνιὼν „ἀκύειν ἐν ἡμέρᾳ μιᾷ τῦ μηνὸς τῦ ἑβδόμυ. Καὶ ἀνέγνω ἐν αὐτῷ „ἀπὸ τῆς ὥρας τῦ διαφωτίσαι τὸν ἥλιον ἕως ἡμίσυς τῆς ἡμέρας, κτ. Μήτι δὲ ἡ οἱ προτεθέντες πατέρες, ἐκτὸς τῦ Θεοδωρίτυ, διὰ τῶν ὑπ' αὐτῶν λεγομένων τοῦτο αὐτὸ ἐμφαίνυσιν, ἀμέλειτοι τὸν Ἔσδραν, φύλακα γεγονέναι τῶν ἱερῶν βιβλίων, ἡ ἀνακαινισῆν τῦ νόμυ, ἡ ἐξεργολογόμενον τὴν τούτυ ἀνάγνωσιν, ἡ ἐπιμελητὴν τῆς τῶν ἐν αὐτῷ ἐνταλμάτων ἐκπληρώτεως; Οὕτω γὰρ οὐδὲ πᾶσα ἡ τῶν Γραικῶν Ἐκκλησία, οὐδέ τινες τῶν πατέρων, ἀλλ' εἷς ἡ μόνος ὁ Θεοδώρητός ἐστιν ὁ περὶ τῦ Ἔσδρα ἡ τῶν ἱερῶν βιβλίων τοιαῦτα φρονῶν, οἷα αὐτὸς εἴρηκε.

Σημ. 45. Μήτηρ τῆς Λατινικῆς ἡ Γραικῶν Ἐκκλησία, ὐ τῶ τῶν θεμελιωσάντων, ἀλλὰ τῶ τῶν μετὰ τοὺς θεμελιώσαντας διδαξάντων αὐτὴν λόγῳ. ἐκ τῶν Ἑλλήνων γὰρ Ἱεροδιδασκάλων τὰ ἐκκλησιαστικὰ ἡ Λατίνων Ἐκκλησία παρέλαβε μαθήματα. δεῖξις τούτυ ἐναργὴς τὰ ἑλληνικὰ ἐκκλησιαστικὰ ὀνόματα, τὰ παρ' αὐτοῖς ἄχρι τῦ νῦν σωζόμενα. ἡ γὰρ Ecclesia, φασὶ, Mysterium, Baptismus, Chrisma, eucharistia, episcopus. Metropolita, Archiepiscopus, Patriarcha, Presbyter, Diaconus, Monachus, Apostolus, Evangelium, Antiphona, Psalterium, Biblia, Canon, ἡ ἄλλα μυρία, ἅπερ ἐμφαίνει, αὐτὸς ἀπὸ τῆς Γραικῶν Ἐκκλησίας ὐ μόνον παραλαβόντας τὰ τούτων σημαινόμενα, ἀλλὰ ἓ αὐτὰ τὰ ἑλληνικὰ ὀνόματα αἰδεσθέντας ἡ φυλάξαντας, ἀλλὰ ἡ τῆς λειτυργίας αὐτῶν ἄχρι τῆς σήμερον ἄρχοντας διὰ τῦ Kyrie eleison. Τὸν δὲ Κλήμεντα. τὸν τῦ Παύλυ ὀπαδὸν ἡ συνεργὸν, Ῥωμαῖον εἶναι πάντη ἀμφίβολον. (λέγει) φησὶν ὁ Καβαῖος Ῥωμαῖον εἶναι. ἐν τῷ περὶ ἐκκλησιας. συγγραφ. πονήμ.) ἡ γὰρ τὸ ὄνομα αὐ-

τῦ

τῦ ἑλληνικὸν μᾶλλον ἢ λατινικόν. κλῆμα δὲ ἑλληνικὴ λέξις ἐςίν. ἐκ τῦ κλῆμα δὲ Κλήμης. διὸ καὶ ἕλληνες τῦτο ἔχον τὸ ὄνομα. εἰ δὲ Ῥωμαῖος ἦν ὁ Κλήμης, ἵνα τί ἃ ῥωμαϊςὶ; ἀλλ' ἑλληνιςὶ συνέγραψε;

Σημ. 46. Οὐδὲ τὸ τέτον δεκτὸν, ἀλλ' ὃδὲ συνεκδεδομένον ταῖς ἑλληνιςὶ ἐκδεδομέναις Διαθήκαις. δύω δὲ γνήσια τῦ Ἔσδρα Βιβλία ὑπὸ τῶν Πατέρων γνωρίζονται, (ὅρα τὴν 44. σημ.) δύο τε μόνα τῷ Ἔσδρᾳ ἐπιγεγραμμένα ἐν τοῖς ἑλληνικοῖς ἐκδίδονται τεύχεσιν. ὁ συγγραφεὺς δὲ καὶ τὸ τέτον λέγει δεκτὸν. καὶ ἐν τοῖς τῆς παλαιᾶς Διαθήκης βιβλίοις, τοῖς ἐν χρήσει κέμενον, νομίζων ἴσως, ὅτι καὶ τὸ τῦ Νεεμίε βιβλίον τῷ τῦ Ἔσδρα ὀνόματι ἐπιγράφεσιν αἱ ἑλληνικαὶ τῆς Γραφῆς ἐκδόσεις, ὥσπερ καὶ αἱ Λατινικαί.

Σημ. 47. Σημειωτέον, ὅτι τὸ τῦ Ἔσδρα βιβλίον, ὡσαύτως καὶ τὸ τῦ Νεεμίε (τῦτο ὅτε Βολτέρος, καὶ ὁ ἀνασκοπάζων αὐτὸν συγγραφεὺς, δεύτερον τῦ Ἔσδρα βιβλίον λογίζονται; τῇ Βυλγάτῃ ἑπόμενοι) μετὰ τὸ ἀριθμῆσαι τὰς ἀπὸ τῆς αἰχμαλωσίας ἐπισρέψαντας εἰς Ἱερυσαλὴμ, ἐπάγει. „Πᾶσα δὲ ἡ Ἐκκλησία ὁμῦ ὡσεὶ τέσ- Ἔσδρ. 2. 64.
„σαρες μυριάδες δισχίλιοι τριακόσιοι ἑξήκονθα. Τὸ δὲ ἐπιγραφόμενον Νεεμ. 5. 66.
Α'. τῦ Ἔσδρα βιβλίον μετὰ τὴν ῥηθεῖσαν ἐπαρίθμησιν ἐπιφέρει. 1. Ἔσδρ. 5. 41
„Οἱ δὲ πάντες Ἰσραὴλ ἦσαν ἀπὸ δωδεκαετῦς καὶ ἐπάνω χωρὶς παι-
„δῶν καὶ παιδίσκων μυριάδες τέσσαρες δισχίλιοι τριακόσιοι ἑξήκοντα.
Μάτην ἄρα ὁ Βολτέρος ἐκλαμβάνει τῦτον τὸν ἀριθμὸν ὡς ἄθροισμα μόνων τῶν ἐν τῷ κεφαλαίῳ προτεθέντων ἀριθμῶν, εἶτα μόνων τῶν ἀριθμῶν τῶν ἀπὸ τῆς αἰχμαλωσίας ἐπισρεψάντων. ὁ δὲ Ἔσδρας, καὶ ὁ Νεεμίας λέγοντες, πᾶσα δὲ ἡ Ἐκκλησία ὁμῦ, ὡσαύτως πάλιν ὁ Ἔσδρας, οἱ δὲ πάντες Ἰσραὴλ, ἀριδήλως ἐμφαίνεσιν, ὅτι ὁ ῥηθεὶς ἀριθμὸς ὐκ ἔςι μόνων τῶν ἐπισρεψάντων, ἀλλὰ πάντων ὁμῦ καὶ τῶν ἐπισρεψάντων, καὶ τῶν ἐν Ἱερυσαλὴμ καταλειφθέντων κατὰ τὸν τῆς αἰχμαλωσίας καιρόν. εἰ δὲ μόνον ἦν τὸ ἄθροισμα τῶν ἀριθμῶν τῶν ἐπισρεψάντων, ὐκ ἂν προσέθηκαν τὸ, πᾶσα δὲ ἡ Ἐκκλησία, καὶ τὸ, οἱ δὲ πάντες Ἰσραήλ. καὶ δὲ οἱ ἐν Ἱερυσαλὴμ καταλειφθέντες μέρος ἦσαν τῆς ὅλης Ἐκκλησίας, καὶ τῦ παντὸς Ἰσραήλ. ἀλλ' ὃδ' ἔλεγον τὸ, ὡσεὶ τέσσαρες μυριάδες, ἐπεὶ δὲ τὸ ἄθροισμα ἀκριβῶς τε καὶ ἐντελῶς περιέχει τῶν ἀθροισθέντων τὸν ἀριθμὸν, ὐδεὶς ἀριθμὸς συνάψας, προσέθησι τῷ ἀθροίσματι, τὸ, ὡσεί. τῦτο δὲ προσέθεντο, διὰ τὸ μὴ πάνυ δῆλον εἶναι

 αὐ-

αὐτοῖς τὸν ἀριθμὸν τῶν καταλειφθέντων ἐν Ἱερουσαλήμ. μάτην δὲ καὶ ὁ συγγραφεὺς, μηδεμιᾶς ἀνάγκης κατεπειγούσης, ἐπὶ τὰ τῶν μεταγραφέων σφάλματα καταφεύγει, ὑπὸ τῆς Βουλγάτης ὠθούμενος. ἤτις ἀντὶ τοῦ, Πᾶσα δὲ ἡ Ἐκκλησία ὁμοῦ, παρατίθησι τὸ, omnis multitudo quasi unus, πᾶν τὸ πλῆθος ὡσεὶ εἷς. ἐκ τούτου ἂν ἡ ἀσάφεια καὶ ἡ ἀπορία, ἐξ ἧς ἡ ἐπὶ τὰ τῶν μεταγραφέων σφάλματα καταφυγή.

Σημ. 48. Ἰδὲ αἱ ἀποδείξεις (κατελείφθη τὰ μεταξὺ ῥήματα, τὰ μὴ τῷ προκειμένῳ σκοπῷ ἀνήκοντα) αἱ ὑπὸ τοῦ συγγραφέως προτεθεῖσαι ἐν κεφ. 1. ἄρθρ. 1. τοῦ ὑπ' αὐτοῦ φιλοπονηθέντος ὑπερασπιστικοῦ τῆς παλαιᾶς Διαθήκης πονήματος. „Εἴπερ ὁ φιλόσοφος „οὕτως τὰ πρῶτα μετήρχετο τῶν ἀρχαίων ἀνατολικῶν διαλέκτων „στοιχεῖα, ὧν ταῖς λέξεσι χρῆσθαι φιλεῖ, κατενόει ἄν, θεωρήσας „μόνον τὸ ἑβραϊκὸν ὕφος καὶ τὴν Χαλδαϊκὴν παράφρασιν, ὅτι αἱ „δύο ῥίζαι, ἐξ ὧν τὸ ὄνομα Ἰσραὴλ σύγκειται, οὐκ εἰσὶ Χαλδαϊκαὶ, „ἀλλ' ἑβραϊκαί. ἀλλὰ κἀκεῖνο μικρὸν ὅσον οὔπω ἡ ψευδὴς ὑπόθεσις, „καὶ δεδόσθω Χαλδαϊκὸν εἶναι τὸ Ἰσραὴλ ὄνομα. ἔχει ἆρά γε σεμνὸν θεμέλιον τὸ συμπεραίνειν, ὅτι οἱ Ἰουδαῖοι οὐκ ἠδυνήθησαν μετελθεῖν „τὴν λέξιν ταύτην, εἰμὴ μετὰ τὴν ἐν Χαλδαίᾳ γῇ μετοικεσίαν „αὐτῶν; τοιαύτη ἐστὶν ἡ τῆς ἑβραϊκῆς καὶ Χαλδαϊκῆς διαλέκτου ἰδι„ότης, ὥστε ἑκατέρᾳ τούτων κοινὰ εἶναι τὰ πλείονα τῶν ὀνομάτων. „πρὸς τούτοις ὁ Ἰακὼβ, ὁ ἐκ Χαλδαϊκῆς μὲν πατριᾶς καταγόμενος, „ἐν τῇ Μεσοποταμίᾳ δὲ διατρίψας ἔτη εἴκοσι, οὐκ ἠδύνατο ἆρα με„τενεγκεῖν ἐξ ἐκείνων τῶν τόπων ἓν κύριον ὄνομα Χαλδαϊκὸν, ὅ„περ οἱ τούτου ἀπόγονοι διεφύλαξαν; Καὶ ταῦτα μὲν τὰ τοῦ συγγραφέως, οἷς ἐπισυνάπτομεν τὰ ἑξῆς.

Πόθεν ὁ Βολτέρος ἔγνω, ὅτι τὸ, Ἰσραὴλ λέξις ἐστὶ Χαλδαϊκή; ἐκ τοῦ Φίλωνος· ᾧ δὴ φησὶν. (ἐν τῇ περὶ τῆς ἴσορ. Φιλοσ. κ. 49. σ. 254) „Ὁ Φίλων ἐν τῇ πρὸς Καλιγύλαν (τὸν Γάϊον) „πρεσβείᾳ ἄρχει λέγων. ὁ Ἰσραὴλ λέξις ἐστὶ Χαλδαϊκὴ, ὄνομα ἐ„στὶν, ὅπερ οἱ Χαλδαῖοι ἀπένεμον τοῖς δικαίοις, τοῖς τῷ Θεῷ κα„θιερωθεῖσιν. εἶτα ἐπάγει. Ἐκ τούτου μόνου δεδεγμένον δοκεῖ, ὅτι „οἱ Ἰουδαῖοι οὐκ ἐκάλεσαν τὸν Ἰακὼβ Ἰσραὴλ, οὐδὲ ὠνόμασαν ἑαυ„τοὺς Ἰσραηλίτας, εἰ μὴ ὅτε ἔγνων τὴν Χαλδαϊκὴν φωνήν. ταύτην „δὲ γινώσκειν οὐκ ἠδύναντο, εἰμὴ ὅτε αἰχμάλωτοι γεγόνασιν ἐν τῇ „Χαλδαίων γῇ.

Λ κά-

Ἀκούσωμεν νῦν τὰ τοῦ Φίλωνος ῥήματα. „Τοῦτο δὲ τὸ γένος „Χαλδαίοις μὲν Ἰσραὴλ καλεῖται, ἑλληνιστὶ δὲ ἑρμηνευόμενον τοῦ ὀνόματος, ὁρῶν Θεόν. πρῶτον μὲν οὖν σημείωσον τὴν προσηκουσαν τῷ „ὄνομά ἐστιν, ὅπερ οἱ Χαλδαῖοι ἀπένεμον τοῖς δικαίοις, καὶ τὸν τρόπον, δι' οὗ τὰ τοῦ Φίλωνος ἐκφράζει ῥήματα, εἶτα καὶ τὸ ποσὸν ἐπιπολαίως τε καὶ ἀδιακρίτως ἀνέγνω τὸν Φίλωνα, μηδὲ τὸ περὶ τίνων ὅτε λαλεῖ κατανοήσας. ὁ δὲ Φίλων καὶ τὴν ἑβραϊκὴν διάλεκτον, Χαλδαϊκὴν, καὶ τοὺς Ἑβραίους, Χαλδαίους καλεῖν εἴωθεν. „Ἐν δὲ τῷ „περὶ Μωϋσέως β'. λόγῳ φησί. Τὸ παλαιὸν ἐγράφησαν οἱ νόμοι „γλώσσῃ Χαλδαϊκῇ. Καὶ μετ' ὀλίγα. Ὁ δὴ τοιοῦτος (Πτολεμαῖος ὁ Φιλάδελφος, ζῆλον καὶ πόθον λαβὼν τῆς νομοθεσίας ἡμῶν, „εἰς ἑλλάδα γλῶτταν τὴν Χαλδαϊκὴν μεθαρμόζεσθαι διενοεῖτο. Καὶ „ἐν τῷ περὶ Ἀβραὰμ λόγῳ. Ἧς τὄνομα ἐστὶ Χαλδαϊστὶ μὲν Σάρ„ρα, ἑλληνιστὶ δὲ, ἄρχουσα. Καὶ ἐν τῷ περὶ ἄλλων καὶ ἐπιτιμίων. Τούτων ἐστὶν ὁ Χαλδαϊστὶ μὲν προσαγορευόμενος Ἰσραὴλ, ἑλληνιστὶ δὲ ὁρῶν Θεόν. Καὶ ἐν τῷ περὶ Μωϋσέως πρώτῳ λόγῳ. Μωσῆς γένος μέν ἐστι Χαλδαῖος. οὕτω καὶ) ἐν τῷ τῶν Μεδίκων χειρογράφῳ, καὶ ἐν τῷ τοῦ Λινκλαβίου, κἂν ἐν τοῖς ἐκδεδομένοις ἀντὶ τοῦ Χαλδαῖος τὸ, Ἑβραῖος ἐκδέδοται). (ὅρα τὴν σημ. τὴν εἰς τὸ ῥῆμα Ἑβραῖος, τὴν ἐν τῇ ἐχάτῃ ἐκδόσ. τοῦ Φίλων. τὴν ἐν ἔτ. 1742) οὕτω δὲ ἀναγινώσκει καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς, εἶτα Μωσῆς ἄνωθεν Χαλδαῖος ὤν. „εἰκότως ἂν ὁ μὲν Ἱερώνυμος φησίν. Ὁ Φίλων νομίζει „τὴν τῶν Ἑβραίων γλῶτταν αὐτὴν εἶναι τὴν Χαλδαϊκὴν, διὰ τὸ „τὸν Ἀβραὰμ ἐκ Χαλδαίων καταγεσθαι. ὁ δὲ μάρτυς Ἰώσηπος. Οὗτοι δὲ (ὁ Φίλων, καὶ ὁ Ἰώσηπος) τὰς Ἰουδαίων ἱστορούντες πράξεις „ἀπὸ μὲν τοῦ Χαλδαίων γένους τὸν Μωσέα γεγενῆσθαί φασιν. Ἐκ τούτων οὖν δῆλον, ὅτι πάνυ ἀφυὴς, προσέτι δὲ καὶ δόλιος ὁ Βολτέριος τοῦ Φίλωνος ἀκροατὴς, ἑπομένως δὲ καὶ ἅπερ ὡς ἐκ στόματος τοῦ Φίλωνος προβάλλει, νόθα εἰσὶ καὶ ψοφοδῆ. ἐκ δὲ τῶν συμπερασμάτων αὐτοῦ εὐλόγως συμπεραίνομεν, ὅτι ὁ θαυμάσιος οὗτος ὁ εἰδώς τε καὶ τοσοῦτον ἐπιβόλως χρώμενος τῇ ἑλληνικῇ, καὶ ῥωμαϊκῇ, καὶ ἑβραϊκῇ διαλέκτῳ, αἰχμάλωτος ἐχρημάτισεν ἐν τῇ Ἑλλάδι, καὶ Ῥώμῃ, καὶ Ἰουδαίᾳ. ἄλλως δὲ κατ' αὐτὸν γινώσκειν οὐκ ἠδύνατο ταύτας τὰς διαλέκτους.

Κλήμ. στρώμ. α'. Ἱερών. ἐν τοῖς εἰς τὸν Δανιὴλ. ὑπόμν. Ἰωσ. ἐν τῷ παρακειμ. κρίσει Ἑλλην.

Σημ. 49. Τὸ, ὁ πρότερον ἐν Βαβυλῶνι ὤν, οὐδὲ ἐν τῇ ἑλληνικῇ ἐκδόσει, οὐδὲ ἐν τῇ Βυλγάτῃ ἀναγινώσκει). „Τότε, φησὶν, (ἡ Ἑλλην. ἔκδ. β. 1. τοῦ Ἔσδρ. κ. 6. ἐδ. 23. τὰ αὐτὰ δὲ καὶ ἡ Βυλγ.) ὁ Βα-

„σιλεὺς Δαρεῖος προσέταξεν ἐπισκέψασθαι ἐν τοῖς βιβλιοφυλακί-
„οις τοῖς κειμένοις ἐν Βαβυλῶνι. καὶ εὑρέθη ἐν Ἐκβατάνοις τῇ Βά-
„ρει, τῇ ἐν Μηδείᾳ χώρᾳ τόπος εἷς, ἐν ᾧ ὑπεμνημάτισο τάδε. Ἔτ-
ους πρώτου, κτ. Ταιάυτη δὲ ἔοικε τοῦ λόγου ἡ ἔννοια. προσέταξε
μὲν ὁ Δαρεῖος ἐπισκέψασθαι ἐν τοῖς βιβλιοφυλακίοις, τοῖς οὖσιν ἐν
Βαβυλῶνι. κἀκεῖ μὲν οὐχ εὑρέθη τὸ ζητούμενον ὑπόμνημα, εὑρέθη
δὲ ἐν Ἐκβατάνοις τῇ Βάρει, κτ.

Σημ. 50. Ἡ Ἑλληνικὴ μετάφρασις ἐν κεφ. 8. ἐδ. 26. ἢ 27. τοῦ Ἔσ-
δρα ἔχει οὕτω. „Καὶ ἔζησα ἐπὶ χεῖρας αὐτῶν ἀργυρίου τάλαντα ἑ-
„ξακόσια πεντήκοντα, ἢ σκεύη ἀργυρᾶ ἑκατὸν, ἢ τάλαντα χρυσίου
„ἑκατὸν, ἢ Χαφθρῆ χρυσοῦ εἴκοσι εἰς τὴν ὁδὸν χίλιοι, ἢ σκεύη
„χαλκοῦ σίλβοντος ἀγαθοῦ διάφορα ἐπιθυμητὰ ἐν χρυσίῳ. Δῆ-
„λον δὲ, ὅτι οἱδὲ κατὰ ταύτην τὴν ἔκδοσιν συμποσοῦν) σκεύη χρυ-
σᾶ ἢ ἀργυρᾶ πέντε χιλιάδες ἢ τετρακόσια.

Εἰς τὸ τῆς Ἐσθὴρ βιβλ.

Σημ. 51. Τοῦτο ὁ Ἰώσηπος οὐ βεβαίοι, ἀλλ' ἐκ τῶν ἐν τῇ ἐπιστολῇ
τῶν Φαρισαίων, ἢ ἐξ ὧν ὁ Ἰώσηπος φησὶν, εἰκάσαι τοῦτο ἔνεστιν. ἡ μὲν
Ἐσθ. 10. 3. δὲ ἐπιστολὴ ἐκτίθησι τάδε. „Ἔτους τετάρτου, βασιλεύοντος Πτο-
„λεμαίου ἢ Κλεοπάτρας. εἰσήνεγκε Δοσίθεος, ὃς ἔφη εἶναι ἱερεὺς
„ἢ Λευίτης, ἢ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστο-
1 Μακ. λόγ. β. κατὰ Ἀντίων. „λὴν τῶν Φαρισαίων. ὁ δὲ Ἰώσηπος. Ὁ δὲ Φιλομήτωρ Πτολεμαῖος
„ἐν ᾗ γυνὴ αὐτοῦ Κλεοπάτρα τὴν βασιλείαν ὅλην τὴν ἑαυτῶν τοῖς
„Ἰουδαίοις ἐπίστευσαν, ἢ στρατηγοὶ πάσης τῆς δυνάμεως ἦσαν Ὀνίας
„ἢ Δοσίθεος Ἰουδαῖοι.

Σημ. 52. Τῶν Ἀναβαπτιστῶν οἱ ἔξαρχοι, οἱ ἐν τῇ Βιττενβέργᾳ
πόλει τῆς Γερμανίας τὸ πρῶτον τὰ ἑαυτῶν φληναφήματα μωρο-
λογήσαντες, δύω Γερμανοί εἰσιν, ἐκ τῆς τοῦ Λουθήρου Σχολῆς ἐ-
ξελθόντες, ἢ τοῦ διδασκάλου διὰ τὸ ἀτελὲς τῆς διδασκαλίας αὐτοῦ
ἀποςάντες, ὅ,τε Θωμᾶς ὁ Μύνκερ, ἢ Νικόλαος ὁ Στόρκ. Ἀνα-
βαπτισαὶ δὲ ἐκλήθησαν διὰ τὸ ἐξουθενεῖν τὸ τῶν νηπίων βάπτισ-
μα, ἢ ἀναβαπτίζειν πάντας τοὺς τῇ Φατρίᾳ αὐτῶν συναπτομένους.
ὅτοι δὴ τὰ μυςήρια ἀθετοῦντες, ἢ τοὺς ἐκκλησιαςικοὺς ἢ πολιτικοὺς
νόμους καταφρονοῦντες, μεταξὺ τῶν ἄλλων αἱρέσεών τε ἢ ληρημά-
των, ἃ τὰς θείας ἀποςρέφεσθαι Γραφὰς, μόναις δὲ ταῖς ἀποκα-
λύψεσι, ταῖς παρὰ τοῦ οὐρανίου Πατρὸς, κατὰ τὴν ὥραν τῆς προσ-

σου-

σοχῆς πεμπομέναις, προσέχειν δεῖ ἡ εὐθύνεσθαι ἐδίδασκον. (ὅρα τὴν ἐκκλησ. ἱσορ. τῦ Φλέυρι τόμ. 26. σελ. 165.) ταύτην ὧν τῆς τῶν θεῶν Γραφῶν περιφρονήσεως τὴν ἰδέαν, τὸν Βολτέρον ἐκ τῶν Ἀναβαπτιςῶν συνερανέσασθαι φησὶν ὁ συγγραφεύς.

Σημ. 53. Ἐν τῇ 2. σημ. τῦ Βολτέρυ τῇ ἐν τῇ τελευταῖον διερμηνεύθη. Διαθήκη ἀντὶ τῦ Βυλκαοσίνυ ἀλέκτορος κεῖται τὸ, διήγημα τῶν χιλίων νυκτῶν ἡ μιᾶς. ἔςι δὲ τῦτο τίτλος, ἢ ὀνομασία τῦ μυθολογικῦ ἀραβικῦ πονήματος, τῦ εἰς διαφόρυς μετενεχθέντος διαλέκτυς, ἐν ᾧ ἡ ὁ τῦ Ἀβυλκαοσίνυ ἀλέκτορος μῦθος.

Σημ. 54. Ἡ ἑλληνικὴ ἔκδοσις περιέχυσα τάδε. Κλίναι χρυσαῖ, ἡ „ἀργυραῖ ἐπὶ λιθοςρώτυ σμαραγδίτυ λίθυ. ἡ πιννίνυ, ἡ Παρίνυ λίθυ· λύει τῦ παραδόξυ ἀκύσματος τὴν ἀπορίαν. Πρῶτον μὲν δὲ τὸ ὅλον ἔδαφος τῆς οἰκίας λιθόςρωτον σμαραγδίτυ λίθυ ἐμφαίνει, ἀλλὰ τὸν τόπον, ἐν ᾧ αἱ χρυσαῖ ἡ ἀργυραῖ κλίναι ἔκειντο. β'. ἀλλ' ὐδὲ τὸν τόπον τῦτον ὅλον σμαραγδίτῃ λίθῳ ἐςρωμένον εἶναί φησιν, ἀλλὰ ἡ πιννίνῳ ἡ Παρίνῳ λίθῳ. ἐξ ὧν νοεῖν ἔπεται, ὅτι τὸ μέρος μόνον, ἐν ᾧ αἱ κλίναι ἦσαν, ἐςρωμένον ἦν λίθῳ πιννίῳ ἡ Παρίνῳ, σμαραγδίτῃ δὲ λίθῳ πεποικιλμένον.

Σημ. 55. Ἡ τῦ Παρισίυ λέγα δι' ἧς ὁ συγγραφεὺς μετρεῖ, ἴση ἐςὶ δυσὶν Ἰταλικοῖς μιλίοις ἡ περίπυ ὀκτημορίῳ. ὡς δὲ βαθμὸς Γεωγραφικῦ κύκλυ περιέχει λέγας μὲν εἰκοσιοκτὼ σὺν τεταρτημορίῳ, μίλια δὲ Ἰταλικὰ ἑξήκοντα. διὸ ἡ λέγα πρὸς τὸ Ἰταλικὸν μίλιον, λόγον ἔχει ὃν 28 ¼ πρὸς 60, εἴτυν ὃν 113. πρὸς 240. ὅπερ ἐςὶ 2. ἡ περίπυ ½ πρὸς 1.

Σημ. 56. „Ἡ δὲ (ἡ Ἀςὶν) φυλακῇ τῶν παρὰ Πέρσαις νόμων, οἱ „τοῖς ἀλλοτρίοις βλέπεσθαι τὰς γυναῖκας ἀπηγορεύκασιν, ὐκ ἐπο- „ρεύετο πρὸς τὸν Βασιλέα. Ταῦτα μόνα φησὶν ὁ Ἰώσηπος. ἐξ ὧν „δῆλον, ὅτι τὸ, ὐκ ἦν συνήθεια ἐν τῇ Περσίᾳ τὰς γυναῖκας τοῖς „ἀνδράσι συνεδρίειν, προσθήκη ἡ ψεῦδός ἐςι τῶν τῷ Βολτέρῳ συνήθων. Γώσ. β. 11. κ. 6. ἀρχ.

Σημ. 57. Τὶ μὲν φησὶν ὁ Ἄρχερ ὐκ οἴδαμεν. ὐδὲ δὲ πάρεσιν ἡμῖν ἡ τῦτυ βίβλος. εἴτε δὲ μῦθός ἐςιν, εἴτε ἀλήθεια τὸ ὑπὸ τῦ Ἡροδότυ ἱσορηθὲν, τῇ προκειμένῃ ὑποθέσει ὐδὲν συντείνει.

Σημ.

Σημ. 58. Ὁ Ἱερώνυμος τὴν τῆς Ἐσθὴρ βίβλον ἀπὸ τοῦ ἑβραϊκοῦ εἰς τὸ λατινικὸν μεταρυθμίσας ὕφος, καὶ τῇ ἑλληνικῇ παραβαλὼν μεταφράσει, εὗρε, φησί τινας ἐν αὐτῇ προσθήκας ἐν τῷ ἑβραϊκῷ μὴ κειμένας. εὐλαβηθεὶς δὲ ταύτας, ἐν τῷ τέλει τοῦ βιβλίου τῆς Ἐσθὴρ κατέταξε. διὸ ἐν τῇ καλουμένῃ Βουλγάτῃ μετὰ τὸ δέκατον τῆς Ἐσθὴρ κεφάλαιον. ἔτι ἓξ κεφάλαια περιέχονται, προσθῆκαι καλούμενα. ἐκ τούτου οὖν ὁ συγγραφεὺς φησίν. αἱ προσθῆκαι εἰς τὸ τῆς Ἐσθὴρ βιβλίον. τῶν δὲ ἑλληνικῶν τῆς Γραφῆς ἐκδόσεων τινὲς μὲν περιέχουσι ταύτας τὰς λεγομένας προσθήκας, οὐκ ἐν τῷ τέλει τῆς βίβλου κειμένας, ἀλλ' ἔντισι τῶν δέκα κεφαλαίων ἐσπαρμένας, τινὲς δὲ τούτων καθαρεύουσι. τρεῖς ἀνὰ χεῖρας ἔχομεν τῆς θείας Γραφῆς ἐκδόσεις, τὴν ἔτ. 1665. ἐν Κανταβριγίᾳ, τὴν ἐν Φρανεκουέρᾳ ἔτ. 1709. καὶ τὴν ἐν χάλῃ ἔτ. 1762. τούτων δὲ ἡ μὲν πρώτη καθαρὰ ὅλως τῶν προσθηκῶν, ἡ δὲ δευτέρα περιέχει αὐτὰς ἐν τοῖς κεφαλαίοις διεσπαρμένας, καὶ ὑποστιγμαῖς σεσημειωμένας οἷον, ἐν μὲν τῷ πρώτῳ κεφ. τὸ τοῦ Μαρδοχαίου ἐνύπνιον καὶ τὴν τῶν εὐνούχων προδοσίαν τῆς συνωμοσίας. ἐν δὲ τῷ τρίτῳ, τὴν τοῦ Ἀρταξέρξου ἐπιστολήν. ἐν δὲ τῷ τετάρτῳ, τὴν τοῦ Μαρδοχαίου καὶ τῆς Ἐσθὴρ προσευχήν. ἐν δὲ τῷ πέμπτῳ, τὴν πρὸς τὸν Βασιλέα παράστασιν τῆς Ἐσθήρ. ἐν δὲ τῷ ὀγδόῳ, τὸ ὑπὲρ τῶν Ἰουδαίων τοῦ Βασιλέως θέσπισμα. ἐν δὲ τῷ δεκάτῳ; τὴν ἀνάπτυξιν τοῦ Μαρδοχαϊκοῦ ἐνυπνίου, καὶ τὴν διαταγὴν τῆς ἑορτῆς τῶν Φρουραί. ἡ δὲ τρίτη οὐ μόνον τὰς προσθήκας περιέχει καθάπερ καὶ ἡ δευτέρα, ἀλλὰ κἀν τῷ τέλει τῶν ἀποκρύφων βιβλίων εἰς κεφάλαια κατὰ τὴν τῆς Βουλγάτης τάξιν διῃρημένας. Περὶ δὲ τοῦ πότερον, προσθῆκαι τῷ ὄντι εἰσὶ ταῦτα, τῷ τῆς Ἐσθὴρ βιβλίῳ ἐμπεφυρμέναι, ἢ οὔ, οὐκ ἔστι τοῦ παρόντος σκοποῦ διαλαβεῖν. οὐ γὰρ ἐπειδὴ οὐχ εὗρεν αὐτὰς ὁ Ἱερώνυμος ἐν τῷ ἀνὰ χεῖρας αὐτοῦ ἑβραϊκῷ τεύχει, διὰ τοῦτο προσθήκας λογίζεσθαι χρή. ἐνδέχεται γὰρ κεκολοβωμένου τυχεῖν αὐτὸν ἑβραϊκοῦ τεύχους.

Σημ. 59. „Δοθήτω τοῖς Ἰουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον, ὥστε „τοὺς δέκα υἱοὺς Ἀμὰν κρεμάσαι. ταῦτα ἡ Ἑλληνικὴ ἔκδοσις. (ἐν „κ. 9 ἐδ 12.) ἐξ ὧν δῆλον, ὅτι ἡ Ἐσθὴρ μόνους τοὺς δέκα υἱοὺς τοῦ Ἀμὰν κρεμασθῆναι ἐζήτησε.

Σημ. 60. Οὕτω μὲν ἡ Βουλγάτα, ὡσαύτως καὶ μία μόνη τῶν ἑλληνικῶν ἐκδόσεων, ἡ ἐν Κομπλουτενσίᾳ, ἐν ᾗ γέγραπται, μυριάδας ἑπτὰ πεντακισχιλίους. „(ὅρα τὰς σημ. τὰς ἐν τῇ ἐν Φρανεκ. ἐκδ.) ἐν

δὲ

„δὲ ταῖς λοιπαῖς ἑλληνικαῖς ἐκδόσεσι κεῖται τὸ, μυρίους πεντακισχιλίους. Ἐσθ. 9. 16.
ὅπερ ⊂ δεκτότερον.

Σημ. 61. Οὐδαμοῦ ἐν τῇ ἑλληνικῇ τῆς Ἐσθὴρ ἐκδόσει εὑρίσκεις τὸν Ἀμὰν ἐκ τῆς φυλῆς Ἀγάγ. ἀλλ' ἐν μὲν τῷ 1. κεφ. ἐδ. 1. τῆς Ἐσθὴρ, ὡσαύτως καὶ ἐν τῷ 3. ἐδ. 1. βουγαῖον, ὅπερ σημαίνει τὸν μεγάλαυχον. ἐν δὲ τῷ 9. ἐδ. 24. Μακεδόνα. ἐν τῇ Βουλγάτῃ δὲ μόνῃ κεῖται (ἐν κεφ. 3. ἐδ. 1. καὶ ἐν ἄλλοις κεφαλ.) τὸ, „τὸν Ἀμὰν υἱὸν Ἀμαδάθου, τὸν ἐκ φυλῆς Ἀγάγ. ἐκ τούτου ὁ συγγραφεὺς, ἐπιχειρεῖ ἀποδεῖξαι τὺν Ἀμὰν, Ἀμαληκίτην, ὁμοίως καὶ ὁ Καλμέτος, (ἐν τοῖς σημ. ταῖς εἰς τὸ 3. κεφ. τῆς Ἐσθ.) λέγων, ὅτι τὸ Ἀμαληκίτης κεῖται ἐν τῇ Χαλδαϊκῇ καὶ Ἑβραϊκῇ ἐκδόσει, καὶ παρὰ Ἰωσήπῳ, ἐν δὲ τῇ τοῦ Ὠριγένους τὸ, Ἀμὰν υἱὸν Ἀμαθαδοῦ Γωραῖον. ἐν ἄλλῃ δὲ τοῦ αὐτοῦ ἐκδόσει· Ἀμὰν Ἀμαθαδοῦ Γωγαῖον. ἐκ τούτου δὲ ὁ Ἀμὰν λέγεται Βουγαῖος, Μακεδὼν, Ἀγαγίτης, Ἀμαληκίτης. Γωραῖος, Γωγαῖος. τίνα οὖν ἄντις τῶν ἀναγνώσεων τούτων προτιμήσαιτο; τὴν ἐν ᾗ τὸ, Ἀμαληκίτης, ὡς ἐν τῷ Ἑβραϊκῷ καὶ Χαλδαϊκῷ ὕφει κειμένην, καὶ ὑπὸ τοῦ Ἰωσήπου προβαλλομένην; ἀλλὰ διατὶ ὁ χαλκύντερος Ὠριγένης, ὁ μηδὲ ἕν, μηδὲ δύω, ἀλλὰ πολλὰ, καὶ ταῦτα ἀκαμάτῳ διελθὼν προσοχῇ τε ⊂ ἐπιμελείᾳ ἑβραϊκὰ τεύχη, γράφει Γωραῖος, καὶ Γωγαῖος; μᾶλλον δὲ διατὶ οἱ πρὸ αὐτοῦ Ἑβδομήκοντα γεγράφασι Βουγαῖος καὶ Μακεδών; ποῦ δὲ ἡ μὲν Χαλδαϊκὴ ἔκδοσις τὸ, Ἀμαληκίτης, ἡ δὲ Βουλγάτα, ἡ ἐκ τῆς Ἑλληνίδος πολλὰ ἐν τῷ τῆς Ἐσθὴρ βιβλίῳ ἀρυσαμένη, ὡς μαρτυρεῖ ὁ Καλμέτος, (ἐν τοῖς εἰς τὴν Ἐσθ. προλεγομ.) εὗρε τὸ, ἐκ φυλῆς Ἀγάγ; Ἐν τοσαύτῃ ἀπορίᾳ, καὶ ἡ πειθανὴ εἰκασία ἀναπαύει. Τὸ μὲν Γωραῖος καὶ Γωγαῖος κατὰ μόνα τὰ γ, καὶ ρ στοιχεῖα τὰ σχεδὸν ὅμοια ἀλλήλων διαφέρει. τὸ δὲ Βουγαῖος καὶ τὸ Γωγαῖος οὐ πάνυ ἀπ' ἀλλήλων διεστήκατον. πειθανὸν οὖν δοκεῖ, ὅτι τὸ μὲν τοῦ Ὠριγένους πρωτότυπον ἔγραφε Βουγαῖος, τῶν δὲ μεταγραψάντων αὐτὸ τινὲς μὲν ἔγραψαν Γωραῖος, τινὲς δὲ Γωγαῖος. οὕτω δ' ἄρα ἔχομεν τὸν Ὠριγένην τοῖς Ἑβδομήκοντα σύμφωνον. ὁ δὲ Ἰώσηπος, ὁ Ἀμαληκίτην τὸν Ἀμὰν καλῶν, οὐκ ἀπὸ ἐκδόσεως τῆς θείας Γραφῆς τοῦτο προτείνει, ἀλλ' ἀφ' ἑαυτοῦ, καθάπερ καὶ περὶ ἄλλων τῆς Γραφῆς ὑποθέσεων διαλαμβάνων, ἀφ' ἑαυτοῦ πολλὰ ἐκβάζει. τῆς δὲ ὁ πατὴρ τῆς Βουλγάτης, οὐδὲ αὐτοὶ ἴσασιν οἱ ταύτῃ θέλοντες ἕπεσθαι. ἄλλως τε αἱ ἐν αὐτῇ πασίδηλοι παραδρομαὶ, καὶ τὰ σφάλματα οὐκ εὐαρίθμητα. Διατὶ δὲ ἀκατανόητον ἡγεῖται ὁ συγγρα-

Ε. Μετὰ δὲ ταῦτα προστίθησι τὴν ἑξῆς ἀξιολογωτάτην παρατήρησιν. „Μετὰ τὸ τρίτον, φησὶ, καὶ τέταρτον κεφάλαιον τῆς „Γενέσεως, ἐν οἷς λόγος περὶ τῆς Εὔας, τὸ ὄνομα αὐτῆς ἐν τῇ πα„λαιᾷ Διαθήκῃ οὐδαμοῦ εὑρίσκεται. Ἐκ ταύτης δὲ τῆς παρατηρήσεως συνάγει τὴν ἑξῆς συνέπειαν. „Οὐδεμία, λέγει, τῶν Ἰουδαϊ„κῶν βίβλων μνημονεύει νόμου, ἢ κατ' εὐθείαν ῥήσεώς τινος τῆς πεν„τατεύχου, ἀνακαλοῦσα τὰς φράσεις, αἷς ὁ συγγραφεὺς αὐτῆς ἐ„χρήσατο. Ἐκ ταύτης δὲ καὶ ἄλλην ἐπιφέρει συνέπειαν. Αὕτη, „προστίθησιν, ἡ τοσοῦτον βαθεῖα καὶ καθολικὴ σιωπὴ ἐνισχύει τὴν „γνώμην τῶν διϊσχυριζομένων, ὅτι πάντα τὰ Ἰουδαϊκὰ βιβλία περὶ „τὸν τῆς αἰχμαλωσίας καιρὸν συνεγράφησαν.

Ἡ μὲν παρατήρησις αὐτοῦ ἀληθής. πλὴν δὲ τῶν κεφ. 3. καὶ 4. τῆς Γενέσ. ἔτι δὲ καὶ τοῦ 8. τοῦ Τωβὶτ, ἐν ἄλλοις τοῦ τῆς Εὔας ὀνόματος ἡ παλαιὰ Διαθήκη οὐδαμοῦ μνημονεύει. ἀλλὰ τὶ ἐκ τούτου εὐλόγως συνάγεται; ἕτερον οὐδὲν, εἰμὴ τὸ ὅτι οὐδεμία ἄλλη τῶν Ἑβραίδων τούτῳ ἐκλήθη τῷ ὀνόματι, ἴσως διὰ τὸ τὴν Εὔαν πρώτην ἀπατηθῆναι, ἢ αἰδοῖ τῶν πρωτοπλάστων. καὶ δὲ οὐδὲ Ἀδὰμ. ἄλλος τις ὁρᾶται ἐν τῇ Γραφῇ καλούμενος· ἢ ἐκλήθησαν μὲν τυχὸν καὶ ἄλλαι ἑβραΐδες τῷ τῆς Εὔας ὀνόματι, ἀλλ' ἡ Γραφὴ τούτων οὐκ ἐμνήσθη. οὐ δὲ πασῶν τῶν ἑβραίων γυναικῶν τὸν κατάλογον ἡ Γραφὴ προτείνει, ἀλλὰ πάνυ ὀλίγων, καὶ ταῦτα ἐπισήμων. ταῖς δὲ ἐπιφερομέναις συνεπείαις ἱκανῶς ἀπαντᾷ ὁ συγγραφεὺς ἐν τῷ 6. αὐτοῦ βιβλ. κεφ. 2. Ἀρθρ. 1. Ἀριθ. 1. καὶ κεφ. 3. Ἄρθρ. 1. Ἀριθ. 1. καὶ κεφ. 4. Ἄρθρ. 1. Ἀριθ. 1. καὶ κεφ. 5. Ἄρθρ. 1.

Ἀριθ.

Ἀριθ. 1. ὡσαύτως καὶ τῇ περὶ τῶν ἐρώτων τῶν Ἀγγέλων φλυαρίᾳ βιβλ 6. κεφ. 7. Ἄρθρ 9. Ἀριθ. 3.

ϛ'. „Ἡ διὰ τῆς χολῆς, φησὶ, πτῶσις τοῦ λευκώματος, καὶ ἡ θε„ραπεία τοῦ τυφλοῦ ἐν ἡμίσει ὥρας εἰσὶ τοσοῦτον ἀσυνήθη, ὅσον καὶ „ἡ διὰ τῆς κόπρου τῆς χελιδόνος ἐπισυμβάσα τύφλωσις.

Ἀληθῶς ἡ μὲν πτῶσις τοῦ λευκώματος, καὶ ἡ θεραπεία τοῦ τυφλοῦ ἀσυνήθη εἰσὶ καὶ παράδοξα, μᾶλλον δὲ θαύματα. ἡ δὲ ἐκ τῆς κόπρου οὐχὶ τῆς χελιδόνος. κατὰ τὴν Βουλγάταν, ἀλλὰ τῶν ϛρουθίων, κατά τε τὴν Σύραν, καὶ ἑλληνικὴν, οὐμὴν ἀλλὰ καὶ τὴν Ἑβραϊκὴν ἔκδοσιν, (ὅρα τὸν Καλμέτ. ἐν τοῖς εἰς τὸν Τωβ. προοιμ.) ἐπισυμβάσα τῷ Τωβὶτ τύφλωσις οὐ θαῦμα, ἀλλὰ φυσικὸν ἀποτέλεσμα. Τωβ. 2. 10.

Ζ'. „Ἀλλ' οὐχ εἷς μόνος, φησὶ, τῶν ὑπομνηματιϛῶν, ἐπὶ πᾶ„σι δὲ ὁ Καλμέτος διϊσχυρίζεται, ὅτι ὁ μὲν Διάβολος ὁ Ἀσμοδαῖος „ἐϛὶν ἡ Συναγωγὴ, ὁ δὲ Ῥαφαὴλ ἐϛὶν ὁ Ἰησοῦς Χριϛός.

Ἰδοὺ τὰ τοῦ Καλμέτου ῥήματα· (ἐν τῷ τέλει τοῖς εἰς τὸν Τωβ. ὑπομν.) „Ὁ Θεὸς, ὡς ἔοικεν, ἐμφανίσαι ἠθέλησε διὰ μὲν τοῦ γέ„ρονος Τωβίου, (ἡ Βουλγάτα οὐ μόνον τὸν υἱὸν, ἀλλὰ καὶ τὸν πατέ„ρα καλεῖ Τωβίαν) τοῦ ἐξόχως ἐνασχολουμένου ἐν τοῖς σωματικοῖς ἔρ„γοις τῆς πρὸς τοὺς ζῶντάς τε καὶ τεθνεῶτας ἀγάπης, εἶτα τὸ τῆς „τυφλώσεως παθόντος νόσημα, τὸ τῆς παλαιᾶς Διαθήκης σχῆ„μα. διὰ δὲ τοῦ νεωτέρου Τωβίου τὴν τῆς νέας Διαθήκης, καὶ τὴν „τῆς Χριϛοῦ Ἐκκλησίας εἰκόνα. τὸ ἀθῷον καὶ δόκιμον τοῦ ἤθους, τὸ „σῶφρον ἐν τῇ τῶν ἡδονῶν χρήσει, ὁ ἐξωσθεὶς Δαίμων, ἡ τῷ πα„τρὶ πάλιν δοθεῖσα ὅρασις, ταῦτα πάντα ὁμοῦ ζῶσαν ἐμφαίνουσιν „εἰκόνα τοῦ τῇ Συναγωγῇ μεταδοθέντος Εὐαγγελίου, καὶ τοῦ Ἀσ„μοδαίου Δαίμονος, τοῦ ἐκ τῆς εἱρκτῆς αὐτοῦ, εἴτουν ἐκ πάσης τῆς „οἰκουμένης, ἐξωσθέντος διὰ τῆς εἰς Χριϛὸν ἐπιϛροφῆς τῶν ἐθνῶν. Ταῦτα παρεθήκαμέν σοι, ὦ νοήμων ἀναγνῶϛα, ἵνα παραβαλὼν αὐτὰ τοῖς ὑπὸ τοῦ Βολτέρου, ὡς ἐκ τοῦ Καλμέτου προτεινομένοις ῥήμασι, γνῶναι ἔχῃς τὸ φιλάληθες, τὸ ἀξιόπιϛον, τὸ διακριτικὸν καὶ ἀκριβὲς τοῦ τὸν φιλόσοφον ἐπαγγελλομένου, καὶ τοιούτου ὑπὸ τῶν ὀπαδῶν αὐτοῦ ἀνακηρυττομένου.

Σημ. 93. Περὶ Παύλου τοῦ Λουκᾶ τᾶ ἑξῆς ἱϛορεῖ ὁ Καλμέτος. (ἐν τοῖς Προοιμ. τοῖς εἰς τὸν Τωβ. ὑπομνήμ.) „Παράδοξά τινα, καὶ ῥα„δίως ὑποτοπαζόμενα τὰς τῆς φύσεως δυνάμεις ὑπερέχειν διηγοῦν„ται (ὅρα τὴν εἰς τὴν Ἀνατολὴν περιήγησιν Παύλου τοῦ Λουκᾶ. Τ.

„1. κ. 9, καὶ 14.) περί τινος ὄφεως ἐν σπηλαίῳ τινὶ τῆς ἀνωτέρας „Αἰγύπτου ἐμφωλεύοντος. κρύπτεται οὗτος ἐν ὄρει ἀπεναντίας τῆς „πόλεως Σαάτης, τῆς λέγας περίπου ἑκατὸν πορρωτέρω τοῦ Καί„ρου κειμένης ἐν τῇ δυτικῇ τοῦ Νείλου ὄχθῃ. βλάπτει δὲ οὐδένα, „παντὶ δὲ ἅπτεσθαι αὐτοῦ ἀφίησι, μάλιστα δὲ καὶ ἀποκτείνειν, καὶ εἰς „τμήματα διαιρεῖν. τῶν δὲ τμημάτων εἰς τόπους πολλὰς ἡμέρας ἀλ„λήλων διεστηκότας, μετενεχθέντων, ἀναβιοῖ, καίπερ ἀποκταν„θεὶς, καὶ εἰς τὸ φίλον αὐτῷ σπήλαιον τοῖς ζητοῦσιν αὐτὸν εὑρίσκε„ται. πνεύματος αἴσθησιν νομίσειας ἂν ἔχειν τὸν ὄφιν. τισὶ μὲν τοῦ „προϋπαντᾷ, καὶ τούτους μακραῖς, περιπλέκει σειραῖς, τινῶν δὲ τὴν „ὄψιν ἀποποιεῖται, καὶ εὐθέως φεύγει. τελευταῖον εἴπερ ἀληθῆ τὰ „περὶ τοῦ ὄφεως τούτου ἱστορούμενα, ὁμολογεῖν ἀνάγκη, ὅτι τερατῶ„δές τι ἐν αὐτῷ ὑπάρχει. εἰσί τινες δὲ, οἳ τὸν ἐν τῇ ἀνωτέρᾳ Αἰ„γύπτῳ δεδεμένον Ἀσμοδαῖον εἶναι τὸν ὄφιν νομίζοντες. ἐπιθυμη„τὸν δὲ τὸ εἰδέναι ὡρισμένως κατὰ τίνα καιρὸν ὁ ὄφις οὗτος ἐν τῷ „τόπῳ ἐκείνῳ ἐνεφανίσθη, περὶ οὗ βαθεῖα παρὰ τοῖς ἀρχαίοις σιω„πή. μήτι δὲ μῦθός ἐστι, κατασκευασθεὶς, πρὸς ἀπάτην μὲν τῶν „εὐπιστοτέρων, τριβὴν δὲ χρόνου τῶν ὀκνηροτέρων. Ταῦτα οὖν τὰ ἐν „τάξει μύθων τιθέμενα, ἐν ἀληθείας μέρει ἐκλαμβάνει, ἵνα τὰ ἱε„ρὰ χλευάζῃ, ὁ ἐπίτριπτος.

Σημ. 94. Δηιόκεω δὲ παῖς γίνεται Φραόρτης, ὃς τελευτήσαντος „Δηιόκεω, βασιλεύσαντος τρία καὶ πεντήκοντα ἔτεα, παρεδέξατο „τὴν ἀρχήν. παραδεξάμενος δὲ, οὐκ ἀπεχρᾶτο μούνων ἄρχειν τῶν „Μήδων, ἀλλὰ στρατευσάμενος ἐπὶ τοὺς Πέρσας, πρώτοισί τε τού„τοις ἐπεθήκατο, καὶ πρώτους Μήδων ὑπηκόους ἐποίησε. μετὰ δὲ ἔ„χων δύω ταῦτα ἔθνη, καὶ ἀμφότερα ἰσχυρὰ, κατεστρέφετο τὴν Ἀσί„ην, ἀπ' ἄλλου ἐπ' ἄλλο ἰὼν ἔθνος, ἐς ὃ στρατευσάμενος ἐπὶ τοὺς „Ἀσσυρίους, καὶ Ἀσσυρίων τούτους οἳ Νῖνον ἔχον, καὶ ἦρχον πρότε„ρον πάντων, τότε δὲ ἦσαν μεμουνωμένοι μὲν συμμάχων, ἅτε ἀπε„στεώτων, ἄλλως μέντοι ἑωϋτῶν εὖ ἥκοντες. ἐπὶ τούτοις δὴ στρατευ„σάμενος ὁ Φραόρτης, αὐτός τε διεφθάρη, ἄρξας δύω καὶ εἴκοσι „ἔτεα, καὶ ὁ στρατὸς αὐτοῦ ὁ πολλός. Ταῦτα ὁ Ἡρόδοτος ἐν βιβ. 1. „σελ. 44. τῆς ἐν Φραγγοφ. ἔτ. 1608. ἐκδόσ.

Σημ. 95. Παραθετέον καὶ τῆς αἰσχύνης τὰ ῥήματα. ἡ γὰρ αἰσχύνη πρὸς τὸ τοῦ εἰπόντος αὐτὰ πρόσωπον ἀνάγεται. „Ἀλλὰ γυνὴ, φη„σὶ, τιμία, πλείονα ἤπερ ὁ Γεωγράφος (ὅρα τοῦ προλαβόντος Ἄρ-

„θρου

„θρȣ Ἀριθμ. 2.) συναντᾷ δυσκολίαν ἀθωῶσαι θέλȣσα τὴν πολι-
„τείαν τῆς ὡραίας Ἰȣδίθ. τὸ μὲν ἀπελθεῖν συγκαθευδῆσαι τῷ
„Ἀρχιστρατήγῳ, ἵνα τὴν κεφαλὴν αὐτȣ̃ ἀποτέμῃ, ȣ̓κ ἔστι σεμνόν·
„τὸ δὲ ταῖς ἡμαγμέναις χερσὶν αὐτῆς ἐμβαλεῖν τὴν ἔτι αἷμα στάζȣ-
„σαν κεφαλὴν ἐν μικρῷ σάκκῳ, ἐπιστρέψαι δὲ εἰρηνικῶς σὺν τῇ δȣ́-
„λῃ αὐτῆς, διὰ στρατȣ̃ διελθȣ̃σαν ἐκ πεντήκοντα ⁂ ἑκατὸν χιλιά-
„δων στρατιωτῶν συγκειμένȣ, ⁂ ὑπὸ μηδενὸς ἁλωθεῖσαν, ȣ̓κ ἔστι
„κοινόν.

Ἐὰν ἡ Ἰȣδὶθ ἀληθῶς ἀπῆλθε συγκαθευδῆσαι τῷ Ὀλοφέρ-
νῃ, τȣ̃το ȣ̓ μόνον ȣ̓κ ἔστι σεμνὸν, ἀλλὰ καὶ αἰσχρὸν καὶ παράνομον.
ἀλλὰ πόθεν ȣ̃τος παραλαβὼν λέγει, ὅτι ἀπῆλθε σκοπὸν ἔχȣσα
συγκαθευδῆσαι τῷ Ὀλοφέρνῃ; ἐκ τῆς βίβλȣ πάντως τῆς Ἰȣδίθ.
πλὴν τȣ̃ αὐτῆς ȣ̓δεμία ἄλλη τὰ περὶ αὐτῆς ἱστορεῖ. ἀλλ' ἡ βίβλος
αὕτη οὐ μόνον ȣ̓δὲν τοιȣ̃τον περιέχει. ἀλλὰ καὶ τἀναντία τȣ́τȣ σα-
φῶς νοεῖν παρασκευάζει. τίνα τȣ̃ λόγον ἔχει, ὅτι ἡ προνοησαμέ-
νη μηδὲ συμφαγεῖν, μηδὲ συμπιεῖν τῷ Ὀλοφέρνῃ, καὶ διὰ τȣ̃το δȣ̃-
σα τῇ ἅβρᾳ αὐτῆς ἀσκοπυτίνην οἴνȣ, καὶ καμψάκην ἐλαίȣ, καὶ ἀλ-
φίτων, καὶ παλάθης, καὶ ἄρτων καθαρῶν πληρώσασα τὴν πήραν αὐ-
τῆς, ἀπῆλθε συγκαθευδῆσαι τῷ Ὀλοφέρνῃ; τὶς δὲ ȣ̓ καθορᾷ,
ὅτι ἡ μὴ στέρξασα, καίπερ προσκληθεῖσα ὑπὸ τȣ̃ Ὀλοφέρνȣ, συμ-
μετασχεῖν τῶν ἐν τῇ τραπέζῃ αὐτȣ̃ βρωμάτωντε καὶ πομάτων, ἀλ-
λὰ κατέναντι μὲν αὐτȣ̃ καθήσασα, φαγȣ̃σα δὲ καὶ πιȣ̃σα, ἅπερ ἡ-
τοίμασεν ἡ δȣ́λη αὐτῆς, πόῤῥω ἀπεῖχε τȣ̃ σκοπεῖν συγκαθευδῆσαι
τῷ Ὀλοφέρνῃ; Συκοφάντα ἀναιδέστατε, πῶς ȣ̓κ ἐρυθριᾷς, τὴν ἄν-
θρωπον, τὴν τοσαύτῃ ἀρετῇ καὶ συνέσει, καὶ χάριτι Θεȣ̃ κεκοσμη-
μένην, καὶ πᾶσαν τὴν ἐλπίδα τῆς ἐκβάσεως τȣ̃ ἔργȣ αὐτῆς εἰς αὐτὸν,
ὡς ἐκ τῶν εὐχῶν αὐτῆς δῆλον, ἀναθεμένην, καὶ τοσȣ̃τον ἐπιβόλως
τε καὶ συνετῶς τὰ περὶ τὸν σκοπὸν αὐτῆς οἰκονομήσασαν, τοιαύταις
περιπλύνειν συκαφαντίαις; ἀλλ' ἀπῆλθεν ἀποτεμεῖν τὴν τȣ̃ Ὀλο-
φέρνȣ κεφαλήν. ναί. τȣ̃το ἀληθὲς, καὶ τοῖς ἔργοις δεδειγμένον. ἀ-
πῆλθεν ἀποτεμεῖν τὴν κεφαλὴν τȣ̃ πολεμίȣ, τȣ̃ ἀδίκως καὶ παρα-
λόγως ἐξαλεῖψαι ȣ̓ μόνον ἀπειλȣ̃ντος, ἀλλὰ καὶ ἐγγίζοντος, τὸ
θεοσεβὲς αὐτῆς γένος. καὶ σῶσαι τȣ̀ς τῇ πολιορκίᾳ καταδυναστευο-
μένȣς, καὶ τῇ δίψῃ ἐκλείποντας. τȣ̃το ȣ̓ν ἐστὶ τὸ ἄσεμνον; ἠγνόει ἆρα
ὁ πολυμαθὴς ȣ̃τος τȣ̀ς κατὰ τῶν πολεμίων νόμȣς; Ὅτι δὲ τὸ
τοιȣ̃τον ἔργον ȣ̓ μόνον ȣ̓κ ἔστι κοινὸν, ἀλλὰ καὶ μοναδικὸν, καὶ παρά-
δοξον, καὶ οἱ τότε Ἰȣδαῖοι ἐγνώρισαν· ὅτε τȣ̃ εἰς τὴν Βετυλȣ́αν ἐ-
„πέστρεψεν ἡ Ἰȣδὶθ, συνέδραμον πάντες ἀπὸ μικρȣ̃ ἕως μεγάλȣ,

Ἰȣδ. 10. 5.

Ἰȣδ. 12. 19.

Ἰȣδ. 13. 13.

„ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐτήν. ᾗ πάντες δὲ οἱ ἄχρι
τοῦ νῦν τῇ βίβλῳ αὐτῆς εὐφρόνως ἐντυγχάνοντες, ὁ κοινὸν, ἀλλ'
ἐνικὸν αὐτὸ λογίζονται, θαυμάζοντες ὁ μόνον τὸ τοῦ Θεοῦ παντοδύ-
ναμον, ἀλλὰ ᾗ τῆς Ἰουδὶθ τὴν πίστιν, ᾗ τὴν σύνεσιν. „πίστει μὲν γὰρ
Ἰουδ. 13. 7. „εἶπε· Κραταίωσόν με ὁ Θεὸς Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ταύτῃ· συνέσει
δὲ προωκονόμησε πρὸς τοῖς ἄλλοις, ᾗ τὸ τῇ ἐπιβαγῇ τοῦ Ὀλοφέρνου
ἀνύποπτον γενέσθαι τοῖς στρατιώταις τὴν ὁδὸν αὐτῆς ἄχρι τῆς
Ἰουδ. 12. 7. Βετυλούας· „Καὶ προσέταξε, φησὶν, ὁ Ὀλοφέρνης τοῖς σωματο-
„φύλαξι μὴ κωλύειν αὐτήν. ᾗ παρέμενεν ἐν τῇ παρεμβολῇ ἡμέ-
„ρας τρεῖς, ᾗ ἐξεπορεύετο κατὰ νύκτα εἰς τὴν φάραγγα Βετυλούα,
„ᾗ ἐβαπτίζετο ἐν τῇ παρεμβολῇ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος.

Ἰουδ. 12. 7. **Σημ. 96.** „Ταῦτα μὲν παρὰ τῇ Βουλγάτῃ, ἡ δὲ Ἑλληνικὴ μετάφρα-
„σις ἔχει ὅτως· Ὡς δὲ εἶδον αὐτὴν, ᾗ ἦν ἠλλοιωμένον τὸ πρόσωπον
„αὐτῆς, ᾗ τὴν σολὴν μεταβεβλημένην αὐτῆς, ᾗ ἐθαύμασαν ἐπὶ
„τῷ κάλλει αὐτῆς πολὺ σφόδρα.

Σημ. 97. Συνάδει τούτοις ἡ παλαιοτάτη, ᾗ πολλῶν ἕνεκα τῶν ἄλ-
Ἰουδ. 16. 23. λων προτιμοτέρα Ἑλληνικὴ ἔκδοσις. ἰδοὺ τὰ ῥήματα αὐτῆς· „Καὶ ἐ-
„γήρασεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἔτη ἑκατὸν πέντε, ᾗ ἀφῆκε
„τὴν ἄβραν αὐτῆς ἐλεύθεραν, ᾗ ἀπέθανεν εἰς Βετυλούα. Οὐδὲ τοῦ
Καθολικοῦ ἄρα, οὐδὲ τοῦ Προτεσάντου χρήζομεν, μεταφραζῶν ὄν-
των νεωτέρων.

Σημ. 98. Δῆλος ὁ τοῦ ἀπίστου σκοπὸς ἐκ τῶν δὲ τῶν ῥημάτων αὐ-
τοῦ. „Μάτην, φησὶν, ἐπετέλουν ἂν οἱ Ἕλληνες τὴν τοῦ Τρωαδικοῦ
„ἵππου ἑορτήν. οὐδὲν γὰρ ἧττον ψευδὲς ἦν ᾗ γελοιῶδες. τὴν Τρωάδα
„διὰ τοῦ μεγάλου τούτου ξυλίνου ἵππου ἁλωθῆναι. χεδὸν ἐν πάσαις ταῖς
„ἑορταῖς οἱ, τε Ἕλληνες, ᾗ οἱ παλαιοὶ Ῥωμαῖοι συμβάντα εὐφραίνον
„μυθώδη. ὁ Κάσωρ ᾗ ὁ Πολυδεύκης οὐδὲ ἐξ οὐρανοῦ, οὐδὲ ἐκ τῶν
„κοσμίων ἦλθον προσῆναι τοῦ Ῥωμαϊκοῦ στρατοῦ, ὅμως ἑορτάζετο
„τοῦτο τὸ ὡραῖον θαῦμα. ἑώρταζον τὴν Συλλίαν βεσάλην, ἥτι-
„νι ὑπνώσῃ δύω τέκνα πεποίηκεν ὁ Θεὸς ὁ Ἄρης, κἂν οἱ Λατῖνοι
„τότε ἠγνόουν ᾗ τὸν Ἄρην, ᾗ τὰς Βεσάλας. πᾶς μῦθος ἐν Ῥώ-
„μῃ καὶ Ἀθήναις εἶχεν ἰδίαν ἑορτήν. πᾶν ὑπόμνημα ἦν ψεῦδος.
„ὅσῳ πλείονα ἦσαν ἱερὰ, τοσούτῳ μᾶλλον βέβαιον ἦν, ὅτι ἦσαν γε-
„λοιώδη. καταλελοιφότων τῶν ἀπωτέρω παραδειγμάτων οὐκ ἔχο-
„μεν ἄρα ἡμεῖς ἐν μὲν τῇ τῶν Γραικῶν Ἐκκλησίᾳ τὸν μύθοντῶν

ἑπτα

„ἑπτὰ παίδων, ἐν δὲ τῇ Ῥωμαϊκῇ τὸν τῶν ἑνδεκα χιλιάδων παρ-
„θένων; ἔτι δὲ ἄρά γε ἐπισημότερόν τι ἄλλο ἐν τοῖς καθ' ἡμᾶς δυτι-
„κοῖς μέρεσι τῆς Ἐπιφανείας, ἢ τῶν τριῶν αὐτῆς Βασιλέων Γα-
„σπάρδα, Μελχίορ, ἢ Βαλτάζαρ, τῶν τῇ ὁδηγίᾳ τῇ ἀστέρ
„πεζευσάντων ἀπὸ τῶν ἄκρων τῆς Ἀνατολῆς ἄχρι τῆ χωρίς Βηθ-
„λεέμ; τὰ αὐτὰ δύναταί τις εἰπεῖν περὶ τῆς Ἰουδὶθ καὶ τῆ Ὀλο-
„φέρνε.

Τρεῖς προτείνας μύθων ἑορτὰς, ὧν τῆς τῆ Τρωαδικῆ ἵππε σὺ
εἶ ὁ πλάσης, ἐπάγεις τὸ, χεδὸν ἐν πάσαις ταῖς ἑορταῖς. εἶτα ἢ
τῇ χεδὸν ἐπιλαθόμενος, ἐπιφέρεις τὸ καθολικώτατον πᾶς μῦθος
εἶχεν ἰδίαν ἑορτὴν, ἢ πᾶν ὑπόμνημα ἦν ψεύδος. μετὰ ταῦτα ἀ-
φεὶς τὰ ἀπώτερα, ἢ ἐπὶ τὰ καθ' ἡμᾶς προβὰς, ἢ ἀδιακρίτως τε
ἅμα ἢ δολίως τ' ἀληθῆ, οἷον τὴν τῆ Ἰησῆ Χριςῆ Ἐπιφάνειαν,
ἢ τὴν τῶν Βασιλέων προσκύνησιν, ἐνίοις μὴ δεκτοῖς ἐπισυνάψας ἢ
ἀναμίξας, συμπεραίνεις· ἢ ταῦτα διὰ τῆ, δύναταί τις εἰπεῖν, ὅπερ
ἀπορῆντά σε ἐμφαίνει τὸν προκείμενόν σοι σκοπὸν, τυτέςι τὸ, μυ-
θώδη εἶναι τὴν περὶ τῆς Ἰουδὶθ ἢ τῆ Ὀλοφέρνε ἱςορίαν. ὅτος ἂν
ἐςὶν ὁ τῆ διαλέγεσθαι ἢ δεικνύειν τρόπος σε. ἀλλὰ πῶς ὁ συνορᾷς,
ὅτι ταύτης σε τῆς διαλεκτικῆς οἱ κανόνες εἰς μυρίας κατακρημνίζε-
σι παραλογισμός τε ἢ ἄτοπα; ἐκ γὰρ τῶν μερικωτάτων συνάγεις
τὰ χεδὸν καθόλε, ἢ ἐκ τῶν χεδὸν καθόλε, τὰ ἀπολύτως καθό-
λε. ἴδε γὰρ πᾶ καταντᾷ πάντα ὅσα λέγεις, ἢ τίνι ὅμοιός ἐςιν ὁ
διαλεκτικός σε τρόπος· Ἔνιοι εἰσὶ κλέπται. ἄρα χεδὸν πάντες εἰσὶ
κλέπται. πάντες ἄρα εἰσὶ κλέπται. τυφλὲ, νομίζεις, ὡς ἔοικεν, ὅτι
ἡ πολυλογία σε ἐπικαλύπτει τὸν παραλογισμόν σε. πρὸς τύτοις,
τίς ὐκ οἶδεν, ὅτι πεπλανημένοι ἦσαν οἱ εἰδωλολάτραι, Ἕλληνες ἢ
Ῥωμαῖοι, ἐπὶ μύθες τὸ οἰκεῖον θεμελιῦντες θρήσκευμα; τίς δ' ἀγ-
νοεῖ, ὅτι παντὸς μύθε ἀρχὴ, ἢ ἀφορμὴ, ἔργον ὑπῆρχε ἢ πρᾶγ-
μα, τοσῦτον ἠξηλλοιωμένον ἀυτό τε ἢ αἱ τύτε περιςάσεις, ὥςε μη-
δὲ σκιὰν τῆς ἀρχῆς ἀυτῆ σύνοτε ἐμφαίνειν; πῶς δὲ ὐκ αἰσχύνῃ τὰ
ἀπαράβλητα παραβάλλειν, ἀμέλετοι τὰ τῶν θεοσεβῶν Ἑβραίων
τοῖς τῶν εἰδωλολατρῶν γενῶν, ἢ ἐκ τοιαύτης παραβέσεως συνά-
γειν τὰ παράλογά σε συμπεράσματα, τίς δὲ κοινωνία, ἢ χέσις, ἢ
ἀναφορὰ Ἕλλησιν, ἢ Ῥωμαίοις, ἢ Ἰουδαίοις, τοῖς τότε ἀλλήλων ἀ-
φισαμένοις ἢ γλώττῃ, ἢ πίςει, ἢ νόμοις, ἢ ἐθίμοις, ἢ ἤθεσι, ἢ
τόπῳ, ἢ διαθέσει; πῶς δὲ τὸς τοσῦτον ἀλλήλων διενηνοχότας πα-
ραβάλλων, συνάγεις, τὰς τύτων ἑορτὰς ὁμοίας εἶναι ταῖς ἐκείνων;
ἐπὶ πᾶσι δὲ, σὺ, ὁ τοσῦτον ἀποφαντικῶς λέγων, ὅτι πᾶν ὑπόμ-

νημα, ὅπερ ἐςὶν οὐδενὸς ἐξαιρουμένου, ἦν ψεῦδος, ἀμφιβάλλειν ἔοικας περὶ ὧν σὺ ἀπαφαίνῃ. δύναταί τις τοῦ, ἔφης, εἰπεῖν. οὕτως ἄρα τοὺς ἄλλους πείθειν ἐπιχειρεῖς περὶ ὧν αὐτὸς διςάζεις.

Σημ. 99. Τὰ μὲν περὶ τῶν ὀνομάτων τῶν τριῶν Βασιλέων, καὶ τῶν ἕνδεκα χιλιάδων παρθένων διηγήματα, τὰ ποτὲ μὲν δεκτὰ τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, νῦν δὲ καὶ ἀπ' αὐτῆς ἀποβεβλημένα καὶ σιωπώμενα, ἀληθῶς ἐν μόνοις ῥωμαϊκοῖς ἀποκρύφοις βιβλιδαρίοις εὑρίσκονται. τὰ δὲ περὶ τῶν ἐν Ἐφέσῳ ἑπτὰ, Παίδων, οὐκ ἐν ἀποκρύφοις, ἀλλ' ἐν ἐπιδήλοις τε καὶ ἐπισήμοις ἀναγέγραπται βιβλίοις· οἷον τὸ τοῦ Νικηφόρου τοῦ Καλλίςου ἱςορικὸν, καὶ τὸ τοῦ Μεταφραςοῦ. (βλέπε τὸ Μην. τοῦ Αὐγ. ἡμέρ. 4.) τὸ δὲ περὶ αὐτοὺς γεγονὸς θαῦμα τοῖς μὲν ὁμολογοῦσι τὸ τοῦ Θεοῦ παντοδύναμον, δεκτόν ἐςι καὶ πιςευτὸν, καὶ τῇ παντοδυναμίᾳ αὐτοῦ καὶ φιλανθρωπίᾳ κατάλληλον φαίνεται, τοῖς δὲ ἀπιςοῦσιν ἀκατανόητον καὶ ἀπαράδεκτον.

Νικ. β. 5. κ. 27. καὶ β. 14. κ. 45.

Σημ. 100. Ὅρα τὴν 80 σημείωσιν. Ἰςέον δὲ ὅτι τὰ ῥήματα ταῦτα· Ἡ ἡμέρα, καθ' ἣν ἐποίησεν ἡ Ἰουδὶθ, κτ. ἐν τῇ Βουλγάτῃ κεῖται, ἐν τῷ τέλει τοῦ 16. κεφ. τῆς Ἰουδίθ. ἐκ τῆς Βουλγάτης δὲ παραλαβὼν αὐτὰ ὁ συγγραφεὺς, διϊσχυρίζεται περὶ τῆς παρ' Ἑβραίοις ἑορτῆς τῆς Ἰουδίθ. περὶ ἧς ὅρα, εἰ βούλῃ τὰ εἰς τὸ 16. κεφ, τῆς Ἰουδὶθ τοῦ Καλμέτου ὑπομνήματα.

Σημ. 101. Τὰ περὶ τοῦ Ἀννίου ῥήματα τοῦ Βολτέρου, οἷς ὁ συγγραφεὺς ἀπαντᾷ, εἰσὶ τὰ ἑξῆς· Ψεύςης μοναχὸς, Λομινικανὸς, Ἰωάννης Νάνι καλούμενος, τῷ ὀνόματι δὲ Ἀννίου Βιτερβίου γνωριζόμενος, ἐξέδοτο κατὰ τὸν δέκατον ἕκτον αἰῶνα τὰ νομιζόμενα συγγράμματα τοῦ Φίλωνος, καὶ Βερόσου, ἐν οἷς κεῖται ἡ νομιζομένη τῆς Ἰουδὶθ ἑορτή.

Εἰς τὸ γ', καὶ δ' τῶν Βασιλ. καὶ εἰς τὰ δύω τῶν Παραλειπ. βιβλ.

Σημ. 102. Τὸ, Οὐδὲ ἀπορρίψαι ἕως τοῦ νῦν, οὐδὲ ἐν τῇ ἑλληνικῇ ἐκδόσει, οὐδὲ παρὰ τῇ Βουλγάτῃ, οὐδὲ ἐν τῇ τοῦ Καςελλίωνος μεταφράσει, οὐδὲ παρὰ τοῖς λεγομένοις ἱεροῖς Κριτικοῖς κεῖται. ποῦ δὲ τοῦτο εὗρεν ὁ συγγραφεὺς οὐκ οἴδαμεν.

Σημ.

Σημ. 103. *Παρασιωπᾶι ἐνταῦθα ὁ συγγραφεὺς τὰς ὑπὸ τῦ Βολτέρυ προσαπτομένας τῶ Σολομῶντι ὕβρεις, καθάπερ ἐνίοτε ἡ ἄλλα ἀλλαχῦ. ὧν τὰ ὁπωσδήποτε ἀπαντήσεως δεόμενα προτεῖναι, ἡ αὐτοῖς ὅσον οἷόντε ἀπαντῆσαι ασυδάσομεν, ἵνα μήτις τῶν ἀφορμὴν ζητούντων, σεσιωπῆσθαι νομίσῃ ἀπαντήσεως ἀπορίᾳ. Μόλις, φησὶν, „ὁ Σολομὼν, ὁ ἄασλαγιος υἱὸς τῆς ἀτίμυ Βηρσαβεὲ, τῇ ἀνδροκτο„νίᾳ, ἡ ἱεροσυλίᾳ, ἡ ἀδελφοκτονίᾳ ἐπίσημος γεγονὼς, ἑτοιμάζε„παγίδα τῶ Σεμεί, κτ. ἄχρι τῦ, ἀνομημάτων, οἷς προσέθησι ἡ τὴν „οἰκείαν φρεναπάτην, λέγων ὁ Θεὸς ἐπαίδευσε, φασὶ, τὸν Σολο„μῶντα διὰ τὸ προσενεχθὲν ὑπ' αὐτῦ θυμίαμα τοῖς θεοῖς τῶν γυ„ναικῶν, ἡ τῶν ἐρωμένων αὐτῦ. ἐγὼ ὅμως τολμῶ πιστεύειν, ὅτι ἐὰν „ἐπαιδεύθη, διὰ τὰς ἀνδροκτονίας αὐτῦ, ἐπαιδεύθη.*

Τύτοις ὁ συγγραφεὺς, τὰς ἀντιλοιδορίας καταλιπὼν, ἱκανῶς ἀπήντησε, δείξας, ὅτι ὐδὲ ἀνδροκτόνος, ὐδὲ ἱερόσυλος, ὐδὲ ἄδικος ἀδελφοκτόνος, ὐδὲ ἄασλαγχνος ἦν ὁ Σολομὼν, ὁ τῆς γυναικὸς τῦ Δαβὶδ Βηρσαβεὲ υἱός.

Σημ. 104. *Ὁ Βολτέρος τὰ ῥήματα ταῦτα ἐκφράζει ὕτω· Καὶ ὅμως „ἀμέσως μετὰ ταύτην τῶν ἀνομημάτων τὴν σωρείαν ὁ Θεὸς λαλεῖ „τῶ Σολομῶντι. ὁ Θεὸς ἔρχεται ἀδιαλείπτως ἐπὶ τῆς γῆς συλλαλεῖν „μετὰ τῶν Ἰυδαίων! ἀλλ' ἔσω. νῦν δὲ ὐκ ἐμφανίζεται ὁ Θεὸς τῶ „Σολομῶντι, εἰμὴ κατ' ὄναρ. πῶς δὲ τῦτο ἐγνώσθη; αὐτὸς ἄρα ἀ„νήγγειλε τῦτο ἑτέρῳ τινὶ Ἰυδαίῳ. ἐπὶ δὲ τῇ μαρτυρίᾳ τύτυ τῦ „Ἰυδαίυ, συγγραφεύς τις Ἰυδαῖος ἔγραψε τὴν μοναδικὴν ταύτην „ἱστορίαν, τὴν ἐπὶ ὀνείρυ τεθεμελιωμένην, καθάπερ ἡ πάντα τὰ „τῶ Ἰωσὴφ ἡ Φαραὼ συμβάντα ἐπὶ ὀνείρων τεθεμελίωται. εἶπερ „δὲ δυνατὸν ἦν ὑπεργόντινα τῦ ὑψίυ Θεῦ, ἐκ τῶν ὐρανῶν κα„τελθόντα εἰπεῖν ἐνώπιον παντὸς τῦ λαῦ τῶ Σολομῶντι, αἴτησαι „παρὰ Θεῦ ὅπερ θέλεις. ἡ τὸν μὲν Σολομῶντα αἰτῆσαι τὴν σο„φίαν, τὸν δὲ Θεὸν δῦναι αὐτὴν αὐτῶ σὺν τῶ πλύτω ἡ τῇ ἰσχύι, „ὑπῆρχεν ἂν τῦτο ἀπόλογός τις ὡραιότατος. ἀλλὰ τὸ ὄναρ διαφ„θείρει πάντα.*

Ἡ μὲν ὑπὸ σῦ συλλεχθεῖσα τῶν ἀνομημάτων σωρεία διεσκέδασαι τῇ ἰσχύι τῶν ὑπὸ τῦ συγγραφέως ἀντιβληθέντων λόγων. διὰ δὲ τῦ ἀπορηματικῦ, ἢ ἐρωτηματικῦ, ὁ Θεὸς ἔρχεται ἐπὶ τῆς γῆς, κτ. ὅπερ ὁπωσδήποτε δεκτόν σοι εἶναι δηλοῖς διὰ τῦ, ἔσω· ἐμφαίνεις σεαυτὸν ἤτοι πάντη ἄθεον, ἢ ὁμολογῦντα Θεὸν ἀτελῆ. ἀ μὲν ὖν ἄθεος εἶ, πέμπομεν ἃ σὲ, νῦν ὑπὸ τὴν τιμωρητικὴν ὑπάρχοντα τῦ

Θεῦ

Θεȣ̃ χεῖρα, ἀλλὰ τȣ̀ς ὀπαδȣ́ς σοι ἰδεῖν τὴν κτίσιν, ϗ ἐμφρόνως σκεψαμένȣς, εἰπεῖν τὶς ὁ πλάσας αὐτὴν, ἀναγνῶναί τε τȣ̀ς κατὰ τῶν ἀθέων τοσαῦτα ϗ τοιαῦτα συγγράψαντας. εἰ δὲ Θεὸν σέβῃ, ἀναγγέλλομεν ȣ̓ σοὶ, ἀλλὰ τοῖς ὀπαδοῖς σȣ, ὡς ὁ πιστευόμενος ὑπὸ σȣ̃ Θεὸς, ἀτελὴς ὤν, ȣ̓κ ἔστιν ὁ ἀληθινὸς Θεὸς, ἀλλ' ὃν ἡ φαντασία σȣ ἔπλασεν. ὁ γὰρ Θεὸς παντέλειον ὄν ἐστιν. ἀτελὲς δὲ τὸ μὴ πανταχȣ̃ παρὼν, ἀλλ' ἀναβαῖνον ϗ καταβαῖνον. ὡσαύτως ἀτελὲς τὸ μὴ φιλάνθρωπον. φιλανθρωπίας δὲ ἄμοιρον τὸ μὴ τοῖς δȣ́λοις αὐτȣ̃, τοίς λατρεύȣσιν αὐτῷ, οἷοι ἦσαν οἱ τότε Ἰȣδαῖοι, συνδιαλέγεσθαι εὐδοκȣ̃ν πρὸς ὁδηγίαν τῆς σωτηρίας αὐτῶν. οἱ μὲν ȣ̓ν τῷ ἀληθινῷ Θεῷ, τȣτέστι τῷ πανυπερτελείῳ ὄντι πιστεύοντες, ὁμολογȣ̃σι πανταχȣ̃ παρόντα εἶναι αὐτὸν, μηδαμῶς δὲ χρῄζοντα κατέρχεσθαι ἢ ἀνέρχεσθαι, ἅπερ εἰσὶν ἀτέλεια. φιλανθρωπευόμενον δὲ, ὅπερ χαρακτὴρ τελειότητός ἐστιν, ȣ̓ μόνον τοῖς πιστοῖς, ἀλλ' ἐνίοτε ϗ τοῖς ἀπίστοις ὀπτάνεσθαι. σοὶ δὲ, εἴτε παιδιᾷ κακῇ ϗ ὀλεθρίᾳ, εἴτε ἀγνοίᾳ, εἴτε γνώσει, ἐπίτηδες τἀναντία ἄνευ τινὸς λόγȣ ληρῳδȣ̃ντι, ȣ̓δεὶς ἔυφρων πεισθήσεται.

3. Βασ. 3. 5. „Καὶ ὤφθη, φησὶ τὸ ἱερὸν γράμμα, Κύριος τῷ Σολομῶντι ἐν ὕπνῳ τὴν νύκτα. Τὸ ȣ̓ν ὀπτάνεσθαι τὸν Θεὸν ἐν ὕπνῳ, ὅτε αἱ σωματικαὶ ἀργȣ̃σιν αἰσθήσεις, ȣ̓κ ἀρεστὸν, ὡς ἔοικε, τῷ ἀπίστῳ. ἀλλὰ γὰρ ϗ εἰ καθ' ὕπαρ ὁ Θεὸς τῷ Σολομῶντι ὠπτάνετο, πάλιν ȣ̓κ ἂν ἤρεσεν αὐτῷ, ἅτε δὴ μὴ δυναμένῳ κατανοῆσαι τὸ πῶς ὁ Θεὸς πνεῦμα ὄν, ὁρατὸς τοῖς τȣ̃ σώματος ὀφθαλμοῖς, ϗ ἀκȣστὸς τοῖς ὠσὶ γέγονε. τὶ ȣ̓ν, ȣ̓κ ἔδει τὸν Θεὸν ὀφθῆναι τῷ Σολομῶντι; ἢ αὐτῷ ἐχρῆν συμβȣλευθῆναι τῷ ἀπίστῳ, μὴ ὑπάρχοντι τότε, περὶ τȣ̃ τρόπȣ τῆς ἀρεστῆς αὐτῷ ἐμφανείας; τὶ δὲ εὑρίσκει ἐνταῦθα ἐναντίον τῇ τȣ̃ ὑψίστȣ παντοδυναμίᾳ;

„Ἀλλὰ πῶς, φησίν, ἐγνώσθη τὸ ὄναρ; αὐτὸς ἄρα ὁ Σολο„μὼν ἀνήγγειλε τȣ̃το ἑτέρῳ Ἰȣδαίῳ. ἐπὶ δὲ, κτ. Ἀλλ' ȣ̓κ ἀνήγ-
3. Βασ. 4. 15. „γειλεν ἑτέρῳ Ἰȣδαίῳ, ἀλλὰ παντὶ τῷ λαῷ. Ἐξεγερθεὶς γὰρ τȣ̃ „ὕπνȣ, παραγίνεται εἰς Ἱερȣσαλὴμ, ϗ ἔστη κατὰ πρόσωπον τȣ̃ θυ„σιαστηρίȣ τȣ̃ κατὰ πρόσωπον Κιβωτȣ̃ Διαθήκης Κυρίȣ ἐν Σιὼν, „ὃ ἀνήγαγεν ὁλοκαυτώσεις, ϗ ἐποίησε πότον μέγαν ἑαυτῷ, ϗ πᾶ„σι τοῖς παισὶν αὐτȣ̃. Τὶ δὲ ἐβȣ́λετο αὐτῷ ταῦτα εὐθὺς μετὰ τὸ ἐνύπνιον, εἰμὴ τὸ ἀναγγεῖλαι τȣ̃το παντὶ τῷ Ἰσραὴλ; ȣ̓ μόνον δὲ ἀνήγγειλεν, ἀλλὰ ϗ πράγματι παραχρῆμα ἔδειξε τὸ δωρηθὲν αὐτῷ τῆς φρονήσεως τάλαντον διὰ, τȣ̃ ἐπενεχθέντος ταῖς δυσὶ πόρναις κρίματος, ὥστε πάντα τὸν Ἰσραὴλ πεισθῆναι, ὅτι ἀληθῆ εἰσὶ

τὰ

τὰ ὑπ' αὐτῦ ἀναγγελθέντα αὐτοῖς περὶ τῦ ἐνυπνίυ αὐτῦ. „Καὶ „ἤκυσαν, φησὶ, πᾶς Ἰσραὴλ τὸ κρίμα τῦτο, ὃ ἔκρινεν ὁ Βασι- „λεὺς, καὶ ἐφοβήθησαν ἀπὸ προσώπυ τῦ Βασιλέως, ὅτι εἶδον, ὅτι Φρόνησις Θεῦ ἐν αὐτῷ τῦ ποιεῖν δικαίωμα. Ὁ ὢν συγγραφεὺς τῆς μοναδικῆς, ὡς φησιν ὁ ἄπις, ταύτης ἱστορίας ὁ παρ' ἑνὸς Ἰυδαίυ, ἀλλὰ παρὰ παντὸς τῦ Ἰσραὴλ, τῦ λόγω τε καὶ ἔργω πληροφορηθέντος περὶ τῦ ἐνυπνίυ τῦ Σολομῶντος, παραλαβὼν τὰ περὶ τύτυ συνέγραψε. μήτι δὲ καὶ ὕτος εἷς ἦν τῶν πολλῶν τῶν ἀπὸ τῦ σώματος τῦ Σολομῶντος ἀκυσάντων, καὶ διὰ τῶν ἔργων πληροφορηθέντων τὰ περὶ τῦ ἐνυπνίυ. καὶ ἔστιν ἄρα τῦτο πιςότερον τῦ ὡραιοτάτυ ἀπολόγυ, ὃν ὁ ἄπις τῇ τῦ Θεῦ παντοδυναμίᾳ, καὶ τῷ τὸν Θεὸν δι' Ἀγγέλων λαλῆσαι τοῖς ἀνθρώποις ἀπιςῶν ἔπλασε· μηδὲ τῦτο δυνηθεὶς συνιέναι, ὅτι κἂν μὴ κατ' ὄναρ, ἀλλὰ καθ' ὕπαρ, κἂν μὴ τῷ Σολομῶντι μόνῳ, ἀλλὰ παντὶ τῷ λαῷ ὁ Θεὸς περὶ τύτυ ἐλάλησεν, ἡμῖν μετὰ τοσύτυς αἰῶνας ὐκ ἐνῆν ἄλλως ἀδέναιτε καὶ πιςεῦσαι. ἃ μὴ τῇ μαρτυρίᾳ τῦ ταῦτα συγγράψαντος μηδὲ κατανοήσας, ὅτι ταῦτα λέγων, πᾶσαν καταργεῖ ἱστορίαν. 3. Βασ. 4. 28.

Σημ. 105. Οἱ μὲν Καλμῦκοι λαοί εἰσι τῆς Ἀσίας, τὴν μεγάλην οἰκῦντες Ταρταρίαν, τὴν μεταξὺ τῦ Μογγὰλ καὶ τῆς Βόλγας. Νομαδικοὶ ἄνθρωποι (ἐκ σκηνῆς), ἐκ τόπυ εἰς τόπον μεθιςάμενοι, καὶ μεθ' ἑαυτῶν τὰς τε σκηνὰς, καὶ τὰς γυναῖκας, καὶ τὰ τέκνα, καὶ τετράποδα, καὶ πᾶσαν τὴν περιυσίαν αὐτῶν συμπεριφέροντες. ἔχει δὲ ἑκάςη νομὰς αὐτῶν ἴδιον ἡγεμόνα, Χάνην προσαγορευόμενον, ὧν πρῶτος ὁ ἐν τῇ Σαμαρκάνδῃ οἰκῶν. (ὅρα τὸ ἐγχαιρίδ. Λεξ. τὸ ἐν Παρισ. ἔτ. 1769. ἐκδοθέν) πολλοὶ δὲ ἡμεῖς Καλμύκυς πρὸ ὀφθαλμῶν ἔχομεν, ἐν τοῖς περὶξ τῦ Ἀστραχανίυ περιπολεύοντας, καὶ ἐν τῷ Ἀστραχανίῳ θαμίζοντας. εὐφυεῖς δέ εἰσιν οἱ ἄνθρωποι καὶ εὐμαθεῖς, καὶ ἀνδρεῖοι, γάλακτι μόνῳ ἐν ταῖς σκηναῖς αὐτῶν τρεφόμενοι. τοσῦτον δὲ φοβῦνται τὴν τῶν καλυμένων εὐλογιῶν νόσον, ὥςε καὶ αὐτὰ τὰ τέκνα αὐτῶν πάσχοντα, καθ' ὁδὸν καταλιμπάνοντας φεύγειν. ἀσωλολάτραι δὲ ὄντες τὴν θρησκείαν, κἂν τὴν εἰς Χριςὸν πίςιν τινὲς ἐξ αὐτῶν δεξάμενοι βαπτίζωνται, δυσαποσπάςως ὅμως ἔχουσι τῶν δεισιδαιμονιῶν αὐτῶν. Οἱ δὲ Ὀττεντότοι, λαός εἰσι τῆς Ἀφρικῆς ἐν τῇ Καφρίᾳ, πλησίον τῦ ἀκρωτηρίυ, τῦ καλυμένυ τῆς καλῆς Ἐλπίδος οἰκῶν. διηρημένοι δὲ εἰσὶν εἰς δεκατέσσαρας ἐπαρχίας, ὧν ἑκάςη ἴδιον ἔχει προεςῶτα, καὶ χωρία ἴδια. εἰσὶ δὲ πάντες ἤτοι κυνηγοὶ, ἢ ποιμένες, διαπαντὸς ὧδε κἀκεῖσε περι-

περιφερόμενοι, ἀνδρεῖοι δὲ, δρασήριοι, τολμηροὶ, πρὸς τὰ ὅπλα ἐπιτήδειοι, τῆς ἐλευθερίας αὐτῶν καθ' ὑπερβολὴν ζηλωταὶ, μακρόβιοι, τὸ ἀνάσημα μέτριοι, τὸ χρῶμα τῶν Ἰνδῶν μελανώτεροι, τὸν δρόμον ταχύτατοι, γυμνοὶ, ὀζαινῆ. κόπρῳ δὲ βοῶν ἢ προβάτων τριβόμενοι, ἀφορήτως ὄζουσι· θρησκείας πάνυ ὀλίγα σημεῖα ἐνδεικνύμενοι, ἢ τὸν μετὰ ταῦτα βίον μὴ δεχόμενοι, κτ. ὅρα τὸ εἰρημ. Λεξ.

Σημ. 106. Ὁ μὲν Ἀλεξανδρινὸς κώδιξ, ὃν ὁ Πατριάρχης ὁ Λύκαρις τῷ τῶν Ἀγγλων βασιλεῖ ἐδωρήσατο, μαρτυρήσας, ὅτι ἐν τοῖς χρόνοις τῆς πρώτης ἐν Νικαίᾳ Συνόδου ὑπὸ εὐγενοῦς τινος Αἰγυπτίας τοῦνομα Θέκλης ἐγράφη. (ὅρα τὰ προλεγόμενα εἰς τὴν παλαιὰν Διαθήκην, τὴν κατὰ τὸ 1696 ἔτος ἐν Λειψίᾳ ἐκδοθ.) ἐν κεφ. 4. ἐδ. 24. τῆς 3. τῶν Βασ. περιέχει τάδε· „Ἄρχων ἐν παντὶ πέραν τοῦ ποταμοῦ ἀπὸ Θάψα ἢ ἕως * ἐν πᾶσι Βασιλεῦσι „πέραν τοῦ ποταμοῦ, ἢ εἰρήνη ἦν αὐτῷ ἐκ πάντων. ἡ δὲ ἐν Κομ„πλυτενσίᾳ ἔκδοσις, τάδε· Ἄρχων ἐν παντὶ πέραν τοῦ ποταμοῦ „ἀπὸ Θάψα ἕως Γάζα ἐν πάσαις ταῖς Βασιλείαις ταῖς πέραν τοῦ ποταμοῦ. ἢ ἦν εἰρήνη ἐκ πάντων. ὅρα τὰς εἰς τὸ εἰρημ. κεφ. σημειώσ. τὰς ἐν τῇ κατὰ τὴν ἐν Φρανεκ. ἔκδ.

Σημ. 107. Τὸ Φυλισιαίους ἢ Φυλισίνους ἐν τῇ Βυλγάτῃ κεῖται, ἐν δὲ τῇ ἑλληνικῇ ἐκδόσει ἀντὶ τούτου τὸ, ἀλλοφύλους, ὡς ὁ Ἰώσηπος ἐν μὲν βιβ. 1. κεφ. 7. τῆς Ἀρχ. Φυλισίνους, ἐν δὲ βιβ. 5. κεφ. 9. Παλαισίνους προσαγορεύει. τὸ δὲ Φυλισιείμ κεῖται ἐν κεφ. 13. ἐδ. 2. τῆς βίβλου τοῦ Ἰησοῦ, ἢ ἀλλαχοῦ ἐν αὐτῇ τῇ ἑλληνικῇ ἐκδόσει.

Σημ. 108. Ταῦτα περιέχει ὁ εἰρημένος Ἀλεξανδρινὸς κώδιξ (ὅρα τὴν προλαβ. 106. σημ.) ἐν κεφ. 9. τῆς 3. τῶν Βασ.

Σημ. 109. Περὶ μὲν τῆς Κόρσικας, ἢ Κύρνου ὅρα, εἰ βύλῃ, τὴν τοῦ Μελετίου Γεωγραφίαν· τὸ δὲ Ὑβετότιον πολύχνιόν ἐστι τῆς Νορμανδίας.

Σημ. 110. Τὸ Boisseau μέτρον ἐστὶ, δι' οὗ τὰ σιτηρὰ μετροῦνται. ἰσέον δὲ, ὅτι κατὰ τὴν ἀνὰ χεῖρας ἡμῶν ἐκδόσει τῆς τοῦ Βολτέρου βίβλου, οὐ δι' ἀριθμῶν, ἀλλὰ διὰ γραμμάτων ὁλόγραφον κεῖται τὸ, ἑβδομήκοντα χιλιάδας μοδίους ἀλεύρου, Soixatante & dix mille muids de

de farine. Ὡσαύτως ἡ τὸ μετ' ὀλίγον· μετὰ τὰς ἐννενήκοντα χιλιάδας τῶν μηδίμνων τῆς ἀλεύρου, Après les quatre-vingt-dix mille muids de farine.

Σημ. 111. Οὐ δὲ σφάλματα συγγραφέως ἀνάγκη ὑποθέσθαι, οὐδὲ δυσκολία ἐμφανίζεται τοῖς τὴν ἑλληνικὴν μετάφρασιν ἀναγινώσκουσιν. ἐν γὰρ τῷ 26. ἐδ. τῆς 4. κεφ. τῆς 3. τῶν Βασ. ὁ Ἀλεξανδρινὸς κώδιξ (ἐν ταῖς ἀνωτέρ. ἐρμη. σημ.) περιέχει τάδε· Καὶ „ἦν τῷ Σολομῶντι τεσσαράκοντα χιλιάδες τοκάδες ἵππων εἰς ἅρματα, καὶ δώδεκα χιλιάδες ἱππέων. (ἐν δὲ ἐδ. 25. κεφ. 9. τῆς 2. τῶν Παραλ. ἐν τῷ αὐτῷ Ἀλεξανδρινῷ κώδικι κεῖται)· „Καὶ ἦσαν „τῷ Σολομῶντι τέσσαρες μυριάδες θήλειαι ἵππων εἰς ἅρματα, καὶ „δώδεκα χιλιάδες ἱππέων. „Ταῦτα δὲ σύμφωνα μέν εἰσιν ἀλλήλοις, ὡς παντίπαν δῆλον, ὑπερβολὴν δὲ ποσότητος ἵππων οὐκ ἐμφαίνει· ἀλλὰ πλῆθος τῷ τοιούτῳ Βασιλεῖ κατάλληλον. τὰς δὲ τῶν ἱπποσασίων χιλιάδας ἡ Βουλγάτα παρεσάξασα (ἐν τῷ 26. ἐδ. τῆς 4. κεφ. τῆς 3. τῶν Βασ.) σφάλματα μεταγραφέως ὑποπτεύει, καὶ ἐπανορθώσεις ποιεῖν, καὶ τοσαῦτα εἰς ἀπάντησιν τούτου εἰπεῖν τὰς νεωτέρους ἠνάγκασεν ὑπομνηματισάς. ἀλλ' ὁ συγγραφεὺς τὸ ἑβραϊκὸν ὕφος προβάλλει, περιέχον, ὥφησι, τέσσαρας χιλιάδας ἱπποσασίων, ἃς αὖθις μεταφέρει εἰς τέσσαρας χιλιάδας φάτνας, τὸν Καππέλον, καὶ τὸν Οὐβιγάντην μάρτυρας ἀνακαλῶν. περὶ τούτου ἓν τὸ δοκοῦν ἡμῖν ἐρῶμεν.

Τὰς τοιαύτας τῶν νεωτέρων τοῦ ἑβραϊκοῦ ὕφους μεταφράσεις οὐ πολλοῦ λόγου ἀξίας ἡγούμεθα. ἀλλ' οὐδὲ προτιμῆσαι αὐτὰς τῆς ἀρχαιοτάτης ἑλληνικῆς μεταφράσεως πέφυκε ἡμᾶς ὁ λόγος. πρῶτον μὲν γὰρ πάνυ πεφανὸν ἔοικε, καὶ αὐτοὺς τοὺς νῦν τῶν Ἑβραίων διδασκάλους μὴ ἐντελῶς κατανοεῖν τὴν ἀρχαίαν ἑβραΐδα διάλεκτον, δι' ἧς αἱ θεῖαι Γραφαὶ συνεγράφησαν. πέφυκε δὲ τοῦτο ἢ εἰς πᾶσαν σχεδὸν τὴν εἰκουμένην τῶν Ἑβραίων ἀθλία διασπορὰ, καὶ δυσχία, καὶ εὐτέλεια, καὶ ἡ τούτων πολυχρόνιος ἀναμιξις καὶ συμβίωσις μετὰ τοσούτων ἐθνῶν καὶ γλωσσῶν. προστέτι δὲ καὶ τὸ, ἀπ' αὐτῶν τῶν τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ χρόνων τοὺς Ἑβραίους μὴ κατανοεῖν ἐντελῶς τὰς ἑβραϊκὰς συγγεγραμμένας τῆς Γραφῆς βίβλους· ἐξ ὧν ἠναγκάσθησαν τὴν ἑλληνικὴν μετάφρασιν ἐν ταῖς Συναγωγαῖς αὐτῶν ἀναγινώσκειν. δῆλον δὲ τοῦτο ἐκ τῆς ἀδείας, τῆς κατὰ τὴν τούτων αἴτησιν δοθείσης αὐτοῖς ὑπὸ τοῦ εἰρημένου Αὐτοκράτορος. εἰ δὲν οἱ νῦν τῶν Ἑβραίων διδάσκαλοι, ἀτελεῖς τὴν γνῶσιν

*Ορα τὴν 146. σελίδα.

τῆς Ἑβραΐδος, πόσω μᾶλλον ἄνδρες Γάλλοι, καὶ Ἄγγλοι, καὶ Γερμανοὶ, κτ; Δεύτερον, τὸ τοὺς νεωτέρους τούτους μεταφραστὰς οὐκ ἐξ ἀρχαιοτάτου μεταφράζειν κώδικος, καὶ αὐτοῖς, ὡς ἂν εἴποι τις, τοῖς πρωτοτύποις παραβεβλημένου, οἷος ἦν, ὡς εἰκὸς, ὁ κώδιξ, ᾧ ἐχρήσαντο οἱ Ἑβδομήκοντα μεταφρασταί. πῦ δὲ ἂν τοιούτους Εὕροιεν κώδικας; τούτοις πρόσθες τὸ, ὅτι πολλοὶ καὶ αὐτῶν τῶν ἑβραϊκῶν κωδίκων, ὡς ὑπ' αὐτῶν τῶν Ἑβραίων περικαρέντες καὶ ἀλλοιωθέντες ὕποπτοί εἰσι. συνάγεται τοῦτο ἐξ ὧν φησὶν ὁ ἀξιόπιστος, καὶ ὑπὲρ πάντας τὰ ἑβραϊκὰ πολυπραγμονησάμενος τεύχη, ὁ χαλκύντερος, φημὶ, Ὠριγένης. „Ὅσα, φησὶ, δεδύνηνται (οἱ Ἑβραῖοι) „τῶν περιεχόντων κατηγορίαν πρεσβυτέρων, καὶ ἀρχόντων, καὶ κρι„τῶν, περιεῖλον ἀπὸ τῆς γνώσεως τοῦ λαοῦ, ὧν τινα σώζεται ἐν ἀ„ποκρύφοις. Καὶ κατωτέρω. Διὸ οὐδὲν, οἶμαι, ἄλλο οἰκονομεῖσθαι, „ἢ τοὺς νομιζομένους σοφοὺς καὶ ἄρχοντας καὶ πρεσβυτέρους τοῦ λαοῦ „ὑπεξελεῖν τὰ τοιαῦτα, ὅσα περιεῖχον αὐτῶν κατηγορίαν παρὰ „τῷ λαῷ. Καὶ μετ' ὀλίγα· Εἰ καὶ ἀληθῆ τυγχάνουσαν τὴν περὶ „Σωσάνναν ἐπιβουλευθεῖσαν ὑπὸ ἀκολάστων πρεσβυτέρων ἱστορίαν, „οἱ μὴ μακρὰν τυγχάνοντες τῶν πρεσβυτέρων ἐκείνων, ἐξέκλεψαν „καὶ ὑφεῖλον ἀπὸ τῶν Γραφῶν. Εἰκότως οὖν αὐτὸς τὴν τῶν Ἑβδομήκοντα μετάφρασιν εὐλαβηθεὶς, οὐδόλως παρεσάλευσεν. ἐν δὲ τοῖς ὑπ' αὐτοῦ φιλοπονηθεῖσι τετραπλοῖς, καὶ ἑξαπλοῖς, καὶ ὀκταπλοῖς τὰ μὲν ἐν αὐτῇ περιττὰ ὀβελίσκοις, τὰ δὲ ἐλλείποντα ἀστερίσκοις, ὡς αὐτὸς διαμαρτύρεται, ἠστέρισεν. Ἀλλὰ τίνος ἕνεκα, ἐρεῖτις, τοσοῦτον ὁ Ὠριγένης ἀνεδήσατο ἀγῶνα πρὸς κατασκευὴν τῶν τοιούτων αὐτοῦ βιβλίων; „Ἵνα, φησὶ, πρὸς Ἰουδαίους διαλεγό„μενοι, μὴ προφέρωμεν αὐτοῖς τὰ μὴ κείμενα ἐν τοῖς ἀντιγράφοις „αὐτῶν, καὶ ἵνα συγχρησώμεθα τοῖς φερομένοις παρ' ἐκείνοις, εἰ καὶ „ἐν τοῖς ἡμετέροις οὐ κεῖται βιβλίοις. τοιαύτης δὲ οὔσης ἡμῶν τῆς „πρὸς αὐτοὺς ἐν ταῖς ζητήσεσι παρασκευῆς, οὐ καταφρονήσουσιν, οὐδ', „ὡς ἔθος αὐτοῖς, γελάσονται τοὺς ἀπὸ τῶν ἐθνῶν πιστεύοντας, ὡς „τ' ἀληθῆ καὶ παρ' αὐτοῖς ἀναγεγραμμένα ἀγνοοῦντας.

Ἐν τῷ πρὸς Ἀφρικ. ἐπιστ.

Ἀντόθι.

Σημ. 112. Λεγομένη τῶν Ἑβδομήκοντα, καὶ κακή; Ἀλλ' ὅτι μὲν οὐ μόνον λεγομένη, ἀλλὰ καὶ τῷ ὄντι οὖσα τῶν Ἑβδομήκοντα μετάφρασις τυγχάνει, τοσαῦταί εἰσι μαρτυρίαι, ὅσαι, οὐχ ὑπὲρ ἄλλου τίνος τῶν ἱστορουμένων. μαρτυροῦσι δὲ περὶ τούτου ἐκ μὲν τῶν ἐθνικῶν ὁ Ἀριστάιος, εἷς ὢν τῶν Πτωλεμαίου τοῦ Φιλαδέλφου δορυφόρων. ἐκ δὲ τῶν Ἰουδαίων ὁ Ἀριστόβουλος, ὁ Ἰώσηπος, καὶ ὁ Φίλων·

Ἀριστ. 5. β. 22. ἱστορ. Ἀριστ. παρ' Εὐσεβ. β. 13. Εὐαγγ. Προπ. Ἰωσ. β. 12. κ. 2. Ἀρχ. Φιλ. β. 2. περὶ βίου Μωϋσ.

λων· Ἐκ δὲ τῶν χριστιανῶν Ἰωσῆφος ὁ μάρτυς, ὁ Εἰρηναῖος, ὁ Τερτυλλιανὸς, Κλήμης ὁ Ἀλεξανδρεὺς, ὁ Ὠριγένης, ὁ Εὐσέβιος, ὁ Ἱερώνυμος (ἐν τοῖς εἰς τὰ Παραλειπ. προοιμ. κἀν τῇ πρὸς τὸν Λύγκηστιν. ἐπιστ. ᾗ ἀλλαχοῦ ἀσοράδην) ὁ Λύγκηστις, ὁ Χρυσόστομος, ὁ Ἐπιφάνιος. μετὰ δὲ τὰς τοσαύτας ᾗ τοιαύτας μαρτυρίας πόσον παρὰ τοῖς εὖ φρονοῦσιν ἰσχύσει χθιζοὶ τινες ἄνθρωποι, (τοῦτο ἰσχυρῶς ῥαπίζει ὁ συγγραφεὺς τῶ προοιμίῳ εἰς τὴν παλαιὰν Διαθήκην, τὴν ἐν ἔτει 1696 ἐν Λειψίᾳ ἐκδοθεῖσαν) ᾗ ὁ κωμῳδοποιὸς ὃς ἄπις Βολτέρος, μὴ ὄσαν τῶν Ἑβδομήκοντα μετάφρασιν, ἀλλὰ λεγομένην καταγγέλλοντες, δῆλον.

Ἀλλὰ ᾗ κακὴ, φησὶν ὁ Βολτέρος. Πόθεν δὲ ἔγνω, ὅτι κακὴ; παρέβαλλεν ἆρα αὐτὴν ὥσπερ ἄλλος τὶς Ὠριγένης τοῖς ἀρχαίοις ἑβραϊκοῖς ἀντιγράφοις; ἀλλ' ὁποίαν μὲν, ἵνα τὴν δυσκολίαν τῆς ἐντεύξεως τῶν τοιούτων ἀντιγράφων σιωπήσωμεν, γνῶσιν εἶχε τῆς ἑβραΐδος, ὁποίαν δὲ ᾗ τῆς Ἑλληνίδος διαλέκτου, ἀποχρόντως, κἂν βραχέως ᾗ ἀσοράδην, ἀπέδειξεν ὁ συγγραφεὺς τῶ μεταφρασθέντος τούτου πονήματος. ταῦτα ἂν, ἀναιδέσατε, ἐδίδαξέ σε ἡ θαυμασὴ φιλοσοφία σου; ἀμέλητοι τὸ ὡς ἐκ τρίποδος κρίνειν ᾗ περὶ ὧν μηδεμίαν μικρῶ δεῖν ἔχεις γνῶσιν; Ἀλλὰ ᾗ διατὶ κακή; „Ἄνδρες μὲν Ἑβδομήκοντα ὡς Ἐλεάζαρ ὁ ἱερεὺς σκε„ψάμενος, ὡς φησιν ὁ Φίλων, τοὺς παρ' αὐτῶ δοκιμωτάτους Ἑ„βραίων, οἳ πρὸς τῇ πατρίῳ ᾗ τὴν ἑλληνικὴν ἐπεπαίδευντο παιδείαν, τῷ Βασιλεῖ Πτωλεμαίῳ μεταφράσας ζητήσαντι ἀπέστειλε, κακῶς μετέφρασαν· σὺ δὲ, ὁ μηδετέραν διάλεκτον εἰδὼς, πρὸ ὀφθαλμῶν τὴν Βυλγάταν ἔχων, ᾗ ἀποκαθημένης ῥᾳδίως ὁμοίαν μετάφρασιν ποιήσας, καλῶς μετέφρασας; ᾗ τὶς ἂν μὴ ἐξεσηκὼς τὰς φρένας πιστεύσῃ σοι, μὴ αἰδεσθέντι τοσαύτας ὄ μόνον μαρτυρίας, ἀλλὰ πράγματα, ᾗ τὴν σχεδὸν κοινὴν τῶν ἀνθρώπων φωνὴν, ἐπικυρώσαν τὰ περὶ τῆς τῶν Ἑβδομήκοντα μεταφράσεως, ἀλλ' ἀναιδῶς γλῶσταν λοίδορον κατ' αὐτῆς κινήσαντι;

Ἰδοὺ ᾗ περὶ αὐτῆς ἐπίκρισις τοῦ σοφοῦ ᾗ ἑκατέραν πεπαιδευμένου διάλεκτον, τήν τε πάτριον, ἣν χαλδαϊκὴν ἐθος αὐτῶ ὀνομάζειν, καθάπερ ᾗ τοὺς Ἑβραίους χαλδαίους, διὰ τὸν Χαλδαῖον Ἀβραὰμ, ᾗ τὴν Ἑλληνίδα, ἐξ ἧς ᾗ τὸ, πλατωνίζει, περὶ αὐτοῦ εἴρηται, τοῦ Ἑβραίου, φημὶ Φίλωνος. Συνενεχθῆναι δ' εἰς τὸ „αὐτὸ κυρία κυρίοις ὀνόμασι, τὰ ἑλληνικὰ τοῖς χαλδαϊκοῖς, ἐναρμοδίως ἔν μάλα τοῖς δηλουμένοις πράγμασιν. ὃν δ' τρόπον, οἶμαι, „Γεωμετρίας ᾗ Διαλεκτικῆς τὰ σημαινόμενα ποικιλίαν ἑρμηνέας

Ἰωσ. Ἐν τῇ πρὸς Ἑλλ. παραιν. κἀν τῇ 2. ἀπολ. Εἰρ. β. 3. κατὰ Αἰρέσ. Τιρτ. κ. 18. τοῦ ἀπολογητ. Κλημ. ἐν τοῖς στρώμ. Ὠριγ. ἐπιστ. πρὸς Ἀφρικ. Εὐσ. β. 8. Εὐαγγ. προπ. Λύγκ. β. 18 περὶ πολ. Θεοῦ. Χρυσ. ἐν τῷ καθ' Ἰουδαίων. λόγ. Ἐπιφ. κ. 9. περὶ μέτρ. καὶ σταθ.

Φίλ. β. 2. περὶ βίου Μωϋσ.

Ἀντ.

„οὐκ ἀνέχεται, μένει δὲ ἀμετάβλητος ἡ ἐξ ἀρχῆς τεθεῖσα, τὸν „αὐτὸν, ὡς ἔοικε, τρόπον καὶ οὗτοι συντρέχοντα τοῖς πράγμασιν ὀ„νόματα ἐξεῦρον. ἅπερ δὴ μόνα μάλιστα τρανώσειν ἔμελλεν ἐμφαν„τικῶς τὰ δηλούμενα. σαφεστάτη δὲ τούτου πίστις, ἐάντε Χαλδαῖοι „τὴν ἑλληνικὴν γλῶτταν, ἐάντε Ἕλληνες τὴν Χαλδαίων ἀναδι„δαχθῶσι, καὶ ἀμφοτέραις ταῖς Γραφαῖς ἐντύχωσι, τῇ τε χαλδαι„κῇ καὶ τῇ διερμηνευθείσῃ, καθάπερ ἀδελφὰς, μᾶλλον δὲ ὡς μίαν „καὶ τὴν αὐτὴν ἔντε τοῖς πράγμασι καὶ τοῖς ὀνόμασι, τεθήκασι καὶ „προσκυνοῦσιν, οὐχ ὡς ἑρμηνεῖς ἐκείνους, ἀλλ' ἱεροφάντας καὶ Προ„φήτας προσαγορεύοντες, οἷς ἐξεγένετο συνδραμεῖν λογισμοῖς εἰ„λικρινέσι τῷ Μωσέως καθαρωτάτῳ πνεύματι. διὸ καὶ μέχρι νῦν (ἄκουε τοῦ, μέχρι νῦν, ὅπερ ἐστὶ μέχρι τῶν ἡμερῶν αὐτοῦ τοῦ Φίλω„νος) ἀνὰ πᾶν ἔτος ἑορτὴ καὶ πανήγυρις ἄγεται κατὰ τὴν Φάρον „νῆσον, εἰς ἣν οὐκ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ παμπληθεῖς ἕτεροι δια„πλέουσι, τό,τε χωρίον σεμνύνοντες, ἐν ᾧ πρῶτον τὸ τῆς ἑρμη„νείας ἐξέλαμψε, καὶ παλαιᾶς ἕνεκα εὐεργεσίας, ἀεὶ νεαζούσης, „εὐχαριστήσοντες τῷ Θεῷ. Ἰδοὺ καὶ τὰ ὑπὸ τοῦ Ἰωσήπου περὶ τῆς αὐτῆς μεταφράσεως μαρτυρούμενα. Μεταγραφέντος δὲ τοῦ νόμου, „καὶ τοῦ κατὰ τὴν ἑρμηνείαν ἔργου τέλος ἐν ἡμέραις ἑβδομήκοντα „καὶ δυσὶ λαβόντος, συναγαγὼν ὁ Δημήτριος τοὺς Ἰουδαίους ἅπαν„τας εἰς τὸν τόπον, ἔνθα καὶ μετεβλήθησαν οἱ νόμοι, παρόντων „καὶ τῶν ἑρμηνέων, ἀνέγνω τούτους. τὸ δὲ πλῆθος ἀπεδέξατο μὲν, „καὶ τοὺς διασαφήσαντας πρεσβυτέρους τὸν νόμον, ἐπῄνεσε δὲ καὶ τὸν „Δημήτριον τῆς ἐπινοίας, ὡς μεγάλων ἀγαθῶν αὐτοῖς εὑρέτην „γεγενημένον· παρεκάλεσάν τε δοῦναι καὶ τοῖς ἡγουμένοις αὐτῶν ἀ„ναγνῶναι τὸν νόμον· ἠξίωσάντε πάντες, ὅ,τε Ἱερεὺς, καὶ τῶν ἑρ„μηνέως οἱ πρεσβύτεροι, καὶ τοῦ πολιτεύματος οἱ προεστηκότες, ἐπεὶ „καλῶς τὰ τῆς ἑρμηνείας ἀπήρτισται, καὶ διαμεῖναι ταῦθ' ὡς ἔχει, „καὶ μὴ μετακινεῖν αὐτά. ἁπάντων δὲ αὐτῶν ἐπαινεσάντων τὴν „γνώμην, ἐκέλευσαν, εἴτις εἰ περιοσόντι προσγεγραμμένον ὁρᾷ τῷ „νόμῳ, ἢ λεῖπον, πάλιν ἐπισκοποῦντα τοῦτο, καὶ ποιοῦντα φανερὸν, „διορθοῦν, σωφρόνως τοῦτο πράττοντες, ἵνα τὸ κριθὲν ἅπαξ ἔχειν „καλῶς, εἰς ἀεὶ διαμείνῃ. Καὶ ταῦτα μὲν δὴ οὗτοι.

Ἰώσ. β. 12. κ. 2. Ἀρχ.

Ἡμεῖς δὲ τοὺς μετὰ Χριστὸν, ὅσοι τὴν τῶν Ἑβδομήκοντα μετάφρασιν εὐφήμισαν, καταλιπόντες, εἴτουν τὸν Ἰουστῖνον, (ἐν τῇ πρὸς τοὺς Ἕλλ. παραιν. καὶ ἐν τῷ 2. ἀπολογητ. κἀν τῷ μετὰ τοῦ Τρύφ. διαλ.) τὸν Τερτουλλιανὸν, τὴν τοῦ Ἰουστινιανοῦ Νεαρὰν κηρύττουσαν τάδε· „Πλὴν οἱ διὰ τῆς Ἑλληνίδος ἀναγινώσκοντες, τῇ τῶν Ἑβ-

Τερτ. κ. 18. τοῦ ἀπολογητ.

„δο-

„δομήκοντα χρήσον) παραδόσεα, πάντων ἀκριβεστέρα, ἢ παρὰ τὰς „ἄλλας ἐγκεκριμένη· Σιωπήσαντες δὲ ἢ τὸ ὅτι, εἰ κακὴ ἦν ἡ τῶν Ἑβδομήκοντα μετάφρασις, ὡς ὁ κάκις☉ ὅτ☉ φησὶν, οὐκ ἂν οἱ Ἑλληνισαὶ Ἰουδαῖοι ἐν ταῖς Συναγωγαῖς αὐτῶν ταύτην ἀνεγίνωσκον. ἢ τὸ ταύτης αἰδέσιμον διὰ τὴν ἐξ ἀρχῆς χρῆσιν αὐτῆς ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις· ἢ τὸ προτέρημα αὐτῆς, ὅπερ ἐστὶ τὸ μετὰ τὴν πρωτότυπον ἑβραϊκὴν μητέρα γενέσθαι σχεδὸν πασῶν τῶν ἄλλων μεταφράσεων· τοὺς θεοκήρυκας προτείνομεν Ἀποστόλους, τοὺς τὴν τῶν Ἑβδομήκοντα μετάφρασιν μετελθόντας ἔντε τοῖς ἱεροῖς Εὐαγγελίοις, ἢ ἐν ταῖς Πράξεσι, κἂν ταῖς οἰκείαις ἐπιστολαῖς. τοῦτο δὲ τί ἄλλο ἐμφαίνει, εἰ μὴ τὸ, ὅτι ἡ τῶν Ἑβδομήκοντα μετάφρασις θεόθεν ἔχει τὸ κῦρ☉;

Σημ. 113. Ἀλλ' ἐρεῖτις, τὸ ἔργον οὐ μόνον παράβασις νόμου ἐστὶν, ὡς ἀντικείμενον τῷ νόμῳ, τῷ κελεύοντι, Οὐ ποιήσεις σεαυτῷ εἴ- „δωλον, οὐδὲ παντ☉ ὁμοίωμα, Ἀλλὰ ἢ ἀντίφασιν νόμων ἐμφαίνει. ὅτος μὲν γὰρ ὁ νόμος ἐντέλλεται τό, Οὐ ποιήσεις σεαυτῷ εἴδω- „λον, κτ. ἄλλος δὲ, Καὶ ποιήσεις δύω χερουβὶμ χρυσοτορευτὰ, κτ. Τὸ ἔργον οὐδὲ ἀντίφασιν νόμων ἐμφαίνει, οὐδὲ παράβασίς ἐστι. τὸ μὲν γὰρ Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, κτ. τὴν τῶν εἰδώλων ἢ τῶν ὁμοιωμάτων λατρείαν ἀπαγορεύει εἰπὼν γὰρ ὁ Θε☉, Οὐ ποι- „ήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντ☉ ὁμοίωμα, παρὰ πόδας προσέ- θηκε τὸ, Οὐ μὴ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς. „εἰρηκὼς δὲ τὸ, Καὶ ποιήσεις οὕω χερουβὶμ χρυσοτορευτὰ, ἐπήγα- „γε τὸ, Ἔσονται οἱ Χερουβὶμ ἐκτείνοντες τὰς πτέρυγας ἐπάνωθεν, „συσκιάζοντες ἐν ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τὸ ἱλαστήριον. Ἀπηγόρευσεν ἄρα ὁ νόμος τὸ μὴ ποιεῖν εἴδωλον, ἢ ὁμοίωμα εἰς τὸ λατρεύειν αὐτῷ, ἀμὴν ἢ ποιεῖν εἴδωλον εἰς τὸ συσκιάζειν ἢ καλλωπίζειν. οὐδεμία οὖν μεταξὺ τῶν νόμων ἀντίφασις, ἀλλ' οὐδὲ παράβασις νόμου ἡ τῶν Χερουβὶμ κατασκευὴ, τὴν συσκίασιν σκοπουσα. οὐδεὶς γὰρ ἀπηγόρευσε νόμος, Χερουβὶμ κατασκευάζειν εἰς συσκίασιν. οὐδὲ ὁ Σολομὼν ἄρα τὸν νόμον παρέβη θεὶς αὐτὰ Ἐν τῷ οἴκῳ τῷ ἁγίῳ τῶν ἁγίων. Ὡσαύτως παράβασιν νόμου οὐ πεποίηκε, φήσας τοὺς βοῦς ὑποκάτω τῆς θαλάσσης βαστάζοντας αὐτήν. ἐπεὶ δὲ τὸ συσκιάζειν, ἢ τὸ βαστάζειν οὐ θεοστοίας, ἀλλὰ δουλείας ἐναργέστατον δεῖγμα, δῆλον ἄρα, ὅτι διὰ τούτων ἀφίστη ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ τῆς τῶν εἰδώλων ἢ παντ☉ ὁμοιώματος λατρείας. οὐ γὰρ ἄντις λατρεύσειν ὅπερ δουλεῦον ὁρᾷ. Ἐξ. 20. 4. Ἐξ. 25. 18 Ἐξ. 20. 5. Ἐξ. 25. 20. 2. Παραλ. 3. 10. 3. Βασ. 7. 25.

Σημ.

Σημ. 114. Ἵνα τὶ ἀφέντες τὰς αἰτίας, εἴτην τὰς μεταγραφεῖς, ὧν ἕτερον μὲν τόδε, ἕτερον δὲ τόδε παρέδραμον, ἐξ ὧ τοσαῦται διαφοραὶ ἀναγνώσεων ἐν ταῖς ἑλληνικαῖς ἐκδόσεσι προέκυψαν, τὴν ἀναίτιον μέμφεσθε τῶν Ἑβδομήκοντα μετάφρασιν ὡς κακὴν, ἐπικρίνοντες ὥσπερ ἂν εἰ πρὸ ὀφθαλμῶν εἴχετε, αὐτὸ τὸ πρωτότυπον, τὸ ὑπὸ τῶν Ἑβδομήκοντα γραφέν; ἴσὰ δὲ οὐ μὲν τοῖς τῶ Ξιμένες ἀντιγράφοις, ἢ ἐν ἄλλοις προκρίτοις τῆς ἐκδόσεως τῆς ἐν Ἀντωερπία ἢ Παρισίω κεῖται, τετρακόσια ἢ ὀγδοήκοντα ἔτη· ἐν δὲ τῇ ἐν Κομπλυτωνσίᾳ, τῷ ὀγδοηκοςῷ ἢ τετρακοσιοςῷ ἔτει. ἐπεὶ ὧν διαφοραὶ ἀναγνώσεων εἰσὶν ἐν τοῖς κώδιξι, καὶ ταῖς ἐκδόσεσιν, ἃ τῇ μεταφράσει, ἀλλὰ τοῖς μεταγράψασιν ἡ μομφὴ ἀνάγεται. σημειωτέον δὲ, ὅτι ὕδεμία ἀνάγκη προτιμᾶται τὴν ἀνάγνωσιν τῶ, τετρακόσια ἢ ὀγδοήκοντα ἔτη, τῆς τῶ, Ἐν τῷ τεσσαρακοσῷ ἢ τετρακοσιοςῷ ἔτει. 3. Βασ. 6. 1.

Σημ. 115. Τὸ 13 πρὸς τὸ 1 ὃν ἐπ' ἀκριβὲς ἔχει λόγον, ὃν τὸ 672 πρὸς τὸ 52, ἀλλ' ὃν τὸ 676 πρὸς τὸ 52. ἤτοι ὧν γραπτέον ἀντὶ τῶ 672, τὸ 676, ἢ ῥητέον, ὅτι ὁ λόγος, ὃν ἔχει τὸ 672 πρὸς τὸ 52 ἐγγίζει τῷ λόγῳ, ὃν ἔχει τὸ 13 πρὸς τὸ 1.

Σημ. 116. Ὁ Βολτέρος τὸ διὰ τῶ προκειμένω ῥητῶ δηλώμενον χρυσίον καὶ ἀργύριον εἰς λίτρας Γάλλων, καὶ σκῦδα Γερμανῶν, ἢ σερ„λίνια Ἄγγλων μεταβαλὼν, Κωμικόν ἐσι, φησὶ, τὸ ὁρᾶν Μελκ. Βασιλίσκον Ἰσδαῖον ἐξουσιασὴν τοσούτω χρημάτων πλήθως. ταῦτα δὲ παιδαριώδεις ἢ ἀηδεῖς ὑπερβολὰς προσαγορεύσας, ἢ τὰ περὶ τῆς ἐπωρανίω Ἱερουσαλὴμ, τῆς ἐν τῇ Ἀποκαλύψει παχυλῶς ὡς παχυλώτατος ἐκλαβὼν, φησὶ· Τῶτο, εἴτην τὸ ἐν τῷ προτεθύτι ῥητῷ προβαλλόμενον ὅμοιόν ἐσι τῇ τῆς Ἀποκαλύψεως „ἐπωρανίω Ἱερουσαλὴμ τῇ ἐκ τῶ ὠρανῶ καταβαινούσῃ. καὶ ταῦτα μὲν „ὁ ἄπις ὕτω κωμῳδεῖ, (ὡς ἢ ὁ Συγγραφεὺς ἀνωτέρω ἐξέθετο) ἐπ' ὀδενὶ λόγω σημειζόμενος, ψυχικὸς δὲ ὢν ἢ τὰ τῶ πνεύματος χωρῆσαι μὴ δυνάμενος, σαρκικῶς τε τὰ πνευματικὰ νοεῖν ἐπειγόμενος, γελοίως ἀναδέκνυ). *Αρθρ. 9. *Αριθ. 1.

Ἡ δὲ τῶ συγγραφέως λύσις τῆς κατὰ κέντρον δυσκολίας ὡς πάνυ εὐσχολος δοκεῖ. τὸ δὲ καταφεύγειν ῥαδίως ἐπὶ τὰ τῶν μεταγραφέων σφάλματα, καὶ μάλιστα μηδὲν ἔχοντας ὀρθότερον ἀποδεικτικῶς προτεῖναι, ἀβέβαιον ἢ ἀσήμαντον, καὶ ἐνσάσεσιν ὑποκείμενον. Πάνυ δὲ καλῶς ὁ αὐτὸς συγγραφεὺς σεσημείωκεν, ὅτι

ἐν

ἐν τοῖς τῦ Δαβὶδ ϗ Σολομῶντ@ χρόνοις, τὸ χρυσίον ϗ ἀργύριον πολλῷ κοινότερα ἦσαν ἐν τῇ Ἀνατολῇ, ἤπερ τὴν σήμερον ἐν τῇ Εὐρώπῃ. ὐδὲν ὖν ἀπεικ@, ὐδὲ παράδοξον, μᾶλλον δὲ εἰκ@ ϗ ἑπόμενον, τὰ βαθμηδὸν ὑπὸ τῦ Δαβὶδ ὑποτασσόμενα μικρὰ ἔθνη χρυσίῦ ϗ ἀργυρίῦ εὐπορεῖν, κἂν μικρὰ ἦσαν. ὅθεν κατὰ μικρὸν συνήλεξεν ὁ Δαβὶδ τὸν περὶ ὗ ὁ λόγ@ πλῆτον. κἂν δὲ ὑποτεθῇ, πολλὰ αὐτὸν δαπανῆσαι ἐν τῇ κατὰ τὴν Συρίαν ἐκστρατείᾳ, πολλῷ ὅμως πλείονα τῶν ἀναρρύντων ἐθέρισε.

Τὸ δὲ, ἰδὺ ἐγὼ κατὰ τὴν πτωχείαν μῦ ἡτοίμασα εἰς οἶκον Κυρίῦ, κτ. ὐδεμίαν ἔχει δυσκολίαν, μετὰ τῆς προσηκύσης ἁπλότη-„τ@ ἐκλαμβανόμενον. ταὐτὸν δ' ἐστὶ τῷ, ἰδὺ ἐγὼ κἂν πτωχ@ „ὑπῆρχον, ἠδυνήθην ὅμως ἑτοιμάσαι εἰς οἶκον Κυρίου ταλάντων, κτ. Τὸ δὲ, πτωχ@ ἔφη, ἤτοι ταπεινύμεν@, καθάπερ ϗ ὅτε „ἔλεγεν, Ἐγὼ δὲ πτωχ@ εἰμι ϗ πένης, Καὶ, πτωχ@ εἰμι ϗ ἐν κόποις ἐκ νεότητ@ μῦ, ἢ τὴν ἐν τῷ πατρικῷ οἴκῳ πτωχείαν αὐτῦ ὑπαινιττόμεν@. Ψαλ. 69. 7. Ψαλ. 87. 16.

Ἡ κρίσις δὲ τῶν πολλῶν ϗ ἐμπείρων νεωτέρων κριτικῶν, ἡ περὶ τῆς τῦ Ναῦ δαπάνης ὀλίγον ἔχει βάρ@. τὶς δ' ἂν πειθείη, ὅτι ὅτοι μετὰ τοσύτυς αἰῶνας τὰς τότε τιμὰς τῆς ὕλης, τῆς πρ@ οἰκοδομὴν ϗ διακόσμησιν τῦ Ναῦ, ϗ τὰς ὑπὲρ τῆς μετακομιδῆς αὐτῆς δαπάνας, ϗ τὺς μισθὺς τῶν ἀρχιτεκτονύντων ϗ οἰκοδομύντων, ϗ τῶν ἐργατῶν, ἀκριβῶς ἀναλογίσασθαι ἐδυνήθησαν; εἶτα πόθεν δῆλον, ὅτι ἡ ὑπὸ τῦ Δαβὶδ συλλεχθεῖσα τῦ χρυσῦ ϗ ἀργύρῦ ποσότης, πᾶσα εἰς τὴν τῦ Ναῦ οἰκοδομὴν κατηνάλω), ὥςε μηδὲν ὑπολῃφθῆναι μέρ@; ἢ ἐκ εἰκ@, τὸν Δαβὶδ ϗ πλείονα τῦ δέοντ@ συναγαγεῖν ποσότητα, καθάπερ πᾶς συνετὸς ποιεῖ, τὰ πρ@ οἰκοδομὴν ἑτοιμάζων; περιττὸν ὖν, κατάγε τὸ ἡμῖν δοκῦν, σφάλματα ὑποπτεύειν μεταγραφέων ἐν τῇ προκειμένῃ τῆς θείας Γραφῆς ἀναγνώσει, τῇ ὅτως ἐχύσῃ ἐν πάσαις ταῖς ἐκδόσεσιν.

Σημ. 117. Δῆλον, ὅτι διὰ τὸ μεγαλόδωρον. δωρεῖ) δὲ οἷς ἂν βύλη) πλυσίως ὐ μόνον σισύρας, ἀλλὰ ϗ χρυσίον, ϗ ἀργύριον, ϗ λίθυς τιμίυς.

Σημ. 118. Διὰ τὴν συντομίαν ἀσαφὴς ϗ ἡ ἔνγασις, ϗ ἡ ἀπάντησις. Ἰσέον ὖν ὅτι ὁ Βολτέρ@ μεταφράζων τὸ 29. ἐδ, τῦ 10. κεφ. τῆς 3. τῶν Βασ. ὅτως· „Ὡσαύτως ἤγαγον αὐτῷ τέθριππον ἅρ-„μα ἐξ Αἰγύπτυ ἑξακοσίων Σίκλων ἀργυρίυ, ϗ πάνλα ἵππον ἑ-„κατὸν

„κατὸν πεντήκοντα Σίκλων· ὑποσημειοῖ τάδε· Κείσθω τὸν ἀρ-
„γυρίου Σίλον ἴσον εἶναι σκούδω τῆς Γαλλίας. ἐκ τριῶν συγκειμένων
„λιτρῶν. ὁ Σολομὼν οὐ πολλοῦ ἠγόραζε τοὺς ἵππους αὐτοῦ, καθ' ὃν
„καιρὸν ἐν ταῖς ἀγυιαῖς τῆς Ἱερουσαλὴμ ἐπὶ χρυσοῦ καὶ ἀργύρου πε-
„ριεπάτουν. „Καὶ ταῦτα μὲν δὴ οὕτως, χλευαστικῶς ὡς δῆλον ἅμα
δὲ καὶ ἀδιακρίτως. οὐδὲ γὰρ κρίνειν δύναται νῦν ὀρθῶς περὶ τῆς τότε
ἐκεῖ τιμῆς τῶν ἁρμάτων καὶ ἵππων. ἡ δὲ ἑλληνικὴ μετάφρασις τοῦ
προκειμένου ἐδαφίου ἄλλως ἔχουσα, τὴν τούτου προπέτειαν ἱκανῶς
ἐλέγχει.

Σημ. 119. Ὁ Ζουίγγλης ἐν Ἐλβετίᾳ ἔτει 1487 γεννηθεὶς, τὰ ἑ-
αυτοῦ θρησκεύματα ἔτει 1517 ἀνακηρύττειν ἤρξατο, (ὅρα τ. 26.
β. 125. σ. 535. τῆς ἱστορ. τοῦ Φλέουρι.) κατὰ πάντα σχεδὸν ὅμοια
τοῖς τοῦ Λουθήρου. καὶ γὰρ καὶ ὁ Ζουίγγλης ἀθέτησιν τῶν παραδόσεων
κατὰ τῆς ἀποστολικῆς τοῦ Παύλου διδασκαλίας, καὶ θείων μυστηρίων
ἀποστροφὴν, καὶ ἁγίων εἰκόνων περιφρόνησιν, κτ. ἐδίδασκεν. ὅρα τ.
27. β. 128. σ. 169. τῆς αὐτ. ἱστορ.

Σημ. 120. Καὶ τὰς ἐπαναλήψεις καὶ ῥαψωδίας αὐτοῦ, τὰς τῷ ὄν-
τι μηδεμιᾶς χρηζούσας ἀπαντήσεως, εἰς ἔλεγχον αὐτοῦ παρατίθε-
μεν· „Εἴδομεν, φησὶ προλαβὸν Λευίτην τινὰ διατεμόντα τὴν γυ-
„ναῖκα αὐτοῦ εἰς μέρη δώδεκα, ἀποκεκμηκυῖαν καὶ θνήξασαν ἐκ τῆς ἐν
„Γαβαὰ γενομένης αὐτῇ δυναστείας. καὶ ὅμως ἰδοὺ καίτις τῶν Προ-
„φητῶν ὀνόματι Ἀχιὰ, τέμνων μόνον τὸ ἱμάτιον αὐτοῦ εἰς μέρη
„δώδεκα ἵνα δηλώσῃ τῷ ἀποστάτῃ Ἱεροβοὰμ ὅτι ἐκ των δώ-
„δεκα φυλῶν τοῦ Ἰσραὴλ ἕξει δέκα. ἀλλ' ἠδύνατο ὁ Προφήτης
συνωμότης μὲν γενέσθαι τῷ ἀποστάτῃ κατὰ τοῦ Σολομῶντος, μὴ
„ὑποστῆναι δὲ τὴν ζημίαν τοῦ καλοῦ καὶ καινοῦ ἱματίου αὐτοῦ. ὁ Θεὸς
„τοῦ Ἰσραὴλ οὐκ ἐχορήγει πολλὰ ἱμάτια τοῖς ἑαυτοῦ Προφήταις.
„οἴδαμεν δὲ, ὅτι πενιχρὸν ἦν τὸ ἱματοφυλάκιον αὐτῶν. ὁ Ἱερο-
„βοὰμ, ὡς ἔοικεν, ἀπέτισε τὴν τοῦ ἱματίου τιμήν.

Ποία σχέσις μεταξὺ τῆς γυναικὸς τοῦ Λευίτου, καὶ τοῦ ἱμα-
τίου τοῦ Ἀχιά; ἡ εἰς δώδεκα μέρη διαίρεσις, καὶ ἕτερον οὐδέν. ἄριστος
οὖν ἀναφαίνεται καὶ τῶν παραθέσεων ὑφάντης. πόθεν δὲ δεῖξαι ἔχει
τον Ἀχιὰ συνομωσίας ἕνεκα ταῦτα πρᾶξαι, καὶ οὐχὶ προφητείας
πνεύματι; οὐδαμόθεν. ἡ πρότασις ἐστὶ καὶ ἀπόδειξις. Σημείωσον δὲ
καὶ τὰ λοιπὰ περὶ τοῦ ἱματίου φλυαρήματα, ἐξ ὧν συνιέναι ἔχεις τὴν
ἐν τοῖς μὴ κωμῳδουμένοις κωμοδοποιὸν αὐτοῦ εὐφυίαν.

„Ἐὰν,

„Ἐὰν φησὶν, ὁ Σολομὼν ἠβουλήθη λῃστρικῶς φονεῦσαι τὸν „Ἱεροβοὰμ, τῷ ὄντι δοκεῖ, ὅτι ὁ Θεὸς ἐδωρήσατο αὐτῷ τὴν σύνε„σιν τὸ λῃστεύειν διαπαντὸς μέν ἐστι πάνυ ἀπάνθρωπον, ἀλλ' ὁ „λόγος ἦν περὶ Βασιλείας, ἐκτεινομένης, ὥς φασιν, ἀπὸ Εὐφρά„του ἄχρι θαλάσσης. ὁ Σολομὼν ἀποθανὼν οὐκ ἠδυνήθη τὸν σκο„πὸν αὐτοῦ πληρῶσαι. ἄνδρες δὲ ἀγαθοὶ ἀκμὴν φιλονεικοῦσι περὶ „τοῦ ἐὰν ἐκολάσθη. οἱ δὲ Προφῆται οἱ Ἰουδαῖοι οὐδόλως ἐκίνησαν τοῦ„το τὸ ζήτημα. ἐν τοῖς τούτων χρόνοις οὐκ ἦν ᾅδης.

Βλέπε τοῦ ἀνδρὸς τὸ ἄπιστον. Ἡ μὲν θεία Γραφή φησι. Καὶ „ἐζήτησε Σολομὼν θανατῶσαι τὸν Ἱεροβοάμ· ὁ δὲ μεταφράσας τὸ θανατῶσαι εἰς τὸ assassiner, ὅπερ ἐστι λῃστρικῶς ἀποκτεῖναι, ἐκ τούτου ἐξύφανε τὴν ἑξῆς μωρολογίαν. αὐτοῦ ὅρα δὲ καὶ τὸ ἀναιδέστατον τούτου ψεῦδος. τίς γὰρ οὐκ οἶδεν, ὅτι ᾅδου μνήμη ἐν τῇ Γενέσει, τοῖς Ἀριθμοῖς, τῷ Δευτερονομίῳ, τῇ δευτέρᾳ τῶν Βασιλειῶν, τῷ Ἄσματι, πολλάκις δὲ ἐν τῷ Ἰὼβ, τοῖς Ψαλμοῖς, ταῖς Παροιμίαις ἐν τοῖς Προφήταις, εἴτουν τῷ Ἡσαΐᾳ, τῷ Βαρούχ, τῷ Ἰεζεκιὴλ, ὡσαύτως ἐν τῷ Δανιὴλ, καὶ Ὠσηὲ, καὶ Ἀμὼς, καὶ Ἀββακούμ *). αὐτὸς ὅμως ἀνερυθριάστῳ προσώπῳ φησίν· ἐν τοῖς τῶν Προφητῶν χρόνοις Ἅδης οὐκ ἦν. 3. Βασ. 29. 04.

„Ὁ μὲν Σολομὼν, προστίθησιν, ἦν Ἰουδαῖος, πάντων τῶν Ἰου„δαίων φιλαργυρώτερος, ὁ δὲ καθολικὸς φορολόγος αὐτοῦ ἄ„ξιος ἦν κρεμάστρας. πῶς; ἐν τοῖς χρόνοις αὐτοῦ περιεπάτουν ἐπὶ „τοῦ ἐν ταῖς ἀγυιαῖς χρυσοῦ καὶ ἀργύρου· εἴδομεν δὲ, ὅτι ἐξουσιαστὴς „ἦν περίπου τριάκοντα καὶ ἓξ διλλιονίων ἀργυρίου μετρητοῦ, ἀκμὴν „δὲ ἐβάρυνεν ὁ οὐτιδανὸς τὸν λαὸν αὐτοῦ διὰ τῶν δασμοφοριῶν· „καὶ ταῦτα μετὰ τὸ δοῦναι αὐτοῖς φαγεῖν ἐν μιᾷ ἡμέρᾳ ὀγδοήκοντα „ἐννέα μιλλιόνια, καὶ διακοσίας χιλιάδας λίτρας κρέατος ἐκ δεκαὲξ „οὐγγιῶν συγκειμένας; εἰκότως οὖν λέγεται, ὅτι οὐδεὶς φιλαργυρώ„τερος τοῦ ἀσώτου.

Πῶς φιλάργυρος ὁ τοσοῦτον δαπανήσας ἄργυρον ὑπὲρ τῆς τοῦ Ναοῦ, καὶ τῆς τοῦ οἴκου αὐτοῦ κατασκευῆς; πῶς φιλαργυρώτατος ὁ μεγαλοδωρότατος; ἀλλ' ὁ λαὸς μεμαρτύρηκεν, ὅτι ἐσκλήρυνε τὸν ζυγὸν αὐτῶν ἀλλὰ τὶς λαὸς κατὰ τῶν δασμοφοριῶν, κἂν ἀναγκαῖαι, κἂν δίκαιαι, κἂν τῷ ὄντι μὴ πάνυ δυσβάστακτοι ὦσιν, 2. Παρ. 10. 4.

οὐ

*) Γεν. 37. 35. Ἀρ θ. 16. 30, 33. Δευτ. 32. 22. δευτ. Βασ. 22, 6. Ἄσ. 8. 6. Δαν. 3. 88. Ὠσ. 13. 14. Ἀμ. 9. 2. Ἀββ. 2. 5.

ὁ κραυγάζει εὐκαιρίας τυχών; ἔπερ δὲ ἀληθὲς, ὅτι ἐσκλήρυνε τὸν λαὸν, ἀλλὰ καὶ περιεποιεῖτο αὐτὸν, δαψιλέσι διατρέφων εὐωχίαις. ἐξ ὧν δῆλον, ὅτι λαμβάνων ἐκ τῶν λαῶν, πάλιν ἀπεδίδω αὐτοῖς. ἡ γὰρ μετάδοσις καὶ ἡ εὐποιία ἀφαιρεῖ τῆς ὑποθετικῆς φιλαργυρίας καὶ σκληρότητος τὸ ὄνειδος. σκόπει δέμοι καὶ τὴν ἀπαράδεκτον ὑπερβολὴν τῶν, περιεπάτουν ἐπὶ τῷ χρυσῷ καὶ ἀργύρῳ, καὶ τὸ γελοιῶδες γνωμικὸν, ὡδὶ φιλαργυρώτερος τοῦ σώτου. καὶ μὴν τῇ φιλαργυρίᾳ ἡ σωτηρία ἀντίκειται. σημείωσον δὲ καὶ τὴν προφανεστάτην αὐτῶν πονηρίαν. ἵνα γὰρ τὸν ἀριθμὸν τῶν βρωμάτων πολλαπλάσιον δείξῃ, εἰς λίτρας τὸ κρέας διαλε, προθεὶς καὶ τὸ οὖ τῇ θείᾳ Γραφῇ μὴ περιεχόμενον, εἴτουν τὸ, ἐν μιᾷ ἡμέρᾳ. τὸν δὲ φορολόγον παραλόγως τυχὸν καταδικάζει, μὴ εἰδὼς, εἴπερ ὅτος ἦν τῆς ὑπ' αὐτῶν νομιζομένης φιλαργυρίας τὸ αἴτιον.

„Ἡ δὲ ἀπόκρισις, φησὶ, τῷ Ῥοβοὰμ, εἰπόντος, ὁ Σολομὼν „ἐπαίδευσεν ἡμᾶς ἐν μάστιξι, κἀγὼ παιδεύσω ἡμᾶς ἐν σκορπίοις, „ἐστὶ τυράννου ἀπόκρισις. ἀξίως ἂν ἦν ὅτος ποινῆς χείρονος τῆς αὐτῷ ἐπισυμβάσης.

3. Βασ. 12. 14, κτ. Κύν. 10, 13.

Ὁ Ῥοβοὰμ ἐκκαιδεκαέτης ὢν, ὅτε ἐβασίλευσε, πλανηθεὶς ὑπὸ τῶν συνεκτραφόντων αὐτῷ παιδαρίων, κατέλιπε μὲν τὴν τῶν πρεσβυτέρων συμβουλὴν, ἐλάλησε δὲ τῷ λαῷ τὴν τῶν παιδαρίων. διὸ ἡ ἀπόκρισις αὐτοῦ οὐκ ἔστι τυράννου, ἀλλὰ παιδαρίων. ὅρα δέμοι ἐνταῦθα τὸν μαινόλην ἄπιστον καὶ κατ' αὐτῆς τῆς τοῦ Θεοῦ κρίσεως κατεπαιρόμενον καὶ σοβαρεύόμενον, καὶ χείρονος ποινῆς ἄξιον εἶναι τὸν Ῥοβοὰμ ἐπικρίνουσα, αὐτῆς τῆς ὑπὸ Θεοῦ αὐτῷ ἐπενεχθείσης. αὐτὸς γὰρ ὁ Θεὸς διὰ Σαμαΐου τοῦ Προφήτου εἴρηκε· „παρ' ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο.

3. Βασ. 12. 24.

„Ὅλος, λέγει, ὁ Ἰσραὴλ ἀποχρώντως λόγον εἶχε. διότι ἓν „ὁλόκληρον γένος ὁδόλως ἐέργει σκορπίοις μαστίζεσθαι. ὁ τοῦ Δαβὶδ „οἶκος οὐκ ἦν τῶν ἄλλων κρείττων. ὅτος ἦν υἱὸς ἀνδρὸς ἐν χωρίῳ „οἰκοῦντος. τοσοῦτον δὲ δικαίωμα εἶχον σκορπίοις μαστίζειν τὸν λαὸν „αἱ λοιπαὶ πατριαὶ, ὅσον καὶ αὐτός. Ἀλλ' ὁ Θεὸς ἐξελέξατο τὸν „τοῦ Δαβὶδ οἶκον.

Ναί. ὁ Θεὸς ὁ μὴ θαυμάζων τὸν ἐν ἄσει πλέον τοῦ χωρικοῦ, καθάπερ σὺ παχυλὲ καὶ ἀνόητε, μηδὲ τὸν ἔξω ὁρῶν τὸν φθειρόμενον, ἀλλὰ τὸν ἔσω καὶ ἀθάνατον ἄνθρωπον, ἐξελέξατο τὸν Δαβὶδ, ἄνδρα κατὰ τὴν καρδίαν αὐτοῦ βασιλεύσαν ἐπὶ πάντα τὸν λαὸν αὐτοῦ.

Σημ.

Σημ. 121. Καταλιμπάνει ὁ συγγραφεὺς ἐννέα εἴτε ὑπομνήματα, εἴτε σημειώματα τῦ Βολτέρυ εἰς τὴν τῦ Ῥοβοὰμ ἱστορίαν, ἢ ταῦτα εἰκότως. τὶ δ' ἄλλο περιέχυσιν, εἰμὴ σκώμματα ἢ χλεύας, πολλάκις ὑπ' αὐτῦ ἀναμασηθείσας, ἢ γνωμολογίας ἀσεβεῖς ἐπὶ μηδεμιᾷ ἀποδείξει, ἢ κἂν γῦν μικρᾷ βάσει ςηριζομένας; ἔνθεντοι ἢ ἡμεῖς καταλιπεῖν ταύτας ἔγνωμεν, ἵνα μὴ ἀηδείαν τοῖς ἀναγινώσκυσιν ἐμποιήσωμεν. Ὁ αὐτὸς δ' ὁ ἄπιςος συναισθανθεὶς, ὡς ἔοικε, τῆς ὑπὸ τῶν ὑπομνημάτων αὐτῦ ἐπενεχθησομένης τοῖς ἀναγινώσκυσιν ἐνοχλήσεως, ἔφη· „Φοβύμενος, μήτι ἡ ἱστορία αὕτη, ἢ „τῦτο τὸ ὑπόμνημα ἀηδείαν προξενήσῃ τῷ ἀναγνώςῃ, ὥσπερ κἀ„μοὶ, παραῤῥάμω πάσας τὰς ληξείας τῶν Βασιλέων τῦ Ἰύδα, ἢ „τῦ Ἰσραὴλ.

Σημ. 122. Ἡ λέξις Πρίαπος ἐν τῇ Βυλγάτῃ κεῖ), Ne eſſet princeps in ſacris Priapi. τῦ μὴ εἶναι ἡγυμένην ἐν ταῖς τῦ Πριάπυ τελεταῖς. ἐν δὲ τῇ ἑλληνικῇ μεταφράσει ἀναγινώσκομεν· „Καὶ τὴν Ἀνὰ μητέρα αὐτῦ μετέςησε τῦ μὴ εἶναι ἡγυμένην, „καθότι ἐποίησε σύνοδον ἐν τῷ ἄλσει αὐτῆς. 3. Βασ. 15. 13.

Σημ. 123. Ἐκ τῆς Βυλγάτης, ὡς ἔοικεν, ἁφορμὴν λαβὼν ὁ Βολτέρος, ταῦτα γέγραφεν. ἐν αὐτῇ δ' κεῖ) τὸ, et abſtulit eſoeminatos de terra. τυτέςι, ἢ ἀφεῖλε τὺς θηλυδρίας ἀπὸ τῆς γῆς· Ἐν δὲ τῇ Ἑλληνικῇ μεταφράσει ἀντὶ τύτων, τάδε· Καὶ ἀφεῖλε τὰς τελετὰς, κατ' ἄλλην δὲ ἔκδοσιν (τὴν ἐν Κοτλυτ.) τὺς τετελεσμένυς. 3. Βασ. 15. 12.

Σημ. 124. Ἰδὺ τὰ τῆς ἑλληνικῆς μεταφράσεως ῥήματα, μηδὲν τοιῦτον διαλαμβάνοντα. „Καὶ κατίσχυσεν Ἀβιὰ, ἢ ἔλαβεν ἑαυτῷ „γυναῖκας δεκατέσσαρας, ἢ ἐγέννησεν υἱὺς εἰκοσιδύω, ἢ ἑκκαίδε„κα θυγατέρας. 2. Παρ. 13. 21.

Σημ. 125. Ὁ Βολτέρος ἀντιπροτείνει, λέγων· Οἱ Προφῆ) τῦ „Βαὰλ εὐλαβεῖς ἦσαν τοῖς Θεοῖς αὐτῶν ἐπίσης ὥσπερ ἢ ὁ Ἠλίας „τῷ Θεῷ αὐτῦ. ἡ πίςις αὐτῶν τοσῦτον μεγάλη ἦν ὅσον ἢ ἡ τῦ „Ἠλιύ. ὃκ ἦσαν ἄρα πταῖσαι. ἦσαν πιςοὶ τῷ Θεῷ Ὁ τῷ Βασιλεῖ αὐτῶν. Κἀντεῦθεν ὢν δήλη ἢ ἐκπεφασμένη ἡ τῦ Βολτέρυ ἀσέβεια, ἢ ἡ ἀθεία.

Σημ. 126. Μιλόρδε ἀδιάκριτε, πῶς ὁ συνοραῖς, ὅτι τὸν Ἐλισσαῖον ὑβρίζων, τὸν Θεὸν ἐλέγχεις; τὶς δὲ τὰ παιδάρια ἀπέρρηξεν; ὁ
4. Βασ. 2. 24 Ἐλισσαῖος; ὄχι. „ὁ Ἐλισσαῖος κατηράσατο μόνον αὐτοῖς ἐν ὀνόματι Κυρίου, ὅπερ ἐξὶ παρέδωκεν αὐτὰ τῇ τοῦ Θεοῦ κρίσει, ὡς τοὺς Προφήτας αὐτοῦ περιφρονοῦντα. „Καὶ ἰδοὺ, φησὶν, ἐξῆλθον δύο ἄρκτοι ἐκ τοῦ δρυμοῦ· ἐπιταγῇ πάντως τοῦ Ἐλισσαίου, ᾧ αἱ ἄρκτοι οὐχ ὑπήκουον, ἀλλὰ τοῦ Θεοῦ, ᾧ ὑπείκει τὰ σύμπαντα· ᾗ ἀνέρρηξαν ἀπ' αὐτῶν τεσσαράκοντα ᾗ δύο παῖδας. Ἵνα τί οὖν τὸν Ἐλισσαῖον κατακρίνεις, τοῦ Θεοῦ ὕστερον κρίναντος, ᾗ δικαίοις σαθμοῖς ὁ πάντας τοὺς ἐκεῖ παῖδας, ἀλλ' ἀπ' αὐτῶν τοὺς τὸν Προφήτην αὐτοῦ ἐμπαίξαντας τιμωρήσαντος; „Ἀνέρρηξαν δὲ φησιν ἀπ' αὐτῶν τεσσαράκοντα ᾗ δύο παῖδας. ἀλλὰ δῆλος εἶ, ὦ Μιλόρδε, τῷ ἔργῳ ἀπιστῶν. ὅπερ ψεύδες δεῖξαι προθέμενος, αὐτὸς σεαυτὸν ψεύστην ἀπέδειξας, ἄρκτους ἐν Παλαιστίνῃ μὴ ὑπάρχειν ἀποφηνάμενος.

Σημ. 172. Οὐ μόνον ἡ Βυλγάτα, ἀλλὰ ᾗ οἱ Ἑβδομήκοντα μεταφράσαι πόρνην προσαγορεύσι τὴν Ῥαὰβ, ᾗ ταῦτα τρίς. Πρὸς τύτοις ᾗ αὐτὸς τῷ θεοπνεύστυ Παύλυ, τῷ ᾗ Ἑβραίυ ἐξ Ἑβραίων, διαῤῥήδην βοῶντος. „Πίστει Ῥαὰβ ἡ πόρνη ὐ συναπώλετο τοῖς ἀπει„θήσασι, δεξαμένη τὺς κατασκόπυς μετ εἰρήνης. Τὶς ἂν δεχθείη τὰς χθιζὰς τῷ Βατάβλυ ᾗ τῶν λοιπῶν μεταφράσεις; ὃς ἔδει τοῖς Ἑβδομήκοντα ᾗ τῷ Παύλῳ πειθομένυς μηδὲ ἀμφιβάλλειν, μηδὲ συζητεῖν περὶ τῦ ἐὰν ἡ Ῥαὰβ πόρνη ἦν, πολλῷ γε ᾗ δεῖ ἄλλως τολμᾶν μεταφράζειν. „Ἀ ἀλ' ὐδεμία, φησὶν ὁ Βολτέρος, ἀ„νάγκη, τὸν Ἰησῦν ἀποστεῖλαι δύω κατασκόπυς πρὸς γυναῖκα πόρ„νην. Ὁ Ἰησῦς ὐκ ἀπέστειλεν αὐτὺς πρὸς γυναῖκα πόρνην. τῦτο ψευδῶς προφανέστατον. ἀλλὰ πρὸς κατασκόπυσιν τῆς Ἰεριχώ. οἱ δὲ κατάσκοποι εἰσῆλθον εἰς τὴν οἰκίαν αὐτῆς Θεῦ ὁδηγίᾳ, τῦ διαφυλάξαι αὐτὴν εὐδοκήσαντος διὰ τὴν πίστιν αὐτῆς. ἐπίστυσε δὲ τῷ Θεῷ, ὡς τοῖς θαυμασίοις αὐτῦ. Ἐπίσαμαι, φησὶν, ὅτι ἔδωκεν „ὑμῖν Κύριος τὴν γῆν. ἐπιπέπτωκε δὲ ὁ φόβος ὑμῶν ἐφ' ἡμᾶς. „Ἀ κηκόαμεν δὲ ὅτι κατεξήρανε Κύριος ὁ Θεὸς τὴν ἐρυθρὰν θά„λασσαν ἀπὸ προσώπυ ὑμων, ὅτε ἐξεπορεύεσθε ἐκ γῆς Αἰγύπτυ. „ᾗ ὅσα ἐποίησε τοῖς δυσὶ Βασιλεῦσι τῶν Ἀμορραίων, οἳ ἦσαν πέ„ραν τῦ Ἰορδάνυ, τῷ Σιὼν καὶ Ὼγ, ὃς ἐξολοθρεύσατε αὐτύς. „Καὶ ἀκύσαντες ἡμεῖς ἐξέσημεν τῇ καρδίᾳ ἡμῶν, ὐκ ἔσῃ ἔτι „πνεῦμα ἐν ὐδενὶ ἡμῶν ἀπὸ προσώπυ ὑμῶν. ὅτι Κύριος ὁ Θεὸς ὑ„μῶν, Θεὸς ἐν ὐρανῷ ἄνω, ᾗ ἐπὶ τῆς γῆς κάτω. Ἀ κύεις ὁποία πόρνη ἦν ἡ Ῥαάβ; διὸ δὴ ᾗ ὁ Ἀπόστολος τὴν πίστιν αὐτῆς σωτηρίαν αὐτῇ γεγονέναι ἔφη.

Ἰησ. τ. 1 3 6. 19. 25.

Ἑβρ. 11. 31.

Σημ. 173. Τύτοις πρόδες πρῶτον τὸ, ὅτι ὐ πάντες, ἀλλ' οἱ πλεῖστοι τῶν μαχίμων ἦσαν ἀπερίτμητοι. Φησὶ δὲ, διὸ ἀπερίτμητοι ἦσαν „οἱ πλεῖστοι αὐτῶν τῶν μαχίμων. β. Εἴρηκε μὲν ἡ Γραφὴ, ὁ Ἰησῦς περιέτεμε τὺς υἱὺς Ἰσραὴλ, ὐ προσέθηκεν ὅμως τὸ, πάντας. διὸ ὐδεμία ἀνάγκη νοῆσαι, τὸν Ἰησῦν ἰδίᾳ χειρὶ πάντας περιτεμεῖν. δῆλον δὲ, ὅτι ᾗ πολυχειρία ἐν μιᾷ ᾗμέρᾳ τελεῖ τὸ μόλις ἐν πολλαῖς ᾗμέραις ὑπὸ μιᾶς χειρὸς τελύμενον. γ. Τὸ κατ ἐκείνην τὴν ᾗμεραν, ὅπερ ἐσὶ κατὰ μίαν ᾗ τὴν αὐτὴν ᾗμέραν, ὐδαμῦ κεῖται ἐν τῇ θείᾳ Γραφῇ, ὁ Βολτέρος δὲ, ὡς ἐν αὐτῷ, τῦτο προσέθη-

Ἰησῦς 5. 6. 8.

Ἰησῦς 5. 3.

κε. κἂν τὸ ἀναγινώσκωμεν τὸ. „καὶ εἶπε Κύριος τῷ Ἰησοῦ ὑῷ
Ἰησ. 5. 9. „Ναυῆ, ἐν τῇ σήμερον ἡμέρᾳ ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ'
„ὑμῶν, οὐδὲν ἀναγκάζει νοῆσαι, ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ πάντας
περιτμηθῆναι. νοητέον δὲ μᾶλλον, ὅτι μετὰ τὰς ἡμέρας, ἐν αἷς τὸ
ὅλον ἔργον πέρας ἔσχεν, εἶπεν ὁ Θεὸς τῷ Ἰησοῦ, „ἐν τῇ σήμερον ἡ-
μέρᾳ ἀφεῖλον, κτ'.

Σημ. 174. Δυσσαράδεκτον τὸ δεύτερον, ὡς προσθήκας εἰσάγον ἐν
τῷ μεταξὺ τῶν τῆς θείας Γραφῆς ῥημάτων. Ἀλλὰ πῶ στηρίζει ὁ
Βολιγγβροόκιος τὸ ἴδιον γνωμοδότημα; ἢ δῆλον, ὅτι ἐν τῷ, ἕως
τῆς σήμερον ἡμέρας. Ἀλλὰ πᾶς τις γράφων περὶ προγεγονότος
μὲν ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀκμὴν δὲ ὑφισταμένου πράγματος, ὀρ-
θῶς ἂν εἴποι, τοῦτο ὁρᾶται, ἢ ὑφίσταται ἕως τῆς σήμερον ἡμέρας. ὁ
οὖν Ἰησοῦς τὴν περὶ τῆς Ἱεριχὼ ἱστορίαν γράφων, οὐχὶ τότε, ὅτε ἐ-
νεπρήσθη, ἀλλὰ μετὰ ταῦτα, προσέθηκε τὸ, „ἡ Ῥαὰβ κατώκη-
„σεν ἐν τῷ Ἰσραὴλ ἕως τῆς σήμερον ἡμέρας, ὅπερ ἐστὶν ἕως τῆς ἡ-
μέρας ἐκείνης, καθ' ἣν αὐτὸς ταῦτα ἔγραφε.

Σημ. 175. Τὶ καλέσειεν ἄντις ταῦτα; Τὶ δ' ἄλλο εἰμὴ σωρὸν ἀναι-
Ἰησοῦς 7. 4. σχύντου ψεύδους; ἡ μὲν θεία Γραφὴ διαῤῥήδην βοᾷ, „καὶ ἀνέβη-
„σαν ὡσεὶ τρισχίλιοι ἄνδρες, καὶ ἔφυγον ἀπὸ προσώπου ἀνδρῶν Γαί.
ὁ δὲ Βολτέρος φησὶν, ὁ Ἰησοῦς ἔχων ἑξακοσίας χιλιάδας στρατιω-
τῶν εὐτάκτων. πάλιν, ἡ μὲν, οὐδὲ περὶ τοῦ ἀριθμοῦ; οὐδὲ περὶ τῆς
καταστάτεως τῶν ἐν Γαὶ ἀνδρῶν λαλεῖ. ὁ δὲ καὶ τὸν ἀριθμὸν, καὶ
τὴν τούτων κατάστασιν διορίζει, λέγων, τούτους εἶναι μόνον τριακοσί-
ους χωρικούς. ὡσαύτως ἡ μὲν παρίστησι τὸν Θεὸν δηλοῦντα τῷ Ἰησοῦ
Ἰησοῦς 10. 11. εὐχομένῳ τὸν λόγον, δι' ὃν ἐν Γαὶ ἐπαιδεύθησαν. „Καὶ εἶπε Κύ-
„ριος πρὸς Ἰησοῦν, ἀνάστηθι, ἵνα τὶ τοῦτο σὺ πέπτωκας ἐπὶ πρό-
„σωπόν σου; Ἡμάρτηκεν ὁ λαὸς, καὶ παρέβη τὴν Διαθήκην μου, ἣν
„διεθέμην πρὸς αὐτοὺς, κλέψαντες ἀπὸ τοῦ ἀναθέματος ἐνέβαλον
εἰς τὰ σκεύη αὐτῶν. Εἶτα καὶ τὸν τρόπον ἐμφαίνοντα, δι' οὗ δείξει
Ἰησοῦς 14. 15. αὐτοῖς τὸν πταίσαντα. „Καὶ συναχθήσεσθε πάντες τὸ πρωὶ κατὰ
„φυλὰς, καὶ ἔσται ἡ φυλὴ, ἣν ἂν δείξῃ Κύριος, προσάξετε κατὰ δή-
„μους. καὶ τὸν δῆμον, ὃν ἂν δείξῃ Κύριος, προσάξετε κατ' οἶκον.
„ὃν ἂν δείξῃ Κύριος, προσάξετε κατ' ἄνδρα. Καὶ ὃς ἂν δειχθεῖ,
„κατακαυθήσεται ἐν πυρὶ, καὶ πάντα ὅσα ἐστὶν αὐτῷ. Ὁ δὲ, μάγον,
φησὶν. ἀναδείκνυσι, μαντευόμενον καὶ λέγοντα, ὅτι κατετροπώθη-
σαν διὰ τὴν ὑπό τινος στρατιώτου προγεγενημένην μέρους τῶν λαφύ-

ρων

ρων ἁρπαγήν, ἐὰν μὲν οὖν οὗτος ταῦτα διδάσκῃ ὡς τῆς Γραφῆς ῥήματα, καὶ νοήματα, ἐστὶ πάντων τῶν ψευστῶν ἀναισχυντώτερος, ἐὰν δὲ ὡς ψιλὰς καὶ ἀναποδείκτους ὑποψίας ἐκ τῆς κοιλίας αὐτοῦ ἀναπεμπομένας, φρενήρης καὶ κατάπτυστος.

Σημ. 176. Οὐ πειθανώτατον, ἀλλὰ βεβιασμένον, ἀλλ' οὐδὲ ὁ ἱερὸς συγγραφεὺς τοῦτο ὑποσημαίνει, κατάγε τὸ ἡμῖν δοκοῦν. ἔστι γὰρ ἁπλῆ καὶ κατὰ τάξιν βαίνουσα ἡ τοῦ ἱεροῦ συγγραφέως διήγησις. οὗτος μὲν γὰρ ἐν τῷ πρώτῳ συγκροτισμῷ, τῷ ἐν αὐτῇ τῇ πόλει Γαβαὼν γενομένῳ, παρίστησι συντριβὴν τῶν ἐχθρῶν γεγονέναι μεγάλην. οὓς φεύγοντας καταδιώξαντες, κατέκοπτον. „Καὶ συνέτριψε, „φησὶν, αὐτοὺς Κύριος συντρίψει μεγάλῃ ἐν Γαβαών· καὶ κατεδίω„ξαν αὐτοὺς ὁδὸν ἀναβάσεως Ὠρωνὶν, καὶ κατέκοπτον αὐτοὺς ἕως Ἀζηκὰ καὶ ἕως Μακηδά. Ταῦτα δὲ εἰπὼν, ἐπάγει εὐθὺς τὸ, ὅτι ἐπειδὰν ἐκεῖνοι ἔφευγον, ἐπέρριψεν αὐτοῖς ὁ Κύριος λίθους χα„λάζης. Ἐν δὲ τῷ φεύγειν αὐτοὺς ἀπὸ προσώπου τῶν υἱῶν Ἰ„σραὴλ ἐπὶ τῆς καταβάσεως Ὠρωνὶν, καὶ Κύριος ἐπέρριψεν αὐτοῖς „λίθους χαλάζης ἐκ τοῦ οὐρανοῦ ἕως Ἄζηκα. Τούτοις δὲ ἐπισυνάπτει ταῦτα· „Καὶ ἐγένοντο πλείους οἱ ἀποθανόντες διὰ τοὺς λίθους τῆς „χαλάζης, ἢ οὓς ἀπέκτειναν οἱ υἱοὶ Ἰσραὴλ μαχαίρᾳ ἐν τῷ πολέμῳ. Ἐξ ὧν δῆλον, ὅτι τοὺς κατακοπέντας ἐν τῷ φεύγειν, τοῖς ἀποκτανθεῖσιν ὑπὸ τῆς χαλάζης παραβάλλων, φησὶν, ὅτι πλείονες ἦσαν οἱ ἀποθανόντες διὰ τοὺς λίθους τῆς χαλάζης τῶν ἐν τῷ πολέμῳ κατακοπέντων ὑπὸ τῶν Ἰσραηλιτῶν μαχαίρᾳ. Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν τῆς χαλάζης θαυματοποιΐαν, θαρσήσας ἐζήτησε παρὰ Κυρίου στῆσαι τὸν Ἥλιον. μετὰ γὰρ τὸ, Ἐγένοντο πλείους οἱ ἀποθανόντες „διὰ τοὺς λίθους τῆς χαλάζης, ἢ οὓς ἀπέκτειναν οἱ υἱοὶ Ἰσραὴλ μα„χαίρᾳ ἐν τῷ πολέμῳ, Ἐπιφέρει εὐθέως τὸ. τότε ἐλάλησεν Ἰη„σοῦς πρὸς Κύριον, ᾗ ἡμέρᾳ παρέδωκεν ὁ Θεὸς τὸν Ἀμορραῖον ὑ„ποχείριον Ἰσραὴλ, ἡνίκα συνέτριψεν αὐτοὺς ἐν Γαβαὼν. καὶ συνε„τρίβησαν ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. Καὶ εἶπεν Ἰησοῦς, στήτω ὁ Ἥλιος κατὰ Γαβαὼν, καὶ ἡ Σελήνη κατὰ φάραγγα Αἰλών. Τῆς ἡμέρας οὖν ἐκείνης ἐπὶ πλεῖον παραταθείσης διὰ τὴν τοῦ Ἡλίου στάσιν, καὶ αὐτοὺς τοὺς καταλειφθέντας ἀπὸ τῆς μαχαίρας, καὶ τῶν τῆς χαλάζης πληγῶν, κατέκοψεν. Ὑμεῖς δὲ, ἔλεγε τοῖς μετ' αὐτοῦ, „μὴ ἑστήκατε καταδιώκοντες ὀπίσω τῶν ἐχθρῶν ὑμῶν, καὶ καταλά„βετε τὴν οὐραγίαν αὐτῶν. καὶ μὴ ἀφῆτε εἰσελθεῖν εἰς τὰς πόλεις „αὐτῶν.... Καὶ ἐγένετο ὡς κατέπαυσεν Ἰησοῦς καὶ πᾶς υἱὸς Ἰσρα-

Ἰησοῦς 10. 10.

Ἰησοῦς 10. 10.

Λ' ὑτ.

Ἰησοῦς 10. 12

Ἰησοῦς 10. 20.

„ὴλ

„ἠλ κόπτοντες αὐτὰς κοπὴν μεγάλην σφόδρα ἕως εἰς τέλ. Τοσοῦτον δὲ εὑρύθμητε καὶ εὐτάκτη ὅσης τῆς διηγήσεως, τίς ἡ ἀνάγκη τὴν ἑαυτῆς ἀναστρέφειν τάξιν, καὶ προτάττειν τὴν τοῦ Ἡλίου στάσιν τῆς τῶν πετρῶν χαλάζης; Ἀναγκάζει ἆρα τὸ τοῦ Βολτέρου „ψεῦδ. λέγοντ, ἀναγκαίως συνέθλασαν πάντας τοὺς Ἀμορ„ραίους, μηδένα καταλιπόσαι; Ἀλλὰ πῶ. εὗρεν αὐτὸς τὸ, πάντας. καὶ τὸ, μηδένα καταλιπόσαι; Ὁ Ἰεσ συγγραφεὺς ὁ μόνον ὠδαμοῦ φησὶ τὸ, πάντας, καὶ τὸ, μηδένα καταλιπόσαι, ἀλλ' ἐκπεφασμένως παρίστησι καταλαφθέντας καὶ μετὰ τὸν ἐν τῇ Γαβαὼν πρῶτον συγκρουσμὸν. καὶ μετὰ τὴν ἐν τῷ φεύγειν αὐτοὺς κοπὴν, καὶ μετ' αὐτὴν τὴν μεγάλην κατακοπὴν μετὰ τὴν τῆς χαλάζης πληγὴν, καὶ τὴν γενομένην μετὰ τὴν τοῦ Ἡλίου στάσιν. Καὶ οἱ διασωθέντες, Αυτ. φησὶ, διεσώθησαν εἰς τὰς πόλεις τὰς ὀχυράς. Ἱκανὴ δὲ τῆς τοῦ Βολτέρου ψοφοδολογίας ἀπάντησις ὁ τοῦ ψεύδους αὐτοῦ ἔλεγχ.

Σημ. 177. Ἀτρεὺς ὁ τοῦ Πέλοπος υἱὸς, καὶ τοῦ Ἀγαμέμνον καὶ Μενελάου πατὴρ καὶ τοῦ Ἄργους Ε Μυκήνης βασιλεὺς ἤκμασε περὶ τὸ 1228. ἔτ πρὸ Χριστ. ὁ τούτου δὲ ἀδελφ ὁ Θυέστης πείσας τὴν γαμετὴν τοῦ ἀδελφοῦ αὐτοῦ ἀγαπῆσαι αὐτὸν, τὴν ὀργὴν, αὐτοῦ δεδιὼς, πρός τινα ἀσφαλῆ τόπον κατέφυγεν. ὁ δὲ Ἀτρεὺς ὑποκριθεὶς καταλλαγῆναι αὐτῷ, φαγεῖν αὐτῷ παρεσκεύασε δύω βρέφη, ἅπερ ἦσαν τῆς μοιχείας αὐτοῦ καρπός. (Ὅρα καὶ τὸ τοῦ Βαρίνου Λεξ. εἰς τὸ Ἀτρεύς.) Τὸ τοῦ Ἰησοῦ βιβλίον συνεγράφη, ὡς ὁ τῆς βίβλου τούτης συγγραφεὺς ἀπέδειξεν (ἐν β. ς. Ἀρθρ. 4. Ἀριθ. 1.) πρὸ τοῦ βιβλίου τῶν Κριτῶν. πῶ ἔν ἴσαται τὸ τοῦ ἀπίστου προλάβον.

Σημ. 178. Ἰσέον, ὅτι ὁ συγγραφεὺς τῷ τοῦ Κοπερνίκου συσήματι ἑπόμενος, τὴν μὲν γῆν κινεῖσθαι, τὸν δὲ Ἥλιον ἵστασθαι ὑποτίθεται. τὰ δ' ὑπ' αὐτοῦ εἰρημένα Πτολεμαϊκῷ προσφυέστατα ἐφαρμόζει συσήματι, καθ' ὃ ἵστ μὲν ἡ γῆ, κινεῖ δὲ ὁ Ἥλιος. κατὰ τοῦτο δὲ δύω αἱ τοῦ Ἡλίου κινήσεις, ἡ ἡμερήσι, ἡ περὶ τὸν ἴδιον ἄξονα. καὶ ἡ ἐτήσι ἡ περὶ τὸν Ζωδιακὸν κύκλον. διὸ ἐν ταῖς τοιαύταις θεωρίαις ταὐτὸν ἐστὶ νοεῖν τὴν γῆν ἱσαμένην καὶ τὸν Ἥλιον κινούμενον, ἢ τὸ ἀνάπαλιν,

Σημ. 179. Ἰσέον ὅτι ἡ μαρτυρία τοῦ βιβλίου τοῦ Εὐθοῦς, εἴτουν τὰ ῥήματα ταῦτα. Οὐχὶ τοῦτο γεγραμμένον ἐπὶ βιβλίου τοῦ Εὐθοῦς. ἐν Ιησοῦ 10. 13.

ταῖς

ταῖς πλείοσι τῶν Ἑλληνικῶν ἐκδόσεων οὐ περιέχονται. κεῖνται δὲ ἐν τῇ τοῦ Ἄλδου, κἀν τῇ κατὰ τὴν Κομπλουτενσίαν ἐκδόσει. ἡ δὲ ἐν Ὀξονίᾳ γράφει οὕτως. Οὐχὶ αὐτὸ γέγραπται ἐπὶ βιβλίον τὸ εὑρεθέν. ἀλλὰ τὸ εὑρεθὲν ἴσως κατὰ παραδρομὴν ἐγάφη ἀντὶ τοῦ Εὐθοῦς. οἱ οὖν ταῖς πλείοσι τῶν ἑλληνικῶν ἐκδόσεων, τῶν μὴ περιεχουσῶν ταῦτα, ἑπόμενοι. ἀπαλλάττονται τῆς προκειμένης ἐνστάσεως. οἱ δὲ τῶν ἐλαττόνων, εἴτουν τῶν τριῶν εἰρημένων, αἷς καὶ ἡ Βουλγάτα συνᾴδει, τῶν ταῦτα περιεχουσῶν ἀντεχόμενοι, ἀπαντήσουσιν οὕτω. Τὸ τοῦ Εὐθοῦς βιβλίον τεῦχος ἦν Ἐφημερίδων, ἐν αἷς τὰ ἀπ' ἀρχῆς ἀξιόλογα, τὰ τοῖς Ἑβραίοις συμβαίνοντα, ὑπὸ τῶν τὴν ἐπιστασίαν ἐχόντων ταῦτα γράφειν, εὐθὺς μετὰ τὸ γενέσθαι ἐγράφοντο. ὑπαινίττεται ὅπερ λέγω ὁ Ἰώσηπος ἐν τῷ πρώτῳ κατὰ Ἀπίωνος λόγῳ. τὸ μὲν οὖν θαῦμα τῆς τοῦ Ἡλίου στάσεως ἅμα τῷ γενέσθαι ἐν ταῖς Ἐφημερίσιν, εἴτουν ἐν τῷ τοῦ Εὐθοῦς βιβλίῳ ἐγράφη. ὁ δὲ Ἰησοῦς οὐκ εὐθέως, ἀλλὰ μετά τινος καιροῦ παρέλευσιν, τὸ βιβλίον αὐτοῦ, ἢ τὰ ὑπομνήματα, ἐξ ὧν αὐτὸ συνέστη, συγγράψας, μνημονεῦσαι ἠθέλησε τοῦ βιβλίου τοῦ Εὐθοῦς, ἐν ᾧ τὸ αὐτὸ θαῦμα πρότερον ἦν γεγραμμένον.

Σημ. 180. Δύω εἰσὶν αἱ τοῦ δε τοῦ ἐδαφίου ἑλληνικαὶ ἀναγνώσεις. ἡ μὲν τῆς ἐν Φρανεκουέρᾳ ἐκδόσεως, ἣ συνᾴδει καὶ ἡ ἐν Κανταβριγίᾳ, καὶ ἡ ἐν Χάλῃ, καὶ ἡ ἐν τῇ ἑλληνικῇ Σειρᾷ εἰς τὴν Ὀκτάτευχον, ἔχουσα οὕτω. „Καὶ εἶχε τοῦ διδάξαι τοὺς υἱοὺς Ἰούδα. ἰδοὺ γέγραπται ἐπὶ βιβλίου τοῦ Εὐθοῦς. Ἡ δὲ τοῦ Ἀλεξανδρινοῦ κώδικος, ὦ καὶ ἡ Βουλγάτα σύμφωνος, προτιθεμένου τά δε. „Καὶ εἶπε τοῦ διδάξαι τοὺς υἱοὺς Ἰσραὴλ τόξον. Ἰδοὺ γέγραπται ἐπὶ βιβλίου τοῦ Εὐθοῦς. Καὶ ἡ μὲν πρώτη τῶν ἀναγνώσεων λευκαίνεται οὕτως· Ὁ τὴν δευτέραν τῶν Βασιλειῶν βίβλον ἐξ ὑπομνημάτων μεταγράψας, ἢ αὐτὸς ὁ τῶν ὑπομνημάτων αὐτουργὸς, τὸ τοῦ Δαβὶδ διαγράφων Ἆσμα, ὡς ἐν διαμέσῳ φησίν. Εἶπεν ὁ Δαβὶδ διδάξαι τὸ Ἆσμα τοῦτο τοὺς υἱοὺς Ἰούδα. ἰδοὺ δὲ, ὡς εἶπεν, ἐγράφη ἐν τῷ βιβλίῳ τοῦ Εὐθοῦς. Ἡ δὲ δευτέρα ἀνάγνωσις οὕτω. Τὸ μὲν τόξον ἀντὶ τοῦ τοξεύειν τέθειται. τὰ δὲ περὶ τοῦ τοξεύειν διελάμβανεν, ὡς ἔοικε, τὸ τοῦ Εὐθοῦς βιβλίον. τούτων δὲ κειμένων, εὐοδούται ἡ ἔννοια οὕτω. Καὶ εἶπεν ὁ Δαβὶδ (ὁ συγγράψας τὴν δευτέραν τῶν Βασιλειῶν βίβλον λαλεῖ) τοῦ διδάξαι τοὺς υἱοὺς Ἰσραὴλ τοξεύειν. Ἰδοὺ δὲ ἐν τῷ βιβλίῳ τοῦ Εὐθοῦς γέγραπται τὰ περὶ τοῦ ἐπιβόλως τοξεύειν. Σημείωσαι δὲ, ὅτι

2. Βασ. 1. 12.

τόξου

6. Βασ I. 22. τόξου ἐπιβόλου καὶ ἐν αὐτῷ τῷ Ἄσματι αὐτοῦ ὁ Δαβὶδ ἐμνήσθη. „Τό-„ξον Ἰωνάθαν οὐκ ἀπεστράφη κενὸν εἰς τὰ ὀπίσω.

Σημ. 181. Ἰδοὺ τὰ τοῦ Σαγχωνιάθωνος ῥήματα· Ἴσιρις, τριῶν „γραμμάτων εὑρετὴς, ἀδελφὸς Χνᾷ, τοῦ πρώτου μετονομασθέντος „Φοίνικος.

Σημ. 182. Πρὸ τῶν χρόνων, φησὶν ὁ Πορφύριος, καὶ σχεδὸν, οὐχὶ δὲ περὶ τοὺς χρόνους, καὶ λίαν. ἰδοὺ αὐτὰ τὰ τοῦ Πορφυρίου ῥήματα. „ἱστορεῖ δὲ τὰ περὶ τῶν Ἰουδαίων ἀληθέστατα, ὅτι καὶ τοῖς τόποις, „καὶ τοῖς ὀνόμασιν αὐτῶν τὰ συμφωνότατα, Σαγχωνιάθων ὁ Βη-„ρύτιος, εἰληφὼς τὰ ὑπομνήματα παρὰ Ἱερομβάλου τοῦ ἱερέως Θεοῦ „Ἰευὼ, ὃς Ἀβελβαλῶ τῷ Βασιλεῖ Βηρυτίων τὴν ἱστορίαν ἀνα-„θεὶς, ὑπ' ἐκείνου καὶ τῶν κατ' αὐτὸν ἐξεταστῶν τῆς ἀληθείας πα-„ρεδέχθη. οἱ δὲ τούτων χρόνοι καὶ πρὸ τῶν Τρωϊκῶν πίπτουσι χρό-„ων, καὶ σχεδὸν τοῖς Μωϋσέως πλησιάζουσιν, ὡς αὐτῶν Φοινίκων Βα-„λέων διαδοχαὶ μηνύουσι. Σαγχωνιάθων δὲ ὁ κατὰ τὴν τῶν Φοινί-„κων διάλεκτον φιλαλήθως πᾶσαν τὴν παλαιὰν ἱστορίαν ἐκ τῶν κα-„τὰ πόλιν ὑπομνημάτων, καὶ τῶν ἐν τοῖς ἱεροῖς ἀναγραφῶν συνα-„γαγὼν, καὶ συγγράψας, ἐπὶ Σεμιράμεως Γέγονε τῆς Ἀσσυρίων „Βασιλίδος. Ταῦτα ὁ Πορφύριος, οἷς ὁ Εὐσέβιος γενναίως ἀπαν-τᾷ, λέγων.

„Εἴπερ ὁ Σαγχωνιάθων ἐπὶ Σεμιράμεως γέγονεν. ἡ δὲ μα-„κρῶ πρόσθεν τῶν Τρωϊκῶν ὁμολογεῖται, εἴη ἂν καὶ ὁ Σαγχωνιά-„θων τῶν Τρωϊκῶν παλαιότερος. ἀλλ' οὗτος παρ' ἑτέρων πρεσβυτέ-„ρων αὐτοῦ τοῖς χρόνοις, εἰληφέναι λέγεται τὰ ὑπομνήματα. οἱ δὲ καὶ „αὐτοὶ ἀρχαιότεροι ὄντες αὐτοῦ, σχεδὸν τοῖς Μωσέως πλησιάζειν „χρόνοις εἴρηται, οὐδὲ αὐτοὶ κατὰ Μωσέα γενόμενοι, ἀλλὰ σχεδὸν „τοῖς ἐκείνου χρόνοις πλησιάζοντες. ὡς τοσοῦτον πρεσβύτερον εἶναι „τὸν Μωσέα τοῦ Σαγχωνιάθωνος, ὁπόσον ἂν οὗτος λείπηται τῶν „αὐτοῦ πρεσβυτέρων, οἳ Μωσεῖ πλησιάζειν ὡμολογήθησαν. πόσοις „δὲ ἄρα ἔτεσιν εἰκὸς ἦν Μωσέα ὑπεράγειν τοὺς δηλουμένους ἄπορον „εἰπεῖν. διόπερ τοῦτό μοι δοκῶ παρήσειν. δοὺς δὲ, κατ' αὐτὸν ἐκεῖνον „τὸν Σαγχωνιάθωνα Μωσέα γεγονέναι, καὶ μὴ πρότερον. ὧδε τὸν „ἔλεγχον ἐφοδεύσω. Εἴπερ ἐπὶ Σεμιράμεως τῆς Ἀσσυρίων Βασι-„λίδος ὁ Σαγχωνιάθων ἐγνωρίζετο, ἔστω δὲ καὶ Μωσῆς μηδὲν προ-„άγων, κατὰ δὲ τοῦτον ἠκμακὼς, γένοιτ' ἂν οὖν καὶ αὐτὸς κατὰ Σε-„μίραμιν. ἀλλ' ὁ μὲν ἡμέτερος λόγος ἐπὶ ταύτης ἐδήλου γενέσθαι τὸν

Ἄβρα-

„Ἀβραάμ. ὁ δὲ τῷ φιλοσόφῳ, παλαιότερον τὸν Μωσέα συνίςησιν. „ἡ Σεμίραμις τῶν Τρωικῶν ὀκτακοσίοις ὅλοις ἔτεσι δείκνυ) προγε„νομένη, ἢ Μωσῆς ἄρα ἔςαι τοσούτοις τὰ Τρωϊκὰ προάγων, κατὰ „τὸν φιλόσοφον. Ἐν βιβ. 10. κεφ. 11. τῆς Εὐαγγελ. Προπαρασκ.

Σημ. 183. „Ἐδείμαντο δὲ, φησὶν ὁ Προκόπιος, (ἐν βιβ. 2. κεφ. „10. τῶν Οὐανδαλικ) ἢ φρούριον ἐν Λεμιδίᾳ πόλει, ὃ νῦν πόλις „Τίγισις (Τάγγερ κοινως) ἐςίτε ἢ ὀνομάζεται. ἔνθα ςῆλαι δύω „ἐκ λίθων λευκῶν πεποιημέναι ἄγχι κρήνης εἰσὶ τῆς μεγάλης; „γράμματα φοινικικὰ ἐγκεκολαμμένα ἔχουσα τῇ Φοινίκων γλώσ„ῃ λέγοντα ὧδε. Ἡμεῖς ἐσμὲν οἱ φυγόντες ἀπὸ προσώπου Ἰησοῦ λῃ„ςοῦ ἱοῦ Ναυῆ.

Σημ. 184. Ἀντὶ τούτου τοῦ ἀδήλου ὕφους προτείνομεν τὴν ἐκ τοῦ Ἑβραϊκοῦ ἀρχαιοτάτην, ἢ πρώτην, ἢ ἐπίδηλον, ἢ περιβλεπτον τῶν Ἑβδομήκοντα μετάφρασιν. ἐν ᾗ οὔτε τὸ, Ἀδὰμ, οὔτε τὸ, ἀνθρώπου ὀνομαςῶς, ἀλλὰ τὰ ἑξῆς μόνον κεῖται. „Τὸ δὲ ὄνομα τῆς Χε- Ιησοῦς 14.15
„βρὼν ἦν τὸ πρότερον πόλις Ἀργὸβ, μητρόπολις τῶν Ἐνακίμ αὖ„τη. Σημείωσαι δὲ, ὅτι ὁ μὲν Ἀλεξανδρινὸς κώδιξ, ἢ ἡ τοῦ Ἀλδου ἔκδοσις ἀντὶ τοῦ Ἀργὸβ γράφει Ἀρβό. ὁ δὲ Συριακὸς κώδιξ, ἢ ἡ ἐν Κομπλυτενσίᾳ ἔκδοσις. Ἀρβαὶ, ἡ δὲ ἐν Ὀξονίᾳ, ἢ ἡ ἐν τῇ Σειρᾷ τῆς Ὀκτατεύχου, Ἀρβωή.

Σημ. 185. Περὶ τοῦ σημειώματος τοῦ ἀπίςου οὐδὲν ἔφη ὁ συγγραφεὺς, τῆς Βουλγάτης, ὡς ἔοικε φειδόμενος, τῆς τὴν ἀφορμὴν παραχώσης. τὸ δὲ σημείωμά ἐςι τὸ ἑξῆς. Πολλοὶ σοφοὶ ἄνδρες ἀμφιβάλλουσι „περὶ τοῦ ὅτι ὁ Ἀδὰμ ἐτάφη ἐν τῇ πόλει τοῦ Γίγαντος Ἀρβὲ, τῇ „καλουμένῃ Καριαθαρβέ. οἱ μοναχοὶ οἱ Λουσιτανοὶ, οἱ μετὰ τὸ ἐμ„φανισθῆναι τὰς μεγάλας Ἰνδίας τοῖς Ἀβυλουσέρκοις συνοδοιποιήσαντες, ἢ εἰ τῇ νήσῳ Κειλὰν εἰσελθόντες, τὸ μεῖζον τῶν ἐκεῖ „ὀρέων ἐκάλεσαν Πίκον τοῦ Ἀδάμ. μετὰ δὲ ταῦτα εὑρόντες τὸ τοῦ „ποδὸς αὐτοῦ ἴχνος, ἐκ τούτου ὥρισαν τὸ ἀνάςημα αὐτοῦ ἴσον δεῖν εἶ„ναι ἑκατοντάδι βραχιόνων. ἢ ὁ μὲν τοῦ Ἀδὰμ Πίκος ὀρᾷ) κα„ταγεγραμμένος εἰ τοῖς ἡμετέροις χάρταις, οἱ δὲ σοφοὶ μοναςαὶ „οἱ Λουσιτανοὶ ἐπίςευσαν, ὅτι ὁ Ἀδὰμ ἐκεῖ ἐτάφη. Ἀλλ οἱ Ὁλαν„δοὶ, οἱ τοῦ Κειλὰν ἐκράτουν, οἱ ἢ ὅλον συνάγοντες τὸ κινυάμω„μον, διςάζουσι περὶ τῆς ἐν ταύτῃ τῇ νήσῳ τοῦ Ἀδὰμ ταφῆς. οἱ „δὲ οἰκήτορες αὐτῆς ἀγνοοῦσι μὲν, ὅτι ἡμεῖς καλοῦμεν τὸ ὄρος αὐ-

„τῶν Πῖκον τοῦ Ἀδὰμ, δυςυχοῦσι δὲ μὴ εἰδότες, ὅτι ὑπῆρξε ποτέ „τις Ἀδάμ. Ἡ Γένεσις οὐ λέγει, ὅτι ὁ Ἀδὰμ ἦν Γίγας, ἀλλ' οὐδὲ ὅτι ἐτάφη εν Χεβρών. Τοῦτο οὖν ἐςὶ τὸ πολυμαθὲς αὐτοῦ σημείωμα, ἡ τῶν Λουσιτανῶν φρατόρων ἀμάθεια, ἢ ἀπάτη.

Σημ. 186. Βεζὲκ πόλις Ἀδωσιβεζέκ. καὶ νῦν εἰσὶ κῶμαι δύω Βε„ζέκ πλησίον ἀλλήλων, νέας πόλεως ἀπέχουσαι σημείοις ιζ. κατι„όντων ἐπὶ Σκυθοῦπολιν. Εὐσέβιος ἐν τῷ περὶ τοπικῶν ὀνομάτων. τὰ αὐτὰ δὲ καὶ ὁ Ἱερώνυμος, κτ.

Σημ. 187. Οὐκ ἄντις ὑποκοριςικὸν εἴποι τουτὶ τὸ ὄνομα, ἀλλ' ἐκ δύω ὀνομάτων τοῦ pollicè, καὶ τοῦ truncatus, παραγόμενον, κατα συγκοπὴν συντεθέτων.

Σημ. 188. Ἀξιοσημείωτά εἰσι τὰ ὑπὸ τοῦ Βολτέρου προλεγόμενα εἰς τὸ προδιαθέσθαι, καὶ πεῖσαι τὸν ἀκροατὴν πιςεῦσαι, ὅτι ὁ Ἐγλὼμ ἦν Βασιλεὺς τοῦ Ἀώδ. „Τοῦτό ἐςι, φησὶ, τὸ περίφημον συμ„βὰν, τὸ τοσάκις οὐχ ὑφ' ἑνὸς μόνου τῶν χριςιανικῶν γενῶν μνη„μονευθὲν, καὶ τοσάκις κακῶς ἐκληφθὲν ἐπὶ σκοπῷ τοῦ διεγεῖραι „τοὺς φανητιῶντας εἰς τὸ γενέσθαι πατροκτόνους, καὶ φονεῖς τοῦ ἰδίου „αὐτῶν Βασιλέως. καλῶς οἴδαμεν, ὅτι ἐν τῷ καιρῷ τῆς ἐν τῇ Γαλ„λία συνομωσίας οἱ ἱεροκήρυκες ἐπ' ἄμβωνος ἐβόων· Ἀναγκαῖος „ἡμῖν ὁ Ἀώδ. μεγαλοδύναμε Θεὲ ἐξαπόςειλον ἡμῖν ἕνα Ἀώδ. οὐ„δέποτε ἕξει ἡ Ἐκκλησία Ἀώδ; Οἴδαμεν, ὅτι ὁ μὲν μοναχὸς „Ἰακωβος ὁ Κλήμης ἐψηφίσθη μακάριος, ἡ δὲ εἰκὼν αὐτοῦ ἐτέθη „ἐπὶ τῆς θείας τραπέζης, ὁ δὲ λαὸς ἐπεκαλεῖτο αὐτόν. ἐποίουν δὲ „τὰ αὐτὰ καὶ τῷ Ῥαβελλάκῳ, ἐὰν ὁ Ἐνρῖκος ὁ Δ'. περιεςατωμέ„νος ἦν ὥσπερ καὶ ὁ Ἐνρῖκος ὁ Γ'. Οἱ Ῥωμαῖοι ἠυλαβοῦντο δια„παντὸς τὸν Σκήβολαν, τὸν θελήσαντα λῃςρικῶς ἀποκτεῖναι τὸν „Βασιλέα αὐτῶν Ταρκοῦινον. οἱ Ἀθηναῖοι ἀνήγειραν ἀνδριάντας „τῷ Ἁρμοδίῳ καὶ Ἀριςογείτονι, τῷ τὰ τοῦ Πισιςράτου τέκνα φο„νεύσαντι. Τὸν Εὐρῖκον τῆς Τρανςαμάρας ἐγκωμίοις ἔςεψαν οἱ ἱ„ςορικοὶ, Ἱσπανοὶ ὡς θανατώσαντα τὸν ἴδιον ἀδελφὸν, καὶ νόμιμον αὐτοῦ „Βασιλέα, ἄοπλον ὄντα ἐν τῇ σκηνῇ αὐτοῦ. Ὁ Βασιλεὺς τῆς Ἱσπα„νίας ὁ Φίλιππος ὁ Β'. κατέςησεν εὐγενεῖς οὐ μόνον τοὺς ἄῤῥενας, „ἀλλὰ καὶ τὰς θηλείας, τὰς καταγομένας ἐκ τοῦ οἴκου τοῦ Βαλτά„σαρ Γεράρδου, τοῦ φονοκτονήσαντος τὸν ἡγεμόνα τοῦ Ἀροσίου, τὸν „Γουϊλλόμον. Ὁ Μίλτων ὀλόκληρον συνέθετο βιβλίον εἰς δικαίωσιν

τῆς

„τῆς δικανικῆς φονοκτονίας τῦ Βασιλέως Καρόλυ τῦ Α'. ἐν τύτῳ „δὲ τῷ βιβλίῳ διέρχεϑ πάντας τὰς τῶν Βασιλέων φόνυς, τὰς ὑ„πό τε τῆς ἱερᾶς καὶ τῆς κοσμικῆς μνημονευομένυς ἱςορίας. ἔνεςι δὲ „λογίζεϑαι τὸ βιβλίον τῦτο ὡς λεξικὸν τῶν φονοκτονιῶν. Ὁ Γόρ„δων ἐν ταῖς ἑαυτῦ σημειώσεσιν εὐλαβείᾳ ϑάμβυς πλήρες ἐτρώ„ϑη διὰ τὴν τῦ Ἰυλίυ Καίσαρος φονοκτονίαν, ὃν ἐν μέσῃ πλήρυς „Γερυσίας ἐφόνευσαν εἴκοσι patres conſcripti, πατέρες καταγε„γραμμένοι, ὡς αὐτὸς εὐεργεσιῶν τε καὶ τιμῶν πεπλήρωκεν. ὕτοι „δὲ οἱ φονοκτόνοι τὴν αὐτὴν τῷ Α'ὠδὶ εἶχον πρόφασιν, τὴν ἐλευ„ϑερίαν. Μετὰ τάυτην τὴν ποικίλην ἱςορικὴν πολυμάϑειαν, ἐν οἷς καὶ ἐϑνικὰς τοῖς χριςιανοῖς συμμίγνυσιν ὡς διακριτικὸς ἄρις@, ἐ„πάγει ὡς διαλεκτικὸς τέλειος τὸ, ὅτι ὁ Ἐγλὼμ ἦν Βασιλεὺς τῦ Α'ὠδ, λέγων. Οὐκ ἐςιν ἐκπεφασμένον, κτ.

Σημ. 189. Ὁ κλῆρος τῦ Ῥυβὶμ καὶ Γὰδ ἀρχὴν εἶχεν ἀπὸ Δ'ροὴρ, ἢ ἐςιν ἐπὶ τῦ χείλυς χειμάῤῥυ Α'ρνῶν. ὅτι δὲ ὁ αὐτὸς χειμάῤῥος Α'ρνῶν ὅριον ἦν τῆς Μωὰβ, μαρτυρεῖ τὸ βιβλίον τῶν Α'ριϑμῶν. „Ἔςι γὰρ Α'ρνῶν ὅρια Μωάβ. ἔτι δὲ καὶ τὸ τῶν Κριτῶν. Οὐκ εἰ„σῆλϑεν ἐν ὁρίοις Μωὰβ, ὅτι Α'ρνῶν ὅριον Μωάβ. Ἐκ τύτων ἦν δῆλον ὅπερ φησὶν ὁ Συγγραφεύς.

Γενές. 13. 9.

Α'ριϑ. 21. 14.

Κριτ. 11. 18.

Σημ. 190. Α'ρ ἐν τῇ τῶν Ἑβδομήκονϑα μεϑΦράσει ὰ κεῖται, ἀντὶ δὲ τῦ Α'ρ, Η"ρ ἀναγινώσκομεν, ὅπερ καὶ ὁ Εὐσέβιος ἐπιβεβαιοῖ, λέγων· Α'ρ τόπος τῦ Α'ρωνά. παρὰ τοῖς Ο' Νὴρ (τὸ Μὴρ σφάλμα, ἀναγνωσέον δὲ Η"ρ ὡς Ἱερώνυμ@ ἐξέϑετο) ὀνομάζεται. ὅτι δὲ ἡ Η"ρ ἢ Α'ρ καλεῖται ὑπὸ τῶν Ἑλλήνων Α'ρεόπολις ἐκ τῶν τῦ Εὐσεβίυ ῥημάτων ὰ πάνυ δῆλον. καὶ γάρ φησιν ἐν μὲν τῇ λέξει Α'ρνῶν. „Α'ρνῶν τὸ ἐξέχον ἀπὸ τῶν ὁρίων τῶν Α'μορραίων, κεῖται „δὲ μεταξὺ Μωὰβ καὶ τῦ Α'μορραίυ. καὶ ἔςιν ὅριον Μωὰβ, ἥτις ἐςὶν Α'ρεόπολις τῆς Α'ραβίας. Ἐν δὲ τῇ λέξει Μωὰβ. Μωὰβ ἀπὸ „Μωὰβ υἱῦ Λὼτ, πόλις τῆς Α'ραβίας ἡ νῦν Α'ρεόπολις. κεῖται καὶ ἀνωτέ„ρω. καλεῖται δὲ Μωάβ καὶ ἡ χώρα. ἡ δὲ πόλις Ῥαβϐὰθ Μωάβ. Ἐν δὲ „τῇ λέξει Α'ριὰ ἡ καὶ Ἀριήλ. Ταύτην εἶναι φασὶ τὴν Α'ρεόπολιν, ἐπειδὴ „καλῦσιν εἰς ἔτι καὶ νῦν Α'ριὴλ τὸ εἴδωλον αὐτῶν οἱ τὴν Α'ρεόπολιν οἰκῦν„τες ἀπὸ τῦ σέβειν τὸν Α'ρεα, ἐξ ὃ@ τὴν πόλιν ὠνόμασαν. ὁ δὲ Θεοδώ„ριτ@ φησὶν, Α'ριὴλ ἡ Α'ρεόπολις καλεῖται. τῆς δὲ Μωαβίτι„δος ἐςὶν αὕτη ἐπίσημος. Α'μαχὸ δὲ ὁ αὐτός φησι. Μητρόπολιν „δὲ

Α'ρι. 21. 15. Εὐσ. περὶ τοπ. ὀνομ. Ἱερών. ἐπιτ.

Θεοδ. εἰς τὸ 29. κ. τριακ.

Λεύ. κ. 15.

„δὲ εἶχον (οἱ Μωαβῖται) τὴν νῦν καλȣμένην Χαραγμωβά. Καὶ „κατωτέρω. Ἀριὴλ τοίνυν ἐςὶν ἡ νῦν καλȣμένη Ἀρεόπολις. Ἐκ τȣ́των εἰκάσειεν ἄντις ὅτι ἡ Ἥρ, ἢ ἡ Ἄρ πολυώνυμος ἦν. ϗ τὸ ϗ Ἥρ ϗ Ἄρ, ϗ Ἀρνῶν, ϗ Μωὰβ, ϗ Ἀρινὰ, ϗ Ἀριὴλ ϗ Ἀρεόπολις ἐκαλεῖτο, τυχὸν δὲ ϗ Χαραγμωβὰ; ἥτις ἦν μητρόπολις. Οὐδὲν δὲ τῶν ὀνομάτων τȣ́των εὑρεῖν ἐδυνήθημεν ἐν τοῖς πρακτικοῖς τῆς ἐν Ἐφέσῳ Συνόδȣ, τὴν Βινίȣ ἔκδοσιν φυλλολογήσαντες.

Σημ. 191. Ὦ τῆς παραφροσύνης σȣ ἄλογε Βόρςιε. πῶς ȣ̓κ ἠσχύνθης δημοσιεῦσαι τὴν τοσαύτην σȣ ἄνοιαν; δικαςὴς μὲν κατέςης τῆς θείας μεγαλειότητος. τȣ́τω δέ σȣ μὴ ἀρκεσθεὶς τῷ τολμήματι παρέθηκας ϗ τὴν πίςιν σȣ, μᾶλλον δὲ τὴν ἀπιςίαν σȣ. ἀλλὰ τὶς ὁ διδάσκαλος τῆς τοιαύτης σȣ πίςεως; τὶς αὕτη ἡ ξένη χεὶρ, ἡ ἐν τῷ ἑβραϊκῷ κανόνι τὴν περὶ τȣ̃ Γεδεὼν ἱςορίαν, ὅπερ ἐςὶ τὴν τῶν Κριτῶν βίβλον, εἰσάξασα; εἰ μὲν γνωςή σοι, ἱνατὶ ἡμῖν αὐτὴν ȣ̓κ ἀπεκάλυψας; εἰ δὲ ἄγνωςος, πῶς ἐτόλμησας τοῖς ψευδοφαντάσμασί σȣ πιςεῦσαι, ϗ ταῦτα ἀνακηρύξαι; πȣ̃ ποτε μεμάθηκας τὸ, ὅτι ξένη χεὶρ, εἴτȣν ȣ̓χ ἑβραϊκὴ, συνέγραψε κανονικὸν ἱερὸν βιβλίον; πανάθλιε, ȣ̓κ ἀνέγνως, ὡς ἔοικε, τὸν Ἰώσηπον, ἐξ ȣ̃ μαθεῖν εἶχες μεθ' ὅσης ἀκριβείας ὁ τῶν Ἑβραϊκῶν βιβλίων κανὼν συντέτακται.

Ἰώσ. κατὰ Ἀπίων. λόγ. 1. πολ. 1036.

Σημ. 192. Τὸ μέσȣ τῆς νυκτὸς, τῆς Βȣλγάτης ἐςίν. ἡ δὲ ἑλληνικὴ μετάφρασις γράφει κατὰ μὲν τὴν ἐν Φρανεκȣέρᾳ, ϗ Κανταβριγίᾳ ἔκδοσιν· „Ἐν ἀρχῇ τῆς φυλακῆς μέσης. κατὰ δὲ τὴν ἐν Ὀξονίᾳ, τὴν τȣ̃ Ἄλδȣ, ϗ τὴν ἐν Κομπλȣτενσίᾳ. „Ἀρχομένης „τῆς φυλακῆς μεσȣ́σης. κατὰ δὲ τὸν Ἀλεξανδρινὸν κώδικα. Ἀρχομένης τῆς φυλακῆς τῆς μεσȣ́σης. δῆλον δὲ, ὅτι ὑπακȣ́ει ἐν τȣ́τοις τὸ νυκτὸς, κἂν σιωπῆται.

Σημ. 193. Ἡ τῶν Ἑβδομήκοντα μετάφρασις ἔχει ȣ̓τω. „Καὶ εἶπεν „αὐτοῖς ἡ ἐλαία, μὴ ἀπαλείψασα τὴν πιότητά μȣ, ἐν ᾗ δοξάσȣσι τὸν Θεὸν ἄνδρες. (κατ' ἄλλας δὲ ἐκδόσ. ϗ τὸν Ἀλεξανδρ. κώδ. „Ἣν ἐν ἐμοὶ ἐδόξασεν ὁ Θεὸς ϗ οἱ ἄνδρες.) Καὶ εἶπεν αὐτοῖς ἡ „ἄμπελος, μὴ ἀπαλείψασα τὸν οἶνόν μȣ, τὸν ἐκφραίνοντα Θεὸν ϗ „ἀνθρώπȣς. ὁ δὲ Ἀλεξ. κώδ. Τὸν οἶνόν μȣ, τὴν εὐφροσύνην τὴν „παρὰ τȣ̃ Θεȣ̃ τῶν ἀνθρωπων. Σημείωσαι δὲ, ὅτι πολλάκις ἡ τῆς

Βȣλ-

Βυλγάτης ἀνάγνωσις λαβὴν παρέχε τῷ Βολτέρῳ. τὰ ἀσεβῆ αὐτῦ ἐποικοδομῆσαι φρονήματα.

Σημ. 194. Τὶς ἀγνοεῖ τὸ πόθεν οἱ Ἑβραῖοι κατάγονται, ἢ ποῖον ἔχουσι τῦ γένους αὐτῶν προπάτορα, ἢ πῦ ἐγεννήθησαν, ἢ ἀνετράφησαν, ἢ ἐπληθύνθησαν; τὶς ὐκ οἶδεν, ὅτι ἀπ' ἀρχῆς ποιμένες ἦσαν, ὅπερ πόρρω τῆς λῃστείας, εἶτα ἢ γῆς κτήτορες, τῆς Γεσὲμ ἐν Αἰγύπτῳ ἢ τῆς γῆς τῆς ἐπαγγελίας ἐν Παλαιστίνῃ, ἐν ᾗ πόλεις, ἢ κώμας, ἢ χωρία εἶχον οἰκητήρια, ἢ ἡγεμόνας αὐτῶν, ἢ κριτὰς, ἢ Βασιλεῖς ἢ ἄρχοντας; τὶς ὐκ οἶδεν, ὅτι ἢ πίστιν εἶχον θεοπαράδοτον, πρῶτον ἄγραφον, εἶτα ἢ δακτύλῳ Θεῦ γεγραμμένην, ἢ νομοθεσίαν ἔγγραπτον, τοσαῦτα περὶ ἀγάπης ἢ φιλανθρωπίας διδάσκουσαν, ἢ πρῶτον ἀνακηρύττουσαν τῶν νόμων τὴν τῦ πλησίον ἀγάπην; ἢ ὅμως οἱ εὐγενεῖς ὗτοι, ἢ πιστοὶ, ἢ εὔνομοι, ἢ κατὰ πάντα φιλάνθρωποι τοσαύτας συκοφαντίας καὶ ψεῦδος κατ' αὐτῶν ἀναισχύντως προσεπιπλέκουσι. Πῦ δὲ ἐπιχειρίζεται πᾶσα ἡ τούτων θρασυστομία; Ἐπὶ τῷ ὅτι ὁ Ἰεφθάε ἀρχηγὸς ἦν λῃστῶν. πόθεν δὲ τοῦτο αὐτοῖς δῆλον; Ἐκ τῆς Βυλγάτης, πάνυ κακῶς προτιθεμένης τὸ latrocinantes, εἴτουν λῃστεύοντες, ἀντὶ τῦ κενοὶ, ἢ λιτοὶ, ὅπερ ἐκ τῦ Ἑβραϊκῦ ὕφος ἕλληνισὶ οἱ Ἑβδομήκοντα μετέφρασαν. παντί που δὲ δῆλον, ὅτι ὐδὲ τὸ κενοὶ, ὐδὲ τὸ, λιτοὶ, λῃστὰς σημαίνει. ἐπεὶ ὖν ὁ λόγος ἐφ' ὃν ὗτοι σηρίζονται ψεῦδὴς, ψευδῆ ἄρα ἢ πάντα τὰ ἐπ' αὐτῷ ἐρευδόμενα. τὶς ὖν αἰτιατέος, ἢ Βυλγάτα, ἢ ἀφορμὴν παραχῦσα τοῖς ἀσεβέσι θρασυστομεῖν, ἢ οἱ ἀσεβεῖς ὗτοι, οἱ σοφίαν μὲν ἐπαγγελλόμενοι ἐπομένως τε ἢ τὰ τῆς Βυλγάτης εἰδότες σφάλματα, ταύτῃ δὲ μόνῃ ἐπίτηδες χρώμενοι, ἵνα τὰ προπετέσατα ἐξάγωσι συμπεράσματα πρὸς ἀπάτην τῶν ἁπλουστέρων; ἐπίκρινον αὐτὸς ὦ ἀναγνῶσα· κατὰ δὲ τὸ δοκῦν ἡμῖν. οἱ ἀσεβεῖς αἰτιατέοι, ὐκ ἀπαλλακτέα δὲ μέμψεως ἢ ἡ Βυλγάτα.

Σημ. 195. Λ σαφῆ ταῦτα, ἢ ἄλλως πῶς ἔχοντα, ἥπερ τὰ ἐν τῷ ὕφει τῦ Βολτέρυ. ὅσις ἐν τῇ δὲ τῇ ῥήσει τῆς Γραφῆς. „Καὶ ἀπέ- Κριτ. 11. 12.
„στειλεν Ἰεφθάε Λ γγέλυς πρὸς Βασιλέα ἡῶν Λ μμών. Σημειοῦ
„τά δε. Λύτη ἡ πρεσβεία, ἢ τὰ ῥήματα ταῦτα δεικνύουσιν ἐμφα-
„νῶς, ὅτι ὁ λαὸς ὗτος ἐγνώριζε τὸ τῶν ἐθνῶν δικαίωμα. διότι ὁ
„Ἰεφθάε, κἂν ἀρχηγὸς ἦν λῃστῶν, ὅμως ἀναδειχθεὶς τῶν Ἑβραί-
„ων ἀρχηγος, ἐπολιτεύετο ὡς νόμιμος ἡγεμών. ἐστειλε πρέσβεις,

„τὰ

„τὰ δικαιώματα αὐτῦ ἐμφανίσοντας, πρὶν ἢ τύτων ὑπεραισθά-
„θαι διὰ τῶν ὅπλων. Ταῦτα δὲ εἰπὼν, τάχα ὡς εὐσεβὴς ὢν, ἐ-
„πάγει τὰ ὑπὸ τῦ συγγραφέως προτεινόμενα, λέγων. Οἱ ὑπεναν-
„τίοι ἡμῶν τῷ λόγῳ τύτῳ ὐκ ἀπαντῶσιν, εἰμὴ ἀρνύμενοι πάντα
„τὰ ἀρχαῖα ἑβραϊκὰ βιβλία, ἢ διιχυριζόμενοι διαπαντὸς, ὅτι
„ταῦτα ὐ συνεγράφησαν, εἰμὴ ὑπὸ ἁμαθῶν Λβυιτῶν κατὰ αἰῶ-
„νας λίαν ἀφεστηκότας ἐκείνων τῶν ἀγρίων καιρῶν. Τύτοις δὲ ἐπι-
συνάψας ἢ ἕτερα τοιαῦτα ἐπίσης ὑποθετικὰ, ἐπιφέρει τὴν ἀπάν-
τησιν. „Σημειωτέον, φησὶν, ὅτι τῦτο τῶν ἀπίστων τὸ σύστημα ὐκ
„ἐρείδει εἰμὴ ἐπὶ εἰκασίᾳ. ἡ δὲ ὑπόθεσις κἂν ἄγαν πεθανὴ τυγ-
„χάνῃ, ὐκ ἀρκεῖ πρὸς τὴν τῶν πραγμάτων ἐπικύρωσιν. Δεκτὴ
πάντως ἡ τοιαύτη ἀπάντησις. Διατὶ δὲ αὐτὸς ὁ ταύτην προτείνων,
συνεχῶς αὐτὴν ἀθετεῖ; ἢ δῆλον, ὅτι διὰ τὸ ὑποκριτικῶς αὐτὴν
προτείνειν.

Σημ. 196. Ἀληθῶς ἡ περὶ τῶν ἱερῶν βιβλίων ἀμφισβήτησις κα-
ταργηθεῖσα τῇ δυνάμει τῶν ἐν τοῖς προλαβοῦσι κεφαλαίοις ἀπο-
δείξεων. ἀνεγερθῆναι ὐ δύναται. ἐν αὐτοῖς δὲ ἢ τὸ τύτων κῦρος,
ἢ ὁ συγγραφεὺς ἑκάστυ, ἢ ὁ χρόνος καθ' ὃν ἕκαστον συνεγράφη
ἀποδεδεικται.

Σημ. 197. Πρὸς τύτοις σημειωτέον ἐν τῇ ῥήσει ταύτῃ τὸ, ἐὰν, ὅ-
περ ὑποθετικόν ἐστι. „Λ" ἐὰν κληρονομήσει σε Χαμὼς ὁ Θεός συ. ἢ
Κριτ. 11. 24. „ἑπομένως ἐμφαίνει τὸν Ἰεφθάε ὑποθετικῶς ἐπιτηδὲς λαλοῦντα,
„ἅτε δὴ μὴ πιστεύοντα, ὅτι ὁ Χαμὼς δύναται δῶναι κληρονομίαν τῷ
Βασιλεῖ τῶν υἱῶν Ἀμμών. Ἐὰν, λέγει, ὁ Θεός συ ὁ Χαμὼς, ὡς
σὺ πιστεύεις, κληρονομήσει σε, ἃ κληρονομήσει σε, σά ἐστι. περὶ
δὲ τῦ ἀληθινῦ Θεῦ λαλῶν, ὐ τῷ, ἐὰν, ἐχρήσατο, ἀλλ' ἀποφαν-
τικῶς ἔφη, ἢ τὸς πάντας, ὃς ἐξῆρε Κύριος ὁ Θεὸς ἡμῶν ἀπὸ
προσώπυ ἡμῶν, αὐτὸς κληρονομήσομεν;

Σημ. 198. Μετήλθομεν τὴν Βατάβλα, Δρυσίλα, ἢ Γροτίλα ἑρμη-
νείαν, (οἱ λοιποὶ ὐ παρῆσαν ἡμῖν) τὴν εἰς τὸ 11. τῶν Κριτῶν κε-
Ἐν Τ. 2. τῶν ἱερ. κριτικ. φάλαιον. διιχυρίζονται δὲ ὅτοι, τὴν τῦ Ἰεφθάε θυγατέρα μὴ
σφαγιασθῆναι, ἀλλ' ἐν ἰδιαζύσῃ οἰκίᾳ ὑπὸ τῦ πατρὸς αὐτῆς εγκλει-
σθεισαν μέχρι θανάτυ παρθένον διαμεῖναι. Πόθεν δὲ τὰς περὶ τύ-
τυ ἀποδείξεις ἐξάγυσι, τῆς θείας Γραφῆς μηδὲν περὶ τύτυ φα-
λύτ. σκύσης. Ἐκ τῆς εἰκασίας, ἢ ἐκ τῆς ἑρμηνείας ῥητῶν τινῶν ἐκ τῦ ἑβραϊ-

κῦ

κȣ̃ ληφθέντων ὕφȣς. Τȣ́τȣς δὲ ὁ Καπέλλος πάνυ γενναίως ἐλέγχων, ἀποδείκνυσι τὴν τȣ̃ Ἰεφθάε θυγατέρα κατὰ τὴν πατρικὴν εὐχὴν θανάτῳ παραδοθεῖσαν. Τȣ̃το δὲ, ȣ̓δὲ πρόβλημα ἐςὶν ὅλως, τῆς Γραφῆς διαῤῥήδην βοώσης. „Καὶ ἐγένετο ἐν τέλει τριῶν μηνῶν, „καὶ ἐπέςρεψε πρὸς τὸν πατέρα αὐτῆς. καὶ ἐποίησεν ἐν αὐτῇ τὴν „εὐχὴν αὐτȣ̃, ἣν ἤυξατο. Τὶ δὲ ἤυξατο; Καὶ ἔςαι ὁ ἐκπορευό„μενος, ὃς ἂν ἐξέλθῃ ἀπὸ τῆς θύρας τȣ̃ οἴκȣ μȣ εἰς συναντησίν „μȣ ἐν τῷ ἐπιςρέφειν με ἐν εἰρήνῃ ἀπὸ υἱῶν, Ἀμμὼν, καὶ ἔςαι τῷ Κυρίῳ, „ἀνοίσω αὐτῶν ὁλοκαύτωμα. Περὶ δὲ τȣ̃ ταύτην σφαγῆναι ȣ̓δόλως ἀμφιγνοȣ̃σιν ὁ Ἰȣςῖνος, ὁ Ὠριγένης, ὁ Νεῖλος, ὁ Χρυσόςομος, ὁ Θεοδώριτος, ὁ Προκόπιος. ὅρα τὴν Ἑλλην. Σειρ. εἰς τὴν Ὀκτάτευχ. Κριτ. 11. 39 31.

Σημ. 199. Σύλλα ἡ τȣ̃ Βασιλέως Νίζȣ θυγάτηρ ἔρωτι τȣ̃ Μίνωος τȣ̃ τὰ Μέγαρα πολιορκȣ̃ντος τεμȣ̃σα τὴν πορφυρὰν τρίχα τȣ̃ πατρὸς αὐτῆς κοιμωμένȣ, ἐξ ἧς κατὰ τὸν μῦθον ἡ τύχη αὐτȣ̃, ἤρτητο, ἔπεισεν αὐτὸν συγκατατεθῆναι τῷ ὑπ' αὐτῆς ποθȣμένῳ. ὁ δὲ Μίνως τὴν τȣ̃ ἔργȣ μοχθηρίαν ἀποποιησάμενος, τῆς προδοσίας ἐπιδραξάμενος, ἀπώσατο αὐτὴν ἀπὸ προσώπȣ αὐτȣ̃. ἡ δὲ ἀπελπισθεῖσα, εἰς τὴν θάλασσαν ἑαυτὴν ἔῤῥιψεν. οἱ δὲ Θεοὶ αὐτῆς ἐπιλαβόμενοι, αὐτὴν μὲν εἰς κορυδαλὸν, τὸν δὲ Νίζον εἰς Ἱέρακα μετέβαλον, ὅςις τὸ γρίμφει αὐτȣ̃ κατέασσεν αὐτήν. Ἡ δὲ Κομήθη, ἡ Κορμήθη ἡ τȣ̃ Βασιλέως τῶν Τηλεβοαίων Πτερελάȣ θυγάτηρ ἔρωτι τȣ̃ Ἀμφιτρύωνος τρωθεῖσα, τὸν ἴδιον πρȣ́δωκε πατέρα, ȣ̃τινος τὸ πεπρωμένον ἐκ μιᾶς τριχὸς αὐτȣ̃, μόνῃ τῇ θυγατρὶ αὐτȣ̃ γνωςῆς ἤρτητο. ὁ μὲν γὰρ Ἀμφιτρύων πολιορκήσας τὴν Τάφον, μητρόπολιν τῶν Τηλεβοαίων. ἑλεῖν αὐτὴν ȣ̓κ ἠδύνατο, ἡ δὲ Κομήθη τῷ Ἀμφιτρύωνι ἀρέσαι νομίσασα, εἴπερ τὸν ἴδιον προεδίδω πατέρα, τὴν θανατηφόρον ἀπέτεμε τρίχα. ὁ ȣ̃ν Πτερέλαος πεφόνευτο, ἡ δὲ Κομήθη διὰ τὴν πατροκτονίαν θανάτῳ παραδέδοται. τῇ Ἀμφιτρύωνος ἐπιταγῇ, δι' ὃν ταύτην πεποίηκεν. ὅρα τὸ μυθολογ. λεξ. τὸ ἐν Παρισ. ἐτ. 1765. ἐκδοθέν.

Σημ. 200. Ὁ νομιζόμενος Κȣράτος (Κȣράτος καλεῖται ὑπὸ τῶν Λατίνων ὁ ἱερεὺς αὐτῶν, ὁ προεςὼς τῶν τῆς αὐτῆς Ἐκκλησίας ἱερέων, ὡσαύτως (ὁ ἐφημέριος) ἐςὶν ὁ Μέλιερ, ȣ̃τινος γόνοι τὰ προκείμενα ῥήματα. Ὁ Κȣράτος, φησὶν ὁ Βολτέρος, ὁ Μέλιερ ἐκφέρεται, „ὡς αὐτῷ σύνηθες, κατὰ τῆς ἱερᾶς ταύτης ἱςορίας

„σφο-

„σφοδρότερον ἢπερ κατὰ τῶν ἄλλων, λέγων. Ὁποία ἐςὶν αὕτη ἡ „ἐλεεινὴ εὐήθεια. Ἡ ζωὴ τῶ Σαμψὼν, κτ. Ἔοικε δὲ ὁ Μέλιερ ἤτοι προτεςάντης, ἢ Καλβῖνος γεγονέναι, τῆς ῥωμαικῆς ἀποςατήσας Ἐκκλησίας, ὡς κατωτέρω λέγεται. διὰ τῦτο νομιζόμενον Κυράτον ὁ συγγραφεὺς αὐτὸν προσαγορεύει.

Σημ. 201. Οὐχ ὁ Ἰώδας, ἀλλ' ὁ τύτυ ἀδελφὸς Ἰωνάθαν ᾠκοδόμησεν αὐτήν.

Σημ. 202. „Θαμναθὰ, ἡ αὐτὴ Ϛ Θαμνὰ, ἔνθα ἔκειρεν Ἰώδας τὰ „ἑαυτῦ πρόβατα. διαμένει κώμη μεγάλη ἐν ὀρίοις Διοσπόλεως, „μεταξὺ ἀνιόντων εἰς Λιλίαν. ἦν δὲ φυλῆς Δὰν, ἢ Ἰώδα. Ὁ Εὐ- σεβ- ἐν τῷ περὶ τοπικ. ὀνομάτ.

Σημ. 203. Οὗτος ἐςὶν ὁ αὐτὸς Μέλιερ ὁ Κυράτος, περὶ ὃ ἐν Σημ. 200. εἰρηται τὸν αὐτὸν δὲ ὁ συγγραφεὺς κατωτέρω Μέσλιερ καλεῖ.

Σημ. 204. Ἡ ἑλληνικὴ μετάφρασις, μεθ' ἡμέρας, φησὶ, ὅπερ ἀο-
Κριτ. 28. 8. ρίςυ χρόνυ σημωτικόν.

Σημ. 205. Κἂν τὰ οὐ τῇ τῶν Ἑβδομήκοντα μεταφράσει ἄλλως πως ἔχῃ, πάνυ ὅμως σαφῶς δηλῦσιν, ὅτι τὸ. Σιαγὼν τοπικὸν ὄνομά-
Κριτ. 35. 14. 21. ἐσι. Καὶ ἦλθον, φησὶν, (οἱ τεχίλιοι ἄνδρες ἀπὸ Ἰώδα) ἕως Σιαγόνος. Ἐντεῦθεν δ μόνον ὁ Ἰώσηπος, ἀλλὰ καὶ ὁ Προκόπιος, τόπον εἶναι τὴν Σιαγόνα ἔφησαν. ὁ δὲ Θεοδώρητος λέγων· Τὸ νάμα δέδωκεν ὁ Θεὸς, τὸ κοῖλον τῆς τῦ ὄνυ σιαγόνος ἀναβλύσαι
Κριτ. 15. 19. κελεύσας, ἀνεγνωκὼς ἔοικε τὴν ἔκδοσιν, ἐν ᾗ τὸ, Καὶ ἔρρηξεν ὁ Θεὸς τὸ τραῦμα τὸ ἐν σιαγόνι. (ὅρα τὴν ἕλλην, Σεπ. εἰς τὴν ὀκτάτυχ.) Προτιμητέαι δὲ τῆς ἐκδόσεως ταύτης αἱ ἐκδόσεις, αἱ γράφυσαι, Καὶ ἔρρηξεν ὁ Θεὸς τὸν λάκκον τὸν ἐν τῇ Σιαγόνι.

Κριτ. 16. 3. Σημ. 206. Ἐν τῇ τῶν Ἑβδομήκοντα μεταφράσει ἀναγινώσκομεν· Καὶ ἀνήνεγκεν αὐτὰς ἐπὶ τὴν κορυφὴν τῦ ὄρυς, τῦ ἐπὶ προσώπυ Χεβρών. Λ' κατάλληλον δὲ τὸ διατείνεσθαι φυσικῷ διερμηνέυειν λόγῳ
Λύτ. 13. 3. πάντα τὰ τῦ Σαμψών. Πῶς γὰρ ἄντις ἀναπτύξειε τὸ δὶ Ἀγγέλυ προῤῥήσεως ἐκ γάρας αὐτὸν γεννηθῆναι; πῶς δὲ τὸ ἀόπλοις
Λύτ. 14. 6. χερσὶ συντρίψαι ὡς ἔριφον αἰγῶν τὸν ὠρυόμενον εἰς συνάντησιν αὐ-

τῷ

τῦ λέονταί. πῶς τὸ διαρρῆξαι τὰ καλιώδια, τὰ ἐπὶ βραχιόνων αὐτῦ ὡσεὶ συππίον, ὃ ἐξεκάυθη ἐν πυρί; πῶς τὸ ἐν σιαγόνι ὄνυ πατάξαι χιλίυς ἄνδρας; πῶς τὸ ἐν ταῖς ἑπτὰ σειραῖς τῆς κεφαλῆς αὐτῦ ἴσασθαι πᾶσαν τὴν δύναμιν αὐτῦ; Ἀλλὰ δὴ ποίᾳ δυνάμει ταῦτα ἐποίει ὁ Σαμψών, ἐμφανῶς ἐδήλωσεν ἡ θεία Γραφὴ, ὅτι ἅπαξ ἐπῆσα· Καὶ ἦλατο ἐπ' αὐτὸν πνεῦμα Κυρίυ. Ἡ δύναμις ὢν τῦ Πνεύματ☉ τῦ Κυρίυ, ἡ ἐνισχύσασα αὐτὸν τὰ εἰρημένα ἐκτελέσαι, ἐνίσχυσεν αὐτὸν ἀναγαγεῖν ἢ τὰς θύρας ἐπὶ τὴν κορυφὴν τῦ ὄρυς, τῦ ἐπὶ προσώπυ Χεβρών. ποῖον δὲ τῶν ἔργων τύτων ἦτοι ἀντικείμενόν ἐςιν, ἢ ὐκ ἀνάλογον τῇ τῦ Θεῦ παντοδυναμίᾳ;

Ἀύτ. 15. 14, 15.

Ἀύτ. 16. 19.

Ἀύτ. 14. 6. & 15. 14.

Σημ. 207. *Προσέδραμον πάντως, ἢ ταῦτα δίς. ἀλλ' ὐχ ὡς ἔδει. διὸ* „*ἀπεκρίθη μὲν αὐτοῖς ὁ Θεὸς τὸ,* Ἰούδας ἀναβήσεται ἀφηγύμεν☉. „*ἢ τὸ,* Ἀνάβητε πρὸς αὐτύς, *νίκην δὲ ὐκ ἐπηγγείλατο. τὸ τρίτον δὲ, ὡς ἔδει προσδραμόντες, τυτέσιν ἀναβάντες εἰς Βαιθὴλ ὅπυ ἦν ἡ Κιβωτὸς, ἢ κλαύσαντες, ἔτι δὲ ἢ νηςεύσαντες, ἢ ὁλοκαυτώσεις ἢ τελείας προσενεγκόντες, ἢ διὰ τῦ ἱερέως Φινεὲς ἐρωτήσαντες, ἤκυσαν τὴν τῆς νίκης ἐπαγγελίαν,* Ἀνάβητε, αὔριον δώσω αὐτὺς εἰς τὰς χεῖρας ὑμῶν, *ἢ τῆς νίκης ἐκεῖνοι δὲ πάντως ἐν ταῖς πρώταις δυσὶ συγκροτήσεσιν ἐτελεύτησαν, οἱ θανάτυ ἄξιοι ὄντες δι' ἰδίας αὐτῶν ἁμαρτίας.*

Ἀριθ. 20. 18 - 23.

Ἀύτ. 26 - 28. κτ.

Σημ. 208. *Παραλογᾶς πανάθλιε. ἃ δὴ σφάττονται αἱ μητέρες, ἵνα λάβωσιν ἄνδρας αἱ θυγατέρες. ἀλλὰ σφάττονται αἱ μητέρες, ἢ πάντες οἱ τὴν Ἰαβεὶς οἰκῦντες, ὡς ἀναθέματι παραδοθέντες διὰ τὸ μὴ συνελθεῖν ἐν τῇ κοινῇ συνελεύσει, σώζονται δὲ διὰ φιλαδελφίαν αἱ παρθένοι, ἵνα μὴ ἡ τῦ Βενιαμὶν φυλὴ ἐκλέψῃ.*

Σημ. 209. *Εἰ μὲν δουλείαν νοεῖς τὴν διὰ τῆς εἰς Χριςὸν πίςεως, τ' ἀληθῆ λέγεις. ἅπαν δὲ τὸ τῶν Ἑβραίων γέν☉ ἐπίςευεν, ὅτι τῷ προσδοκωμένῳ Μεσίᾳ δουλεύσυσι πάντα τὰ ἔθνη. ἐξόχως δὲ οἱ ἐν αὐτοῖς δίκαιοι ἢ οἱ Προφῆται περὶ τύτυ πεπληροφορημένοι ησαν, ταῖς ἀκτίσι τῦ θεῦ Πνεύματ☉ περιλαμπόμενοι. ἢ δὴ περὶ τῦ* Ἀβραὰμ γέγραπται Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν· ἢ εἶδε, ἢ ἐχάρη; Ἀμέλειτοι ὅτε εἶδε τὸν κριὸν ἐν φυτῷ Σαβὲκ, κατεχομένον τῶν κεράτων. Εἰ δὲ δουλείαν σωματικὴν διαλογίζῃ, πλάσματα ἐκ τῆς φαντασίας συ ἐκβάζεις.

Ἰωάνν. 8. 56

Γεν. 22. 13.

ὃδε δὲ ἴχνος περὶ τούτου κεῖται ἐν τῇ θείᾳ Γραφῇ, εἰμήτις ἄρα παχυλῶς τὰ περὶ τοῦ Μεσίου εἰρημένα, ὥσπερ σὺ, ἐκλάβῃ.

Εἰς τὸν Ἰώβ.

Ἰώβ. 42. 17. ὁλυμπ. ἐν τῇ εἰς τὸν Ἰώβ Σειρ.

Σημ. 210. Οὐχὶ ἴσως Ἀραβισί, ἀλλὰ πάντως Συρισί. αὐτὸς δὲ ὁ τὴν τοῦ Ἰὼβ βίβλον συγγραψάμενος μαρτυρεῖ περὶ τούτου, λέγων· Οὕτως ἑρμηνεύει ἐκ τῆς Συριακῆς βίβλου Περὶ οὗ ὁ Ὀλυμπιόδωρος φησί· Συριακὴν νῦν τὴν Ἑβραίων διάλεκτον καλεῖ διὰ τὸ γειτνιάζειν ταύτην τῇ τῶν Σύρων, ἣ εἰκοσιδύο στοιχεῖα ἔχειν καθάπερ οἱ Ἑβραῖοι. ἣ Συρίαν δὲ τὴν Ἰουδαίαν, ἣ Σύρους οἱ πολλοὶ τοὺς Παλαιστίνους ὀνομάζουσιν, ὡς Ἡρόδοτος λέγει· Περιτέμνονται δὲ Ἰνδοὶ καὶ Αἰγύπτιοι, καὶ Ἄραβες, καὶ οἱ ἐν Παλαιστίνῃ Σύροι, τοὺς Ἰουδαίους λέγων." Ἀλλὰ τὰ ῥήματα τὰ μετὰ τὸ, Μεθ' ὧν ὁ Κύριος ἀνίστησιν, ἃ δεκτὰ τοῖς ὀπαδοῖς τῆς τοῦ Ἱερωνύμου μεταφράσεως, τῆς ἐν τῇ Βουλγάτῃ ἐκτεθείσης. διατὶ δὲ; διότι ὁ Ἱερώνυμος ἃ μετέφρασεν αὐτὰ διὰ τὸ μὴ κεῖσθαι ἐν τῷ ἑβραϊκῷ ὕφει. ἐσάγουσι δὲ οἱ αὐτοὶ & τὸν Ὠριγένην μαρτυροῦντα περὶ τοῦ μὴ ἐν τῷ ἑβραϊκῷ ὕφει ταῦτα φέρεσθαι. Ἀλλ' ὅτι μὲν ταῦτα ἐν τῇ τῶν Ἑβδομήκοντα μεταφράσει κεῖται, διισχύριζεν ὅλως οὐκ ἔνεστι. ἣ δὲ πρὸς ταῖς κοιναῖς ἐκδόσεσι, ἣ αὐτὸς ὁ Ἀλεξανδρινὸς κώδιξ, ἐξ οὗ τὸ ὕφος τῆς εἰς τὸν Ἰὼβ ἐκδεδομένης Σαρᾶς ἐλήφθη, ταῦτα σιχιρῶς περιέχει· Γέγραπται πάλιν ἀναστήσεσθαι αὐτὸν μεθ' ὧν ἀνίστησιν ὁ Κύριος. ὅτως ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου. Ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι, ἣ τὰ ἑξῆς ἕως τέλους. Τὰ αὐτὰ δὲ καὶν τῇ τοῦ Θεοδοτίωνος μεταφράσει κεῖται. τὴν τούτων δὲ γνησιότητα μαρτυροῦσιν ὁ Σεβῆρος, ὁ Ὀλυμπιόδωρος, ὁ Ἰουλιανὸς, ὁ Χρυσόστομος, ταῦτα ὑπομνηματίσαντες· Τὰ αὐτὰ δὲ περιέχοντο ἣ ἐν τοῖς ὑπὸ τοῦ Ὠριγένους ἀναγνωσθεῖσιν ἑλληνικοῖς τεύχεσιν, ὡς αὐτὸς ἐπιβεβαιοῖ λέγων· "Ἀλλὰ ἣ ἀπὸ τοῦ Ἰώβ, τὰ ἀπὸ τοῦ, Γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ Κύριος ἀνίστησι, μέχρι τέλους, ἃ κεῖται παρὰ τοῖς Ἑβραίοις. διόπερ ἃδε παρὰ τῷ Ἀκύλᾳ. παρὰ δὲ τοῖς Ἑβδομήκοντα ἣ Θεοδοτίωνι τὰ ἰσοδυναμοῦντα ἀλλήλοις." Καὶν ὦν τὰ ἑβραϊκὰ ἀντίγραφα, ὅσα τε ὁ Ὠριγένης, ἣ ὅσα ὁ Ἱερώνυμος ἀνέγνω τὰ ἀπὸ τοῦ, Γέγραπται μέχρι τέλους ἃ περιεῖχον, περιεῖχον ὁμως αὐτὰ ὁ ἀρχαιότατος Ἑβραϊκὸς κώδιξ, ὁ ἐπὶ Φιλαδέλφου ὑπὸ τῶν Ἑβδομήκοντα πρεσβυτέρων Ἑβραίων εἰς τὴν Αἴγυπτον μεταχομισθεὶς, ἣ ὑπ' αὐτῶν εἰς

Ὡρίγ. ἐπιστ. πρὸς Ἀφρικ.

τὴν

τὴν Ἑλλάδα φωνὴν μετενεχθείς. πόθεν δὲ ἄλλοθεν τὰ ῥήματα ταῦτα ἀσηνέχθη ἐν τοῖς τοιούτοις καὶ τοσούτοις ἀρχαίοις κώδιξι; Διὸ ὁ μὲν Ὠριγένης καλῶς πεποίηκε γράψας αὐτὰ, καὶ σημειώσας τὸ, ὃ κεῖται παρ' Ἑβραίοις, προσθεὶς ἅμα τῆς αὐτῆς σημειώσεως τὸν λόγον· Ὑπὲρ τοῦ μὴ, φησὶ, διαλανθάνειν ἡμᾶς τὴν διαφορὰν τῶν παρὰ Ἰουδαίοις. καὶ ἡμῖν ἀντιγράφων. Οὐ καλῶς δὲ πεποίηκεν ὁ Ἱερώνυμος καταλιπὼν αὐτὰ διὰ τὸ μὴ κεῖσθαι ἐν τοῖς ὑμνοις, ἢ τρισὶν, ἢ καὶ δέκα ἑβραϊκοῖς ἀντιγράφοις, ἅπερ αὐτὸς ἀνέγνω. ἔδει δὲ αὐτὸν κατὰ μίμησιν τοῦ πρὸ αὐτοῦ Ὠριγένους εὐλαβηθέντα τὴν τῶν ἑλληνικῶν κωδίκων ἀρχαιότητα, ἐνθεῖναι ἐν τῇ μεταφράσει αὐτοῦ τὰ ἀρημένα, ῥήματα, τὰ πολὺ φῶς τῇ περὶ τοῦ Ἰὼβ Ἱστορίᾳ χορηγοῦντα, ὃ μὴν ἀλλὰ καὶ τὸν τῆς ἐκ νεκρῶν ἀναστάσεως λόγον διαῤῥήδην ἀνακηρύττοντα.

Σημ. 211. Οὐ δὲ τὰ πρῶτα, οὐδὲ τὰ μέσα, οὐδὲ τὰ ἔσχατα τῆς τοῦ Ἰὼβ βίβλου κεφάλαια μαρτυροῦσιν, ὅτι ὁ Ἰὼβ καὶ οἱ φίλοι αὐτοῦ κατώκουν τὴν ἔρημον Ἀραβίαν. ἡ δὲ Αὐσίτις χώρα οὐκ ἦν ἐν τῇ ἐρήμῳ Ἀραβίᾳ, ἀλλ' ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας κατ' αὐτὴν τὴν τοῦ Ἰὼβ βίβλον, λέγουσαν· Ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι, ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας. Ταύτην δὲ τὴν μαρτυρίαν καὶ ὁ τῆς μεταφράσεως τοῦ Ἱερωνύμου ὑπομνηματιστὴς ὁ Καλμέτος σέβεται μὲν διὰ τὴν ἀρχαιότητα, ἄδεκτον δὲ εἶναι τῇ Ἐκκλησίᾳ αὐτοῦ φησὶ, καὶ ἀμφίβολον. ἀλλὰ καὶ χρῆται, ὡς ἔοικε, τῇ μαρτυρίᾳ ταύτῃ, πιστεύων ὅτι ὁ Ἰὼβ ὁ αὐτὸς ἦν τῷ Ἰωβὰβ, τῷ ἐν τῇ Γενέσει, καὶ τῇ τῶν Παραλειπομένων βίβλῳ μνημονευομένῳ ὡς Βασιλεὺς τῆς Δονναβά, περὶ ἧς ὁ Εὐσέβιος σημειοῦται τάδε· Δανεβὰ, πόλις Βαλὰκ υἱοῦ Βεὼρ Βασιλέως Ἐδώμ· μεθ' ὃν ἐβασίλευσεν Ἰώβ. καὶ ἔστι νῦν κώμη Δαννεὰ ἀπὸ Η' σημείων τῆς Ἀρεοπόλεως. Ἡ δὲ Ἀρεόπολις ὄρεσι Μωὰβ κατὰ τὸν αὐτὸν Εὐσέβιον, λέγοντα· Ἀρνὼν, τὸ ἐξέχον ἀπὸ τῶν ὀρέων τῶν Ἀμορραίων. καὶ κεῖται δὲ μεταξὺ Μωὰβ, καὶ τοῦ Ἀμορραίου. καὶ ἔστιν ὄρος Μωὰβ, ἥτις ἐστὶν Ἀρεόπολις τῆς Ἀραβίας. Ἐκ τούτων ἂν δῆλον, ὅτι ἡ Δονναβὰ, ἢ Δανεβὰ, ἢ Δαννεὰ, ἐν ᾗ ὁ Ἰωβὰβ, ἦτον ὁ Ἰὼβ βασιλεύων κατώκει, ἀπέχουσα τῆς Ἀρεοπόλεως ἀπὸ Η' σημείων, ἐπὶ τοῖς ὁρίοις ἔκειτο τῆς Ἀραβίας. τῆς Ἀραβίας δὲ οἰκήτορα εἶναι τὸν Ἰὼβ, ὡς ἐν τοῖς ὁρίοις τῆς Ἀραβίας οἰκοῦντα, καὶ αὐτὸς ἐπίσταται ὁ θεῖος Χρυσόστομος. Τῶν δὲ φίλων αὐτοῦ ὁ μὲν Ἐλιφὰζ Βασιλεὺς ἦν Θαιμανῶν. ἡ δὲ Θαιμὰν πόλις τῆς Ἰδουμαίας περὶ τὸ

Ἰώβ. 42. 17.

Ἐν τοῖς ὑπομν. εἰς τὸ 1. τοῦ Ἰώβ κεφ.

Γεν. 36. 32, 33. 1. Παραλ. 1. 43.

Εὐσ. περὶ τοπ. ὀνομ.

ὄρος τὴν πρὸς τὸν Ἰωβ Σειρ.

Σινᾶ· ὁ δὲ Βαλδὰδ, Σαυχέων. ἡ δὲ Σαυχὴ πόλις Μωαβιτῶν, ὧν βασιλεὺς ὁ Βαλδὰδ. ἀλλὰ κειμένου καὶ πάντας τοὺς τοῦ Ἰὼβ φίλους Ἄραβας εἶναι, οὐκ ἐκ τούτου ἕπεται καὶ αὐτὸν τὸν Ἰὼβ τῆς αὐτῆς ἐρήμου Ἀραβίας οἰκήτορα εἶναι. ὤκει γὰρ τὴν Αὐσίτιδα, τὴν ἐπὶ
Ἰώβ. 42. 17. τῆς ὀρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας, καὶ ἦν πέμπτος ἀπὸ Ἀβραάμ.

Τωβ. 2. 8. Σημ. 212. „Καὶ οἱ πλησίον ἐπεγέλων, λέγοντες· οὐκ ἔτι φοβεῖται „φονευθῆναι περὶ τοῦ πράγματος τούτου, καὶ ἀπέδρα, καὶ ἰδοὺ πάλιν θάπτει τοὺς νεκρούς. Ταῦτα μόνα ἐν τῇ ἑλληνικῇ τοῦ Τωβὶτ μεταφράσει κεῖται. Ἐν δὲ τῇ λατινικῇ τοῦ Ἱερωνύμου ταῦτα· nam sicuti beato Job insultabant Reges, ita isti parentes et cognati ejus irridebant vitam ejus, dicentes, &c." Ὥσπερ γὰρ οἱ Βασιλεῖς ἠνώχλουν τὸν μακάριον Ἰὼβ, οὕτως οὗτοι οἱ γονεῖς καὶ συγγενεῖς αὐτοῦ ἐπεγέλων τὴν ζωὴν αὐτοῦ, λέγοντες, κτ. Ἐκ τούτων οὖν ὁ συγγραφεὺς ἔλαβε τὰ ὑπ' αὐτοῦ περὶ τοῦ Τωβὶδ καὶ Ἰὼβ λεγόμενα.

Σημ. 213. Τὰ μὲν τοῦ Ἱερεμίου τὰ συνάδοντα τοῖς τοῦ Ἰὼβ εἰσὶ τὰ ἑξῆς· Ἰώβ. (3. 1, 2, 3.) „Καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ, λέ„γων· ἀπόλοιτο ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθην. Ἱερεμ. (20. 14) Ἐ„πικατάρατος ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθην ἐν αὐτῇ· ἡ ἡμέρα, ἐν ᾗ „ἔτεκέμε ἡ μήτηρμου μὴ ἔστω ἐπευκτή. Ἰώβ. (21. 7.) Διατὶ ἀσε„βεῖς ζῶσι, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ; Ἱερεμ. (12. 1.) Τὶ „ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; ἐνθύνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα. Τὰ δὲ τῶν Παροιμιῶν ταῦτα· Ἰώβ· (28. 15.) Οὐ δώ„σει συγκλεισμὸν ἀντ' αὐτῆς, καὶ οὐ σταθήσεται ἀργύριον ἀντάλλαγ„μα αὐτῆς. Παροιμ. (8. 11.) Κρεῖσσον γὰρ σοφία λίθων πολυ„τελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστί. Καὶ ὅλον δὲ μικροῦ δεῖ τὸ 28. κεφ. τοῦ Ἰὼβ πολλὴν ἔχει τὴν ὁμοιότητα τῷ 8. τῶν Παροιμιῶν. Τὰ δὲ τῶν Ψαλμῶν τάδε· Ἰώβ. (15. 27.) Ὅτι ἐκάλυ„ψε τὸ πρόσωπον αὐτοῦ ἐν στέατι αὐτοῦ. Ψαλ. 17. 10.) Τὸ στέαρ „αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν. καὶ „Ψαλ. (73. 7.) Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν. „Ἰώβ. (34. 14.) Εἰ γὰρ βούλοιτο συνέχειν, καὶ τὸ πνεῦμα παρ' αὐ„τῷ καταχεῖν. Ψαλ. (103. 29.) Ἀποστρέψαντος δέ σου τὸ πρό„σωπον ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψου„σιν. Ἰώβ. (21. 9.) Οἱ οἶκοι αὐτῶν ἐνθυνοῦσι, φόβος δὲ οὐδαμοῦ,

μάστιξ

„μάσιξ δὲ παρὰ Κυρίῳ οὐκ ἔστιν ἐπ' αὐτοῖς. Ψαλ. (72. 5.) Ἐν κό-
„ποις ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.
„Ἰώβ. (21. 10.) Ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησε, διεσώθη δὲ αὐτῶν
„ἐν γαστρὶ ἔχουσα, καὶ οὐκ ἔσφαλε. Ψαλ. (142. 14.) Τὰ πρόβατα
„αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν. οἱ βόες αὐ-
„τῶν παχεῖς. Ἰώβ. (21. 18.) Ἔσονται δὲ ὥσπερ ἄχυρα ὑπ' ἀνέ-
„μου, ἢ ὥσπερ κονιορτὸς, ὃν ὑφέλετο λαίλαψ. Ψαλ. (1. 4.) Οὐχ
„οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄ-
„νεμος ἀπὸ προσώπου τῆς γῆς. Ἰώβ. (22. 19.) Ἰδόντες δίκαιοι ἐ-
„γέλασαν, ἄμεμπτος δὲ ἐμυκτήρισε. Ψαλ. (57. 10.) Εὐφρανθή-
„σεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν
„τῷ αἵματι τοῦ ἁμαρτωλοῦ. Ἰώβ. (38. 41.) Τίς δὲ ἡτοίμασε κόρα-
„κι βορὰν; νεοσσοὶ δὲ αὐτοῦ πρὸς Κύριον κεκράγασι πλανώμενοι,
„τὰ σῖτα ζητοῦντες. Ψαλ. (146. 9.) Διδόντι τοῖς κτήνεσι τροφὴν
„αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.
„Ἰώβ. (12. 21.) Ἐκχέων ἀτιμίαν ἐπ' ἄρχοντας, ταπεινὸς δὲ ἴασα-
„το. Ψαλ. (106. 40.) Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν...
„Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας.

Σημ. 214. Ταῦτα ἐπισημαίζει ὁ συγγραφεὺς ἐπὶ τῶν ἐν τῷ Ἰωβ. κατὰ τὴν τοῦ Ἱερωνύμου μετάφρασιν, ἀνωτέρω (Ἀρθρ. 1. Ἀριθ. 1.) ἐκτεθέντων ῥημάτων, ἐν οἷς τὸ τοῦ Ἰὼβ ὄνομα περιέχεται. Ἐπεὶ δὲ ἐν τοῖς αὐτοῖς ῥήμασιν ὑδεμία τοῦ ὀνόματος τοῦ Ἰὼβ ἀνάμνησις (ὅρα τὴν ἀνωτέρω 212. σημ.) ἐν τῇ ἑλληνικῇ μεταφράσει, τῇ ἀρχαιοτέρᾳ, καὶ πολλῶν ἕνεκα πολλῷ τιμιωτέρᾳ τῆς τοῦ Ἱερωνύμου, τῆς οὐκ ἀπὸ τοῦ ἑβραικοῦ ὕφους, ἀλλ' ἀπὸ Χαλδαϊκοῦ τινος τεύχους γενομένης, (ὅρα κεφ. 2. Ἀριθ. 1. τοῦ 3. βιβλ. τῆς δὲ τῆς βιβλ.) δῆλον, ὅτι πάνυ ἀσθενές ἐστι τὸ τοιοῦτον δεῖγμα.

Σημ. 215. Οὐκ ἀσμένως τὰς τοιαύτας τῶν νεωτέρων δεχόμεθα μεταφράσεις, εἰ μὴ ὡς ἐν τῇ 111 καὶ 112 τῶν ἡμετέρων σημειώσεων εἰρήκαμεν λόγους. μηδόλως δὲ τῇ περὶ τῆς χρονολογίας τοῦ βιβλίου τοῦ Ἰὼβ ἰδέᾳ προκατειλημμένοι προτιμῶμεν τὴν προτιμητέαν πάντως ἑλληνικὴν μετάφρασιν, ἐν ᾗ ἀντὶ τῶν ὑπὸ τοῦ συγγραφέως μεταφρασθέντων τὰ ἑξῆς κεῖται· „Ἰσχὺι κατέπαυσε τὴν θάλασσαν, Ἰώβ. 26. 13.
„ἐπισήμῃ δὲ ἔσρωται τὸ κῆτος (ὁ Σύμμαχος, συγκλᾷ ἀλαζο- 13.
„νέαν) Κλεῖθρα δὲ οὐρανοῦ δεδοίκασιν αὐτόν. προσάγματι δὲ ἐθα-
„νάτωσε δράκοντα ἀποσάτην. Ὁ δὲ Σύμμαχος, τὸν ὄφιν τὸν συγ-

κλείον-

κλέονζα. Ἀρεσκόμεθα δὲ τοῖς ἐξῆς τῦ Ὀλυμπιοδώρυ ὑπομνήμασιν, ὡς καταλληλοτέροις.

Ἐν τῷ εἰς τὸν Ἰωβ Σειρ.

„Εἰς τὸν περὶ τῆς θαλάττης, φησὶν, ἐκδεδηκὼς λόγον, ἐναρ„γέσατον γνώρισμα τῆς τῦ Θεῦ ποιεῖται δυνάμεως, τὸ ἰτὴν ὑγ„ρὰν φύσιν οἷον μαινομένην, ἢ ἴσα ὄρεσιν ἐγέρσιαν κύματα, ἢ „ὠρυομένην, συσέλλεσθαι αὖθις ἢ καταπάυεσθαι. τῦ αὐτῦ δὲ θαύ„ματος τίθεται ἢ τὸ τὰ μέγιστα κῆτη ὑποσορέσθαι ἢ ὑποτετάχ„θαι αὐτῦ τῷ προσάγματι.“

Εἰς δὲ τὸ, κλεῖθρα θρανῦ δεδοίκασιν αὐτὸν, φησί. „Τροπι„κώτερον ἢ μεταφορικέτερον τὸν ἀέρα ὕτως ὠνόμασε· συνάγει δὲ „τῦτον, ἢ πάλιν διαλύει, ἢ κλείει, ἢ ἀνοίγει, ἢ ὡς ἂν ἐθέλη „Θεὸς.

Περὶ δὲ τῦ δράκοντος τῦ ἀποσάτυ, ἢ τῦ ὄφεως τῦ συγ- 2. Θεσσ. 2. 8. „κλείοντος ταῦτα· Καὶ τὸν Ἀντίχριστον ὁ Κύριος ἀνελεῖ τῷ ῥήμα„τι τῦ στόματος αὐτῦ κατὰ τὸν Ἀπόστολον· ἢ τὸν ἀρχέκακον ὄ„φιν, τὸ Θερμάχονθηρίον, ὃς αὐτός τε ἀπέστη ἀπὸ Θεῦ, ἢ τὺς „πειθομένυς αὐτῷ εἰς ἀπώλειαν συγκλείει.

Σημ. 216. Κἂν τὰ εἰ τῇ ἑλληνικῇ μεταφράσει ἄλλως πως ἔχωσιν, ὑπαινίττεσθαι ὅμως δοκῦσι τὴν διὰ τῆς ἐρυθρᾶς θαλάττης τῦ Ἰσρα- Ησ. 51. 10, ἡλ διάβασιν. „Οὐ σὺ εἶ, φησιν, ἡ ἐρημῶσα θάλασσαν, ὕδωρ ἀβύσ- 11. „συ πλῆθος; ἡ θεῖσα τὰ βάθη τῆς θαλάττης ὁδὸν διαβάσεως „ῥυομένοις ἢ λελυτρωμένοις;“

Εἰς τὴν Πεντάτευχον.

Σημ. 217. Πτωλεμαῖς Μενδησίς παρὰ Ἰωσήπῳ μνήμης ἀξία, μνημονέυει δὲ τύτυ ὁ Εὐσέβιος. (ἐν β. 10. κ. 12. τῆς εὐαγγελ. προπαρασκ.) Ἀπίωνα δὲ ἀνασκεύάζει ὁ Ἰώσηπος, (ἐν β. 1. κατὰ Ἀπίων. σελ. 1061.) ἢ Λυσίμαχον (αὐτ. σελ. 1058.) ἢ Μόλωνα δὲ (ἐν β. 2. κατὰ Ἀπίων. σελ. 1079.) ὡσαύτως.

Σημ. 218. Παρ᾽ Εὐσεβίῳ ἐν βιβ. 9. κεφ. 17, ἢ 18. τῆς Εὐαγγελ. προπαρασκ. Παρὰ δὲ Ἰωσήπῳ οὐδὲν εὕρηται. ἐ μὴ ἀνάμνησις Εὐπολέμυ. ἐν βιβ. 1. κατὰ Ἀπίων. σελ. 1051.

Σημ. 219. Τότε, ὅτε δηλαδὴ ἀπήντησε κατὰ τῆς περὶ τὴν ἱστορίαν φιλοσοφίας τῦ Βολτέρυ. ἀπήντησε δὲ ὕτως· „Ἐὰν ὁ Ἔσδρας κα-

τεσκε-

„τεσκεύασε τὴν βίβλον, τὴν ἐπ' ὀνόματι τοῦ Ἰουδαϊκοῦ νόμου γνωριζο-
„μένην, ἀναγκαίως λογίζεσθαι δεῖ αὐτὸν συγγραφέα οὐ μόνον τῆς
„Πεντατεύχου, τῆς συμφώνως ὑπό τε Ἰουδαίων καὶ Χριστιανῶν τῶ
„Μωϋσῆ ἀπονεμομένης, ἀλλὰ καὶ πάντων τῶν Ἑβραϊκῶν βιβλίων,
„ἱστορικῶν, προφητικῶν, ἠθικῶν, τῶν πρὸ τῆς αἰχμαλωσίας ἐκδο-
„θέντων. πάντων γὰρ τῶν βιβλίων τούτων, ἐκτὸς τυχὸν τοῦ Ἐκκλη-
„σιαστοῦ καὶ τοῦ Ἄσματος, οὐδέν ἐστι τὸ μὴ περιέχον τὸν τοῦ Μωϋσέ-
„ως νόμον, ὀνομαστὶ μνημονευόμενον, ἢ ῥήσεις ἐκ τῆς Πεντατεύχου
„μεταγεγραμμένας, ἢ τελευταῖον συμβάντα. ἐξόχως θαύματα,
„ἀναγινωσκόμενα μὲν ἐν τῇ Πεντατεύχῳ, οὕτω δὲ κεχαρακτηρισ-
„μένα, καὶ ἀνακεκλημένα, ὥστε κἂν αὕτη ἐκλείψῃ εὑρεῖν ἔνεστι τὸ
„ταύτης οὐσιῶδες ἐν τῷ βιβλίῳ τοῦ Ἰησοῦ, τῶν Κριτῶν, τῆς Ῥοὺθ,
„τῶν Βασιλειῶν, τῶν Παραλειπομένων, τῶν Ψαλμῶν τοῦ Δαβὶδ,
„τῶν Παροιμιῶν τοῦ Σολομῶντος, τοῦ Ἡσαΐου, τοῦ Ἱερεμίου, καὶ τῶν
„ἄλλων Προφητῶν.

„Παράδοξόντι ἦν ὁ Ἔσδρας, ἐὰν ταπεινοφρονῶν, οὐκ ἐπέθηκε
„μὲν τὸ ὄνομα αὐτοῦ, εἰ μὴ ἐπὶ σμικροτάτου βιβλίου, φράσει ἁπλῇ,
„τῇ μὲν ἑβραϊκῇ, τῇ δὲ χαλδαϊκῇ συγγεγραμμένου, συνέθετο δὲ
„πλαστοῖς ὀνόμασι πάντα τὰ τῆς παλαιᾶς Διαδήκης βιβλία· ἐὰν
„ἠπίστατο ἐμφανίζειν ἑαυτὸν τοσοῦτον ἀνόμοιον ἑαυτῷ, ὁτὲ μὲν
„τὸν τοῦ Ἑβράων νομοθέτου τόνον, ὁτὲ δὲ τὸν τοῦ Βασιλέως Δαβὶδ
„ἀναδυόμενος· ἐὰν μετὰ τὸ ἀναλαβεῖν χαρακτῆρα καθαρὸν καὶ
„δαψιλῆ, τὸν Ἡσαΐαν κατασκευάζων, ἐγένετο σύντομος μὲν καὶ
„περιεσταλμένος ἐπὶ τῷ ὀνόματι τοῦ Ὠσηὲ, ἀμαθὴς δὲ καὶ ἄγροικος
„ἐπὶ τῷ τοῦ Ἀμώς· ἐὰν κατὰ τὸν αὐτὸν καιρὸν, καθ' ὃν ἐσπούδα-
„σεν ἀναφανῆναι τραχὺς καὶ ἀσαφὴς ἀπονέμων τὰς προφητείας τῷ
„Μιχαίᾳ, ἔγνω γενέσθαι σαφὴς καὶ πληκτικὸς εἰσάγων τὸν Ἱερε-
„μίαν στένοντα, καὶ τὸν Ναοὺμ καὶ Σοφονίαν ὑψηλὰ λαλοῦντας καὶ με-
„γαλοπρεπῆ. ὁποῖον τοῦτο τὸ τέρας; ἄνθρωπος εἰδὼς οὕτω ποι-
„κίλλειν τὴν φρᾶσιν, καὶ τὰ θέμεθλα τοσούτων συγγραμμάτων,
„ὥστε πεῖσαι τὸ γένος αὐτοῦ, εἶτα καὶ πᾶσαν τὴν οἰκουμένην, ὅτι
„πλέον ἢ εἴκοσι τεύχη, ἐκ τοῦ αὐτοῦ ἐξελθόντα καλάμου, πονήματα
„ἦσαν εἴκοσι διαφόρων συγγραφέων, καὶ πεντεκαίδεκα αἰώνων. πῶς
„δὲ ὁ ψευδοπλάστης οὗτος προθέμενος δεκτὰ ποιῆσαι τὰ ἑαυτοῦ
„πλάσματα ὡς θείους χρησμοὺς, οὐ προσέσχε πρὸς τὸ ποιῆσαι ὁμοει-
„δῆ καταγραφὴν Γεωγραφίας τε καὶ Χρονολογίας, ἀλλ' ἠβουλήθη
„εἰσαγαγεῖν ἐν τοῖς ὑπ' αὐτοῦ κατασκευασθεῖσι βιβλίοις διαφορὰς
„ἐκδόσεων, γενεαλογιῶν, τοπικῶν ὀνομάτων, ἐμπλεκόντων μὲν

„τοὺς

Ἐν τῇ ἐπεράσει τῆς Δι-
αθ.

„τὸς ὑπομνηματισὰς, χορηγόντων δὲτινας τοῖς ἀπίςοις ἐνςάσεις;

„Τὸ μέγα κατόρθωμα ἴςατο ὐκ ἐν τῷ πλάσαι τοιῦτον ψεῦ-
„δος, ἀλλ' ἐν τῷ ποιῆσαι αὐτὸ δεκτὸν παντὶ τῷ λαῷ, ὅσις πρὸ
„πεντήκονζα ἐτῶν ἦν μάρτυς τῶν ἐν τῷ πρώτῳ ναῷ τελετῶν, δε-
„διδαγμέν☉ τε ὑπὸ τῶν ἐν αὐτῷ Ἱερέων, ☾ ἔχων ἀκμὴν μεθ' ἑαυ-
„τὸ ἐν τῇ ἐξορία ἱερᾶς ϗ Προφήζας, οἵτινες ἀποθῆκαι ὄντες τῶν
„παλαιῶν συγγραμμάτων, γεγυμνασμένοι ὑπῆρχον ἐν ταῖς ὑπ' αὐ-
„τῶν διατεταγμέναις τελεταῖς.

„Οὐκ ἦν ἱκανὸν τῷ Ἔσδρᾳ ἀπατῆσαι τὸς Ἰσδαίυς, τὸς
„μετ' αὐτὸ ἐξελθόνζας ἐκ τῆς Χαλδαίων γῆς, ϗ πάνζας ὃς εὗρε
„ξένονζας ἐπὶ τῇ πτώσει τῆς ἰδίας πατρίδος. ἔδει δὲ αὐτῷ προσέ-
„τι δεκτὰ ποιῆσαι τοσαῦζα πλαζὰ τεύχη, ☾ πλήρη ἔργων, ἀκμὴν
„τότε ἀγνοημένων, τοῖς Ἰσδαίοις τοῖς ἐν τῇ Συρίᾳ ϗ Μηδίᾳ, τοῖς
„πρὸ δύω αἰώνων μετεκομίσασι σὺν αὐτοῖς τὸν Μωσαϊκὸν νόμον ἐν
„ταῖς χώραις, ὅπϖ ἐμνημόνδυον ϗ ἐνήργων αὐτὸν, ὡς σαφῶς δεκ-
„νύυσι πολλαὶ τῆ Τωβὶτ ῥήσεις, ἔτι δὲ ϗ τοῖς καταφυγῦσιν ἐν
„Αἰγύπτῳ, ὅπϖ ϗ τὸν Ἱερεμίαν μετέφερον. ὁ δὲ Ἱερεμίας χωρὶς
„πάσης ἀμφιβολίας ὐκ ἦν ἐσφραγισμέν☉ τῶν τῆ νόμυ βιβλίων, ἃ-
„περ ὐχ ἅπαξ αὐτοῖς προέτεινε πρό τε ϗ μετὰ τὴν τῆ ναῆ κατα-
„σροφήν. πολλῷ δὲ παραδοξότερόν ἐσι τὸ τὸν Ἔσδραν δυνηθῆναι
„πεῖσαι αὐτὺς, ὅτι ὁ Προφήτης ὅτ☉ ἔγραψε πρὸ τῶν ὀφθαλ-
„μῶν αὐτῶν Προφητείας, ἃς ὐδέποτε αὐτοὶ ἐθεάσαντο.

„Τελευτάῖον ἔδει αὐτῷ κερδῆσαι τὸς Σαμαρείτας, οἵτινες
„πρὸ τῆς αἰχμαλωσίας τῆ Ἰούδα δεδιδαγμένοι ὄντες ὑπὸ Ἱερέων
τῶν δέκα φυλῶν, διεφύλαττον ἔτι τὴν Πεντάτευχον σεσοίσις γε-
„γραμμένην διεννοχόσι τῶν ἀπὸ τῆς Βαβυλῶν☉ ὑπὸ τῆ Ἔσδρα
„μετακομισθέντων, σύμφωνον δὲ κατὰ πάντα τῇ τῶν Ἑβραίων,
„ἐκτ☉ δύω τινῶν ἀλλοιώσεων, τὸ χισματικὸν πνεῦμα ἐμφαινε-
„σῶν ἐκείνων, ἐξ ὧν οἱ Σαμαρεῖ) αὐτὴν παρέλαβον. ὁ Σαμαρέ-
„της λα☉, ἐχθρ☉ διηνεκὴς τῶν Ἰσδαίων γενόμενος, ἐξότε ὁ
1. Ἔσδρ. 4. 1, 2, κτ. „Ἔσδρας (ὐχ ὁ Ἔσδρας, ἀλλ' ὁ Ζοροβάβελ) ὐκ ἔσερξε τὴν τύ-
„των κοινωνίαν, ὑπεδέχθη εὐχαρίσως τὰς τῆ Ἔσδρα πονηρίας;
„ἐὰν δὲ τῦτο πεποίηκε, διατὶ δεξάμενος τὴν τύτυ Πεντάτευχον,
„ἀπέβαλε πάντα τὰ ἴδια αὐτῆ βιβλία σὺν τοῖς Χαλδαϊκοῖς αὐτῆ
„σοιχείοις;

„Χιλιάκις εὐκολώτερόν ἐσι πισεῦσαι πᾶσι τοῖς ἐν τοῖς βι-
„βλίοις τῆ Μωῦσέως γεγραμμένοις, ἢ φανταθῆναι, ὅτι ἄνθρωπος

ἔυφρων

„εὔφρων σκοπὸν ἔθετο, οἷον ὅτοι οἱ ἄπιστοι τῷ Ἔσδρᾳ προσάπτυ-
„σι, ᾗ ὅτι ὁ σκοπὸς ὅτος ἔκβασιν ἔχει.

Σημ. 220. Τῷ δεδειγμένῳ κατὰ τὸν Βολτέρον, ἀμέλετοι τῷ περὶ τῦ ὅτι οἱ Ἰουδαῖοι ὐδέποτε ἐκάλεσαν τὸν Ἰακὼβ, Ἰσραὴλ, εἰμὴ ὅτε ἦσαν αἰχμάλωτοι ἐν τῇ Χαλδαίᾳ, εἰκότως ὐκ ἀπαντᾷ ὁ συγγραφεύς. μετὰ γὰρ τὸ δεῖξαι ψευδῆ τὴν ὑπόθεσιν, περιττὴ γέγονεν ἡ κατὰ τῦτο ἀπάντησις. περὶ δὲ τῦ ὅτι τὸ ὄνομα Ἰσραὴλ ἑβραϊκόν ἐστιν, ὅρα τὰ ἐν τῷ 3. Ἄρθρ. τῦ 9. κεφ. τῦ 6. Βιβλ. ὑπὸ τῦ συγγραφέως προβαλλόμενα, ᾗ τὴν ἐν αὐτοῖς σημείωσιν.

Σημ. 221. Ὅτι μὲν ὁ Σαλμανασὰρ τὴν Σαμάρειαν ἐξηφάνισε, δῆλον. ὁ δὲ τὴν Σαμάρειαν οἰκίσας ὐχ ὁ Ἀσαραδὼν, ἀλλ' ὁ Ἀσεναφὰρ, ᾗ ταῦτα ὐ μόνον κατὰ τὴν ἑλληνικὴν μετάφρασιν, ἀλλὰ ᾗ κατὰ τὴν Βυλγάταν. „Καὶ οἱ κατάλοιποι, φησὶν, ἐθνῶν, ὧν „ἀπῴκισεν Ἀσεναφὰρ (Ναφὰρ ὁ Ἀλεξανδρ. κώδ.) ὁ μέγας ᾗ „ὁ τίμιος, ᾗ κατῴκισεν αὐτὸς ἐν πόλεσι τῆς Σομόρων, (τῆς Σα-„μαρείας ἡ ἐν Κομπλυτ. ἔκδ.) ᾗ τὸ κατάλοιπον πέραν τῦ ποτα-„μῦ. Εἷς δὲ τῶν Σαλμανασὰρ διαδόχων ἐστὶν ὁ Ἀσορδὰν, ὁ τῦ Σενναχηρεὶμ ᾗ, ὡς δῆλον ἔκτε τῆς δ' τῶν Βασιλ. ᾗ τῦ Ἡσαΐου. τῦτον δὲ τὸν Ἀσαρδὰν ἡ Βυλγάτα ἔντε τῇ δ' τῶν Βασιλ. κἂν τῷ Ἡσ. καλεῖ Ἀσαραδών. ὅθεν δὲ φαίνε), ὅτι ὁ Ἀσαρδὰν, ἢ Ἀσαραδὼν ὤκισε τὴν Σαμάρειαν.

4. Βασ. 17. 6. 1. Ἔσδρ. 4. 10.

4. Βασ. 19. 37. Ἡσ. 37. 38.

„σησε. μᾶλλον δὲ ἡ σωτηριώδης αὕτη ἀλήθεια. ἣ κατεχρῶντο οἱ
„πρῶτοι, δαψιλὴς κατέσχε τῶν δεισιδαιμονιῶν πηγὴ, ὧν ἀκριβεῖς
„μιμηταὶ γεγόνασιν οἱ δεύτεροι. πρὸς δὲ τὸ ἀποπαύσαι αὐτοὺς ἀπὸ
„τῶν τοιούτων δεισιδαιμονιῶν ἀναγκαῖα ἦσαν τότε πράγματα αἰ-
„θητὰ, ἡ ἱκανὰ πλῆξαι τὰς καρδίας αὐτῶν. τὰ δὲ παρόντα ἀ-
„γαθὰ ἡ κακὰ ἤπτοντο μᾶλλον ἢ τὰ μέλλοντα. τὰ δὲ μέλλοντα
„αἱ μὲν τοῦ σώματος ἐπιθυμίαι ἐκ ἀφιᾶσιν ὁρᾶν, εἰ μὴ μακρόθεν,
„αἱ δὲ αἰσθήσεις περιμένειν ἐκ ἰσχύουσι. τοιοῦτος ἦν ὁ τρόπος,
„ὃν ὁ Μωϋσῆς μετῆλθε προτείνων ὅλῳ τῷ γένει ποινὰς ἡ βρα-
„βεῖα πρόσκαιρα, ὥσπερ νομοθέτημα τοῦ κοινοῦ δικαιώματος. τοῦ-
„το δὲ ὅλως ἐκώλυε τὴν προσδοκίαν τῆς μελλούσης ζωῆς, ἡ
„τὴν τῆς συναισθήσεως φωνὴν; ἀρθρουμένην τῇ τοῦ Θεοῦ βοηθείᾳ,
„κανόνα εἶναι ἀμετάβλητον τῆς ἑκάστου καρδίας. Ἄλλως τε, εἰπά-
„τωσάν μοι, τί δηλοῦσι τὰ ἑξῆς ῥήματα τοῦ συνετωτέρου τῶν Ἑβραί-
„ων Βασιλέως, τὰ εἰρημένα ἔτη χιλίων πεντακόσια πρὸ τῆς αἰχ-
„μαλωσίας πρὸς τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ. Καὶ ἔτι εἶδον ὑπὸ Ἐκκλ. 3. 16.
„τὸν ἥλιον τόπον τῆς κρίσεως, ἐκεῖ ὁ ἀσεβής. ἡ τόπον τοῦ δικαίου, 17.
„ἐκεῖ ὁ εὐσεβής. Καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου σὺν τὸν δίκαιον ἡ σὺν

„τὸν

„τὸν ἀσεβῆ κρινεῖ ὁ Θεὸς, ὅτι καιρὸς τῷ παντὶ πράγματι, καὶ ἐπὶ „παντὶ τῷ ποιήματι ἐκεῖ. Ἔτι δὲ καὶ τὰ ῥήματα ταῦτα, τὰ τὴν νο-
Ἐκκλ. 12. 13. 14. „θεσίαν αὐτῷ περατῶν). Τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ „φύλαττε· ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος, ὅτι σύμπαν τὸ ποίημα ὁ „Θεὸς ἄξει εἰς κρίσιν ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθὸν, καὶ „ἐὰν πονηρόν.

Σημ. 259. *Πόθεν ὅτος δεῖξαι ἔχει, ὅτι οἱ Ἰουδαῖοι εἰς τὸν κόσμον διασπαρέντες, τὴν μαγικὴν μετήρχοντο τέχνην; ἀπόδειξις, φησὶ λαλοῦσα τὸ τῶν ἑπαοιδῶν σάββατον. τοῦτο δὲ οὐκ ἔστιν ἀπόδειξις λαλοῦσα, ἀλλ' ὑπόθεσις ἀδηλος. εἰ γὰρ τὴν πρώτην ὑπόθεσιν, τὴν ὡς πρόφασιν προβαλλομένην, δεῖξαι παραλόγως διίσχυρίζεται. πόθεν δὲ δῆλον, ὅτι οἱ ἑπαοιδοὶ τηροῦσι τὸ σάββατον; εἰ δὲ μὴ τῇ ἀληθείᾳ τηροῦσιν, οὐκ ἀπὸ τῶν Ἑβραίων, ἀλλ' ἀπὸ τῶν ἰδίων διδασκάλων τοῦτο παρέλαβον. οἱ μὲν γὰρ Ἑβραῖοι μετὰ τὴν Μωσαϊκὴν νομοθεσίαν τηρεῖν ἤρξαντο τὸ σάββατον. οἱ δὲ ἑπαοιδοὶ ἀρχαιότεροι τῆς παρ' Ἑβραίοις νομοθεσίας τὸ σαββάτου, ὡς δῆλον ἐκ τῶν ἐπὶ Φαραὼ μάγων, μὴ ἐκ τοῦ πολλάκις αὐτὸν τὸν τοῦ Μωϋσέως νόμον κελεύειν τῶν ἑπαοιδῶν ἀπέχειν.*

Σημ. 260. *Τίς ἐστιν οὗτος ὁ ἐν τῇ ἐρήμῳ παλαιὸς τῶν Ἰουδαίων μετὰ τῶν τράγων συνουσιασμὸς, περὶ οὗ ἐλέγχει αὐτοὺς τὸ Λευϊτικὸν ἐν τῷ δεκάτῳ ἑβδόμῳ κεφαλαίῳ; τὸ Λευϊτικὸν δὲ περὶ συνουσιασμοῦ μετὰ τῶν τράγων ἐλέγχει τοὺς Ἰουδαίους, ἀλλὰ περὶ τῶν θυσιῶν, ἃς τοῖς εἰδώλοις ἐν Αἰγύπτῳ προσέφερον, τοὺς Αἰγυπτίους μιμούμενοι.* Ἐξοδ. 17. 7. „Καὶ δὲ θύουσι, φησὶν, ἔτι τὰς θυσίας αὐτῶν τοῖς ματαίοις, (τὸ Ἑβραϊκὸν, ᾗ ὁ Ἀκύλας, τοῖς τριχεῦσιν, ἢ Βαλγάτα τοῖς Δαιμονίοις) ἐν οἷς αὐτοὶ ἐκπορνεύουσιν (ἢ ἐν Κομπλυτενσίᾳ ἐκ. ἐκπορνεύουσιν) ὀπίσω αὐτῶν. Οὐκοῦν, ἐὰν μὲν τὸ, ματαίοις ἔχῃ, ῥιζόθεν καταργεῖ) ὁ μετὰ τῶν τράγων συνουσιασμὸς, ἐὰν δὲ τοῖς τριχέαις, εἶτα τοὺς τράγους, δῆλον πάλιν, ὅτι ὁ περὶ συνουσιασμοῦ τράγων, ἀλλὰ περὶ τῶν αὐτοῖς προσφερομένων θυσιῶν ἐστὶν ὁ τοῦ Λευϊτικοῦ λόγος. Οὐ θύουσι, γάρ φησιν, ἔτι τὰς θυσίας αὐτῶν τοῖς ματαίοις, ἢ τοῖς τράγοις. ἐὰν δὲ τὸ, ἐν αὐτοῖς ἐκπορνεύουσι, πάθῃς συνουσιασμὸν μετὰ τῶν τράγων νοεῖν, σκόπει ὅτι ἀντίκειταί σοι τὸ πρὸ τούτου εἰρημένον, εἶτα τὸ, ὃ θύουσι τὰς θυσίας αὐτῶν, προσέτι δὲ μὴ τὸ, ὅτι πολλαὶ τῆς Γραφῆς ῥήσεις τὸ πορνεύειν ἀντὶ τοῦ εἰδωλολατρεύειν ἀναμφιλέκτως ἐκλαμβάνουσι. πῶς δὲ, τῶν μά-

γων

γων πρὸ τȣ̃ Μωσαϊκȣ̃ νόμȣ ὑπαρχόντων, ϗ πρὸ τȣ̃ τὸν Ἰȣδαϊκὸν λαὸν ἐν τῇ ἐρήμῳ παραγενέσθαι, ὁ τράγος, μεθ' ȣ̃ μάγοι συνεμίγνυντο, παράγεϑ ἀπὸ τȣ̃ ἐν τῇ ἐρήμῳ συνȣσιασμȣ̃ τῶν Ἰȣδαίων μετὰ τῶν τράγων; ἆρα ϗ τȣ̃το, ὦ παράλογε, πεῖσαι σπεύδεις, ἀμέλειτοι τὸ παράγωγον παράγεσθαι πρὸ τῆς ὑπάρξεως τȣ̃ ἐξ ȣ̃ παρήχθη; Πρὸς τȣ́τοις ȣ̓δὲ τȣ̃το συνιέναι ἴχυσας, εἴτȣν τὸ, τὰ τȣ̃ Μωϋσέως ῥήματα μὴ εἶναι ἔλεγχον τῶν ἐν ἐρήμῳ ἔργων τῶν Ἰȣδαίων, ἀλλὰ προφυλακτικήν τινα νομοθεσίαν ὑπὲρ τȣ̃ μὴ τὰ τοιαῦτα γενέσθαι ἐν τῇ γῇ τῆς ἐπαγγελίας. ȣ̓ δὲ διὰ παρεληλυθότος, ἀλλὰ διὰ μέλλοντος χρόνȣ ὁ Μωϋσῆς ἐλάλησε. „Καὶ ȣ̓ „θύσȣσι, φησὶν, ἔτι τὰς θυσίας αὐτῶν τοῖς ματαίοις, ϗ ȣ̓κ ἐκ„πορνεύσȣσιν, ὅπερ ἐςὶν, ȣ̓κ ἔτι τοῖς εἰδώλοις λατρεύσȣσιν ὥσπερ ἐν Αἰγύπτῳ πεποιήκασιν.

Ὅτι δὲ ȣ̓χ ὑποθετικῶς, ἀλλ' ἀληθῶς τοῖς τράγοις οἱ Αἰγύπτιοι συνεμίγνυντο, μαρτυρεῖ ὁ μὲν Πίνδαρος λέγων.

Μένδητα παρὰ κρημνὸν θαλάσσης
Νείλȣ κέρας ἕ αἰγίβατος
Ὅθι τράγοι γυναιξὶ μίσγονϑ.

„Ὁ δὲ Στράβων. Οἱ τράγοι ἐνταῦθα γυναιξὶ μίγνυνϑ. ὁ δὲ „Αἰλιανὸς. Ἀκόλαςοι δὲ κυνοκέφαλοί τε ϗ τράγοι. ȣ̃τοι μὲν ϗ „ὁμιλεῖν γυναιξὶ φασὶν αὐτȣ́ς. ϗ ἔοικεν αὐτὸ θαυμάζειν ὁ Πίν„δαρος. Ὁ δὲ Ἡρόδοτος ἐν Αἰγύπτῳ ὤν, ἰδὼν τȣ̃το, φησίν. Ἐ„γένετο ἐν τῷ νομῷ τȣ́τῳ ἐπ' ἐμεῦ τȣ̃το τὸ τέρας, γυναικὶ τρά„γος ἐμίγνυτο ἀναφανδὸν τȣ̃το εἰς ἐπίδειξιν ἀνθρώπων ἀπίκετο. „ὁ δὲ Πλȣ́ταρχος. Ὁ δὲ Μενδήσιος ἐν Αἰγύπτῳ τράγος λέγε„ται πολλαῖς ϗ καλαῖς συνειργνύμενος γυναιξὶν, ȣ̓κ εἶναι μίγνυ„σθαι πρόθυμος, ἀλλὰ πρὸς τὰς αἶγας ἐπτόηϑ μᾶλλον.

Αἰλ. β. 7. κ. 19. ἱστορ. Ἡροδ. β. 2. κ. 46.

Πλȣτ. περὶ τȣ̃ τὰ ὄλογα τῷ λόγον χρῆσθαι

Ἀλλὰ δὲ ταῦτα τυχὸν περιττά. ἃ μὲν δὲ ὁ Βολτέρος ἔφη ἐν τῇ περὶ τὴν ἱςορίαν φιλοσοφίᾳ αὐτȣ̃, ἐνταῦθα, εἴτȣν ἐν τῇ τελευταῖον ἑρμηνευθείσῃ Διαθήκῃ, ἐπιλαθόμενος, ἄλλα εἴρηκε, τȣτέςι τὰ ἐφεξῆς. ὅτι διὰ τῶν τριχέων, κτ.

Σημ 261. Τὸν τράγον οἱ Αἰγύπτιοι Μένδην ἐκάλȣν, ὡς μαρτυρεῖ ὁ Ἡρόδοτος, λέγων. „Καλέεϑ δὲ ὅ,τε τράγος, ὁ Πᾶν αἰγυπτι„ςὶ, Μένδης.

Σημ. 262. Τὸ μετὰ τῶν ἐλάφων ὀνομαςὶ τȣ̀ς ἄνδρας ἁμαρτάνειν εὑρέπȣ, ἢ ἔπλασεν ὁ Βολτέρος, ἡμῖν ἄδηλον. γενικῶς δὲ ὁ Μω-

σαϊκὸς νόμ⊙, ἀλλ' οὐκ ἐδικῶς τὴν κτηνοβατίαν ἀπαγορεύων, φησί. „Καὶ πρὸς πᾶν τετράπουν ὃ δώσεις τὴν κοίτην σου εἰς ἀποσπερματισμὸν, ἐκμιανθῆναι πρὸς αὐτό. ἡ γυνὴ ὃ σήσει πρὸς τετράπουν „βιβασθῆναι, μυσαρὸν γάρ ἐστι. Λευίτ. κ. 18. 23.

Εἰς τὴν Ἔξοδον.

Σημ. 263. Πῶ ὁ συγγραφεὺς εὑρὼν τὸ τῦ Στεφάνυ γένος, Ἕλληνα αὐτὸν εἶναι ἀπεφήνατο, οὐκ οἴδαμεν. πόθεν δὲ ὁ λόγ⊙, ὅτι ὁ Στέφαν⊙, ὁ τῶν μαρτύρων πρῶτος⊙, Ἑβραῖ⊙ ἦν τὸ γένος. πρῶτον μὲν καθότι Ἕλλην ἄνθρωπ⊙, ἀρτίως τῷ Χριστῷ πιστεύσας, οὐκ ἂν τοσῦτον περιεσατωμένην εἶχε τῆς θείας Γραφῆς ἐπιστήμην, ὅσην ἡ δημηγορία αὐτῦ ἀρρήλως παρίστησι. β'. „ὅτι „Ἕλλην ἄνθρωπ⊙, ἐνώπιον τῦ ἑβραϊκῦ Συνεδρίυ δημηγορῶν, οὐδὲ „τὸ, Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἔλεγεν, οὐδὲ τὸ, Πατρὶ ἡμῶν, „οὐδὲ τὸ, οἱ πατέρες ἡμῶν, καὶ τῦτο ἑπτάκις, οὐδὲ τὸ γένος ἡμῶν, „ἐν ὧν ἐπιδήλως ἐμφαίνει ἑαυτὸν ὁμογενῆ τοῖς τῦ Συνεδρίυ, ὅπερ ἐστὶ τοῖς Ἑβραίοις. „γ', ὅτι οὐδὲ ὁ Εὐσέβιος, οὐδὲ ὁ Σωζόμεν⊙, οὐδὲ ὁ Σωκράτης, οὐδὲ ὁ Εὐάγρι⊙, οὐδὲ ὁ Θεοδώρητ⊙, οὐδὲ ὁ Νικηφόρος ὁ Κάλλις⊙, οὐδὲ ἡ ἐκκλησιαστικὴ ἱστορία τῦ Φλέυρι, οὐδὲ ἄλλος τὶς τῶν παρ' ἡμῶν φυλομογηθέντων ἔφη, Ἕλληνα εἶναι τὸν πρωτομάρτυρα Στέφανον. καὶ ταῦτα μὲν περὶ τῦ γένυς αὐτῦ. Πράξ. 7. 2. κεφ. 11, 12. 15. 19. 39, 44. 45.

Ἐπεὶ δὲ ὁ συγγραφεὺς ὁμολογεῖ, ὅτι ὁ Στέφανος πρῶτευνε τὴν Γενεσιν κατὰ τὴν ἑλληνικὴν μετάφρασιν, πρῶτευνε δὲ ταύτην, ὡς οἴδαμεν, ἐνώπιον τῦ τῶν Ἑβραίων Συνεδρίυ, δῆλον ἄρα, ὅτι τὰ σύμφωνα τῷ Ἑβραϊκῷ ὕφει, τῷ γνωσῷ αὐτοῖς προέτεινεν. ἄλλως δὲ πῶς ἂν ἐτόλμα ἐνώπιον τῶν Ἑβραίων διδασκάλων ἐπεῖν τὸ, ἐν ψυχαῖς ἑβδομήκοντα πέντε, εἴπερ ἐν τῷ ἑβραϊκῷ ὕφει ἄλλως ἔχον; Ἀλλὰ τὸ ὕφος, φησὶ, καὶ ἡ Βυλγάτα γράφυσιν ἑβδομήκοντα. Ἀλλὰ ποῖον ὕφος; ἢ δῆλον, ὅτι τὸ ἐν δυσὶν, ἢ τρισὶ, χθιζοῖς τυχὸν, ἑβραϊκοῖς βιβλίοις κείμενον. πῶς δὲ ἐκ τῦ μερικῦ τὸ καθόλυ συμπεραίνυσι θαυμάζομεν. Πράξ. 7. 14.

Ὁ Καλμέτος ἐν τοῖς εἰς τὴν Γένεσιν ὑπομνήμασιν αὐτῦ ἀπεφήνατο, ὅτι ἡ τῶν Ἑβδομήκοντα μετάφρασις κατέλειπεν ἐν τῶν ὀνομάτων, τῶν ἐκ τῦ Βενιαμὶν καταγομένων, ὅτιν τὸ Ὀφιμὲμ, τὸ μετὰ τὸ ὄνομα τῦ Μεμφὶμ κείμενον. καὶ ὅμως τῦτο κεῖται ἐν τῷ Ἀλεξανδρινῷ κώδικι, ἐν τῇ τῦ Ἀλδῦ, ἐν τῇ τῆς Κομπλυτενσίας ἐκδόσει, καὶ ἐν τῇ παρ' ἡμῶν ἐκδοθείσῃ σαφῶς εἰς τὴν Ὀκτάτευχον. Πόθεν δὲ τῷ παραπτώματι τύτῳ πέπτωκεν; ἢ δῆλον, Γεν. 46. 21.

ὅτι

οτι ἐκ τῦ μίαν μὲν ἢ δύω ἀναγνῶναι τῶν ἑλληνικῶν ἐκδόσεων, συμπεράναι δὲ τὸ καθόλυ, τὸ ὅτι κατελέφθη ὑπὸ τῆς τῶν Ἑβδομήκοντα μεταφράσεως. ὁ αὐτὸς μηδόλως ἐρυθριάσας, μηδὲ συσταλεὶς εἶπεν· Authoritas ſancti Stephani pro numero 75. animarum non utique prævalet fidei textus Hebraici & Vulgatæ. ὅπερ ἐστὶν, ἡ τῦ ἁγίυ Στεφάνυ μαρτυρία ὑπὲρ τῦ τῶν ἑβδομηκονταπέντε ψυχῶν ἀριθμῦ οὐχ ὑπερβαίνει τὸ τῦ ἑβραϊκῦ ὕφυς ἢ τὸ τῆς Βυλγάτης κῦρ. Πόθεν αὐτῷ τῦτο τὸ ἀσυλλόγιςον τόλμημα; ἐκ τῦ ἰδεῖν πάντως ἓν, ἢ δύω τυχὸν τῶν χιλιζῶν ἑβραϊκῶν τεύχεων, τὸ ἑβδομήκοντα περιέχοντα, τούτοις δὲ ἢ τὴν ἑαυτῦ Βυλγάταν σύμφωνον.

Τῷ ὄντι δὲ ἑβδομηκονταπέντε εἰσὶ τὰ ὑπὸ τῆς Γενέσεως προτιθέμενα ὀνόματα τῶν εἰς τὴν Αἴγυπτον εἰσελθόντων, συμπεριλημφθέντ☉ ἢ τῦ ὀνοματ☉ τῦ Ἰακὼβ, τῦ μετ' αὐτῶν εἰσελθόντ☉ εἰς Αἴγυπτον, ὡς φησὶν ἡ Γραφή. „Ταῦτα δὲ τὰ ὀνόματα τῶν υἱῶν Γεν. 46. 12.
„Ἰσραὴλ, τῶν εἰσελθόντων εἰς Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ
„αὐτῶν. Ἔτι δὲ ἢ τῦ ὀνοματ☉ τῦ Ὀφιμεὶμ, τῦ ἐν ἓν ταῖς εἰρημέναις καμόναις ἐκδόσεσιν. εἰ δέ τις προτάνει τὸ, ὅτι οἱ συναριθμούμενοι Ἦρ ἢ Αὐνὰν ἐν γῇ Χαναὰν ἀποθανόντες. οὐκ εἰσῆλθον εἰς Αἴγυπτον, σκοπείτω, ὅτι εἰς ἀναπλήρωσιν τῶν δύω ἀποθανόντων, κατέλεξεν ἡ Γραφὴ τὴν Δέναν ἢ τὴν Σάραν. τίν☉ δὲ ἕνεκα μηδεμιᾶς ἄλλης γυναικ☉ ἐν τῷδε τῷ καταλόγῳ μνημονεύθεσης, καίπερ πολλαὶ πάντως ἦσαν αἱ σὺν τῷ Ἰακὼβ εἰς Αἴγυπτον εἰσελθῦσαι, αἱ δύω εἰρημέναι ἀναφέρον☉, ἢ τοῖς εἰς τὴν Αἴγυπτον εἰσελθῦσι συγκαταλέγον☉, ἐμὴ ἵνα ἀντὶ τῦ Ἦρ ἢ Αὐνὰν, τῶν ἐξ Ἰακὼβ μὲν καταγομένων, εἰς Αἴγυπτον δὲ μὴ εἰσελθόντων, λογιζόμενοι, τὸν ἑβδομήκοντα πέντε ἀριθμὸν πράγματι ἐκπληρώσωσιν. Αὐτ. 12. Αὐτ. 15. 17.

Ἐὰν ὖν ὁ,τε Βολτέρ☉, ἢ ὁ ἁπάντων αὐτῷ συγγραφεὺς καταλιπόντες τὴν Βυλγάταν, ἧς τὸ ἀτελὲς ☾ ἡμαρτημένον γνῶσον, ἐώρων τὴν τῶν Ἑβδομήκοντα μετάφρασιν. ἐπαναλαμβάνουσαν τὸ, Ψυχαὶ ἑβδομήκοντα πέντε ἐν τῇ Γενέσει, ☾ Ἐξόδῳ, κἂν τῷ Δευτερονομίῳ. ἐσκέπτοντο δὲ ἢ τὸ τῆς κύρυς αὐτῆς βάρ☉, ἔτι μᾶλλον ἐπικεκυρωμένον ὑπὸ τῦ Ἀποστόλυ ἢ πρωτομάρτυρ☉ Στεφάνυ, ὄντις πλήρης ὢν πίστεως ☾ Πνεύματ☉ ἁγίυ, ἢ τὺς ὐρανὺς ὁρῶν ἀνεωγμένυς, ☾ τὸν υἱὸν τῦ ἀνθρώπυ ἐκ δεξιῶν ἑστῶτα τῦ Θεῦ, ἐξεβόησε τὸ, ἐν ψυχαῖς ἑβδομήκοντα πέντε. ἠρίθμυν δὲ ἢ τὰ ἐν τῇ Γενέσει προβαλλόμενα ὀνόματα. ὁ μὲν, ὁ Βολτέρος, οὐκ ἂν τοιαύτας Γεν. 46. 27. Ἐξ. 1. 5. Δευτ. 10. 22.

προέτεινεν ὀχληρὰς ἢ ματαίας εὐχάσεις. ὁ δὲ, ὁ συγγραφεὺς ἀνάγκην εἶχεν ἀδεμίαν τοιαύτας ἐπινοεῖν ἀπαντήσεις. ὁ δὲ Καλμέτος ἀποδέμενος τὴν ὑπὲρ τῆς Βυλγάτης αὐτῷ ἐμπάθειαν σὺν τῷ
Ἐξ. 1. 8. ἑβραϊκῷ αὐτῷ ὕφει, ἃ τοσοῦτον περιεφόρνει τὴν τῶ τοιούτου Ἀποστόλου μαρτυρίαν, λόγον Θεοῦ ἢ ὄσαν, ἢ πιστευομένην.
Πράξ. 7. 18.

Σημ. 264. Καινῶς παρὰ τῷ Ἀκύλᾳ, Θεοδοτίωνι, ἢ τῇ Βυλγάτῃ. ἡ δὲ τῶν Ἑξδομήκοντα μετάφρασις, ἑτέρως, φησὶν, ὡσαύτως ἢ ὁ Πρωτομάρτυς Στέφανος.

Σημ. 265. Τῷ ὄντι ὃ μόνον ἕτερον κατενόησεν, ἀλλὰ ἢ ἐξηλλοίωσε τὰ τῶ Μανεθῶνος, ἢ παρέφθειρε, ἢ παρέσησεν αὐτὸν λεγοντα ἅπερ οὐκ εἶπεν, ὡσαύτως ἢ τὸν Ἰώσηπον. εἰς ἔνδειξιν τούτου παρατίθεμεν τὰ τῶ Βολτέρου ὡς ἐκ προσώπου τῶ Μανεθῶνος λεγόμενα, ἢ αὐτὰ τὰ ἀληθινὰ τῶ Μανεθῶνος ῥήματα. Ὁ Βολτέρος φησίν. „Ἄνθρωποι ἄσημοι ἀπὸ ἀνατολῆς ἐλθόντες, ἐξεβρό-
Πρὸς Γνώσ. Χρ. 1. κατὰ Λείκιν. σ. 1029 „νισαν τὴν φυλὴν τῶ Φαραώ. Ὁ Μανεθών. Καὶ τοὺς ἡγεμονεύ„σαντας ἐν αὐτῇ (τῇ Αἰγύπτῳ) χαίρω ἀκούσας (οἱ τὸ γένος ἄσημοι) ὁ Βολτ. ὁ Σαλάτις κατώκησεν εἰς Μέμφιν, ἔστιν ἐν Μόφ, ὅπερ „Μέμφις ὑπὸ τῶν Ἑλλήνων γροσηγόρευται. Ὁ Μανεθ. Εὑρὼν δὲ „ὁ Σαλάτις εὐνομῶν τὴν Σαΐτην πόλιν ἐπικαιροτάτην, κειμένην πρὸς „ἀνατολὴν τοῦ Βουβασίτου ποταμοῦ. καλυμένην δὲ ὑπὸ τῆς ἀρχαίας „Θεολογίας Ἄβαριν, ταύτην ἐκτίσε τε, ἢ τοῖς τείχεσιν ὀχυρω„τάτην ἐποίησεν, ἐνοικίσας αὐτῇ ἢ πλῆθος. Ὁ Βολτ. Ἡ δὲ τῶ „Σαλάτεως φυλὴ ἐβασίλευσε πεντήκοντα πρὸς τοῖς διακοσίοις ἔτεσιν. „Ὁ Μανεθ. Οὐδὲν τοιοῦτον. Ὁ Βολτ. Ἀλλὰ μετὰ ταῦτα ὁ αὐτὸς „(Μανεθὼν) φησὶν, ὅτι κατεξουσίασε τῆς Αἰγύπτου ἔτη ἕνδεκα
Λύτ. 104. „πρὸς τοῖς πεντακοσίοις, εἶτα ἐξώσθη. Ὁ Μανεθ. Τούτους τοὺς κατω„νομασμένους Βασιλέας, τοὺς τῶν ποιμένων καλουμένων, καὶ τοὺς ἐξ „αὐτῶν γενομένους κρατῆσαι τῆς Αἰγύπτου, φασὶν, ἔτη πρὸς τοῖς „πεντακοσίοις ἕνδεκα. Τούτοις δὲ ἐπισυνάπτει ὁ Μανεθὼν ἢ τὰ ἑξῆς. Ἐκαλεῖτο δὲ τὸ ἔθνος ὑησός. Τὴν τούτου δὲ ἐτυμολογίαν παραθέμενος, ἢ Βασιλέας ποιμένας σημαίνειν τὸ ὑησὸς εἰπών, ἢ προσθεὶς τὸ, τινὲς δὲ λέγουσιν αὐτοὺς Ἄραβας εἶναι, ἄλλην παρατίθησιν ἐτυμολογίαν, λέγων. „Ἐν δ' ἄλλῳ ἀντιγράφῳ ὁ Βασι„λέας σημαίνεσθαι διὰ τῆς τοῦ ὑκ προσηγορίας. ἀλλὰ τοὐναντίον, „αἰχμαλώτους δηλοῦσθαι ποιμένας. τὸ δὲ ὑκ πάλιν αἰγυπτιαστὶ, ἢ

τὸ

„τὸ ἀκ δασυνόμενον, αἰχμαλώτους ῥητῶς δεικνύει. καὶ τοῦτο μᾶλλον
„πειθανώτερόν μοι δοκεῖ, καὶ παλαιᾶς ἱστορίας ἐχόμενον.

„Ὁ Βολτ. Φλάβιος δὲ Ἰώσηπος ὁ ἱστορικὸς λέγει τὰ ἐναν-
„τία, διϊχυριζόμενος ὅτι τὸ γένος τοῦτο, τὸ ἀπὸ Ἀνατολῆς ἐλ-
„θὼν ἦσαν οἱ Ἰσραηλῖται. Φλάβ. Ἰώσηπ ὁ ἱστορικ. Τοῖς ἀνωτάτω Αὐτ.
„προγόνοις ἡμῶν τὸ ποιμαίνειν πάτριον ἦν, καὶ νομαδικὸν ἔχοντες
„τὸν βίον οὕτως ἐκαλοῦντο ποιμένες. αἰχμάλωτοί τε πάλιν οὐκ ἀλόγως
„ὑπὸ τῶν Αἰγυπτίων ἀνεγράφησαν, ἐπειδήπερ ὁ πρόγονος ἡμῶν
„Ἰώσηπος ἑαυτὸν ἔφη πρὸς τὸν Βασιλία τῶν Αἰγυπτίων αἰχμά-
„λωτον εἶναι. Καὶ κατωτέρω. Ὁ Μανεθὼν τὰ μέγιστα ἡμῖν με-
„μαρτύρηκεν ἐκ τῶν παρ' Αἰγυπτίοις γραμμάτων. πρῶτον μὲν τὴν
„ἑτέρωθεν ἄφιξιν εἰς Αἴγυπτον, ἔπειτα δὲ τὴν ἐκεῖθεν ἀπαλλα-
„γὴν, οὕτως ἀρχαίαν τοῖς χρόνοις ὡς ἐγγύς που προτέραν αὐτῶν
„τῶν Ἰλλιακῶν ἔτεσι χιλίοις. Ταῦτα εἰπὼν ἐπάγει Ὑπὲρ ὧν δὲ ὁ
„Μανεθὼν οὐκ ἐκ τῶν παρ' Αἰγυπτίοις γραμμάτων, ἀλλ' ὡς αὐ- Αὐτ. ο. 1040.
„τὸς ὡμολόγηκεν, ἐκ τῶν ἀδεσπότως μυθολογουμένων προστέθηκεν,
„ὕστερον ἐξελέγξω κατὰ μέρος, ἀποδεικνὺς τὴν ἀπείθανον αὐτοῦ
„ψευδολογίαν. Τοῦτο δὲ καὶ ἀποχρόντως πεποιηκὼς φαίνεται ὁ Ἰώ- Αὐτ. 10. 52. κτ.
„σηπος. Ἐκ τούτων δὲ δήλη ἡ τοῦ Βολτέρου εὐφυία, καὶ τὸ διακρι-
„τικὸν, καὶ τῷ εἰλικρινὲς καὶ πιστὸν ἐν τῷ τὰς μαρτυρίας προ-
„τείνειν.

Ὁμογενὴς δὲ, ἢ ἑτερογενὴς τῶν Φαραὼ ὑπῆρχεν ὁ ἕτερος Βασιλεὺς, ὁ τὸν Ἰωσὴφ μὴ εἰδὼς, ἄδηλον, ὡς ὑπὸ τῆς θείας σιωπηθὲν Γραφῆς. οὐδὲν δὲ κατεπείγει ἑτερογενῆ αὐτὸν νοεῖν, κἂν τοῦ ὁμογενὴς οὐκ ἦν, εἰκότως οὐκ ἐγίνωσκε τὸν Ἰωσὴφ, ὡς πολλῷ ὕστερον τῆς τούτου τελευτῆς βασιλεύσας. σημειωτέον δὲ, ὅτι οὐδὲ τὸ ἕτερος, οὐδὲ τὸ καινὸς σημαίνει τὸν ἑτερογενῆ.

Σημ. 266. Ἰδοὺ ὁ τοῦ Βασιλέως λόγος· Ἀλλὰ δεῦτε κατασοφισώ- Εξ. 1. 10.
„μεθα αὐτοὺς, μήποτε πληθυνθῶσι, καὶ ἡνίκα ἂν συμβῇ ἡμῖν πό-
„λεμος, προστεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους, καὶ ἐκπολε-
„μήσαντες ἡμᾶς, ἐξελεύσονται ἐκ τῆς γῆς. Τοῦτο δὲ οὐκ ἀλλόκοτον,
ἀλλὰ πάνυ ἐσκεμμένον, καὶ τοῖς πράγμασι κατάλληλον. ἀλλόκοτος
δέ ἐστιν ὁ τὸ, Ἐξελεύσονται ἐκ τῆς γῆς, Μόνον λογιζόμενος, τὸ
δὲ, Προστεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους, καὶ πολεμήσουσιν
ἡμᾶς, Σκέψασθαι μὴ θέλων. δύω γάρ τινα τὰ τοῦ Βασιλέως ἐμ-
φαίνει ῥήματα, συνομωσίαν, καὶ φυγήν. τούτων τὴν μὲν εἰκότως ἐδε-
δοίκει, τὴν δὲ στέρξαι οὐκ ἠνέσχετο. τὶς τοῦ Βασιλεὺς τοὺς ὑπηκόους
αὐτοῦ

αὐτὸ φυγεῖν θέλοντας παραβλέπει; ἑκατέραν ἂν τούτων ἀποσοβῆσαι βουλόμενος, τὰ δόξαντα αὐτῷ κατεσοφίσατο.

Ἀλλὰ καὶ τὸ, Οὐδεὶς τόπος καλῶς καταγκρατήσας, κτ, τόπον ἔχει ἐνταῦθα. ὁ δὲ οἱ Ἑβραῖοι τῶν Αἰγυπτίων κατεκράτησαν, ἀλλὰ μετὰ τὴν τοῦ Ἰωσὴφ ἀποβίωσιν ὑπ' αὐτῶν κατεκρατοῦντο, καὶ αἰχμάλωτοι ἦσαν καὶ δοῦλοι. ὁδεὶς δὲ αἰχμάλωτος ὢν, φυγεῖν ὁ ζητεῖ, κἂν καλὸς ὁ τόπος ἐν ᾧ τὴν δουλείαν φέρει.

Σημ. 267. Τὸ Σαέσιον γαλλιστὶ Suas, ἢ Suaz λέγεται. περὶ οὗ ἰσέον, ὅτι ἡ πρὸς τὴν ἐχάτην γωνίαν τοῦ Ἀραβικοῦ κόλπου Ἀρσινόη, ἥτις καὶ Κλεοπατρὶς ἐλέγετο, καὶ Σαρβακηνὴ. τὰ νῦν Σουέζ καὶ Βαρβαὰρ καλεῖται ὑπό τινων δὲ τὸ Σουέζ νομίζεται ἡ Ἡρωόπολις, ἢ πόλις τῶν Ἡρώων, ἢ τὰ νῦν Ἐρὼς καλουμένη, ἥτις ἐγγύς ἐστι τῆς ἄκρας τοῦ ἀραβικοῦ κόλπου, μίλια περίπου 100 ἀφισαμένη πρὸς νότον τοῦ Πηλουσίου. Ὅρα τὸν Μελετ. εἰς τὸ Σουέζ, καὶ Ἡρωόπολις.

Σημ. 268. Ἡ Γεσὲμ καὶ Ἡρώων πόλις λέγεται, καὶ γῆ Ῥαμεσσῆ. ὁρῶμεν δὲ τὸν Ἰωσὴφ συναντήσαντα τῷ πατρὶ αὐτοῦ καθ' Ἡρώων πόλιν, ἀκόμον δὲ αὐτὸν, λέγοντα τῷ μὲν Φαραὼ, ὅτι ὁ πατὴρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰσὶν ἐν γῇ Γεσὲμ, τῷ δὲ πατρὶ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, ὅτι κατοικήσουσιν ἐν γῇ Γεσὲμ, ἕτα κατοικίσαντα αὐτοὺς ἐν γῇ Ῥαμεσσῆ.

Γεν. 46. 29.
Γεν. 47. 1.
Γεν. 46. 34.
Γεν. 47. 11.

Σημ. 269. Περὶ τῶν ἀπὸ τοῦ, τῷ ὄντι, ἄχρι τοῦ, ἐκεῖ, ὁδὸν ἡ θέα περιέχει Γραφή. ἐπὶ δὲ ὁ μὲν Κεδρηνὸς ἱστορεῖ, τὴν Αἴγυπτον ὑπὸ τοῦ Νεσρὲμ, (οὗτος ἐστιν ὁ Μεσραΐν, ἢ κατ' ἄλλας ἐκδοσ. ὁ Μεσραΐμ, ἢ Μεσραεὶμ.) τοῦ δευτέρου υἱοῦ Χὰμ κατὰ τὴν Γραφὴν, θέσθαι δὲ τοῦ Νεβρὼδ, υἱοῦ Χὰς, υἱοῦ Χὰμ τοῦ πρώτου, οἰκισθῆσαν τε καὶ βασιλευθεῖσαν, καὶ ἕως τοῦδε παρ' Ἑβραίοις, καὶ Σύροις, καὶ Ἄραψι Μεσράναν καλουμένην· ἡ δὲ θέα Γραφὴ ἐμφαίνει τὸν Νεβρὼδ, τὸν τοῦ Μεσραΐν ἀνεψιὸν βασιλεύσαντα ἐν γῇ Σεναὰρ, ὅπου ὅτε Χὰμ, καὶ ὁ Μεσραΐν ὑπῆρχον, ὃ πάνυ ἀπίθανον ἔοικε, τὸν Μεσραΐν ἅμα τῷ πατρὶ αὐτοῦ Χὰμ ἐκ τῆς γῆς Σεναὰρ ἐξελθόντας, ἐλθεῖν εἰς τὴν Αἴγυπτον, ἣν ὁ Μεσραΐν ᾤκισε, καὶ ἐν αὐτῇ ἐβασίλευσε.

Κεδρ. ἐν Συνόψ. ἱστορ. σ. 9. τῆς ἐν Ἐνετ. ἐκδ. ἐτ. 1. τῆς ἐν Παρισ.
Γεν. 10. 10.

Σημ.

Σημ. 270. Τὸ τῆς Γραφῆς, Χυδαῖοι ἐγένοντο, ἑρμηνεύων ὁ Θεοδώρητος, φησίν· „Οὕτως ηὐξήθησαν, ὡς κατὰ πάσης ἐκείνης ἐκχεθῆναι τῆς γῆς. Ἐξ. 1. 7. Θεοδ. ἐρ. 1. εἰς τὴν Ἐξ.

Σημ. 271. Ἦν μὲν τὸ πάλαι ἡ Τανὶς, ἡ πλησίον τῆ Τανιτικῆ χώματος, θρόνου ἐπισκοπικὸς, νῦν δὲ ἑτεροδοξός τις τυχὸν ἐπιβαίνει ἐπ' αὐτῶ.

Σημ. 272. Πολλοὶ βιογραφίαν τῆ Μωϋσέως συνέθεντο, (ἔρα τὸ Λεξ. τῆ Καλμ. εἰς τὸ Μωϋσ.) οἷον οἱ ἀρχαῖοι Ἀνατολικοὶ, οἱ Ἕλληνες, οἱ Αἰγύπτιοι, οἱ Χαλδαῖοι, οἱ Ῥωμαῖοι, ἐπὶ πᾶσι δὲ οἱ Ῥαββῖνοι, τὰ εἰ τῆ θεία Γραφῆ τῆ Μωϋσέως λεγόμενα, τὰ μὴ μόνα ἀληθῆτε μὴ δεκτὰ, θαυμάτων διηγήσεσι, μὴ πλασῶν ἀναξίων ἔργων προσθήκαις μεταμορφώσαντες, μὴ ἐξαλλοιώσαντες. ἀλλὰ μὴ ὁ Ἰώσηπος πολλὰ περὶ τῆ Μωϋσέως ἀδέασοτα περαδίδωσιν, ὡσαύτως μὴ ὁ Κεδρηνός. μὴ συγγράμματα δὲ τῶ τῆ Μωϋσέως ὀνόματι ἐπιγεγραμμένα ἐφέροντο, οἷον, Ἀποκάλυψις Μωϋσέως, λεπτὴ Γένεσις, ἧς μὴ ὁ Κεδρηνὸς μέμνηται, Ἀνάβασις Μωϋσέως, Διαθήκη Μωϋσέως, μὴ βιβλία μυσικὰ Μωϋσέως. ἐξ ὧν ἐνδεχομένως τὰς βιογραφίας αὐτῆ συνερανίσαντο. ὁ μὲν Βολτέρος τὴν ὑπὸ τῶν Ῥαββίνων συγκροτηθεῖσαν βιογραφίαν τῶν ἄλλων προτιμήσας, τὰ ἐξῆς παρέθηκε, λέγων· „Ὁ συγγραφεὺς τῆς ἐν τριακονταέξ „ἄρθροις περιεχομένης παλαιᾶς τῆ Μωϋσέως βιογραφίας, τῆς ἐπὶ „τῶν Βασιλέων, ὡς δοκεῖ, συγγεγραμμένης, φησίν. Ἑξήκοντα „ἔτη μετὰ τὴν τῆ Ἰωσὴφ τελεύτην εἶδον ὁ Φαραὼ κατ' ὄναρ γη„ραιόντινα ἐν ταῖς χερσὶ ζυγὸν κρατοῦντα· ὅτινος μὲν ἑτέρα πλά„σιγξ πάντας ἔφερε τοὺς τὴν Αἴγυπτον οἰκοῦντας, μὴ δὲ ἑτέρα νή„πιον τούτοις ἰσοβαρές. ὁ μὲν Βασιλεὺς προσεκαλέσατο πάντας τοὺς „μάγους, ὧν εἷς ἀπεφήνατο, ἑβραῖον πάντως εἶναι τὸ νήπιον, πά„σῃ τῆ Βασιλέα ὀλέθριον μέλλον ἔσεσθαι. ἦν δὲ τότε ἐν Αἰγύπ„τω Λευίτης Ἀμβραμ τὸ ὄνομα, τὴν ὁμομήτριον ἀδελφὴν αὐτῆ „εἰς γυναῖκα λαβὼν, τὴν καλουμένην Ἰοκαβέδ. ἥτις πρῶτον μὲν „ἔτεκεν αὐτῶ θυγατέρα τὄνομα Μαρίαν, εἶτα τὸν Ἀαρὼν, ὅτω „κληθέντα διὰ τὸ τὸν Βασιλέα ἐπιτάξαι πνίγειν τὰ τῶν Ἑβραίων „βρέφη· μετὰ δὲ ἔτη τρία ἦν ὡραιότατον, ὃν ἐν τῶ οἴκῳ αὐτῆ μῆ„νας τρεῖς κατέκρυψε.

„Μετὰ ταῦτα διηγεῖται ὁ Συγγραφεὺς τὸ συμβὰν τῆ θυγα„τρὶ τῆ Βασιλέως τῆ μοθετησάσῃ τὸ βρέφος, καὶ Μωϋσῆν, ὅτιν

ἐκτῆ

„ἐκτῆ ὕδατος διασωθέντα, προσαγορεύσασα. ἄλλ ὁ μὲν πατὴρ αὐ-
„τῆ ἐκάλεσεν αὐτὸ Χαβὰρ, ἡ δὲ μήτηρ αὐτῆ Ἰεχοτηὴλ, ἡ δὲ θεία
„αὐτῆ Ἰαρὲδ, ὁ δὲ Ἀαρὼν Ἀβιζανὰχ, εἶτα οἱ Ἰσραηλῖται ἐπέθη-
„καν αὐτῷ ὄνομα Ναθαναὴλ. τριετὴς δὲ ἦν ὁ Μωϋσῆς, ὅτε νυμ-
„φοδόκης ὁ Βασιλεὺς, μεγάλην ἐποίει ἑορτήν. ἴσατο δὲ ἡ μὲν γυ-
„νὴ αὐτῆ ἐκ δεξιῶν αὐτῆ, ἡ δὲ θυγάτηρ αὐτῆ σὺν τῷ Μωϋσῇ ἐξ
„ἀριστερῶν. ὅσις παίζων, ἔλαβε τὸ τῆ Βασιλέως στέμμα, ἡ ἐπέ-
„θηκεν ἐπὶ τὴν ἑαυτῆ κεφαλήν. ὁ δὲ μάγος ὁ Βαλαὰμ, ὁ τῆ
„Βασιλέως ἐυνῆχος εἶπεν αὐτῷ· Δέσποτα μνήσθητι τῆ ἐνυπνίου σε.
„τὸ τῆ Θεῆ πνεῦμα πάντως ἐστὶν ἐν τούτῳ τῷ νηπίῳ. ἐὰν δὲ μὴ
„ἐξαφανισθῆναι θέλῃς τὴν Αἴγυπτον, θανάτῳ παραδῆναι αὐτὸ χρή.
„ἡ συμβουλὴ αὕτη λίαν ἤρεσε τῷ Βασιλεῖ.

„Ἕτοιμοι ἦσαν ἀποκτεῖναι τὸν Μωϋσῆν, ἡ ἰδοὺ ὁ Θεὸς ἐξαπέ-
„στειλε τὸν Ἄγγελον Γαβριὴλ. ὅσις ἐν μορφῇ ἑνὸς τῶν ἐν τῇ αὐ-
„λῇ τῆ Φαραὼ ἡγεμόνων εἶπε τῷ Βασιλεῖ· ἄπρεπον νομίζω τὸ ἀ-
„ποκτεῖναι τὸ ἀκμὴν μὴ διακρίνον νήπιον. δεῖ γὰρ αὐτὸ πεῖραν λα-
„βεῖν. προκείσθω ἐν αὐτῷ μαργαρίτης, ἡ καιόμενος ἄνθραξ. ἐ-
„ἐὰν μὲν ἐκλέξῃ τὸν ἄνθρακα, δείκνυσιν, ὅτι οὐκ ἐπὶ κακῆ σκοπῷ,
„ἀλλὰ λόγῳ ἑνὸς ὄν τῆ βασιλικῆ ἐπεφάξατο στέμματος· ἐὰν δὲ
„τῆ μαργαρίτου ἐπιλάβηται, τοῦτο δείκνυσιν, ὅτι λόγῳ εὐμοιρεῖ. τότε
„δὲ ἀποκτεῖναι αὐτὸ ἔξεστι. πῶς ἂν παραυτίκα ἐνώπιον τῆ Μωϋ-
„σέως ἀνθρακος καιόμενος, ἡ μαργαρίτης. ἡ ἐκτείνει μὲν ὁ Μωϋσῆς
„τὴν χεῖρα λαβεῖν τὸν μαργαρίτην, ὁ δὲ Ἄγγελος ἐπιδεξίως τὴν
„χεῖρα αὐτῆ σήσας, ἐπώτρυνεν αὐτὸν ἐπιλαβέσθαι τῆ ἀνθρακος, ὃν
„τῇ γλώσσῃ αὐτῆ προσήνεγκεν, ἐξ ὗ ἡ βραδύγλωσσος γέγονε τὸν
„ὑπόλοιπον χρόνον τῆς ζωῆς αὐτῆ.

„Ἀνέγνω πάντως ὁ ἰσραηλίτης Ἰώσηπος ὁ Φλάβιος τὸν Ἰου-
„δαϊκὸν συγγραφέα, περὶ ὗ ἡμῖν ὁ λόγος. ἐν γὰρ κεφαλαίῳ πέμπ-
„τῳ τῆ δευτέρου βιβλίου αὐτῆ φησὶν, ὅτι ἐκ τῶν Αἰγυπτίων μά-
„γων, ἡ μεγάλων τῆ Φαραὼ προφητῶν εἷπεν αὐτῷ· παιδίον ὑ-
„πάρχει παρὰ τοῖς Ἑβραίοις, ὅπερ τέρας μὲν ἔσεται τὴν ἀρετὴν,
„ὑψώσει δὲ τὸ γένος αὐτῆ, ἡ ταπεινώσει πᾶσαν τὴν Αἴγυπτον.
„μετὰ ταῦτα διηγεῖται Ἰώσηπος ὁ Φλάβιος, ὅτε ὁ Μωϋσῆς τριετὴς
„ὢν, ἐπιλαβόμενος τῆ βασιλικῆ διαδήματος, περιεπάτησεν ἐπά-
„νω αὐτῆ· ἐκ δὲ τῶν Φαραὼ προφητῶν συνεβούλευσεν αὐτῷ, θα-
„νάτῳ αὐτὸν παραδοῦναι. Ταῦτα ὁ Βολτέρος ἐκθέμενος ἐπάγει.

„Αὗται αἱ ἀλλήλων διαφέρουσαι ἀναγνώσεις ἠνάγκασαν τὺς σο-
„φοὺς εἰπεῖν, ὅτι συμβέβηκέπως τῇ ἱερᾷ τῆ Μωϋσέως ἱστορίᾳ τοῦ

„ὅπερ

„ὅπερ ἡ τῆ Θύραθεν τῦ Ἡρακλέους. πᾶς δὲ συγγραφεὺς ὁ περὶ ἐ-
„κείνυ λαλήσας. πολλὰ ἀφ' ἑαυτῦ ἐπεισήγαγε, προσθὰς τῆ θέᾳ
„γραφῆ συμβάντα, περὶ ὧν αὐτὴ ὐκ ἐλάλησεν. Κατωτέρω δὲ προ-
„σθησι ἡ τάδε· ὁ συγγραφεὺς ὁ Ἑβραῖος, ὁ ἀνωτέρω μνημονευ-
„θὰς, λέγα ἐξ ἐναντίας, ὅτι ὁ Μωϋσῆς δεκατρετὴς μὲν ὢν, ἀλ-
„λὰ μέγας, ἡ ἔυμορφος, ἡ ἰσχυρὸς, ἀπελθὼν εἰς τὴν Αἰθιοπί-
„αν ἐπολέμησεν ὑπὲρ τῦ τῶν Αἰθιόπων Βασιλέως κατὰ τῶν Ἀρά-
„βων. μετὰ δὲ τὸν τῦ Νεχανὼ Βασιλέως τῆς Αἰθιοπίας θάνατον,
„ἡγήσατο τότε τῦ μοναρχὸς ἐνυμφεύθη τῷ Μωϋσῆ, ὅσις ἐκλέχθη
„Βασιλεύς. κτ.

Οὗτοι οἱ σοφοὶ ὐκ εἰσὶ σοφοὶ, ἀλλ' ἄσοφοι ἡ τυφλοὶ, ὡς τὰ πλάσματα τῆς ἀληθείας μὴ διαξέλοντες, ἡ τὰ βέβαια ἡ δεκτὰ τῶν ἀβεβαίων ἡ ἀπαραδέκτων μὴ διακρίνοντες, ἀλλὰ τολμῶντες τὰ ἱερὰ ἡ ἀποδεδεγμένα τοῖς βεβήλοις ἡ ἀναποδέκτοις παραβάλλειν μύθοις.

Σημ. 273. Πρῶτος ἡ καθ' αὐτὸ σκοπὸς τῆς πρὸς Δάρδανον τῦ Ἱερωνύμυ ἐπιστολῆς, ὡς ἐξ αὐτῆς δῆλον, τὸ δεῖξαι, ὅτι ἡ τοῖς Ἑβραίοις ἐπαγγελθεῖσα γῆ ὐκ ἦν ἡ ἐπίγαιος Παλαιστίνη, ἀλλ' ἡ ἐπουράνιος Ἱερυσαλήμ. ἵνα δὲ τὸ σκοπύμενον αὐτῷ δείξῃ, ἐκφερόμενος ὑπὸ τῆς βίας, μεθ' ἧς τότε τὴν ἐπιστολὴν ἔγραφε, πέραν τῦ δέοντος τῆς ἐπαγγελίας τὴν γῆν κατεσμίκρυνεν, ἀλλὰ ἡ ἐν ἄλλοις, ἐχρὴ τἀληθὲς εἰπεῖν, ὅτως ἐκφέρεται, ὁ πάνυ περιεσκεμμένως λαλῶν, ἐξ ὧ καὶ ἐναντιολογίας εὑρεῖν ἔνεστιν ἐν τοῖς ἑαυτῦ λόγοις.

Σημ. 274. „Ἀρτάπανος γᾶν ἐν τῷ περὶ Ἰουδαίων συγγράμματι Ἡ-
„σορεῖ, κατακλεισθέντα εἰς φυλακὴν Μωϋσέα ὑπὸ Νεχεφρέως τῦ Αἰ-
„γυπτίων Βασιλέως ἐπὶ τῷ παραιτεῖσθαι τὸν λαὸν ἐξ Αἰγύπτυ
„ἀπολυθῆναι, νύκτωρ ἀνοιχθέντος τῦ δεσμωτηρίυ κατὰ βούλησιν
„τῦ Θεῦ, ἐξελθόντα, ἡ εἰς τὰ Βασίλεια παρελθόντα, ἐπισῆναι
„κοιμωμένῳ τῷ Βασιλεῖ, ἡ ἐξεγεῖραι αὐτόν. τὸν δὲ καταπλα-
„γέντα τῷ γεγονότι, κελεῦσαι τῷ Μωϋσεῖ τὸ τῦ πέμψαντος ἐ-
„πεῖν ὄνομα Θεῦ. ἡ τὸν μὲν προκύψαντα πρὸς τὸ ὃς εἰπεῖν, ἀ-
„κύσαντα δὲ τὸν Βασιλέα, ἄφωνον πεσεῖν. διακρατηθέντα δὲ ὑπὸ
„τῦ Μωϋσέως πάλιν ἀναβιῶναι. Ταῦτα ὁ Κλήμης ὁ Ἀλεξανδρεὺς,
„ὐκ ἐν τῷ 5, ἀλλ' ἐν τῷ 1. στρώμ. (σελ. 113. τῆς ἐν ὀξον. ἔτ. 1715. ἐκδ.) ὐκ ἀφ' ἑαυτῦ, ἀλλ' ὡς ἡ τῦ Ἀρτραπάνυ. τὰ αὐτὰ δὲ ἡ

παρ' Εὐσεβίῳ (β. 9. κ. 27. τῆς Εὐαγγ. προπαρ.) κεῖται, ὅπου τὸ τοῦ Ἀρταπάνου ἀπόσπασμα. τὸ τοῦ Λάχερ πόνημα ἡμῖν ὁ πάρεστι. ῥᾴδιον δὲ κατιδεῖν ποῖα τὰ πέντε σφάλματα. δύω μὲν ἐστὶ τὸ μὴ ἀξιόπιστον τοῦ Βολτέρου ἐμφαίνοντα. α'. Τὸ εἰσάγειν τὸν Κλήμεντα, εἰπόντα τὰ ἑρμηνέα, μηδὲν τοιοῦτον ἀφ' ἑαυτοῦ εἰπόντα, ἀλλὰ τὸν Ἀρτάπανον προτέναντα αὐτουργὸν τῶν ἀνωτέρω ἐκτεθέντων. β'. τὸ λέγειν, ἐπειδάν τις προφέρῃ τὸ ὄνομα τοῦτο πρὸς τὸ ὡς ἀνθρώπου τινός, ὅτι παραχρῆμα πίπτει κατάψυχρος νεκρός. Ταῦτα δὲ οὐδὲ ὁ Κλήμης, οὐδὲ ὁ Ἀρτάπανος εἶπε. Τὰ δὲ κατὰ τῆς ἀκριβολογίας τρία. α'. τὸ καλεῖν τὸν Κλήμεντα ἅγιον, μὴτεταγμένον ὄντα οὐ τῷ τῶν ἁγίων καταλόγῳ. β'. τὸ λέγειν, ὅτι τὰ οὐ τῷ πρώτῳ σώματι περιεχόμενα, οὐ τῷ πέμπτῳ περιέχονται. γ'. τὸ παρασιωπᾶν τὴν ἐκπεφασμένως ῥηθεῖσαν τοῦ Νεχεφρέως ἀναβίωσιν.

Ἰησοῦς. 5. 4.

Σημ. 275. Τῷ, πάντες, οἱ ἐξ Αἰγύπτου ἐξελθόντες περιτετμημένοι ἦσαν, αὐτὴ τοῦ Ἰησοῦ ἡ μαρτυρία ἀντίκειται. Φησὶ γάρ. Ὃν δὲ τρόπον περιεκάθηρεν Ἰησοῦς τοὺς υἱοὺς Ἰσραὴλ, ὅσοι ποτὲ ἐγένοντο οὐ τῇ ὁδῷ, ἢ ὅσοι ποτὲ ἀπερίτμητοι ἦσαν τῶν ἐξελθόντων ἐξ Αἰγύπτου, πάντας τούτους, περιέτεμεν Ἰησοῦς. Δῆλον δὲ ἐκ τούτων, ὅτι ἦσάν τινες τῶν ἐξελθόντων ἐξ Αἰγύπτου ἀπερίτμητοι. διὸ δὴ πάντες περιτετμημένοι ἦσαν οἱ ἐξ Αἰγύπτου ἐξελθόντες. ἀλλὰ ἢ τὸ τίνες ἦσαν οὗτοι οἱ ἐξ Αἰγύπτου ἀπερίτμητοι ἐξελθόντες,

Ἰησοῦς. 5. 6.

αὐτὸς ὁ Ἰησοῦς κατωτέρω δηλοῖ, προθεὶς τὸν λόγον δι' ὃν ἦσαν ἀπερίτμητοι· „Διὸ ἀπερίτμητοι ἦσαν οἱ πλεῖστοι αὐτῶν τῶν μαχί-„μων, τῶν ἐξελθόντων ἐκ γῆς Αἰγύπτου, οἱ ἀπειθήσαντες τῶν „ἐντολῶν τοῦ Θεοῦ.

Ἐξ. 12. 36.

Σημ. 276. Τὸ, ἔχρησαν αὐτοῖς· ἢ τὸ, ἐσκύλευσαν τοὺς Αἰγυπτίους, ἢ παρὰ τοῖς Ἑβδομήκοντα κεῖται. ἐξ ὧν δὲ λέγει Φίλων ὁ Ἑβραῖος ὑπὲρ ταύτης τῆς χρήσεως ἢ σκυλεύσεως ἀπολογούμενος, ῥᾴδιον κατιδεῖν, ὅτι δικαιοπραγῶν ὁ Θεὸς, τοὺς Ἑβραίους χρήσασθαι

Ἐν κεφ. 12. στ. 36. εἰς τὴν Ἔλλην. ἑκατοντ.

παρὰ τῶν Αἰγυπτίων ἐκέλευσε. „Τοῦτο, φησὶν, ἐποίησαν. Πρεσ-„τὸν μὲν, ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν, ἀναγκαῖον μι-„σθὸν κομιζόμενοι· εἶτα δὲ ὑπὲρ ὧν κατεδουλώθησαν οὐ ἐλάττοσι, „ἢ οὐχὶ τοῖς ἴσοις ἀντιλυποῦντες. πῶ γάρ ἐστιν ὅμοιον ζημία χρη-„μάτων, ἢ στέρησις ἐλευθερίας; ὑπὲρ ἧς οὐ μόνον προῖεσθαι τὰς „οὐσίας οἱ νοῦν ἔχοντες, ἀλλὰ ἢ ἀποθνήσκειν ἐθέλουσιν. οὐ ἑκατέ-

„ρῳ

„ρω δὴ κατώρθυν, εἶθ' ὡς ἐν εἰρήνῃ μισθὸν λαμβάνοντες, ὃν παρ' „ἀκόντων πολὺν χρόνον οὐκ ἀποδιδόντων ἀπεστεροῦντο· εἶθ' ὡς ἐν „πολέμω τὰ τῶν ἐχθρῶν φέρειν ἀξιοῦντες νόμω τῶν κεκρατηκό„των. οἱ μὲν δὴ χειρῶν ἦρξαν ἀδίκων, ξένους καὶ οἰκέτας, ὡς ἔφην „πρότερον, καταδουλωσάμενοι τρόπον αἰχμαλώτων· οἱ δὲ, καιροῦ „παραπεσόντος, ἠμύναντο δίχα τῆς ἐν ὅπλοις παρασκευῆς, προα„σπίζοντος καὶ τὴν χεῖρα ὑπερέχοντος τοῦ δικαίου.

Σημ. 277. „Δώροις τοὺς Ἑβραίους ἐτίμων, οἱ μὲν ὑπὲρ τοῦ τάχιον ἐ„ξελθεῖν, οἱ δὲ καὶ κατὰ γειτωνιακὴν πρὸς αὐτοὺς συνήθειαν. Ἰώσ. β. 2. κ. 5. Ἀρχ.

Σημ. 278. Ἰδοὺ ὁ γελοιώδης λόγος. Ὁ Θεὸς οὐκ ἤγαγε τοὺς Ἑβραίους κατ' ἐνθείαν φόβῳ τοῦ μὴ παταχθῆναι αὐτοὺς ὑπὸ τῶν Χαναναίων. Ταῦτα τῷ Καλμέτῳ ὁ Βολτέρος προσάψας, ἐπάγει. „Ἀλλὰ κάκι„στος οὗτος ὁ τοῦ Καλμέτου λόγος τοσοῦτον δὴ ῥάδιον τῷ Θεῷ ἀποκ„τεῖναι πάντας τοὺς τῶν Χαναναίων πρωτοτόκους, ὅσον καὶ τοὺς τῶν „Αἰγυπτίων. βέλτιον δέ ἐστιν εἰπεῖν. ὅτι τὰ τοῦ Θεοῦ κρίματά εἰ„σιν ἀκατάληπτα." Καὶ ἐκ τούτου ἄρα δῆλον ὁποῖον τὸ τοῦ Βολτέρου ἀξιόπιστον.

Σημ. 279. Αὐτοῖς μόνοις, ὡς ἔοικεν, ἡ τῷ Ἡλίῳ, ἐπιπροσθοῦσα νεφέλη ἐμπόδιον τοῦ τὴν ὁδὸν ὁρᾶν, καὶ περιπατεῖν. πάντες δὴ οἱ λοιποὶ ἄνθρωποι συννεφοῦς ὄντος τοῦ οὐρανοῦ ἀκωλύτως τὴν ὁδὸν καθορῶντες ὁδοιποροῦσιν. ἀλλ' οὐδὲ τὴν ἐκ τῆς νεφέλης προϊοῦσαν τοῖς Ἰουδαίοις ὠφέλειαν συνιδεῖν ἰσχυσαν,, καίπερ δήλου ὄντος, ὅτι τῇ σκιᾷ αὐτῆς ὑπασπίζετο αὐτῶν ἀπὸ τῆς κατὰ τὴν ὁδὸν ἐκείνην φλογώδους θερμότητος. πολλῷ δὲ μᾶλλον ἡ ἐπιπροσθοῦσα αὐτοῖς παχυλότης οὐκ ἀφῆκεν αὐτοὺς συνιέναι, ὅτι ἡ τότε νεφέλη τύπος ἦν τοῦ Πνεύματος, ὥσπερ καὶ ἡ Θάλασσα τοῦ ὕδατος, τοῦ ἐν τῷ θείῳ λουτρῷ, δι' οὗ ἐκ τῆς δαιμονικῆς δουλείας ἐξερχόμενοι, εἰς τὴν ἐπαγγελθεῖσαν ἐπουράνιον Ἱερουσαλὴμ εἰσερχόμεθα.

Σημ. 280. Περὶ τῆς Ῥαμεσσῆ ὁ Εὐσέβιος γράφει τάδε· Ῥαμεσὲν (σφάλμα. „Ῥαμεσσῆ δὴ) πόλις, ἣν ὠκοδόμησαν οἱ ἡ οἱ Ἰσραὴλ ἐν „Αἰγύπτῳ. οὕτω δὲ καὶ ἡ χώρα πᾶσα τὸ πάλαι ἐκαλεῖτο. ἐν ᾗ κα„τώκησεν Ἰακὼβ ἅμα τοῖς παισὶν αὐτοῦ. Ἐπεὶ δὲ ἡ χώρα ἅπασα Ῥαμεσσῆ ἐκαλεῖτο, ἐκ τούτου τυχὸν ὁ Συγγραφεὺς ἔφη αὐτὴν μη- Εὐσεβ. περὶ τοπικ. ὀνομ. Ἐξ. 1. 11. Γεν. 47. 11.

 τρόπο-

ἅμα τὴν 268. σομ. τρόπολιν τῆς Γεσέμ. ἡ αὐτὴ δὲ Ῥαμεσσῆ ἀντὶ πάσης τῆς χώρας ἐκλαμβανομένη, λέγεται Γεσέμ.

Ἐξ. 9. 6. **Σημ. 281.** Εἰπῶσα ἡ θέα Γραφὴ τὸ, Ἐτελεύτησε πάντα τὰ κτήνη, Ἐπήγαγεν εὐθὺς τὸ, Ἀπὸ δὲ τῶν κτηνῶν τῶν υἱῶν Ἰσραὴλ οὐκ ἐτελεύτησεν οὐδέν. Οἱ γὰρ Αἰγύπτιοι ἄνευ κτηνῶν καταληφθέντες ἥρπασαν, ἢ ἠγόρασαν, ἢ δάνειον, ἢ δωρεὰν ἔλαβον κτήνη ἐκ
Ἐξ. 9. 10. τῶν παρὰ τοῖς Ἰσραηλίταις διασωθέντων. τούτων δὲ μέρος μὲν ταῖς
Ἐξ. 9. 20. φλυκτίσιν ἐτραυματίσθη, μέρος δὲ ὅσον εἰς τὰς οἰκίας ὑ συνήχθη, τῇ χαλάζῃ ἐπατάχθη· διεσώθη ὅμως ἓ μέρος τὸ εἰς τὰς οἰκίας συναχθέν. τοῦτο γὰρ τὸ διασωθὲν τῶν κτηνῶν μέρος ἔσχον οἱ Αἰγύπτιοι, ἴσως δὲ ἀφεῖλον πάλιν μετὰ τὴν χάλαζαν μέρος ἀπὸ τῶν Ἰσραηλιτῶν, διὸ σὺν τούτοις κατ' αὐτῶν ἐξρατοπέδευσαν.

Ἰώσ. β. 2. κ. 7. Ἀρχ. **Σημ. 282.** Ἰδοὺ τὰ τοῦ Ἰωσήπου ῥήματα· „Θαυμάσει δὲ μηδεὶς τοῦ „λόγου τὸ παράδοξον, εἰ ἀρχαίοις ἀνθρώποις, ἢ πονηρίας ἀπέ„ροις εὑρέθη σωτηρίας ὁδὸς ἢ διὰ θαλάσσης, εἴτε κατὰ βούλησιν „Θεοῦ, εἴτε κατ' αὐτόματον, ὁπότε ἢ τοῖς περὶ τὸν Ἀλέξανδρον „τὸν Βασιλέα τῆς Μακεδονίας χθὲς ἢ πρώην γεγονόσιν, ὑπεχώ„ρησε τὸ Παμφύλιον πέλαγος, ἢ ὁδὸν ἄλλην οὐκ ἔχουσι παρέσχε „δι' αὐτοῦ καταλύσαι τὴν Περσῶν ἡγεμονίαν, τοῦ Θεοῦ θελήσαν„τος. ἢ τοῦτο πάντες ὁμολογοῦσιν οἱ τὰς Ἀλεξάνδρου πράξεις συγ„γραψάμενοι. περὶ μὲν οὖν τούτων ὡς ἑκάστῳ δοκεῖ διαλαμβανέτω.

Στραβ. β. 14. **Σημ. 283.** Ὁ μὲν Στράβων φησί. „Περὶ Φασηλίδα δέ ἐσι τὰ κατὰ „θάλατταν χωρία, δι' ὧν Ἀλέξανδρος παρήγαγε τὴν στρατείαν· „ἔσι δὲ ὄρος Κλίμαξ καλούμενον· ἐπίκειται δὲ τῷ Παμφυλίῳ πε„λάγει, χωρὶν ἀπολείπων πάροδον ἐπὶ τῷ αἰγιαλῷ, ταῖς μὲν νη„νεμίαις γυμνουμένην, ὥσε εἶναι βάσιμον τοῖς ὁδεύουσι· πλημμυ„ρούντος δὲ τοῦ πελάγους, ὑπὸ τῶν κυμάτων καλυπτομένην ἐπὶ „πολύ. ἡ μὲν οὖν διὰ τοῦ ὄρους ὑπέρβασις περίοδον ἔχει, ἢ προ„σάντης ἐσι, τῷ δ' αἰγιαλῷ χρῶνται κατὰ τὰς εὐδίας. ὁ δὲ Ἀλέ„ξανδρος εἰς χειμέριον ἐμπεσὼν καιρὸν, ἢ τὸ πλέον ἐπιτρέπων „τῇ τύχῃ, πρὶν ἄνεμον τὸ κῦμα ὥρμησε, ἢ ὅλην τὴν ἡμέραν εἰ „ὕδασι γενέσθαι τὴν πορείαν συνέβη, μέχρις ὀμφαλοῦ βαπτιζο„μένων. Ὁ δὲ Ἀρριανὸς τάδε· Ἀλέξανδρος δὲ ἄρας ἐκ Φαση„λίδος, μέρος μέν τι τῆς στρατιᾶς διὰ τῶν ὀρῶν πέμπει ἐπὶ Πέρ„γης,

„γης, ἣ ὡδοπεποιήκεσαν αὐτῷ οἱ Θρᾶκες, χαλεπὴν ἄλλως ἢ ὑ „μακρὰν οὖσαν τὴν πάροδον. αὐτῷ δὲ παρὰ τὴν θάλασσαν διὰ τῦ „αἰγιαλῦ ἦγε τὸς ἀμφ' αὐτόν. ἔςι δὲ αὕτη ἡ ὁδὸς ὐκ ἄλλως, ὅτι „μὴ τῶν ἀπ' ἄρκτυ ἀνέμων πνεόντων. εἰ δὲ νότοι κατέχοιεν, ἀ„πόρως ἔχει διὰ τῦ αἰγιαλῦ ὁδοιπορεῖν. τότε δὲ ἐκ νότων σκλη„ρῶν βορέαι ἐπιπνεύσαντες, ὐκ ἄνευ τῦ θεῦ (ὡς αὐτῷ τε ἔ „οἱ ἀμφ' αὐτὸν ἐξηγοῦντο) εὐμαρῆ ἢ ταχέαν τὴν πάροδον πα„ρέχον,

Σημ. 284. Οὐδέποτε, ὡς ἔοικεν, ἀνέγνω τὸν πρῶτον τῦ Ἰωσήπυ κατὰ Ἀπίωνος λόγον, ἐν ᾧ φαίνονται Αἰγύπτιοι, ἔ Χαλδαῖοι, ἢ Φοίνικες, ἢ Ἕλληνες τὰ περὶ τῶν Ἰουδαίων ἱςορήσαντες, κἂν πάνυ διεφθαρμένως δι' ὧς ὁ αὐτῷ Ἰώσηπος σημαίνει λόγυς.

Σημ. 285. Ὁ Βολτέριος ἐν κεφ. 21. τῆς περὶ τὴν ἱςορίαν φιλοσοφίας αὐτῦ φησί· „Λύπης πρόξενον τὸ ἐν μὲν τῷ τῦ Καίσαρος „πολέμῳ κατακαυθῆναι τὸ ἥμισυ τῆς περιφήμυ τῶν Πτολεμαί„ων Βιβλιοθήκης, ὅτε δὲ ὁ Ὅμαρ τὴν Αἴγυπτον ὑπέταξεν, ἐκ„καυθῆναι διὰ τῦ ἑτέρυ ἡμίσεως τὰ τῶν Μυσελμάνων λυτρά.

Σημ. 286. Ἰσέον, ὅτι διὰ τὸ μὴ παρεῖναι ἡμῖν τὸν Διόδωρον, ἐκ τῦ ὕφυς τῦ συγγραφέως ταῦτα μετεφράσθη.

Σημ. 287. Ἀλλὰ πῦ ἀνέγνω ὗτος τὸ, παραχρῆμα; ὅπερ ἐςὶ τὸ, ἀμέσως, μηδενος μεσολαβήσαντος χρόνυ, μηδὲ ἀνακωχῆς τινος ἢ ἀναπαύσεως προηγηθέσης, τὴν ὠδὴν ἔψαλον οἱ Ἰσραηλῖται; δῆλα δῦ. ἐξ ὧν δὲ ἀναγινώσκομεν ἐν τῇ θείᾳ Γραφῇ, εἰκότως τἐναντίον συνάγει, τυτέςι τὸ, μετὰ παρέλθυσιν χρόνυ τινος, ὅσος ἱκανὸς ἦν τὸν τῆς ὁδοιπορίας πόνον, ἢ τὴν ἐκ τῦ φόβυ διασκεδάσαι ζάλην, ἦσαν τὴν ὠδήν. πάντων δὲ διελθόντων τὴν θάλασσαν, ἐξέτεινεν ὁ Μωϋσῆς τὴν χεῖρα ἐπ' αὐτὴν, τὸ δὲ ὕδωρ ἀποκαταςὰν ἐκάλυψε τὸς Αἰγυπτίυς, ὧν τὰ σώματα ἐπὶ τὴν παραθαλασσίαν ἀναβραδύζα εἶδον οἱ Ἰσραηλῖται, ἢ μετὰ ταῦτα ἔψαλον τὴν ὠδήν. Καὶ εἶδε, φησὶν, Ἰσραὴλ τὸς Αἰγυπτίυς τεθνη„κότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης· Εἶτα προσέθησι· Τότε ᾖσε Μωϋσῆς, ἢ οἱ υἱοὶ Ἰσραὴλ τὴν ὠδὴν ταύτην. Ἐπεὶ δὲ τὴν τῶν πτωμάτων ἀνάδοσιν παραχρῆμα μετὰ τὴν κατάποσιν γενέσθαι ἀμήχανον, δῆλον ἄρα, ὅτι ὐχ ἅμα τῷ εἰσελθεῖν ἡ ὠδὴ ἔψαλτο, ἀλλὰ

Ἐξ. 14. 30.
Ἐξ. 15. 1.

λὰ χρόνȣ τινὸς παρεληλυθότος, μεθ' ὃν τὰ τῶν Αἰγυπτίων σώματα εἰς τὸ χεῖλος τῆς θαλάσσης κατήντησαν. διὸ δὴ ϗ μετὰ τὸ ἀνέσεώς τινος ϗ ἀναῤῥώσεως τυχεῖν αὐτȣ̀ς, τὸ ᾆσμα ἐμελώδησαν. ἀλλ' ȣ̀δ' ὅτι πρῶτον συνέθετο, εἶτα τȣ̃το ἔψαλλεν ὁ Μωϋσῆς ἐν τοῖς ἱεροῖς κεῖται λογίοις. „Τότε γὰρ φησιν ᾖσε Μωϋσῆς. Ἐξ ȣ̃ ἐπιφέρειν εὐλογοφανῶς ἕπεται, ὅτι ἐκ τȣ̃ προχείρȣ θείᾳ ἐμπνεύσει τὴν ᾠδὴν ᾖσεν ὁ Θεόπτης.

Σημ. 288. Τὰς δύω ἑπομένας ἐνςάσεις ἐν τῇ ἀνὰ χεῖρας ἡμῶν ἐκδόσει ȣ̀δὲ εὐτελεῖς, ȣ̀δὲ γελοίας προσαγορεύει ὁ Βολτέρος. ἡ τȣ́των πρώτη ἐςὶν ἡ ἐφεξῆς· „Οἱ ἄπιςοι ȣ̀ πάυονται ἐλέγχοντες ἡμᾶς „προπετῶς, ὡς διηγȣμένȣς αὐτοῖς μύθȣς ἀτόπȣς. ȣ̀ δύνανται ȣ̃τοι „κατανοῆσαι τὸ, διατὶ ὁ Θεὸς ȣ̀κ ἐδωρήσατο τῷ λαῷ αὐτȣ̃ τὴν „ἐξοχωτάτην γῆν τῆς Αἰγύπτȣ, ὅπȣ ȣ̀κ ἦσαν ἔτι, εἰμὴ γυναῖ„κες ϗ νήπια.

Ἀλλὰ διατὶ, σὺ ὁ τὸν πιςὸν ὑποκρινόμενος ȣ̀κ ἀπεκρίθης αὐτοῖς, ὡς ϗ αὐτοὶ οἱ πιςοὶ ὁμολογȣ̃σιν, εἴτȣν τὸ, ὅτι ἀκατάληπτά εἰσι τοῖς ἀνθρώποις διὰ τὴν ςενότητα τȣ̃ νοὸς αὐτῶν, ϗ ἀχώρητα τȣ̃ Θεȣ̃ τὰ κρίματα, ἀλλ' ȣ̀ διὰ τȣ̃το μῦθοί εἰσιν ἄτοποι. ἀναριθμήτων γὰρ φυσικῶν ϗ ὑπ' ὄψιν, ȣ̀μὴν ἀλλὰ ϗ ἠθικῶν πραγμάτων τὸ διατὶ ἀγνοȣ̃ντες, ȣ̀ τοῖς ἀτόποις ταῦτα συντάττομεν μύθοις. ἵνα τὶ δὲ ȣ̀ προσέθηκας τὸ, ὅτι ἀπατῶνται ϗ ψεύδονται, τῆς Παλαιςίνης τὴν Αἴγυπτον προτιμῶντες; ἵνα τὶ δὲ ϗ τὸν λόγον ȣ̀ παρέθηκας, ὃν ἡ θεία Γραφὴ δεδήλωκεν εἰπȣ̃σα· „Μὴ μιάινεσθε „ἐν πᾶσι τȣ́τοις. ἐν πᾶσι γὰρ τȣ́τοις ἐμιάνθησαν τὰ ἔθνη, ἃ ἐγὼ „ἐξαποςέλλω πρὸ προσώπȣ ὑμῶν, Καὶ ἐξεμιάνθη ἡ γῆ, ϗ ἀν„ταπέδωκα ἀδικίαν αὐτοῖς δι' αὐτὴν, ϗ προσώχθισεν ἡ γῆ τοῖς „ἐγκαθημένοις ἐπ' αὐτῆς. Ἐξ ὧν δῆλον, ὅτι ȣ̀ τȣ̀ς Αἰγυπτίȣς, ἀλλὰ τȣ̀ς τὴν γῆν τῆς ἐπαγγελίας οἰκȣ̃ντας διὰ τὸ ὑπερβάλλον τῶν ἀνομιῶν αὐτῶν ἐξολοθρεῦσαι ὁρίσας ὁ Θεὸς, τὴν τȣ́των γῆν τοῖς Ἰσραηλίταις ἐδωρήσατο. Πȣ̃ δὲ ςηρίζȣσιν οἱ ἄπιςοι τὸ, ὅτι ἐν τῇ Αἰγύπτῳ ȣ̀κ ἦσαν ἔτι εἰμὴ γυναῖκες ϗ νήπια; μήτι ἐπὶ τῷ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ κατακλυσμῷ τῶν Αἰγυπτίων; ἀλλὰ τὶς ἄν ποτε πεισθείη, ὅτι πάντες οἱ ἐν τῇ Αἰγύπτῳ ἄνδρες, ȣ̀δενὸς καταλειφθέντος, ἐπεκάθησαν ἐπὶ ἑξακοσίων ἁρμάτων, ϗ τῷ Φαραὼ συνεξελθόντες, κατεποντίσθησαν;

Ἐν δὲ τῇ δευτέρα αὐτȣ̃ ἐνςάσει ἀναμασσησάμενος τὴν αὐτὴν ἔνςασιν, τὴν ἀνωτέρω ὑπὸ τȣ̃ συγγραφέως ἀνασκευασθεῖσαν, ἐπάγει

Ὁρα τὸ 5. Ἀρθρ. τȣ̃ 3. κεφ. Λευϊτ. 18.24, 25.

Ἀρθρ. 8. Ἀριθ. 2.

πάγε τάδε· „Ἡμεῖς ὁμολογοῦμεν τοῖς ἀπίστοις τούτοις, ὅτι κατὰ „τὰς τῆς ἀνθρωπίνης φύσεως κανόνας ἄδικα ἐποίει ὁ ἀρχηγράτη„γος, ὁ δι' ἐρήμου ἐξάγων τὸν ςρατὸν αὐτοῦ. ἀλλ' ἐνταῦθα ὁ λό„γος οὐκ ἔςιν οὐδὲ περὶ λόγου, οὐδὲ περὶ φρονήτεως, οὐδὲ περὶ πε„θανότητος, οὐδὲ περὶ τῆ κατὰ φύσιν δυνατῆ. πᾶν τὸ ἐν τῷδε „τῷ βιβλίῳ ἐςὶ τούτων ὑπέρτερον, τὸ πᾶν θεῖον, τὸ πᾶν θαῦμα. „ἐπειδὴ δὲ οἱ Ἰουδαῖοι ἦσαν ὁ τῆ Θεῆ λαὸς, οὐδὲν ἔδει συμβαίνειν „αὐτοῖς κοινὸν τοῖς λοιποῖς τῶν ἀνθρώπων. τὸ δὲ δοκῶν ἄτοπον ἐν„τισι τῶν κατ' ἔθος ἱςοριῶν, θαυμάσιόν ἐςιν ἐν ταύτῃ.

Ὅρα πανυργίαν καταςκευάζων, ἀνασκευάζει· ᾗ ὑπερμαχόμενος, μάχεται. Καὶ λόγος ἐςὶν, ὦ ἄθλιε, ἐν τοῖς τῆς θείας Γραφῆς ῥήμασι, ᾗ φρόνησις, ᾗ πεθανότης, κἂν αὐτοῖς τοῖς ὑπὲρ φύσιν θαύμασι, διὰ τὸ ἐνεῖναι τῷ ὑπερφυεῖ ὅτι δύναμιν παντοδύναμον, ᾗ αὐτεξουσιότητα ἀπέραντον. ἀλλὰ ᾗ πλεῖςα ἐν τῇ Γραφῇ κεῖται δυνατὰ κατὰ φύσιν, ᾗ κοινὰ πᾶσι τοῖς ἀνθρώποις. σὺ δὲ ταῦτα λέγων, ἐμφαίνεις σεαυτὸν οὐδὲ λόγου μετέχοντα, οὐδὲ φρονήσεως, οὐδὲ τῆς ἐν τῷ λέγειν πεθανότητος.

Σημ. 289. Οὐ πάντη ἀνόμοια τοῖς τῆ Διοδώρου τὰ ὑπὸ τῆ Μανεθῶνος περὶ τῶν ἐν Αἰγύπτῳ λεπρῶν ᾗ λελωβημένων ἱςορούμενα. Ὅρα τὸν πρῶτον κατὰ Ἀπίωνος τῆ Ἰωσήπου λόγον, σελ. 1052.

Σημ. 290. Σεσημείωται, ὡ περὶ τῆς ἐρήμου Σὶν, ἀλλὰ περὶ τῆς Σὺρ. „Ἐξῆρε δὲ φησι, Μωϋσῆς τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ θαλάσσης „ἐρυθρᾶς, ᾗ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον Σὺρ. ᾗ ἐπορεύοντο „τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ, ᾗ οὐχ εὕρισκον ὕδωρ ὥςε πιεῖν. κἂν δὲ οὐχ εὕρισκον ὕδωρ ἐκεῖ, ἔπινον ὅμως ἐκ τοῦ οἰκείου ὕδατος. ἐπεὶ γὰρ τοῦτο συνέβη εὐθὺς μετὰ τὸ ἐξελθεῖν αὐτοὺς ἐκ τῆς ἐρυθρᾶς θαλάσσης, εἶχον πάντως ὕδωρ, μεθ' ἑαυτῶν ἀπὸ τῆς Αἰγύπτου μετακομιδὴν, ἐξ οὗ ἔπινον. ἀπείθανον γὰρ, τοσοῦτον λαὸν, μετὰ τοσαύτης συσκοδῆς, ᾗ τοσούτων κτηνῶν ἐξ Αἰγύπτου ἐξελθόντας, ὕδωρ μετ' αὐτῶν μὴ παραλαβεῖν, εἰδότας, ὅτι ἀσάνιον τὸ ἐν ταῖς ἐρήμοις, δι' ὧν διελθεῖν ἔμελλον, ὕδωρ. διὰ τοῦτο δὴ οὐκ εἶπεν ἡ Γραφὴ, ὅτι οὐκ ἔπιον τρεῖς ἡμέρας, ἀλλ' ἔφη, ὅτι οὐχ εὕρισκον ὕδωρ ἐν τῇ ἐρήμῳ ἐκείνῃ, ὥςε ἐξ αὐτοῦ πιεῖν. Ἐξ. 15. 22.

Σημ. 291. Ποία ἐςὶν ἡ γλῶσσα, ἣν ἤκουσε μὲν, οὐκ ἔγνω δὲ ὁ Ἰσραήλ.; ἐκείνη πάντως ἐςὶν, ἣν ὁ λαὸς τοῦ Ἰσραὴλ ἤκουσεν ἐν τῷ ὄρει τῷ

Ψαλ. 80. 5. τῷ Σινᾷ ἐκ τῆς Αἰγύπτυ ἐξελθών. Μαρτύρων, φησὶν, ἐν τῷ λαῷ τῦ Ἰσραὴλ, τῷ ὑπὸ τῦ Ἰωσὴφ εἰς Αἴγυπτον κληθέντι, ἔθετο, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτυ· „γλῶσταν ἣν οὐκ ἔγνω ἤκυσεν. Ἡ γλῶσσα δὲ ἐνταῦθα ὐ διάλεκτον σημαίνει, ἀλλ' αὐτὸ τὸ ἀνθρώπινον μέλος, τὸ καλύμενον γλῶσσα. ἐλθὼν γὰρ ἐν τῷ ὄρει τὸ Σινᾷ ὁ λαὸς τῦ Ἰσραὴλ, τὴν μὲν φωνὴν, ὅπερ ἐστὶ τὸν τῆς φωνῆς ἦχον ἤκυε, οὐ τὴν σημασίαν τῶν ῥημάτων κατενόει, γλῶσταν δὲ λαλῦσαν οὐκ ἔγνω. μαρτυρᾷ τοῖς λεγομένοις Deut. 4. 12. αὐτὴ ἡ θεία Γραφὴ λέγυσα· Καὶ ἐλάλησε Κύριος πρὸς ὑ„μᾶς ἐκ μέσυ τῦ πυρὸς φωνὴν ῥημάτων, ἣν ὑμεῖς ἠκύσατε, οὐ „ὁμοίωμα οὐκ εἴδετε, ἀλλ' ἢ φωνήν. Τίνος δὲ ὁμοίωμα οὐκ εἶδον; ἢ δῆλον, ὅτι ἀνθρώπυ, οὐ ἀνθρωπίνης γλώττης λαλύσης. ἤκυον τὴν φωνὴν, κατενόυν τὴν τῶν ῥημάτων σημασίαν. Φωνὴν ῥημάτων, ἣν ὑμεῖς ἠκύσατε· „Σχῆμα δὲ, ἢ μορφὴν, ἢ σημεῖον ἀνθρώπυ „γλώσσης οὐκ ἔγνων· Καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ' ἢ φωνήν. „Εἰκότως ἂν ἐξέχησαν, ὡς ὁ Βολτέριος ὁμολογεῖ, μὴ κατανοήσας, ὅτι κατ' αὐτῦ φέρεται τὸ ἐξέχησαν, οὐ ἐφοβήθησαν δὲ, οὐ μακρό- Ex. 20. 18. θεν ἔχησαν. „Καὶ ὁ λαὸς, φησὶν, ἑώρα τὴν φωνὴν, οὐ τὰς λαμ„πάδας, οὐ τὴν φωνὴν τῶν σαλπίγγων, οὐ τὸ ὄρος τὸ καπνίζον. Φοβηθέντες δὲ πᾶς ὁ λαὸς ἔχησαν μακρόθεν. Ἐκ τῦ ὁρᾶν ἂν ταῦτα, οὐ τὴν φωνὴν ἀκύειν, ὁμοίωμα δὲ ἀνθρωπίνης γλώττης μὴ βλέπειν, ἀχὶ δὲ ἐκ τῦ μὴ κατανοεῖν τὴν σημασίαν τῶν ῥημάτων τῆς φωνῆς, ἐξέχησαν, οὐ ἐφοβήθησαν, οὐ μακρόθεν ἔχησαν. τὶς γὰρ ἀκύων λαλυμένην ὑπὸ ἀνθρώπων διάλεκτον, ἣν ὐ κατανοᾷ, ἐξίσαται, ἢ φοβεῖται, ἢ ἀφίσαται;

Θεοδ. ἐρωτ. 39. εἰς τὴν Ex. Σημ. 292. Ὁ Θεοδώρητος ἀποδείκνυσιν, ὅτι τὸ, ζηλωτὴς, ἐνταῦθα, τὸ τῦ Θεῦ φιλόσοργον ἐμφαίνει. „Ὅτι δὲ, φησὶ, φιλοσορ„γίας ὁ τοιῦτος ζῆλος, αὐτὸς τῦτο δεδήλωκεν ὁ Θεὸς, διὰ τῦ Isa. 16. 6. „Ἰεζεκιὴλ εἰπών. Διὰ τῦτο ἀποσήσεται ὁ ζῆλός μυ ἀπὸ σῦ· Τυ„τέσιν, ὅτε ἠγάπων, ἐχρώμην τῷ ζήλῳ, ἀπωσάμενος δέ σε, οὐ „τὸν ζῆλον ἔσβεσα. τῦτο δὲ οὐ δι' ἑτέρυ Προφήτυ δεδήλωκεν εἰ„πών. Οὐκ ἐπισκέψομαι τὰς θυγατέρας συ, ὅταν πορνεύσωσι, Ωσ. 4. 14. „οὐ ἐπὶ τὰς νύμφας ὑμῶν, ὅταν μοιχεύσωσιν. ἀγάπης τοίνυν ὁ „ζῆλος δηλωτικός.

Σημ. 293. Τῶν ἀπίσων οὐ αἱρετικῶν ἴδιον, μέρος μὲν τῆς Γραφῆς τὸ δοκῦν σηείζειν τὰ ἑαυτῶν γνωμοδοτήματα, προτάνειν· μέρος δὲ

δὲ τὸ ἐπισυνημμένον τοῖς προτεινομένοις, ἢ ἀλλαχῦ ἐν τῇ Γραφῇ κείμενον, ἐξ κατ' αὐτῶν κραυγάζον, σιωπᾶν. τοῦτο χείροντι ὁρῶμεν ποιοῦντα τὸν ἄπιστον Βολτέρον. δεῖξαι γὰρ βουλόμενος ἄδικον ἢ ἀπηνῆ τὸν Θεὸν, προτείνει μὲν τὸ, Ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην ἢ τετάρτην γενεὰν, „Οὐ μόνον δὲ σιωπᾷ τὸ ἐπεζευγμένον αὐτῷ, εἶτεν τὸ, Τοῖς μισοῦσί με· ὅπερ ἀεὶ δηλόταται ἐμφαίνει, τὴν παιδείαν τότε ἐπὶ τὰ τέκνα ἐπὶ τρίτης ἢ τετάρτης γενεᾶς προβαίνειν, ὅτε ἢ αὐτὴ ἡ τρίτη ἢ τετάρτη γενεὰ μισεῖ καθάπερ ἢ ἡ πρώτη τὸν Κύριον, εἶτεν ἁμαρτάνει ὁμοίως τοῖς πατράσι ἢ προπάτορσιν· ἀλλ' ἀντὶ τῦ, Τοῖς μισοῦσί με, ἀντικαθίστα τὸ, τῇ ἀθῴᾳ. „Ἰδὲ τὰ τότε ῥήματα· Ἡ ἀπειλημένη ποινὴ „τῇ τῦ πταίσαντος προπάππῳ τρίτῃ ἢ τετάρτῃ γενεᾷ τῇ ἀθῴᾳ, „δοκεῖ αὐτοῖς (τοῖς ἀπίστοις) ἀδικία ἀπηνής. Ἀντὶ δὲ τῦ ἐκλαβεῖν ὡς ἀναπτυξιν τὴν δὲ τῦ Δευτερονομίου τὴν ῥῆσιν· Οὐκ ἀποθανοῦνται παῖδες ὑπὲρ πατέρων, οὐδὲ πατέρες ὑπὲρ παίδων, ἀλλ' ἕκαστος ἐν τῇ ἁμαρτίᾳ αὐτῦ ἀποθανεῖται· διαστρέφει τὴν ἔννοιαν αὐτῆς, λέγων· „Ἐξηλήφθη, ὡς δοκεῖ, ἡ κατὰ τῆς τετάρτης γε„νεᾶς ἐκδίκησις διὰ τῦ Δευτερονομίου. Μετ' ὀλίγα δὲ ὥσπερ μεταμεληθεὶς, ἀντιλέγων ἑαυτῷ, φησίν. „Ἀλλ' ὁ νόμος ὅτος (τῦ „Δευτερονομίου) ὁ κωλύει ὑποτίθεσθαι, τὸν Θεὸν διαπαντὸς ἕως „τετάρτης γενεᾶς παιδεύειν. Πρὸς τότοις παρασιωπᾷ τῦ Ἰεζεκιὴλ τὰ ῥήματα, τὰ τὴν δικαιοσύνην τῦ Θεῦ διαῤῥήδην ἀνακηρύττοντα. „Τίς ὑμῖν, φησὶν, ἡ παραβολὴ αὕτη ἐν τοῖς υἱοῖς Ἰσραὴλ, „λέγοντες, οἱ πατέρες ἔφαγον ὄμφακα, ἢ οἱ ὀδόντες τῶν τέκ„νων ἐγομφίασαν· ζῶ ἐγὼ λέγει Κύριος, ἐὰν γένηται ἔτι λεγο„μένη ἡ παραβολὴ αὕτη ἐν Ἰσραήλ. ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰ„σιν, ὃν τρόπον ἡ ψυχὴ τῦ πατρὸς ὕτω ἢ ἡ ψυχὴ τῦ υἱῦ ἐμαί „εἰσιν· ἡ ψυχὴ ἡ ἁμαρτάνυσα, αὕτη ἀποθανεῖται.

Ἐξ. 20. 5.

Ἐν τῇ 38. σημ. εἰς τὴν Ἐξ.

Δευτ. 24. 16.

Ἰεζ. 18. 2-4.

Σημ. 294. Εἴπερ ποτὲ συμπεριελήφθησάν τινες ταῖς κοιναῖς συμφοραῖς, καίπερ μὴ μεταχόντες τῶν ἀδικημάτων τῶν ἐπενεγκόντων αὐτὰς, συμπεριελήφθησαν πάντως δι' ἄλλας θανατηφόρυς, ἃς πεποιήκασιν ἁμαρτίας. λίαν γὰρ ἄτοπον τὸ λογίζεσθαι τὰς ἀθῴυς, ἐξ μηδὲν θανάτῳ ἄξιον πράξαντας ταῖς συμφοραῖς συμπεριλαμβάνεσθαι τῶν ἐνεγκάντων αὐτὰς διὰ τῶν ἰδίων ἀδικημάτων, ἔτι δὲ ἢ σφόδρα ἀνάρμοσον τῇ ἀμωμήτῳ ἢ ὑπερτελείᾳ τῦ Θεῦ δικαιοσύνῃ, τῦ ὁρίσαντος τὸ, Ἕκαστος ἐν τῇ ἁμαρτίᾳ αὐτῦ ἀποθανεῖται· „ἢ τὸ, Ἡ „ψυχὴ ἡ ἁμαρτάνυσα αὕτη ἀποθανεῖται. Ὡσαύτως πάντη ἀκατάλ-

Δευτ. 24. 16. Ἰεζ. 18. 4.

τάλληλον τὸ ἀσεύδειν διὰ τῶν ἀνθρωπίνων νόμων δικαιολογεῖν τὰς τῦ Θεῦ. τἐναντίον δὲ ποιεῖν δεῖ, ἀμέλατοι τοῖς τῦ Θεῦ νόμοις τὰς τῶν ἀνθρώπων δικαιῶν, ἐπειδὰν ἀλλήλοις συνάδωσι. βέλεται δὲ, ὡς ἐοικεν, ὁ τῆς βίβλυ ταύτης συγγραφεὺς δικαίαν δεῖξαι τὴν μέχρι τρίτης ἢ τετάρτης γενεᾶς τῦ Θεῦ παιδείαν, ἐκ τῦ ἢ τὰς νόμυς τῶν πεπολιτδμένων, ἢ πεφωτισμένων, ὡς αὐτός φησι, γενῶν, ἀφαιρεῖν ἄχρι τῶν εἰσεγγόνων τὸν πλῆτον, τὴν ἀξίαν, τὸ τῦ πολίτυ δίκαίωμα εἰς ποινὴν τῶν ἁμαρτημάτων τῶν πατέρων αὐτῶν. ἀλλ' ἄραγε δίκαιοί εἰσιν οἱ τοιῦτοι τῶν ἀνθρώπων νόμοι; τῦτο ὅπερ ἐςὶν ἀμφιβαλλόμενον, λαμβάνεται ὡς ὁμολογύμενον. ἢ αὐτὰ δὲ τὰ πεπολιτδμένα ἢ πεφωτισμένα ἔθνη συναιδάνεσθαι ἀρξάμενα τῆς ἀδικίας τῶν τοιῦτων νόμων, ἀπέχυσιν ὅσον οἱόντε ἀπὸ τῆς τύτων ἐξηκριβωμένης ἐκπληρώτεως. τὶς δὲ ἐςιν ἡ τῶν ἀνθρώπων δικαιοσύνη, ὥςε τῇ τῦ Θεῦ παραβάλλεσθαι, ἢ δι' αὐτῆς ἐκείνην δικαιῶν ἀσεύδειαν; „Ὡς ῥάκος, φη-
No. 64. 6. „σὶν ὁ Προφήτης, ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν. Μάτην δὲ ἢ δέχεται ὁ συγγραφεὺς τὴν τῦ Βολτέρυ ὑπόθεσιν, τὴν
Ὀρατὴν προλ. σημ. ἐξαχθεῖσαν ἐκ τῦ διαφθεῖραι τὰ θεῖα ῥήματα ἢ ἀντὶ τῦ, Τοῖς μισθσίμε, ἀντικαταξῆσαι τὸ, Τῇ ἀθώᾳ. ὃ δὲ παιδεύει ὁ Θεὸς ἄχρι τῶν τρισεγγόνων ἀθώων ὄντων διὰ τὰς τῶν πατέρων αὐτῶν ἁμαρτίας. ὅπερ σαφῶστε ἢ ἐμφαντικῶς ἐνέφηνε διὰ τῦ, τοῖς μισθσίμε, ἔτι δὲ ἢ διὰ τῦ, Ζῶ ἐγὼ λέγει Κύριο, ἐὰν γένηται ἔτι
Ἐξ. 20. 5. λεγομένη ἡ παραβολὴ αὕτη ἐν Ἰσραήλ. „Ποία δὲ ἡ παραβολή; Οἱ πατέρες ἔφαγον ὄμφακα, ἢ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν.

Σημ. 295. Ἵνα τὴν τῦ λόγυ τύτυ κατανοήσωμεν δύναμιν, χηματίζω τὰ λεγόμενα ὅτως· Ὁ Θεὸς παιδεύει τὰ ἀθῶα τέκνα διὰ τὰς τῶν πατέρων αὐτῶν ἁμαρτίας. ἆρα οἱ Ἰυδαῖοι ὐδέποτε ἐγνώρισαν ψυχῆς ἀθανασίαν. σκέψαι μοι δὴ σὺ, ὦ ἀναγνῶςα, κατὰ τί διαφέρει ταῦτα τῆ ἐξῆς ἐνθυμήματος· Ῥάβδος ἐν γωνίᾳ. ἆρα βρέχει. τοιαύτη δν ἐςὶν ἡ διαλεκτικὴ ἐπιςήμη τῶν ἐπὶ σοφίᾳ ἢ νοὸς ἰχύι καυχωμένων. ἢ ὅτι μὲν ὁ Θεὸς ἃ τὰ ἀθῶα, ἀλλὰ τὰ ἁμαρτάνοντα τέκνα παιδεύει, δέδεικται ἐν ταῖς πρὸ ταύτης δυσὶ σημειώσεσιν· ὅτι δὲ ἀθανασίαν ψυχῆς ἢ ἐγνώριζον, ἢ ἐπίσυον οἱ Ἰυδαῖοι, ἐδείχθη ὑπὸ τῆ συγγραφέως ἐν κεφ. δ'. Ἀρθρ. β. τῆ ς'. βιβ. ἢ ὑπὸ τῶν ἐν τῷ αὐτῷ Ἀρθρ. σημειώσεων.

Σημ.

Σημ. 296. Ἐπίσθιον πάντως οἱ Ἰουδαῖοι, ὅτι ἦσαν ἄνθρωποι, μαγικὰ ἐργαζόμενοι ἔργα. ὧδε γὰρ ἀπιστῆσαι περὶ τούτου ἠδύναντο, ὅσα οἱ ἐπὶ Φαραὼ μάγοι ἐργάσαντο ἰδόντες, ἢ ὅσα ὁ προφήτης Μωϋσῆς, ὡς ἐκ στόματος Θεοῦ, περὶ μάγων ἀνήγγελεν, ἀκόντες. τί δὲ ἐκ τούτου ἄτοπον ἕπεται, ὑφ' αὐτὸς ὁ Βολτέρος ἔφη. τὸ δ' ὅτι ἐπιῤῥεπεῖς ἦσαν ἐπὶ τὴν κτηνοβατίαν οἱ Ἰουδαῖοι μάτην ἐπιφέρουσι μηδὲν παράδειγμα τούτου δοῦναι ἔχοντες, τὸν δὲ νόμον προφυλακτικὸν εἶναι τῆς ἁμαρτίας ἀδέναι ὀφείλοντες.

Σημ. 297. „Ἡρακλείδης γῦν ὁ Λέμβος, ἐν τῇ εἰκοστῇ πρώτῃ τῶν „ἱστοριῶν, περὶ τὴν Παιονίαν ϛ Δαρδανίαν, βατράχους, φησίν, „ὕσεν ὁ Θεὸς. ἢ τοσοῦτον αὐτῶν ἐγένετο τὸ πλῆθος, ὥστε τὰς οἰ„κίας ἢ τὰς ὁδοὺς πλήρεις εἶναι. Καὶ μετ' ὀλίγα· Ἐνοχλούμενοι δὲ ἢ ὑπὸ τῆς τῶν τετελουτηκότων ὀδμῆς, ἔφυγον τὴν χώραν. Καὶ ταῦτα μὲν ὁ Ἀθήναιος, ὁ δὲ Ἀγαθαρχίδης τούτους τοὺς φυγόντας, λαοὺς, Λυταιάτας καλεῖ, περὶ δὲ Μεγαρέων φησί· Μυῶν, (ἢ κατὰ ἄλλην ἀνάγνωσιν, μυιῶν) πλῆθος ἀνέσησε Μεγαρέας. „ὁ δὲ Διόδωρος, δηλοῖ τὸ αἴτιον, ὅτι ὁ οἱ περὶ τὴν Ἀ„ρατίαν λίμνην οἰκοῦντες, αὐτὴν κατέλειπον· ἐκλαφθεῖσα δ' ὑπὸ „πλήθους σκορπίων, ἢ φαλαγγίων τῶν τετραγνάθων ποτὲ καλου„μένων ἐπελάσαντός ποτε. Ὁ δὲ Πλίνιος, Plurimi (mures) ita ad Trojam perveniunt, ut jam inde fugaverint incolas. ὅπερ ἐφ' ἡμῶν τοσοῦτον μυῶν πλῆθος ἐν τῇ Τρωάδι εἰσῆλθεν, ὥστε τοὺς ἐκεῖ οἰκοῦντας φυγαδεῦσαι. Ὁ δὲ Ἰάμβλιχος, φεύγουσιν ὁ στρατὸς τῶν μελιττῶν πολέμῳ πονούμενοι· „Ὁ δὲ Αἰλιανὸς, Μεγα„ρεῖς μὲν μυῶν πλῆθος ἐκ τῆς ἰδίας ἔξωσεν ἔδρας, Φασηλίτας δὲ „σφῆκες. Πολλὰς δὲ τοιαύτας ἱστορίας εὑρήσεις παρὰ τῷ Βοχάρτῳ. Ἴσασι δὲ ἢ οἱ τὰς ὄχθας τοῦ ποταμοῦ Ῥᾶ, εἴτουν τοῦ Βόλγα οἰκοῦντες, ἢ οἱ θέρους διερχόμενοι ὅσον, οὔτε κώνωπες, ἢ αἱ διαφόρων εἰδῶν μυῖαι ἀφόρητον προξενοῦσιν ἐνόχλησιν, ἧς ἢ ἡμεῖς οὐκ ἄπαξ ἐπειράθημεν.

Ἀθήν. β. 8. Ἀγαθαρ. β. 5. Διοδ. β. 3. Πλιν. β. 10. κ. 15. Ἰαμβλ. ἐν τοῖς Βαβυλωνιακοῖς. Αἰλ. β. 11. κ. 28. Ἱστορ. Βοχ. β. 2. κ. 13. τοῦ 2. μέρ. τοῦ Ἱεροζωικοῦ.

Σημ. 298. Ὀρχὸκ παρὰ Μελετίῳ ἡ Οὖρ, περὶ ἧς ὁ Εὐσέβιος φησίν· „Οὖρ πόλις Βασιλείας τῶν Χαλδαίων, ἐνθα ἀπέθανεν Ἀ„βραὰμ, ὁ ἀδελφὸς Ἀβραὰμ, ὃ ἢ ὁ τάφος εἰς ἔτι νῦν δείκνυται, „ὡς Ἰώσηπος ἱστορεῖ.

Εὐσ. Περὶ τοπ. ὀνομ. Γ. σ. β. 1. κ. 7. Ἀρχ.

Σημ. 299. „Θεοὺς δὲ δὴ οὐ τοὺς αὐτοὺς ἅπαντες ὁμοίως Αἰγύπτιοι „σέβονται, πλὴν Ἰσιός τε καὶ Ὀσίριος, τόνδε Διόνυσον εἶναι λέγουσι. Ταῦτα ὁ Ἡρόδοτος ἐν βιβλ. 2. σελ. 106. τῆς ἐν Φραγγοφ. ἐκδόσ.

Σημ. 300. Κικλήσκω Διόνυσον, ἐρίβρομον εὐαστῆρα,
Πρωτογόνον, διφυῆ, τρίγονον, Βακχεῖον ἄνακτα,
Ἄγριον, ἄῤῥητον, κρύφιον, δικέρωτα, δίμορφον.

Ταῦτα ὁ Ὀρφεὺς ἐν τῷ εἰς τὸν Διόνυσον ὕμνω. Ἐν τῷ δικέρωτι δὲ, ὡς ἔοικεν, ὁ Βολτέρος εὗρε τὰς δύω τοῦ Μωϋσέως ἀκτίνας, μηδὲ τοῦτο εἰδὼς ὁ τάλας, ἀμέλειτοι τὸ, ὅτι ἀκτίνας τῷ Μωϋσῇ ἡ θεία Γραφὴ οὐ προσάπτει, ἀλλ' ἤτοι ἀμαθῶς, ἤτοι ἐμπαθῶς τοῖς ζωγράφοις πεισθεὶς, τοῖς ἐπὶ τῆς κεφαλῆς τῆς εἰκόνος τοῦ Μωϋσέως ἀκτίνας γράφουσιν εἰς ἔνδειξιν τῆς δόξης τοῦ προσώπου τοῦ Μωϋσέως, περὶ ἧς λαλεῖ τὸ ἱερὸν λόγιον.

Ἐξ. 34. 35.

Σημ. 301. Ὅρα τὰς ἐν τῇ Ἑλληνικῇ Σειρᾷ εἰς τὴν ὀκτάτευχον ἑρμηνείας εἰς τὸ 4. ἐδ. τοῦ 32. κεφ. τῆς Ἐξόδου.

Σημ. 302. Ἐπιστολαί τινες εἰς ἀπάντησιν ὧν κατὰ τῆς παλαιᾶς Διαθήκης ὁ Βολτέρος ἔγραψεν, ὡς ὑπὸ Λουσιτανῶν τινῶν, καὶ Γερμανῶν, καὶ Λέχων Ἰουδαίων, καὶ τοῦ ἀσηκρίτου αὐτῶν συγγραφεῖσαι, γαλλιστὶ ἐξεδόθησαν ἐν τρισὶ τεύχεσιν ὀγδόου μεγέθους. ἱκανῶς δὲ καὶ διὰ τούτων ἡ ἀμάθεια, καὶ ἡ ἀπάτη, καὶ ἡ παραλογία τοῦ Βολτέρου ἐξελέγχεται, καὶ ἡ τῆς Γραφῆς ἀλήθεια ἀνακηρύττεται. τὸν ἀσηκρίτην δὲ, εἴτουν τὸν ἐξ ἀποῤῥήτων, μόνον ἐνταῦθα προτείνει ὁ συγγραφεὺς ποιητὴν τῆς προκειμένης ἀποκρίσεως, τῆς ἐν παραγράφῳ δευτέρῳ τῆς πέμπτης τῶν εἰρημένων ἐπιστολῶν περιεχομένης.

Σημ. 303. Οὐ χωρίστινος ἐξαιρέσεως. ἐν πολλαῖς δὲ ἐκδόσεσι τὸ, γυμνοὶ, οὐ κεῖται. ἀλλ' ἀντὶ τούτου ἐν μὲν τῇ τῶν Ο', ᾗ καὶ ὁ Θεοδοτίων συνάδει, τὸ, Διεσκέδασαι· ἐν τῇ τοῦ Ὀνκέλου τὸ, ἀργός· ἐν δὲ τῇ τοῦ Σύρου, τὸ, ἁμαρτῆσαι. ἐν δὲ τῇ τῶν Ἀράβων τὸ, ἀνακεκαλυμμένος. οὐδεμία δὲ ἀνάγκη ὑποτίθεσθαι τὸν λαὸν γυμνὸν, ἵνα δείξωμεν, ὅτι οὐκ ἦν καθωπλισμένος. ἀρκεῖ δὲ πρὸς τὴν τούτου δεῖξιν ἡ τῆς Γραφῆς σιωπὴ περὶ τοῦ ἐνόπλους εἶναι. ἀρκεῖ τὸ, διεσκέδασαι. ἀρκεῖ τὸ, τὸν Μωϋσῆν εὑρεῖν αὐτοὺς ἐσθίοντας, καὶ μεθυον-

Ἐξ. 32. 15.
Ὅρα τὰ ὑπομν. τοῦ Κελμ. τὰ εἰς τὸ 32. κεφ. τῆς Ἐξ.

Ἐξ. 32. 6.

Διονῦσος, ἢ παίζοντας. τὶς δὲ ἔνοπλος ἐφθίει, ἢ μεθύσκεται, ἢ παίζει; τὴν δὲ πυρρίχην ὄρχησιν οἱ παῖδες παίζοντες. Ἑ ἑαυτὸς ἐν τοῖς πολεμικοῖς ἔργοις γυμνάζοντες ἐχόρδυον ὡς δῆλον ἐκ τῆς ἑπομένης σημειώσεως.

Σημ. 304. „Πολεμικὴ δὲ δοκεῖ εἶναι, φησὶν ὁ Ἀθήναιος, ἡ πυρ-„ρίχη. ἔνοπλοι δὲ αὐτὴν παῖδες ὀρχοῦνται. Ὅρα βιβ. 14. Ἀθην.

Σημ. 305. Κἂν φύσει μεταγραφῆς ἀνάξια τὰ προσιθέμενα ἄπρεπα, ἄξια δ' ἐν ἐμοὶ χέσει, καθ' ὃ ἐλεγκτικὰ τῆς τῶ πατρὸς αὐτῶν παραφροσύνης. διὸ καλὸν ἢ ταῦτα μεταγράψαι· „Τῶ ὄντι, φησὶν, αὕτη ἦν, ὡς ἐδόμεν, πάσης τῆς ἀρχαιότητος ἡ γνώ-„μη, τυτέστι τὸ, ὅτι ἀποθνήσκουσιν οἱ ἄνθρωποι ἐπειδὰν ἴδωσι τὸς „Θεός. εἴπερ δὲ ἔξεστιν ἐνταῦθα τὰ βέβηλα τοῖς ἱεροῖς συνάψαι, „δυνάμεθα σημειῶσαι, ὅτι ἡ Σεμέλη ἰδοῦσα τὸν Δία ἐν πάσῃ τῇ „δόξῃ αὐτῶ, ἀπέθανε.

Μάτην κοπιᾷς, τὴν τῆς ἀρχαιότητος γνώμην, ἢ τὴν Σεμέλην προβάλλων. ἴσασι δὲ πάντες οἱ φιλομαθεῖς, ἢ σὺ αὐτὸς τυχὸν, κἂν κακεντρεχῶν τὴν ἀλήθειαν κρύπτῃς, πᾶσαν τὴν ἀρχαιότητα πολλῷ μεταγενεσέραν εἶναι τῆς Πενταβίβλου. ὅπερ δὴ ἢ ὁ τῆς βίβλου ταύτης συγγραφεὺς ἀποχρώντως ἐναπέδειξε. μόνον δὲ παρὰ τοῖς ἀμαθέσι, τοῖς ἀπερισκέπτως πειθομένοις σοι εὐδυνάθηναι δύναται ὁ σκοπός σου. τοῦτο δὲ πάντως σκοπεῖς, τὸ δεῖξαι, ὅτι ἔνια τῶν ἐν τῇ Πενταετεύχῳ μίμησίς εἰσι τῶν ἀρχαίων, ἢ κατὰ σὲ προγενεσέρων αὐτῆς μύθων.

„Ὑποτίθεσθαι δὲ δεῖ, ὁ αὐτὸς ἐπάγει, ὅτι ἐπειδὰν ὁ Μωϋ-„σῆς ἐλάλει μετὰ τῶ Θεῶ πρόσωπον πρὸς πρόσωπον, ὡς φίλος „πρὸς φίλον, ἔκειτο μεταξὺ αὐτῶν νεφέλη ὁμοία τῇ τῶς Ἑβραί-„ους ἐν τῇ ἐρήμῳ ὁδηγούσῃ. ἄλλως δὲ ἀντίφασίς ἐστιν ἀνερμήνευτος. „ἐνταῦθα δὲ ὁ Θεὸς ἐδόλως ἐπιτρέπει αὐτῷ ἰδεῖν τὸ πρόσωπον „αὐτῶ ἄνευ καλύμματος. μόνον δὲ τὰ ὀπίσθια αὐτῶ ἰδεῖν συγ-„χωρεῖ.

Ψεύδῃς ἢ ματαία ἐστὶν ἡ ὑπόθεσίς σου. δηλοῖ δὲ ἡ θεία Γρα-φὴ, ὅτι ὁ Θεὸς τῷ Μωϋσῇ ἐλάλει οὐκ ἐν νεφέλῃ μεταξὺ αὐτῶ τε ἢ τῶ Μωϋσέως κειμένῃ, ὡς σὺ ὑποθετικῶς λέγεις, ἀλλ' ἐν στύλῳ νεφέλης καταβαίνοντι, ἢ ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς, μετὰ τὸ εἰσελθεῖν ἐν αὐτῇ τὸν Μωϋσῆν, ἴσαμεν. „Ὡς δ' ἂν εἰσῆλθε „Μωϋσῆς εἰς τὴν σκηνὴν, κατέβαινεν ὁ στύλος τῆς νεφέλης, ἢ ἵ- Ἐξ. 33. 9.

σατο

„σατο ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς, καὶ ἐλάλει Μωϋσῆ. Τοῦτο δὲ θ-
„τως, οὐκ ἄλλου τινὸς ἕνεκα, ἐγίνετο, εἰμὴ ἵνα ὁ λαὸς ὁρῶν τὸν στύλον
τῆς νεφέλης ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς ἱσάμενον, εἰδέναι ἔχει, ὅτι
τότε ὁ Θεὸς τῷ Μωϋσῆ ὀπτανόμενος ἐλάλει. διὸ καίφησι, „καὶ
„ἑώρα πᾶς ὁ λαὸς τὸν στύλον τῆς νεφέλης ἑστῶτα ἐπὶ τῶν θυρῶν
„τῆς σκηνῆς. καὶ στάντες πᾶς ὁ λαὸς, προσεκύνησαν ἕκας ἀπὸ
„τῆς θύρας τῆς σκηνῆς αὐτοῦ.

Σὺ δὲ πρὸς τοῖς ἄλλοις καὶ τὴν τῶν ἀνθρωπομορφιτῶν αἵρεσιν νοσεῖν ἔοικας, πρόσωπον σωματικὸν, καὶ ὀπίσθια τῷ ἀσωμάτῳ καὶ ἀύλῳ ἐπιγράφων Θεῷ. ἐκ τούτου καὶ ἀντιφάσεις ὀνειροπολεῖς ἀνερμηνεύτους. ἐπεὶ δὲ ὁ Θεὸς πνεῦμα ὢν ἀσώματον, ἄυλον, νοερὸν, οὐδὲ πρόσωπον ἔχει, οὐδὲ ὀπίσθια, δῆλον ὅτι ταῦτα ὡσαύτως καὶ τὸ ὑπὸ σοῦ καλούμενον κάλυμμα, ἄλλοτι ἐξ ἀνάγκης σημαίνει. σημειωτέον δέ, ὅτι τὸ, πρόσωπον πρὸς πρόσωπον ἡ Βουλγάτα καὶ σὺ ἔφητε. ἡ δὲ τῶν Ἑβδομήκοντα μετάφρασις ἐνταῦθα μὲν εἶπεν τὸ ἐνώπιον ἐνωπίῳ, κατωτέρω δὲ τὸ, ὃ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου, ῥιζόθεν ἀφεῖλε σου τὴν κατὰ σὲ ἀνερμήνευτον ἀντίφασιν. Εξ. 33. 11. „τὸ γὰρ Ἐνώπιος ἐνωπίῳ οὐδὲν ἕτερον σημαίνει, εἰμὴ τὴν πρὸς τὸν Μωϋσέα τοῦ Θεοῦ ὀπτασίαν. ἐπεὶ δὲ στύλου νεφέλης ἀνωτέρω ἐμνήσθη, ἵνα μήτις νομίσῃ σκιώδη τε καὶ καταπληκτικὴν τὴν τοιαύτην ὀπτασίαν, καὶ τὴν μετὰ τοῦ Μωϋσέως τοῦ Θεοῦ ὁμιλίαν, προσέθηκε τὸ, „ὡς εἴτις λαλήσει πρὸς τὸν ἑαυτοῦ φί-
„λον. Καὶ ἐλάλησε, φησὶ, Κύριος πρὸς Μωϋσῆν ἐνώπιος ἐνωπίῳ,
„ὡς εἴτις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον. ταῦτα δὲ οὐδὲ κατάλη-
„ψιν, οὐδὲ γνῶσιν, ἀλλὰ μόνην ἐμφάνειαν καὶ ὁμιλίαν δηλοῖ.

Μετὰ δὲ ταύτην τὴν ὀπτασίαν καὶ ὁμιλίαν, πληροφορηθῆναι θέλων ὁ Μωϋσῆς περὶ τοῦ ὅτι αὐτὸς μὲν εὐάρεστός ἐστι τῷ Θεῷ. ὁ δὲ λαὸς τοῦ Ἰσραὴλ ἠγαπημένος αὐτῷ καθάπερ καὶ πρὸ τῆς μοχολατρείας, ζητεῖ τὴν τελεωτέραν τοῦ Θεοῦ κατανόησιν, εἴτουν τὸ εἰ-
Εξ. 33. 13. δέναι αὐτὴν τὴν τῆς Θεότητος φύσιν. „Εἰ οὖν εὕρηκα, φησὶ, χά-
„ριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν. γνωσῶ ἵνα ἰδῶ σε ὅπως
„ἂν ὦ εὑρηκὼς χάριν ἐνώπιόν σου, καὶ ἵνα γνῶ, ὅτι λαός σου τὸ ἔθ-
„νος τοῦτο. Λέγεις ποίαν ἐμφάνειαν νῦν ζητεῖ; τὴν τοῦ Θεοῦ κατά-
νόησιν. Γνωσῶ ἵνα ἰδῶ σε. τοῦτο δὲ αὐτὸ ἐπαναλαμβάνει, „λέγων
„Δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν, ἢ κατὰ ἄλλας ἐκδόσεις, ἐμφάνισόν
Εξ. 33. 18, 20. „μοι σεαυτόν. Διὸ δὴ καὶ ἀκούει, ὃ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου. ὃ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται. μὴ συγχωρήσας δὲ ὁ Θεὸς τὸ ἀδύνατον, ὅπερ ἐστὶ τὸ ὑπὸ ἀνθρωπίνου νοὸς κατανοηθῆναι, συγχωρεῖ τὸ δυνατὸν, τυτέστι δείκνυσι τῷ Μωϋσῇ τὰ

ὀπί-

ὀπίσω, ςήσας αὐτὸν πρότερον ἐπὶ τῆς πέτρας, καὶ θεὶς αὐτὸν ἐπὶ τὴν ὀπὴν αὐτῆς, καὶ σκεπάσας τῇ χειρὶ αὐτοῦ τὴν ὀπὴν, εἶτα καὶ ἀφελὼν αὐτήν. Ποῖα δὲ τὰ ὀπίσω; οὐχ ἅπερ σὺ λέγεις ὀπίσθια οὐδὲ τὰ ὀπίσθια, οὐδὲ ἐμπρόσθια ἔχει ὁ Θεός. ἀλλὰ τὰ μετὰ ταῦτα ἐσόμενα, τὰ μεγάλα καὶ θαυμαςὰ τῆς τοῦ Θεοῦ ἀγάπης καὶ φιλανθρωπίας ἔργα, ἡ ἔνσαρκος δηλαδὴ οἰκονομία τοῦ μονογενοῦς ἡ τοῦ αὐτοῦ, ἣν καὶ ἐξὸν τοῖς ἀνθρώποις ἰδεῖν. ὡράθη τὰ αὐτοῖς Θεὸς ἐνανθρωπήσας. διὸ ἵςησι τὸν Μωϋσῆν ἐπὶ τῆς πέτρας, σύμβολον οὔσης τοῦ Ἰησοῦ Χριςοῦ, κατὰ τὸ, ἡ δὲ πέτρα ἦν ὁ Χριςὸς, τοῦ ἀκρογωνιαίου λίθου τοῦ τὰ διεςῶτα, Θεὸν καὶ ἄνθρωπον συνάψαντος. καὶ δι' ὀπῆς δὲ ἰδεῖν κελεύει, πρῶτον κεκαλυμμένης εἶτα ἀνακαλυφθείσης, τὸ βραχὺ δηλῶν τῆς γνώσεως τοῦ ἀποῤῥήτου τῆς τῶν δύω φύσεων ἑνώσεως, καὶ τὸ κεκαλυμμένον μὲν πρότερον τῆς θείας ἐνανθρωπήσεως μυςήριον, ἀποκαλυφθὲν δὲ τότε τῷ Μωϋσῇ, ὅσον ἐνῆν αὐτῷ χωρῆσαι.

Ἐξ. 31. 21. 23. 1. Κορ. 10. 4.

Τίνος δὲ ἕνεκα, οὐ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπον αὐτοῦ, καὶ ζήσεται, κάλλιςα διερμηνεύων ὁ τῶν Νυσσαέων Γρηγόριος, φησίν. „Οὐχ ὡς αἴτιον θανάτου τοῖς ὁρῶσι γινόμενον τὸ τῆς ζωῆς πρόσω„πον, ἀλλ' ἐπειδή περ ζωοποιὸν μὲν τῇ φύσει τὸ θεῖον, ἴδιον δὲ γνώ„ρισμα τῆς θείας φύσεώς ἐςι τὸ παντὸς ὑπερκεῖσθαι γνωρίσματος. „εἰ οὖν ὑπερβαίνει τὴν γνῶσιν ἡ ζωοποιὸς φύσις, τὸ καταλαμβανό„μενον πάντως ζωὴ οὐκ ἔςιν. ὁ τοίνυν τῶν γινωσκομένων τι τὸν Θε„ὸν εἶναι οἰόμενος, ὡς παρατραπεὶς ἀπὸ τοῦ ὄντως ὄντος πρὸς „τὸ τῇ καταληπτικῇ φαντασίᾳ νομισθὲν εἶναι, ζωὴν οὐκ ἔχει.

Νύσσ. περὶ βίου Μωυσ.

„Τοιαῦτα πράγματα, προςίθησιν αὐτὸς, τοσοῦτον μακράν εἰσι „τῶν βουλευμάτων, τῶν συνηθειῶν, τῶν ἠθῶν, τῶν τὴν σήμερον „ἐπὶ τῆς γῆς κατακρατούντων, ὥςε ὡς ἐν ἑτέρῳ κόσμῳ ὑπάρχον„τας δεῖν ἑαυτοὺς λογίζεσθαι, ἐπειδὰν τοῦτο τὸ θεῖον ἀναγινώσκωμεν „πόνημα.

Ὅρα πῶς, ἄκων ὁμολογεῖ, ὅτι ἡ τῆς θείας Γραφῆς ἀνάγνωσις εἰς ἕτερον ἀνάγει ἡμᾶς κόσμον.

„Μακρὰν ἀπέχομεν, φησὶν ὁ αὐτὸς, ἀπὸ τοῦ παραβάλλειν τὰ „τοῦ Ὁμήρου ποιήματα τῇ θείᾳ Γραφῇ, κἂν ὁ Εὐςάθιος εὐτυχῶς „τοῦτο πεποίηκε. τολμῶμεν ὅμως εἰπεῖν, ὅτι παρ' Ὁμήρῳ οὐδὲ δύω „ἔργα εὑρίσκονται, ἐλαχίςην ἔχοντα τὴν ὁμοιότητα τοῖς ἐν ταῖς καθ' „ἡμᾶς ἡμέραις ὁρωμένοις. τοῦτο δέ ἐςιν ὅπερ πολύτιμα καθίςησι τὰ „τοῦ Ὁμήρου ποιήματα, ἡ παλαιὰ Διαθήκη πολυτιμοτέρα.

Τίς

Τις τὸν Ὅμηρον ἀναγνὺς, οὐκ οἶδεν, ὅτι οὐχὶ δύω, οὐδὲ τρία, ἀλλὰ πάμπολλα ἀναλαμβάνει ἄχρι τῶν καθ' ἡμᾶς ἡμερῶν ὕτω γινόμενα, ὡς αὐτὸς διηγεῖται; οὐχ ὅπερ δ' αὐτός φησι, τοῦτο πολύτιμα καθίστησι τὰ τοῦ Ὁμήρου ποιήματα, ἀλλ' ἡ ἐν αὐτοῖς πολυμάθεια, τὸ τῆς λέξεως κατάλληλον, αἱ περιγραφαὶ, ἢ βέλτιον φάναι αἱ εἰκόνες, δι' ὧν οὐκ ἀναγινώσκειν, ἀλλ' ὁρᾶν δοκεῖ σοι τὰ περιγραφόμενα, αἱ παραθέσεις, τὸ τῆς συντυχίας ἀκριβὲς, οἱ τῶν προσώπων χαρακτῆρες, καὶ ἄλλα. ἡ δὲ θεία Γραφὴ περιέχει ἀληθῶς τὰ ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις μὴ συμβαίνοντα, οἷα εἰσὶν αἱ Προφητεῖαι, τὰ τότε ἀναγκαῖα θαύματα, αἱ ὀπτασίαι, καὶ ἕνια τοῖς ἔθεσι τοῦ καιροῦ ἐκείνου ἀνήκοντα, διαλαμβάνει ὅμως καὶ περὶ πραγμάτων ἔχει τῆς σήμερον γινομένων τε καὶ ὁρωμένων. πολυτιμότερα δὲ τῆς τοῦ Ὁμήρου ποιήσεως ἃ καθ' ὃ ἦδη τε καὶ ἔδη ἰσορρεῖ τὰ νῦν μὴ ὁρώμενα, ἀλλὰ καθ' ὃ λόγος Θεοῦ ἐστὶ, καὶ βάσις τῆς ἀληθοῦς καὶ σωτηριώδους πίστεως.

Σημ. 306. Ἐν τῇ τῶν Ἑβδομήκοντα μεταφράσει, κἂν τῇ Βουλγάτῃ, ἀντὶ τοῦ, ὃ μὴ ἴδῃς, πάνυ καλῶς κεῖται τὸ, ὃ συνήσῃ ἰδεῖν. ἀδυναμία δὲ τῆς ἰδίας φύσεως, καὶ ὃ θελήσει θεία, τὸν Θεὸν ἰδεῖν τε καὶ καταλαβέσθαι ὁ ἄνθρωπος. Ἀλλ' οὐδὲ τὸ, ζῶν οὐ ταῖς ὠρημέναις κεῖται ἐκδόσεσι. περιττὸν γάρ.

Σημ. 307. Ὁ Πρόδρομος Ἰωάννης, ὁ μηδὲ ἐν πνεύματι, μηδὲ οὐ ἐκστάσει, μηδὲ οὐ νυκτερινῇ ὀπτασίᾳ, ἀλλὰ τοῖς σωματικοῖς ὀφθαλμοῖς, καὶ ἐν φυσικῇ καταστάσει, καὶ ἡμερινῇ ἐγρηγόρσει ἰδὼν τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπὶ τὸν Ἰησοῦν. ὡσαύτως καὶ οἱ θεῖοι Ἀπόστολοι, οἱ ἰδόντες τὴν δόξαν τῆς μεταμορφώσεως τοῦ Σωτῆρος, καὶ τὴν τῆς Ἀναλήψεως, καὶ τὰς πυρίνας γλώσσας, καὶ τὸν ἦχον, ἀκούσαντες καθάπερ φερομένης πνοῆς βιαίας. καὶ ὁ πρωτομάρτυς Στέφανος, ὁ ἀτενίσας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν δόξαν Θεοῦ, καὶ τὸν Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, οὐ πλεῖονος χάριτος καὶ δόξης ἀπήλαυσαν, ἢ μετέσχεν ὁ Μωϋσῆς; τοῦτο ἀπείθανον, μάλιστα δὲ ὃν ὁ Σωτὴρ εἴρηκε λόγον. „Καὶ ἴδου πλεῖον Ἰωνᾶ ὧδε. καὶ ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι.

Ματθ. 3. 6.
Λουκ. 9. 32.
Πράξ. 1. 9. 12.
Πράξ. 2. 1. 4.
Πράξ. 7. 55.
Ματθ. 12. 41.
Ἰωάνν. 10. 10.

Σημ. 308. Ἐπεὶ κατὰ τὸν Βολτέρον τὸ χρυσοῦν τάλαντον λόγον ἔχει πρὸς τὸ ἀργυροῦν, ὃν 140000 πρὸς 6000., τὸ χρυσίον ἄρα πρὸς

τὸ

τὸ ἀργύριον, κατ' αὐτὸν, λόγον ἔχει, ὃν ἔχ ὃν τὸ 23. πρὸς τὸ 1, ὡς φησιν ὁ συγγραφεὺς, ἀλλ' ὃν τὸ 23 + ⅓ πρὸς τὸ 1. ἰσέον δὲ, ὅτι ὐδὲ οἱ τῆς ἀναλογίας ὅροι καλῶς ὑπὸ τῦ συγγραφέως συνετάγησαν. ἐπεὶ γὰ προτέτακται τῦ ἀργύρυ ὁ χρυσ☉, προταχθῆναι δεῖ ἢ τὸ 23. τῦ 1, ἢ τὸ 13. τῦ 1.

Σημ. 309. Ἀκρίδας τινὲς εἶναι φασὶ τὰ τῶν ἀκροδρύων ἀκρίσματα. (ὅρα τὸν Ἀντιοχέως Βίκτ. ἐν τῇ εἰς τὸ κατὰ Μάρκ. Σειρ. ἢ τὸν Χρυσός. ἐν τῇ εἰς τὸ κατὰ Ματθ.) ἔστι δὲ ἡ βοτάνη ἀκρὶς καλυμένη, κατὰ τὸ, „ἢ ἀνθήσῃ τὸ ἀμύγδαλον, ἢ παχυνθῇ ἡ ἀκρὶς, „ἢ διασκεδασθῇ ἡ κάππαρις. Τὰ ἀκρίσματα δὲ τῶν ἀκροδρύων, ἢ τὴν βοτάνην τὴν καλυμένην ἀκρίδα, ἢ ὐχὶ τὰς ἑρπύσας ἢ πετομένας ἀκρίδας ἐσθίειν εἰκ☉ τὸν τῦ Σωτῆρ☉ Πρόδρομον, ὡς εὐσθῆν λιτοτέραν, ἢ ἁπλουστέραν, ἢ μᾶλλον καθήκυσαν τροφῇ τοιύτυ ἀνδρὸς, οἷος ἦν ὁ τῦ Κυρίυ Βαπτιστής. Ἐκκλ. 12. 5.

Σημ. 310. Ὅρα τὰς ἐν τῇ ἑλληνικῇ Ὀκτατεύχῳ περὶ τῶν καθαρῶν ἢ ἀκαθάρτων ζώων ἑρμηνείας, τὰς εἰς τὸ 11. κεφ. τῦ Λευϊτικῦ.

Σημ. 311. Οἱ Ἑβδομήκοντα ὑποδιασέλλυσι τὸν γρύπα ἀπὸ τῦ ἁλιαιέτυ, λέγοντες. Τὸν ἀετὸν, ἢ τὸν γρύπα, τὸν ἁλιαίετον. ὡσαύτως ἢ ἡΒυλγάτα, aquilam, & gryphem, & haliaeetum. ἐξ ὃ δῆλον, ὅτι ὁ γρὺψ, ὐκ ἔστιν ὁ ἁλιαίετ☉,

Σημ. 312. Φιλόσοφοι τῶν Ἰνδῶν ὗτοι, Γυμνοσοφισταὶ ὑπὸ τῶν, Ἑλλήνων καλύμενοι.

Σημ. 313. Ἐξότυ μὲν, ☾ ὑπὸ τίνων ἐν τῇ Εὐρώπῃ ἐρρέθη, ἀρχαιότατα εἶναι τὰ τῶν Σινῶν ἢ Ἰνδῶν βιβλία, πόῤῥω δὲ ἢ αὐτῆς τῆς ἀρχαιότητ☉ τῶν τῦ Μωϋσέως βιβλίων προάγεσθαι, ☾ χρονολογίαν ἀπὸ κτίσεως κόσμυ πολλαπλάσιον τῆς ἐν τοῖς βιβλίοις τῦ Μωϋσέως ἐμφαίνειν, ἐκ τῶν κατωτέρω δῆλον καθέστηκεν. ὁ δὲ τῆς ἀσεβείας πρόμαχ☉, ὁ Βολτέρος ἐν τῇ περὶ τῆς ἱσορίας Φιλοσοφίᾳ αὐτῦ σαθροῖς ἢ ὑποθετικοῖς ταῦτα ἐπιχειρήσας λόγοις, ὡς βέβαια ἐδημοσίευσε ἢ ἀναντίῤῥητα. ἐντεῦθεν τῶν ἀκυόντων, ὅτι τὰ τῶν Σινῶν ἢ Ἰνδῶν βιβλία παλαιότερά εἰσι τῶν τῦ Μωϋσέως, μηδὲν δὲ πλέον τύτυ εἰδότων, μηδὲ ἐρευνησάντων, τινὲς μὲν διαζύσι, τινὲς δὲ ἢ πλανῶνται, ἀμαθῶς ἢ ἀπερισκέπτως τύτοις πει-

θόμενοι. ἐπεὶ δὲ ὁ τῆς βίβλου ταύτης συγγραφεὺς ἐν τῷ πονήματι αὐτοῦ, τῷ περὶ τῆς ὑπεραισίσεως τῶν τῆς παλαιᾶς Διαθήκης βιβλίων, ἅ δὴ τῇ Βολτέρου περὶ τὴν ἱστορίαν φιλοσοφίᾳ ἅπαντα, τὰ περὶ τῶν βιβλίων τῶν Σινῶν ἢ Ἰνδῶν φερόμενον, ψευδῆ εἶναι ἐμφανέστατα δεικνύει, ἢ τὰς τοῦ Βολτέρου ἀντιφάσεις ἢ ψευδολογίας ὑπ' ὄψιν τιθεὶς, τὴν τῶν Μωσαϊκῶν βιβλίων ἀρχαιότητα ἀκράδαντα ἐπισηρίζει, ἀναγκαῖον ἡμῖν ἔδοξε τὰ περὶ τούτου παραθέναι. Ἐν τῷ εἰρημένῳ δὴ πονήματι, ἐν τῷ 2. ἄρθρ. τοῦ 2. κεφ. τοῦ περὶ τῶν Κίγγδς (βιβλία εἰσὶν οὕτω καλούμενα) τῶν Σινῶν, λέγει.

Ἐὰν ἡ τοῦ ἱστορικοῦ φιλοσόφου (τοῦ Βολτέρου) ἔκθεσις ἐξηκριβωμένη ὑπάρχῃ, αἱ τῶν Σινῶν Κίγγδς ἀρχαιότεραί εἰσι τῶν τοῦ Μωϋσέως βιβλίων ἔτη ἑξακόσια. „Οὐδεὶς δὲ, κατ' αὐτὸν, τῶν ἐν τῇ Σίνᾳ πεπαιδευμένων ἀμφιβάλλει περὶ τοῦ, ὅτι αἱ πέντε Κίγγδς „ἐγράφησαν ἔτη τριακόσια πρὸς ταῖς δυσὶ χιλιάσι πρὸ τοῦ χριστια„νικοῦ ἔτους. Ἀλλαχοῦ δὲ τίθησιν ὡς ἀναντίῤῥητον ἀλήθειαν τὸ, ὅτι τὰ ἐν κόσμῳ παλαιότερα χρονικὰ, εἰσὶ τὰ τῆς Σίνης. πάνυ δὲ ἀληθὲς εἶναι δεῖ τὸ λεγόμενον, ὅπως ἂν τόπον ἔχῃ ὁ ἔλεγχος, ἅ δὴ αὐτὸς ἐλέγχει τὰ ἐκλαμπρότερα τῆς Ἀκαδημίας τῶν Ἐπιγραφῶν μέλη, χλευαστικῶς ἐπερωτῶν „Εἴπερ ἁρμόζει τοῖς ἐν Παρισίῳ, πεπαιδευμένοις ἀντιλέγειν τῇ ἀρχαιότητι τοῦ τῶν Σινῶν βιβλίου, „ὅπερ ὡς κεκυρωμένον λογίζονται πάντα τὰ ἐν τῇ Σίνᾳ δικαιώματα.

Ἵνα δὴ περὶ τοῦ προβαλλομένου εὐσταθῶς κρίνωμεν, δεχόμεθα μὲν τὴν τῶν Σινῶν χρονολογίαν, ἣν ὁ εἰρημένος συγγραφεὺς δέχεται, ἐνέχομεν δὲ τὴν ἀνάκρισιν ἄχρις ἂν περὶ τῆς χρονολογίας λαλήσωμεν. οὗτος δὴ ἐν μὲν τῷ 18. κεφ. ὑπάρξαι φησὶ τὴν Σινῶν αὐτοκρατορίαν, ἀπὸ τοῦ Φόχι ἄχρι τῶν καθ' ἡμᾶς ἡμερῶν, ἔτη τεσσαρας χιλιάδας, ἢ ἐπέκεινα. ἐν δὲ τῷ 52. κεφ. ἐπιγράφει τῇ ἀρχαιότητι τῶν πρώτων ἀστρονομικῶν αὐτῶν παρατηρήσεων τεσσαρας χιλιάδας ἢ ἑκατὸν πεντήκοντα ἔτη. τῷ ὄντι δὲ ἡ τῶν Σινῶν χρονολογία, ἣν μετῆλθεν ὁ πατὴρ Μαρτῖνος, (ὁρα ἐπισολ. τοῦ κεφ. Δε-Γυίγνης συνεκδοθ. ταῖς τῶν σοφ. Ἐφημερ. ἔτ. 1757. μηνὶ Δεκεμβ. Τεύχ. 1.) σημειοῖ παρατήρησιν κεκμερινῆς ἡλιοστασίας ἐν τῷ εἰκοστῷ ἕτει τοῦ Γάο, ὅπερ ἐστὶ δύω χιλιάδας ἢ τριακόσια ἢ τεσσαράκοντα ἢ ἑπτὰ ἔτη πρὸ τοῦ χριστιανικοῦ ἔτους. Ἐὰν δὴ αἱ πέντε Κίγγδς ἐγράφησαν, ὡς ἠκούσαμεν αὐτὸν ἀνωτέρω βεβαιοῦντα, δύω χιλιάδας ἢ τριακόσια ἔτη πρὸ τοῦ χριστιανικοῦ ἔτους, ἐξ ἀνάγκης ἄρα συνεγράφησαν ἐν τοῖς τοῦ Γάο ἢ Χάνι χρόνοις κατὰ τὸν ἀναλογισμὸν τῶν χρονολόγων Σινῶν, τῶν εἰς πολὺ ὕψος ἀναγόντων

Κ. 18. σ. 93. της περὶ την ιστορ. φιλοσ.

Αὐτ. κ. 52. σ. 160

τὴν

τὴν Βασιλείαν τούτων τῶν δύω Βασιλέων, τυτέςι πλέον ἢ διακόσια ἔτη πρὸ τῆς τούτων Βασιλείας κατὰ τὴν γνώμην τῦ περιφήμυ Σεματσιέννε, τῦ πατρὸς τῆς τῶν Σινῶν ἱςορίας. ὅτι δὲ, κατὰ τὸν κύριον Φρερέτον, τάττει τὴν τῦ Τάο ἢ Χάνε Βασιλείαν δύω χιλιάδας ἢ ἑκατὸν δέκα ἔτη πρὸ τῦ Ἰησῦ Χριςῦ. Ἀλλ' ἀναπετάσωμεν ταύτας τὰς περιφήμυς Κίγγδς. ἀκόσωμεν δὲ ἅμα ἢ τὰς συγγραφεῖς, τὰς λίαν χαριζομένας ταῖς τῶν Σινῶν ἀρχαιότησιν. Τόμ. 3ξ. τῆς Ἀκαδημ. τῶν Ἐπιγρ.

Ἡ Τ Κίφγδ, ἡ πρώτη τῶν βίβλων, ἃς οἱ Σῖναι κανονικὰς λογίζονδ, ἐκ τριῶν σύγκειδ μερῶν. ὧν ἀ Πίναξ, περιέχον ἑξήκονθα ἢ τέσσαρα χήματα, ἢ χαρακτῆρας, τῷ Φόχι ἀπονεμομένας. β'. Ῥήσεις. δι' ὧν ὁ Βυβάγγ, ὁ πρῶτος τῆς τρίτης δυναςείας τῶν αὐτοκρατόρων τύτυ τῦ γένες, ἢ ὁ τύτυ διάδοχος Τχέν Κόγγ ἐπεχείρησαν διερμηνεῦσαι ταῦτα τὰ χήματα. γ'. Ὑπόμνημα τῦ Κονφυκίυ εἰς τὰ τῦ Φόχι χήματα. ἢ εἰς τὰς ῥήσεις, ἢ ἑρμηνείας τῶν δύω Βασιλέων. αὕτη ἐςὶν ἡ γνώμη τῶν κρατίςων Σινῶν συγγραφέων, φησὶν ὁ πατὴρ Δὲ Ἄλδης, ἱςορικὸς λίαν ζηλωτὴς τῶν ἀρχαιοτήτων τῶν Σινῶν. ὁ Βυβάγγ ἐτελεύτησε κατὰ τὸν αὐτὸν Ἄλδην, τετρακόσια ἔτη πρὸ τῆς τῦ Κονφυκίυ γεννήσεως. ὅπερ ἐςὶν ἔτη πεντακόσια πεντήκοντα ἢ ἓν πρὸ τῆς τῦ Ἰησῦ Χριςῦ γεννήσεως. διὸ ὁ Βασιλεὺς ὅτος (ὁ Βυβάγγ) ἐβασίλευσε περίπυ χίλια ἔτη πρὸ τῦ χριςιανικῦ ἔτυς. Περιγρ. τῆς Σίνης Τ. 1. σ. 232.

Ἡ Τὲ Λίγγδ, δύτερα τῶν κανονικῶν βίβλων, περιέχει τὰ ἀξιομνημόνδυτα συμβάντα, τὰ ἀπὸ τῶν Βασιλέων Τάο ἢ Χάνε, ἃς τὸ τῶν Σινῶν γένος ὡς νομοθέτας λογίζεται, ἄχρι τέλυς τῆς τρίτης Φυλῆς. ἧς ἀρχὴ ὁ Βυβάγγ.

Ἡ Χὴ Κίγγδ, τρίτη τῶν κανονικῶν βίβλων, ἐςὶ συλλογὴ πονημάτων, συγγραφέντων ἐπὶ τῆς τρίτης φυλῆς τῶν τῆς Σίνας Αὐτοκρατόρων,

Ἡ Τχυχιὲ, τετάρτη τῶν κανονικῶν βίβλων, ἐκ ἄρχεται ἐμὴ ἀπὸ τῦ τετρακοσῦ ἐννάτυ ἔτυς τῦ Αὐτοκράτορος Πυβάγγ, ὅσις ἦν τρίτος ἐκ τῆς φυλῆς τῶν Τχέν. αὕτη συνεσκευάσθη μὲν ἐπὶ Κονφυκίυ, ἃ συνετάγη δὲ τῷ ἀριθμῷ τῶν Κίγγδς, εἰμὴ ἐπὶ τῆς φυλῆς τῶν Χάν.

Τελευταῖον ἡ Λίζι, ἡ τῶν κανονικῶν βίβλων ἑκάτη, ὑπόμνημά ἐςι νόμων ἢ τελετῶν τῦ πολιτικῦ βίυ. περιέχει δὲ δέκα βιβλία. ὑπὸ Κονφυκίυ ἐκ διαφόρων ἀρχαίων φιλοπονημάτων συνερανισθέντα. πιςεύεται δὲ, ὅτι ὁ πρῶτος συγγραφεὺς αὐτῆς ἐςὶν ὁ τῦ Αὐτοκράτορος Βυβάγγ ἀδελφός.

Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὴν ἀρχαιότητα, τὴν ὑπὸ τοῦ ἱστορικοῦ φιλοσόφου τοσοῦτον ἀποφαντικῶς ταύταις ταῖς πέντε βίβλοις ἀπονεμομένην. Πῶς; ἐν τούτοις τοῖς συγγράμμασιν. ἅτινα ἐξαιρουμένου ἑνὸς πίνακος ἑξηκονταὲξ (ἴσως ἑξηκοντατέσταρας, ὡς ἀνωτέρω γέγραπται) χαρακτῆρας περιέχοντος, πάντα συνεγράφησαν ἢ ὑπὸ τοῦ Αὐτοκράτορος Βουβὰγγ τοῦ ἀκμάσαντος ἔτη χίλια, πρὸ τοῦ χριστιανικοῦ ἔτους, ἢ ὑπὸ τοῦ ἀδελφοῦ τοῦ Βουβὰγγ, ἢ ἐπὶ τῆς Βασιλείας τῶν διαδόχων αὐτῶν. „οὐδέν ἐστιν ὅπερ οὐκ ἐγράφη δύω χιλιάδας „καὶ τριακόσια ἔτη πρὸ τοῦ χριστιανικοῦ ἔτους; Πῶς; τὰ βιβλία τὰ περιέχοντα τὰ ἀξιόλογα συμβάντα, τὰ ἀπὸ τῶν Βασιλειῶν τοῦ Ὑάο καὶ Χούνου ἄχρι τοῦ τέλους τῆς τρίτης φυλῆς τῶν τῆς Σίνης Αὐτοκρατόρων, τῆς ἀπὸ τοῦ Βουβὰγγ ἀρξαμένης. τὰ βιβλία, φημὶ, τὰ μνημονεύοντα τῶν ἐσχάτων Βασιλέων τῆς ἐκ τοῦ Τχέου φυλῆς. συνεγράφησαν ἐπὶ Ὑάο, καὶ Χούνου, ἢ ἐν ἀρχαιοτέροις αἰῶσι τοῦ τῶν δύω τούτων Βασιλέων αἰῶνος; ἔστι δὲ τοῦτο ἀναντίρρητον; „οὐδεὶς δὲ „τῶν πεπαιδευμένων Σινῶν περὶ τούτου ἀμφιβάλλει; ἔστι δὲ τὸ ἀντι„λέγειν ἔλλειψις τοῦ καθήκοντος, καὶ τῆς ὀφειλομένης εὐλαβείας „τοῖς τῶν Σινῶν δικαστηρίοις; ὅτε ὁ Ἀββὰ Βάσιν ἔγραφεν, ἐσυλλογίζετο ἆρά γε τὰ παράδοξα ταῦτα; οὐκ ἔδει ἆρά γε τὸν τούτου ἀνεψιὸν ἐπικρύψαι ταῦτα χάριν τῆς τοῦ θείου αὐτοῦ τιμῆς; ἠδυνήθη δὲ αὐτὸς τὴν συστολὴν καὶ εὐλάβειαν, καὶ τὰ καθήκοντα φυλάττων κοινολογῆσαι ταῦτα, καὶ ταῖς ἐστεμμέναις προσενεγκεῖν κορυφαῖς, εἴτουν τῇ πασῶν τῶν Ῥωσσιῶν Αὐτοκράτορι *);

Περιγρ. τῆς Σίν. Τ. 2. σ. 309.

Ὁ πατὴρ Δοὺ Ἅλδης παρετήρησέ τι ἐν τῇ Λίξι, τῇ πέμπτῃ τῶν κανονικῶν βιβλίων τῶν Σινῶν, ὅπερ ἐφαρμοσθῆναι δεῖ πάσαις, πλὴν τυχὸν τῆς Υ Κίγγθ, ταῖς λοιπαῖς, ἐξόχως τοῖς ἱστορικοῖς βιβλίοις. ὁ τοῦ Τσιντχιχοὰνγ κυρίως καθ' αὐτὸ ἐξαλεῖψαι ἠθέ-

*) Τὸ περὶ τὴν ἱστορίαν τῆς φιλοσοφίας τοῦ Βολτέρου πόνημα, τὸ ψευδεπιγεγραμμένον τῷ τοῦ Ἀββὰ Βάζιν ὀνόματι, ἐν ἔτη 1765. ὁ τούτου τάχα ἀνεψιὸς τολμήσας ἀνέθετο τῇ εὐσεβεστάτῃ πάσης Ῥωσσίας Αὐτοκράτορι, ἐπιγράψας τάδε! Τῇ ὑψηλοτάτῃ, καὶ τρισαυγούστῃ Πρίγκιπι ΑΙΚΑΤΕΡΙΝΗ ΔΕΥΤΕΡΑ Αὐτοκράτορι πασῶν τῶν Ῥωσσιῶν, ὑπερασπιστῇ τῶν τεχνῶν, καὶ ἐπιστημῶν ἀξία διὰ τὸ πνεῦμα αὐτῆς ἐπικρίνειν τὰ ἀρχαῖα ἔθνη, καθάπερ ἀξία ἐστὶ καὶ τὸ ἴδιον διοικεῖν, βαθείᾳ ταπεινώσει ὁ τοῦ συγγραφέως ἀνεψιὸς ἀνατίθησιν. ἔλαβε δὲ πάντως τὴν καθήκουσαν ὑποδοχὴν ἡ ἀνάθεσις.

θέλησε τὴν μνήμην τῶν καλῶν ἔργων τῶν ἑαυτῦ προκατόχων. „ἐπειδὴ, φησὶν ὁ Δὲ Ἄλδης, τριακόσια ἔτη μετὰ τὴν συλλογὴν „ταύτην, τὴν ὑπὸ τῦ Κονφουκίυ γενομένην, ἐπιταγῇ τῦ Αὐτοκρά„τορος Τσιντχιοάνγ πάντα ἐνεπρήσθησαν τὰ ἀντίγραφα, ὐκ ἠ„δυνήθησαν δὲ ἀνακαινίσαι τὸ βιβλίον τῦτο, εἰμὴ ἐκ τῶν ἐκ τῆς „κοινῆς πυρκαϊᾶς διασωθεισῶν ὀλίγων σελίδων, ἢ ἐκ τῶν διατηρη„θέντων ἐν τῇ μνήμῃ τινῶν ὑπερῴων. ὐδεμία ἐςὶν ἀμφιβολία, „κατὰ τὴν τῶν ὑπομνηματιςῶν ἢ διερμηνευτῶν γνώμην, περὶ τῦ „ὅτι τὸ πόνημα τῦτο ἀτελὲς ἐςι, διὰ δὲ τὸ ἀβέβαιον ἢ ἐπισφα„λὲς τῆς τῶν ὑπερῴων μνήμης, ἢ διὰ τὸν πονηρὸν σκοπὸν ἐνίων „ἀνθρώπων, εἰσηνέχθησαν πολλὰ ἀλλότρια ἢ ἀπόκρυφα. Τῦτό ἐ„ςι τὸ βιβλίον, ὅπερ ἢ κατ' αὐτὸς τὸς Σίνας, μετὰ πολλῆς ἀνα„γνωςέον τῆς περισκέψεως.

Τοιαῦτά εἰσι τὰ ὑπὸ τῦ συγγραφέως τῆς περὶ τὴν ἱςορίαν φιλοσοφίας προβαλλόμενα ἡμῖν ὡς πάντων τῶν ἐν κόσμῳ ὑπομνημάτων ἀρχαιότερα, „ἐυτακτότερα, μᾶλλον περιεσατωμένα, ἢ βεβαιότερα. ἀπέδειξα δὲ, ὡς οἶμαι, ὅτι ἐξαιρυμένυ τῦ ἐν μιᾷ σελίδι περιεχομένυ πίνακος τῶν χαρακτήρων; τῶν τῷ Φοχι ἀπονεμομένων, ὐδὲν βιβλίον ἔχυσιν οἱ Σῖναι τῶν ἄχρι τῆς σήμερον σωζομένων, ὅπερ ὐκ ἔςι μεταγενέςερον τῶν τῦ Μωϋσέως τεσσαράκοντα ἢ πέντε αἰῶνας. ὁ δὲ τρόπος, δι' ὃν τὰ βιβλία ταῦτα ἀνεκαινίσθησαν μετὰ τὴν κοινὴν πυρκαϊὰν, τὴν ὑπὸ τῦ Αὐτοκράτορος Τσιντχιοάνγ ἐπιταχθεῖσαν. ἢ ἀκριβῶς ἐκτελεσθεῖσαν, ἀμφίβολον καθίςησι ἢ αὐτῶν τῶν διασωθέντων τὸ κῦρος. Καὶ ταῦτα μὲν ἐν τῷ προ„ειρημένῳ δευτέρῳ Ἄρθρῳ, ἐν δὲ τῷ τρίτῳ, τῷ περὶ τῦ Ζενδ, ἢ τῶν Βεδὰμς, τὰ ἑξῆς ὁ αὐτὸς συγγραφεὺς τῆς δὲ τῆς βίβλυ παρατίθεται.

Ἰδὲ, φησὶ, δύω βιβλία ὑπερέχοντα, κατὰ τὴν κρίσιν τῦ συγγραφέως τῆς περὶ τὴν ἱςορίαν φιλοσοφίας, τὴν ἀρχαιότητα πάντων τῶν ἑβραϊκῶν βιβλίων, μηδὲ τῶν τῦ Μωϋσέως ἐξαιρεθέντων. τάττει δὲ αὐτὰ ἐν τῇ πρώτῃ τάξει μετὰ τὰς Κίγγδς. πρῶτον ὖν ἀκόσωμεν αὐτῦ λαλῦντος περὶ τῦ Ζενδ.

„Οἱ Πάρσεις, ἢ οἱ Πέρσαι, φησὶν αὐτὸς, διϊχυρίζοντο, ὅτι ὑ„πῆρξέ ποτε ἐν αὐτοῖς πρὸ ἓξ χιλιάδων ἐτῶν ἀρχαῖός τις Ζερδὺς, „προφήτης, ὃς ις ἐδίδαξεν αὐτὸς, δικαίως εἶναι, ἢ εὐλαβεῖσθαι τὸν „Ἥλιον, ὥσπερ οἱ παλαιοὶ Χαλδαῖοι ἠυλαβῦντο τὰ Ἄστρα, ὅτε ἐ„βλεπον αὐτά. ἐγὼ λίαν προσέχω.... ἀπὸ τῦ θέλειν εἰδέναι ἀ„κριβῶς ἐν ποίῳ καιρῷ ἦλθεν ὁ δεύτερος αὐτῶν Ζερδὺς, ὁ διορ-

θώσας

„θώσας τὴν τȣ̃ Ἡλίȣ λατρείαν; ϗ διδάξας αὐτȣ̀ς μὴ λατρεύειν, „εἰμὴ τὸν Θεὸν, τὸν ποιητὴν τȣ̃ Ἡλίȣ ϗ τῶν ἀςέρων. ȣ̃τος, λέ„γȣσι, κατὰ τὸν αὐτὸν καιρὸν συνέγραψεν, ἢ ὑπεμνημάτισε τὸ „τȣ̃ Ζενδ βιβλίον, ὅπερ οἱ Πάρσεις οἱ ἐν τῇ Ἀσίᾳ τὴν σήμερον „διεσσαρμένοι, ὡς θείαν Γραφὴν αὐτῶν ἐυλαβȣ̃νται. ἐνδεχομένως „δὲ τὸ βιβλίον τȣ̃τό ἐςι τὸ ἀρχαιότερον τῶν ἐν τῷ κόσμῳ μετὰ τὰς „πέντε τῶν Σινῶν Κίγγθς. συνεγράφη δὲ τῇ παλαιᾷ ἱερᾷ τῶν „Χαλδαίων διαλέκτω. ὁ δὲ κύριος Ἴδης, ὁ ἐκδȣ̀ς ἡμῖν τὴν τȣ̃ Σάδ„δερ μετάφρασιν, ἐπορίσατο ἂν ἡμῖν ϗ τὸ τȣ̃ Ζενδ, εἴπερ, ἠδύνα„το ἐπαρκέσαι τῇ ὑπὲρ τῆς τȣ́τȣ ἀναζητήσεως δαπάνῃ. Τȣ̀λάχιςον „ἐγὼ ἕπομαι τῷ Σάδδερ, τȣτέςι τῇ τȣ̃ Ζενδ ἐπιτομῇ, ἥτις ἐςὶν ἡ „τῶν Πάρσεων κατήχησις.

Τὸ βιβλίον τȣ̃το ȣ̀δὲ εἶδεν ὁ φιλόσοφος. ȣ̀δὲ εἰπεῖν δύναται τὶς ὁ πατὴρ αὐτȣ̃, ȣ̀δὲ κατὰ τίνα καιρὸν ἔζη ὁ συγγραφεὺς, εἰς ὃν ἀπονέμεται, ȣ̀δεμίαν δὲ ȣ̀δενὸς παλαιȣ̃ προτείνει μαρτυρίαν πρὸς ὑπεράσπισιν τȣ́τȣ τȣ̃ βιβλίȣ. ὁ κύριος ὁ Φȣρμόντος, ὁ τῶν ἀδελφῶν αὐτȣ̃ πρεσβύτερος, κἂν ὑπερασπιςὴς ὑπάρχῃ τῆς τȣ̃ βιβλίȣ τȣ́τȣ ἀρχαιότητος, ὁμολογεῖ ὅμως, ὅτι ȣ̀δεὶς παλαιὸς τȣ̃ Ζενδ μνημονεύει. ὁ δὲ ἡμέτερος φιλόσοφος προβάλλει αὐτὸ ὡς ἀρχαιότερον τῶν ἐν τῷ κόσμῳ βιβλίων. μετριάζει ἐνταῦθα, ἵνα τ' ἀληθὲς εἴπω, τὴν ἀπόφανσιν αὐτȣ̃ διὰ τȣ̃ ἐνδεχομένως, ἀλλὰ τȣ̃το τὸ ἐνδεχομένως, ἐν τῷ δεκάτῳ ἑβδόμῳ κεφαλαίῳ ἐκλείπει σὺν τῇ συνεπαγομένῃ ἀμφιβολίᾳ. ὁ δὲ Σάδδερ, ὥπερ αὐτὸς ἕπεται ἐν τοῖς ἐν τῷ Ζενδ. περιεχομένοις, ἐςὶ κατὰ τὸν κύριον Φρερέτον σύγγραμμα τȣ̃ δεκάτȣ πέμπτȣ αἰῶνος τȣ̃ χριςιανικȣ̃ ἔτȣς. ἀλλὰ τȣλάχιςον νῦν ὁ φιλόσοφος γνωρίζει, ὅτι ὁ Σάδδερ ȣ̀κ ἔςιν ἄνθρωπος, ἀλλὰ βιβλίον, ἀμφιβάλλω δὲ περὶ τȣ̃ ἐαν πρότινων ἐτῶν τȣ̃το καλῶς ἠπίςατο.

Φερμ. ἐν ὑπομν. τῷ ἐν τῷ 6. Τομ. τῆς Ἀκαδ. τῶν Ἐπιγρ.

Φρερ. ἐν τῷ ὑπομν. αὐτȣ̃.

Ἀλλ' ȣ̀ διϊσχυρίζοντο οἱ Πέρσαι, ἢ οἱ Πάρσεις ὅτι ὁ παλαιὸς Ζερδȣ̀ς, ἢ Ζωροάςρης ἤκμαζεν ἔτει ἑξακισχιλιοςῷ πρὸ τῶν τȣ̃ Κύρȣ χρόνων, τȣ̃το ἀληθές. ὡσαύτως ἀληθὲς, ὅτι ὁ Μαρσαμος μηδεὶς τȣ̃τον αἰτιασάτω ὡς ὑπερβαλλόντως ζηλωτὴν τῶν ἱερῶν ἡμῶν βιβλίων. λογίζεται ὀνειρώττοντας, ϗ τῆς χρονολογίας ἀμαθεῖς τȣ̀ς τάττοντας τὸν Ζωροάςρην ἐν τοσȣ́τῳ ἀφεςηκυίᾳ ἀρχαιότητι. πάρεςι δὲ ἰδεῖν ἐν τοῖς τȣ́τȣ πονήμασι τὰς κατ' αὐτῶν ὑπ' αὐτȣ̃ προβαλλομένας μαρτυρίας. διϊσχυρίζεσθαι δὲ ȣ̀ δύναται ὁ φιλόσοφος, ὅτι τὸ Ζενδ ἐςὶ πόνημα τȣ̃ Ζωροάςρȣ. τȣ̃ ἀκμάσαντος ἔτει ἑξακισχιλιοςῷ πρὸ τȣ̃ Κύρȣ. τȣ̃το δὲ τὸ βιβλίον. τὸ, κατ' αὐτὸν μηδε-

Μαρσ. κακόν. χρον. τȣ̃ 9 Αἰγυπτ. αἰων.

νὶ κατὰ τὴν ἀρχαιότητα παραχωρῶν, εἰμὴ ταῖς τῶν Σινῶν Κίγγθς προϋπῆρξεν ἂν τετρακισχιλιοστῶ ἔτει πρὸ τῦ ἔτυς, ὅπερ αὐταῖς ἐπιγράφει, ἀνάγων αὐτὰς ἄχρι τῦ δισχιλιοστῦ τριακοσιοστῦ ἔτυς, πρὸ τῦ χριστιανικῦ. πολλῷ δὲ μᾶλλον ὐκ ἔνεστιν αὐτῷ τοπίσαι πυ ὐδὲ τὸν πρῶτον, ὐδὲ τὸν δεύτερον Ζεδρύς - ἐγνώρισε μὲν δὲ δύω ἐπὶ Νίνυ καὶ Σεμιράμιδος, ἀλλὰ τὰ ὑπὸ Διοδώρυ τῦ Σικελιώτυ καὶ Ἰυστίνυ γραφέντα περὶ αὐτῶν, καὶ τῶν πολέμων αὐτῶν κατὰ τῦ Ζωροάστρυ, ἢ κρεῖσσον Ὀξυάρτυ Βασιλέως τῆς Βακτριανῆς, ὐ μόνον τοῖς μύθοις συντάττει, ἀλλὰ πρὸς τύτοις καὶ ἐπιβεβαιοῖ, ὅτι ὁ Νῖνος καὶ ἡ Σεμίραμις ὐδέποτε ὑπῆρξαν. ὐδὲν ὖν ἕτερον αὐτῷ ὑπελείφθη, εἰμὴ τὸ τάξαι τὸν δεύτερον Ζερδὺς ἐν τοῖς χρόνοις τοῖς ἀπὸ τῆς Βασιλείας τῦ Κύρυ, ἄχρι τῦ τέλυς τῆς τῦ Δαρείυ, τῦ υἱῦ τῦ Ὑστάσσεως, ἐπὶ τῦτον δὲ τὸν καιρὸν ἀνάγυσι τὸν Ζωροάστρην ὁ Ἀνόβιος, ὁ Κλήμης ὁ Ἀλεξανδρεὺς, ὁ Ἀπυλέϊος, ὁ Πορφύριος, ὁ Ἀμμιανὸς ὁ Μαρκελλῖνος, ὁ Ἀβυλφάραγος, ὁ Ἀβυλφέδας, ὧν ὀπαδοὶ ὁ Μαρσάμος, ὁ Πριδέοξ, καὶ ὁ κύριος Φρερέτος. ἐὰν ὖν ὁ φιλόσοφος δυνηθῇ δεῖξαι, ὅτι τὸ Ζενδ, τὸ τὴν σήμερον τιμώμενον ὑπὸ τῶν λειψάνων τῶν Περσῶν, ἀληθῶς ἐστὶ πόνημα τύτυ τῦ Ζερδὺς, τότε ἀποδείξει, ὅτι τὸ βιβλίον τῦτο μεταγενέστερόν ἐστι τριῶν τεταρτημορίων τῶν συγγραμμάτων, ἐξ ὧν ὁ ἑβραϊκὸς κανὼν σύγκειται.

Εἴπωμεν ῥῆμα ἐν καὶ περὶ τῶν Ἰνδικῶν Βεδάμς. ἰδὺ τὶ περὶ τύτων διδάσκει ἡμᾶς ὁ φιλόσοφος. „Τύχη εὐτυχὴς πεπόρικε τῇ τῦ „Παρισίυ Βιβλιοθήκῃ ἓν παλαιὸν βιβλίον τῶν Βραμῶν, τῦτο δέ „ἐστι τὸ Ἐζυρβεδὰμ, ὅπερ ἐγράφη μὲν πρὸ τῆς εἰς τὰς Ἰνδίας τῦ „Ἀλεξάνδρυ ἐκστρατείας, περιέχει δὲ ἓν τυπικὸν πασῶν των ἀρ„χαίων τελετῶν τῶν Βραχμάνων, καλύμενον Κορμοβεδάμ. τῦ„το τὸ χειρόγραφον, τὸ ὑπὸ τινος Βράμυ μεταφρασθὲν, ὐκ ἔστιν „ἀληθῶς αὐτὸ τὸ τῦ Βεδὰμ, ἔστιν ὅμως ἡ ἐπανάληψις τῶν γνω„μῶν, καὶ τελετῶν, τῶν ἐν τῷ νόμῳ τῦτο περιεχομένων. εξεστιν „ὖν ἡμῖν καυχᾶσθαι ὑπὲρ τῦ, ὅτι ἔχομεν τὴν σήμερον γνῶσίν τινα „τριῶν συγγραμμάτων ἀρχαιοτέρων τῶν ἐν τῷ κόσμῳ.

Κἂν πιστεύσωμεν τοῖς ὑπ' αὐτῦ λεγομένοις περὶ τῆς ἀρχαιότητος, ἣν ἐνταῦθα ἐπιγράφει τῷ Ἐζυρβεδὰμ, τυτέστι τῷ δευτέρῳ τῶν τεσσάρων μερῶν, ἐξ ὧν τὸ Βεδὰμ σύγκειται, ὐχ ἕπεται ὅμως, τὰ Βεδὰμς ἓν εἶναι τῶν τριῶν συγγραμμάτων, τῶν ἀρχαιοτέρων τῶν ἐν τῷ κόσμῳ. πολλὰ δὲ ἔχομεν ἑλληνικὰ βιβλία τῆς τῦ Ἀλε-

ξάν-

ξάνδρω εἰς τὰς Ἰνδίας ἐκστρατείας ἀρχαιότερα. ὧδεν δὲ τῶν τῶ ἑβραϊκῶ κανόνος βιβλίων μεταγενέστερόν ἐστι τῶ Ἀλεξάνδρω.

Ὁ φιλόσοφος παρετήρησεν ἐν τῷ Βεδὰμ ἕν ἴχνος ἐπίσημον, διδάσκον τὸ, „ὅτι ὁ πρῶτος ἄνθρωπος ἦν ὁ Ἄδιμο, ἡ δὲ πρώτη „γυνὴ, ἡ Προκρίτη. Ἄδιμο σημαίνει κύριος, Προκρίτη δηλοῖ ζωὴ, „καθάπερ ἡ Εὔα παρὰ Φοίνιξι καὶ Ἑβραίοις σημαίνει ζωὴν, καὶ ὄφιν. „ἡ συμφωνία αὕτη, προσίθησιν, ἐστὶν ἀξία μεγάλης προσοχῆς.

Κατανοοῦμεν τὶ σημαίνει τοῦτο ἐν τῷ σόματι ἀνθρώπου καθισάντος τὰ Βεδὰμς ἀρχαιότερα τῆς Πενταετεύχου. τοῦτο δὲ σαφῶς δηλοῖ, ὅτι ὁ συγγραφεὺς ὁ Ἰουδαῖος μετέγραψε τὰς Ἰνδὰς συγγραφεῖς. χορηγητέον ἂν αὐτῷ ἄλλα συμφωνίας ἴχνη, δυνάμενα χρησιμεῦσαι εἰς τὸ διακρίναι τὸν ἀληθῆ συγγραφέα ἀπὸ τῶν μεταγραφέων.

Ὁ μὲν πατὴρ Καλμέτος ὁ Μισιονάριος (ὁ ὑπὸ τῆς Πάππα κήρυξ τῆς πίστεως ἀποστελλόμενος) ὁ τὰ Βεδὰμς μεταχομίσας εἰς τὴν τῶ Βασιλέως (τῶν Γάλλων) βιβλιοθήκην βεβαιοῖ, ὅτι ἀνέγνω τὸ δὲ τὸ ῥητὸν, ὅπερ ἔθος αὐτῷ ἀντιπροτείνειν τοῖς Βράμαις. „ἄλλοτε ὁ κόσμος οὐκ ὑπῆρχε, μετὰ δὲ ταῦτα ἔλαβεν ὕπαρξιν. ἡ „ψυχὴ τοῦτον πεποίηκε, καὶ διὰ τοῦτο ἐκλήθη τὸ ποίημα καλόν. Ἐπιστ. οἰκοδ. Τόμ. 24.

Ὁ δὲ πατὴρ ὁ Πόνς μαρτυρεῖ, ὅτι μεταξὺ τῶν ἄλλων ἐπικλήσεων ἀνέγνω καὶ ταύτην· „Οὐμ σαντὶχ σαντὶχ σαντὶχ ἄρι. ὅπερ δηλοῖ, ὡς μὲν Κύριος εἷς ἅγιος. Ἐπιστ. οἰκοδ. Τόμ. 16.

Εὑρίσκομεν δὲ τῇ ὑπὸ τῶ Λόρδ πεποιημένῃ ἐπιτομῇ τῶ Σάσερ, ἤ, ὡς καλεῖ αὐτὸ Ἄβραὰμ ὁ Ῥογέρος, Ἰάσρα, τετέχνη δὲ τῇ Ἰνδικῇ ἑρμηνέᾳ, ἢ παραφράσει τῶν Βεδὰμς, ταῦτα τὰ ἀξιοσημείωτα ἴχνη. „Ὁ Θεὸς μετὰ τὸ ποιῆσαι τὰ τέσσαρα στοιχεῖα, Ἐπιστ. Σάσερ ὑπὸ Λόρ. ἐν τῇ καθολίσορ Τ. 19. σ. 95.

„ἀλλήλοις συμμεμιγμένα, διὰ μεγάλης τινὸς καλάμης ἐνεφύσησεν „ἐν τοῖς ὕδασιν, ἅτινα σφαιροειδῶς ὑψωθέντα, ἐποίησαν τὸ στερέω„μα. ἐκ δὲ τῶν ὑδάτων τούτων ὑποστήματος ἐποίησε τὴν γῆν „σφαιροειδῆ, καὶ ἔθηκεν ἐν τῷ τῶ στερεώματος κέντρῳ, καὶ ἐκάλε„σεν αὐτὴν χθαμαλὸν κόσμον. μετὰ ταῦτα ἐποίησεν Ἥλιον ἕνα, καὶ „μίαν Σελήνην ἐν τῷ στερεώματι εἰς διάκρισιν τῶν χρόνων καὶ τῶν „καιρῶν. ἡ γῆ, καὶ αἱ θάλασσαι ἐξήγαγον ζῶα κατὰ τὴν αὐτῶν „ποιότητα, οἷς ὁ Θεὸς παρέχε τὴν τῶ πολλαπλασιάζεσθαι. καὶ ἀνα„γεννᾶσθαι δύναμιν. τελευταῖον ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον, „τῇ ἐπιταγῇ αὐτῶ ἐκ τῆς γῆς ἐξελθόντα. ἵνα δὲ μὴ μόνος ἦ, ἔδωκεν „αὐτῷ μίαν γυναῖκα. ὅτοι οἱ δύω σύζυγοι ἐτρέφοντο ἐκ τῶν καρ„πῶν τῆς γῆς, μηδὲν τῶν ἐμψύχων ποιημάτων διαφθείροντες.

„ἐς

„εἷς τῶν ᾑῶν αὐτῶν εἰσηκούσθη ἐπὶ συνθήκῃ τοῦ ἐγεῖραι Παγόδας, „(εἰδωλικὰ τεμένη) καὶ λατρεύειν τὰς εἰκόνας ἐν τοῖς πρασίνοις δρυ„μῶσι. τὰ κακὰ τῶν πατέρων παραδείγματα τοσοῦτον διέφθειραν „τοὺς τούτων ἀπογόνους, ὥστε τὸν Θεὸν παροργισθέντα, καλύψαι μὲν „τοὺς οὐρανοὺς σκότει, ἐκπέμψαι δὲ ἐκ τῶν πόλων βροντὰς καὶ ἀστρα„πὰς, ἀναβιβάσαι δὲ τὰ τῆς θαλάσσης κύματα ἐπὶ τὴν τῆς γῆς ἐπι„φάνειαν, καὶ καταποντίσαι τὸ τῶν ἀνθρώπων γένος. ἵνα δὲ ὁ Θε„ὸς ἀνακαινίσῃ τὴν τῶν ἀνθρώπων φυλὴν, παρήγαγε τὸν Βρε„μὸ. καὶ δύω ἑτέρους ἀνθρώπους. οὗτοι δὲ οἱ τρεῖς, πᾶσαν τὴν γῆν λα„ῶν ἐπλήρωσαν. Τίς οὐκ ἂν γνωρίσειεν ἐν τούτοις τὴν τῆς Γενέσε„ως ἱστορίαν, ἐξαλλοιωθεῖσαν διά τινων τῆς μετεμψυχώσεως ἀσερ„μάτων, καὶ διὰ τῆς Ἰνδικῆς εἰδωλολατρείας;

Κεῖται ἐν τῷ αὐτῷ Σάστερ ἀξιοσημείωτόν τι ἐπίσης τῷ προ„λαβόντι συμβὰν τῷ Βιστνοῦ, εἴτουν τῷ ὑψίστῳ Θεῷ, βρεφοειδεῖ, Κρίστνα καλουμένῳ. ἄχρι μὲν τότε ὁ Βιστνοῦ οὐκ ἦν πεφανερωμένος τῷ κόσμῳ, εἰμὴ ἐν μέρει τῆς Θεότητος αὐτοῦ, τότε δὲ ἐπιφάνη μετὰ πάσης τῆς Θεότητος αὐτοῦ. τὸ ἴχνος τοῦτο συμφωνεῖ τῷ προτεινομένῳ ὑπὸ Ἀβραὰμ τοῦ Ῥογέρου μινήστρου (προτεστάντου ἱερέ„ως) ἐν τῇ Παλαιακάτῃ, μεμαθηκότος αὐτὰ ὑπὸ τοῦ Βραμάνου Παδμανάβα. ὁ οὖν προτεστάντης ὑπουργὸς μετὰ τὸν Βραμάνον ἐκ„τίθησι διήγησιν τῆς τοῦ Λόρδου λεπτομερεστέραν „Ὁ Χρίστνα, λέ„γει, γεννηθεὶς ἐν τῇ Ματούρᾳ. μετηνέχθη ἐν τῇ οἰκίᾳ ποιμένος „τινὸς Νάουδα τοὔνομα. τινὲς δὲ Δαβετάες, οἱ Ἄγγελοι, καί τινες „ἅγιοι. οἷς δεδήλωται ἡ ἡμέρα τῆς γεννήσεως αὐτοῦ, ἐνήστευσαν πε„ριμέοντες αὐτόν. περὶ τοῦ βρέφους τούτου ἀνηγγέλθη τῷ πατρὶ „τῆς μητρὸς αὐτοῦ Κάμψᾳ, ὅτι μέλλει προξενῆσαι αὐτῷ ἀπώλει„αν καὶ ὄλεθρον. ματαίως δὲ ὁ Κάμψας ἐπεχείρησεν ἀπολέσαι αὐ„τό. ὁ δὲ τῶν ποιμένων ἀρχηγὸς διεφύλαξεν αὐτὸ ἀπὸ τῆς σφα„γῆς. . . . Ὁ Χρίστνα μέγας γενόμενος, ἐπέστρεψεν ἐν τῇ Ματού„ρᾳ, ἀπέκτεινε τὸν Κάμψαν, ἐλύτρωσε τοὺς γονεῖς αὐτοῦ, καὶ ἐ„ποίησε πολλὰ θαύματα. . . Ἡ μεγάλη νίκη ἐστὶν ἡ ὑπ' αὐτοῦ ἀρθεῖ„σα κατὰ τοῦ Διαβόλου Νάρκας Σορα, τοῦ τὸν σύμπαντα κόσμον νι„κήσαντος. ὁ Χρίστνα ἐπέπεσεν ἐπ' αὐτὸν. καὶ ἀποκτείνας αὐτὸν, „ἐῤῥύσατο ἐξ χιλιάδας παρθένων, αἵτινες ὑπ' αὐτοῦ ἠχμαλωτίσθη„σαν, καὶ τῷ Χρίστνᾳ νυμφευθῆναι ἐπεθύμησαν. ὁ δὲ Χρίστνα Θεὸς „ὤν, καὶ ἐν ταῖς ἐννοίαις αὐτῶν ἐμφιλοχωρῶν μετὰ πασῶν νενύμ„φευται. ὅτε δὲ ὁ Χρίστνα ἀπὸ τοῦ κόσμου τούτου ἀπῆλθεν, ἐκέλευ„σε τοῖς Δεβετάαις ἐπιτελέσαι ἑορτὴν εἰς μνημόσυνον τῆς νίκης αὐ-

„τῦ, ἐπαγγελάμενο πᾶσι τοῖς τελῦσιν αὐτὴν τὴν τῶν ἁμαρτιῶν
„αὐτῶν ἄφεσιν. Ὁ αὐτὸ συγγραφεὺς, ὡσαύτως ϗ τὸ Σάςερ,
τὸ ὑπὸ τῦ Λόρδυ προβαλλόμενον, μνημονεύει Ἀνέμυ τινὸς, Ἄνε-
μόντα καλυμένυ, ὃσις ἦν ὑπηρέτης τῶν θελημάτων τῦ Βιςνῦ.

Ἰδὺ δὲ τὰ βιβλία τὰ παραδιδόμενα ἡμῖν ὡς πρωτότυπα, ϗ
ἀρχαιότερα τῶν ἐν κόσμῳ, βιβλία, ἐν οἷς μεταξὺ τῦ ἄλλυ τῶν
μύθων, τῶν ὑπ' ἐμῦ συντμηθέντων ϗ παρασιωπηθέντων, ὡς ὀχ-
ληρῶν ἐπίσης τε ϗ ἀνωφελῶν, εὑρίσκομεν τοσαῦτα ἐπίσημα ἴχνη
τῆς ἱςορίας τῆς Γενέσεως, ϗ τῦ Εὐαγγελίυ. προσέτι δ μόνον ὁρῶ-
μεν τὰ ἑλληνικὰ ὀνόματα, Χριςὸς, ϗ Ἄνεμο, δηλύμενα διὰ τῶν
Χρίςνα, ϗ Ἄνεμόντα, ἀλλὰ ϗ ἴχνη τῦ ſanctus τῶν Λατίνων ἐν
τῇ ἐπικλήσει, Ὄμ σαντὶχ σαντὶχ σαντὶχ ἅρι. τὶς δὲν δχ ὁρᾷ, ὡς
τὰ βιβλία ταῦτα, καθάπερ παρισῶσιν ἡμῖν αὐτὰ οἱ δυνάμενοι ἔ-
χειν τινὰ περὶ αὐτῶν γνῶσιν, μεταγενέςερά εἰσιν δ μόνον τῶν χρό-
νων, ἐν οἷς οἱ Ἰυδαῖοι ἐν τῇ τῶν Περσῶν Αὐτοκρατορίᾳ διασπα-
ρέντες, διεπέρασαν εἰς τὴν Ἰνδίαν, ὅπυ οἰκητήρια συνεκρότησαν, ὧν
τὰ λείψανα ἀκμὴν σώζονθ), ἀλλὰ ϗ αὐτῶν τῶν χρόνων, ἐν οἷς ἡ
τῦ Χριςῦ πίςις ἐν τοῖς τόποις τύτοις εἰσέδυ; ποῖον δν πρόσωπον
ἔχειν δεῖ τὸν ἀναγγέλοντα μὲν ὡς πρωτότυπα τοιαῦτα συγγράμ-
ματα, ἅπερ αὐτὸς μὲν δκ ἀνέγνω, τῇ δὲ Εὐρώπῃ ἐνεφανίσθησαν
ἁμάρτυρα, ϗ κύρυς ἄμοιρα. τολμῶντα δὲ ἀπορίπτειν βιβλία, τὰ
μετὰ τὴν ἔκδοσιν αὐτῶν διηνεκῶς μνημονυθέντα, ϗ μετ' δ πολὺ
εἰς τὴν Ἑλληνικὴν, Ἀραβικὴν, Κοπτικὴν, Συρικὴν, ἐνὶ λόγῳ φά-
ναι, εἰς πάσας τὰς διαλέκτυς μετενεχθέντα; ὅμως εὑρίσκονθ ἀκ-
μὴν ἄνθρωποι ὑπὸ τῆς τόλμης ταύτης πλανώμενοι, ϗ τὴν βαθέ-
αν τῦ συγγραφέως τῆς περὶ τὴν ἱςορίαν Φιλοσοφίας θαυμάζοντες
πολυμάθειαν, ϗ ὡς Χρησμὺς τὰς αὐθάδεις ϗ ἀπίςυς αὐτῦ ἀπο-
φάνσεις δεχόμενοι.

Ἐπισυναπτέον ἐνταῦθα ϗ τὰ περὶ τῆς χρονολογίας. περὶ ἧς
ὁ συγγραφεὺς τῆς δε τῆς βίβλυ ἀνωτέρω ἐπηγγέλατο λαλῆσαι.
τὰ περιεχόμενα ἐν τῷ προειρημένῳ αὐτῦ βιβλίῳ, κεφ. 7. ἄρθρ.
3. τῷ περὶ τῆς τῶν Σινῶν ἀρχαιότητο.

„Ἀναντιῤῥήτως, φησὶν ὁ ἱςορικὸ φιλόσοφο, τὰ ἀρχαιότε-
„ρα τῶν ἐν τῷ κόσμῳ χρονικὰ εἰσὶ τὰ τῆς Σίνης, ἅτινα ἔχυσιν ἀ-
„κολυθίαν ἀδιάκοπον τεσσάρων χιλιάδων ϗ πεντηκονταδίυ ἐτῶν,
„πάντα δὲ εἰσὶ περιεςατωμένα, πάντα συνέσεως πλήρη, ἄμικτα πα-
„ραδόξων, πάντα ἐρευνεισμένα ἐπὶ ἀςρονομικῶν παρατηρήσεων. τὰ
„αὐτὰ δὲ ἀναβαίνυσιν ἐπὶ ἔτι πλείονας ἀπωτέρυς αἰῶνας, ἄ-

„νοθ

„νου μὲν, εἰ τ' ἀληθὲς εἰπεῖν δεῖ, τῆς τῶν ἐκδόσεων ἀκριβείας, „μετὰ πειθανότητος δὲ τῆς τόπον βεβαιότητος ἐπεχούσης.

Οὐκ ἔδει αὐτῷ ταῦτα ὡς ἀναντίῤῥητα προβάλλειν, μὴ ἀνελόντι πρότερον τὴν ἐπ' εὐθείας ἀντικειμένην ἀπόφανσιν, τὴν πρὸ ὀλίγων ἐτῶν προτεθεῖσαν ὑπότινος τῶν ἐπιφανεστέρων μελῶν τῆς τῶν Ἐπιγραφῶν Ἀκαδημίας ἐν τῇ ἐπιστολῇ τῇ πρὸς τοὺς συγγραφεῖς τῆς περὶ τῶν σοφῶν Ἐφημερίδος. „Οἱ πρῶτοι περιηγη„ταὶ, φησὶν αὐτὸς, ἐξέστησαν εὑρόντες ἐν τοῖς πέρασι τῆς Ἀνα„τολῆς γένος τοσοῦτον εὔτακτον, ὅσον ἐστὶ τὸ τῶν Σινῶν. θάμβει„τε περιεχέθησαν, ὁρῶντες τὰ τούτων χρονικὰ ἀνιόντα ἄχρι τῶν „πλησιεστέρων ἐτῶν τοῦ Κατακλυσμοῦ, ἅμα δὲ καταπλαγέντες καὶ „ταῖς ἐπιμελείαις καὶ προφυλακαῖς, ἃς οἱ Σῖναι μετέρχονται διὰ τὴν „τοῦ μεγάλου τούτου πονήματος σύνθεσιν, ἐλογίσθησαν τὴν μὲν ἱστο„ρίαν αὐτῶν ὡς μᾶλλον κεκυρωμένην, καὶ πλείονα πάσης ἄλλης ἔ„χουσαν τὴν ἀκολουθίαν, τὴν δὲ τούτων χρονολογίαν ἀνέγκλητον. „ἑπομένως καταλιπόντες τὴν τοῦ ἑβραϊκοῦ ὕφους χρονολογίαν ὡς λίαν „σύντομον, προσέδραμον ἐπὶ τὴν τῶν Ἑβδομήκοντα, ἢ ἐπὶ τὴν τοῦ „Σαμαρειτικοῦ ὕφους, τὴν ἐπὶ πλεῖον παρατεταμένην. ταύτην τὴν „προκατάληψιν, εἰς τὴν Εὐρώπην μετενεχθεῖσαν πολλοὶ προσεδέχ„θησαν συγγραφεῖς, οἵτινες τῇ τῶν Σινῶν χρονολογίᾳ χαριζόμε„νοι, ἐφορμῆσαι ἠθέλησαν κατὰ τῆς ἐν τῇ θείᾳ Γραφῇ. τοιοῦτοι „ὑπῆρξαν οἱ τοῦ ἐνθουσιασμοῦ καρποὶ. ἔκριναν περὶ τῆς παλαιᾶς „τῶν Σινῶν Αὐτοκρατορίας ἐκ τῶν ἐν αὐτῇ τὴν σήμερον ὁρωμένων. „..... Ἀλλ' ἡ ἱστορία αὕτη, ἡ τοσοῦτον θαυμαζομένη οὐκ ἔστι λεπ„τομερὴς, εἰμὴ διακόσια ἔτη πρὸ τοῦ Ἰησοῦ Χριστοῦ. πρὸ δὲ τοῦ τρια„κοσιοστοῦ ἔτους κατάξηρός ἐστι, μηδὲν ἕτερον, ἵν' οὕτως εἴπω, περιέ„χουσα, εἰμὴ τὴν τῶν Βασιλέων διαδοχήν. ἀλλὰ καὶ ταύτης τῆς „χρονολογικῆς συντομίας κειμένης. ἀξία ἦν πλείονος προσοχῆς, ἐ„ὰν βεβαία ἦν ἡ τῶν Βασιλειῶν διάρκεια. Ἀλλ' ὁρῶν τοὺς Σίνας ἀ„διαλείπτως μεταξὺ αὐτῶν οὕτω μεμερισμένους, ὥστε, ἐὰν μὲν τού„τοις ἔπωμαι, Βασιλεύς τις ἐβασίλευσεν ἔτη δεκατρία, ἐὰν δ' ἐκεί„νοις ἑπτά. ἄλλον δέ τινα λέγοντα δεκαοκτὼ, ἢ πεντηκονταοκτὼ, καὶ „ἄλλον δεκαεννέα, ἢ ἑπτὰ, καὶ ἄλλον εἰκοσιπέντε, ἢ ἕξ, κατὰ τοὺς „διαφόρους συγγραφεῖς, κτ..... Ὁρῶν δύω Βασιλεῖς ἐκ τοῦ αὐτοῦ „καταγομένους προγόνου, τὸν μὲν ἐν τῇ δεκάτῃ τρίτῃ, τὸν δὲ ἐν τῇ „δεκάτῃ ἕκτῃ γενεᾷ, τὸν ἕτερον δὲ τοῦ ἑτέρου ἀφιστάμενον ἔτη περί „που ἑξακόσια. Ὁρῶν τὸν Χοῦν, τὸν ἐκ τοῦ Τχουενίο καταγόμενον „ἐν τῇ ἕκτῃ γενεᾷ, βασιλεύοντα πρὸ τοῦ Ὑοῦ, τοῦ ἐκ τοῦ αὐτοῦ Βα-

Ἐπιστ. τοῦ Γουΐγνη κειμ. ἐν τῇ περὶ τῶν σοφ. Ἐφημερ. τῇ ἐν Δεκεμβρ. μηνὶ τοῦ 1757. ἔτ.

„σιλέως καταγομένου ἐν τῇ τετάρτῃ γενεᾷ. οὐ δύναμαι, (ταῦτα ὁρῶν) „κωλύσαι ἐμαυτὸν ἀπὸ τοῦ συμπεράναι, ὅτι οὐδὲν τοσοῦτον ἀβέβαι„ον, ὅσον ἡ τοιαύτη χρονολογία..... Ματαίως ἀντιπροτείνουσί μοι „τὰς τῶν Ἐκλείψεων παρατηρήσεις, τὰς διοριζούσας, ὡς δοκεῖ, τὴν „τῶν Βασιλέων Βασιλείαν. τί γὰρ ἂν εἴποι τις περὶ συγγραφέως, „ὅστις θέλων ἐκδοῦναι τὴν σήμερον τὴν περὶ τῶν Ἀσσυρίων καὶ Περ„σῶν ἱστορίαν, ἀναλογίζεται καὶ προτείνει νῦν τὰς Ἐκλείψεις, ἃς ἔδει „συμβῆναι ἐπὶ τῆς Βασιλείας ἑκάστου Βασιλέως; οὐ διϊσχυρίζομαι, ὅτι „πᾶσαι αἱ Ἐκλείψεις καὶ παρατηρήσεις, αἱ ὑπὸ τῶν Σινῶν σημειωθεῖ„σαι, τοιουτοτρόπως συνετάγησαν. εἰσὶν ὅμως πολλαὶ, καὶ ἐξόχως „αἱ ἀρχαιότεραι, αἵτινες μετὰ τὴν ἔκβασιν ἐσημειώθησαν..... Ἡ „μὲν τῶν Σινῶν χρονολογία τίθησιν ἐν τῷ εἰκοστῷ ἔτει τοῦ Ὑάο, „εἴτουν ἐν ἔτει δισχιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ πρὸ τοῦ Ἰησοῦ Χριστοῦ, παρατήρησιν χειμερινῆς ἡλιοστασίας. ὁ δὲ κύριος Κασῖνος ἀνάγει αὐτὴν ἐν τῷ χιλιοστῷ ὀκτακοσιοστῷ δευτέρῳ ἔτει, ὅπερ συγκροτεῖ διαφορὰν πέντε περίπου αἰώνων. ἡ αὐτὴ διαφορὰ κεῖται μεταξὺ τῆς τοῦ Κασίνου, καὶ τῆς τῶν Σινῶν χρονολογίας ἐν τῇ συμπτώσει τῶν πέντε Πλανητῶν ἐν τῷ ἀστερισμῷ τοῦ Χ.

Ὁ κύριος Γουίγνης προβάλλει σοφοῦτινος ἀστρονόμου ταύτας τὰς ῥήσεις. „Τὸ Τχουντκιέου, τὸ ὑπὸ τοῦ Κονφουκίου συντεθὲν περιέχει „Ἐκλείψεις τριάκοντα ἕξ, ἀλλ' οὐκ ἀναβαίνει ἐπέκεινα τοῦ ἑπτακο„σιοστοῦ εἰκοστοῦ δευτέρου ἔτους πρὸ τοῦ Ἰησοῦ Χριστοῦ. Τὸ Χουκίνγ, τὸ „ἀρχαιότερον οὐ περιέχει, εἰμὴ συμβάντα τινὰ ἀσύνδετα καὶ ἀχρονο„λόγητα. Τὸ Τσουχὸ, οὗ τὸ κῦρος, καὶ ὑπ' αὐτῶν ἀντιλέγεται τῶν „Σινῶν, οὐδὲν ἕτερόν ἐστιν, εἰμὴ πίναξ, ἵν' οὕτως εἴπω, χρονολογι„κός. Τὸ Τχουντκιέου τοῦ Κονφουκίου ἐστὶ μικρόντι χρονικὸν λίαν ξη„ρόν. Τὸ Χιπουὲν ἐστὶ λίαν σύντομον. πάντα δὲ τὰ πονήματα ταῦτα „οὐκ εἰσὶν ἀρχαιότερα τοῦ Ἡροδότου. ὁ Σεματσιέννος ὁ τῆς τῶν Σι„νῶν ἱστορίας πατὴρ οὐ συνέγραψεν, εἰμὴ περίπου τὸ ἐννενηκοστὸν ἕβδομον ἔτος πρὸ τοῦ Ἰησοῦ Χριστοῦ. Ταῦτα προτείνας ὁ Γουίγνης, συμπεραίνει τὰ ἑξῆς· „Μετὰ ταῦτα δυνάμεθα ἄρα ἀσφαλὲς λογί„ζεσθαι θεμέλιον τὰς ἀστρονομικὰς παρατηρήσεις εἰς στήριγμα τῆς „τῶν Σινῶν ἱστορίας καὶ χρονολογίας; οὐκ ἔστιν ἄρα γε ἀπάτη τὸ βού„λεσθαι πεῖσαι, νομίζειν αὐτὴν ἱστορίαν ἀναντίρρητον, καὶ αὐτὴν μό„νην τεθεμελιωμένην ἐπὶ τὰς οὐρανίους παρατηρήσεις;

Ἠγνόει ἄρα ὁ ἡμέτερος φιλόσοφος τὸ τμῆμα τοῦτο, τὸ πρὸ δέκα ἐτῶν ἐντεθὲν ἔντινι περιοδικῷ πονήματι; περιπεφρόνηκεν ἄρα τὰς ἐν αὐτῷ περιεχομένας ἀποδείξεις; ἀγνοῶ, ἔδει ὅμως αὐτῷ

πα-

παρασιωπήσαντι ταύτας, μὴ ὡς ἀναντίῤῥητον ἀλήθειαν τὴν γνώμην αὐτοῦ προτεῖναι. ἵνα δὲ μὴ παραπλησίῳ ὑπόδικος γένωμαι ἐλέγχῳ, πολυπραγμονῆσαί με δεῖ τοὺς λόγους αὐτοῦ· ὧν πρῶτος, ὁ ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τοῦ συγγράμματος αὐτοῦ συναντώμενος, ὅστις ἐκ τῆς συμφώνου ἐξήλθη μαρτυρίας, ἣν κατ' αὐτὸν, μαρτυροῦσι περὶ τῶν τῆς Σίνης χρονικῶν οἱ ἐκ διαφόρων κομμάτων ἡμέτεροι περιηγηταὶ, Δομινικάνοι, Ἰησοῦϊται, Λουθηρανοὶ, Καλβῖνοι, καίπερ πᾶσι σύμφορον τὸ ἀλλήλοις ἀντιλέγειν. μηδενὸς δὲ ὀνομαστὶ μνημονεύων, ἐπιφέρει τάδε.

„Δῆλόν ἐστιν, ὅτι εἰσὶ πλείονα ἢ διχίλια ἔτη ἐξότου ἡ τῆς Σί- K. 18. Φιλοσ. περίτης ἱστορ.
„νας Αὐτοκρατορία συνέστη. Κατωτέρω δὲ προστίθησιν. Ἡ περὶ
„πάσης Βασιλείας τῶν Σινῶν Αὐτοκρατόρων ἱστορία, συνεγράφη
„ὑπὸ ἀνδρῶν αὐτῇ συγχρόνων. παρ' αὐτοῖς δὲ οὐδεμία διαφορὰ ἐν
„τῷ ἀριθμεῖν, οὐδὲ χρονολογίαι ἑαυταῖς ἀντιφάσκουσαι.

Ἡμεῖς ὅμως ἠκούσαμεν τὸν κύριον Γουΐγνην προτείναντα καὶ ἀποδείξαντα τὸ ἐναντίον. ἀλλ' ὁ μὲν Γουΐγνης οὐκ ἔστι περιγητὴς τῆς Σίνης. ὁ δὲ ἱστορικὸς φιλόσοφος ἀνακαλεῖται τοὺς περιηγητὰς πάντων τῶν ταγμάτων.

Ἰδοὺ δύω ἐκ τῶν λεγομένων Καθολικῶν, ὧν ὁ μὲν ἕτερος, ἵνα τ' ἀληθὲς εἴπω, οὐκ ἔστιν ἐκ τῶν μοναχῶν, ὁ δὲ ἕτερός ἐστι Δομινικάνος, ἑκάτερον δὲ ἐπαινοῦσά τις εὐφυῶν Προτεστάντων ὁμήγυρις προβάλλει. ὁ κύριος Μαϊγρότ ἐπίσκοπος τοῦ Κονὸν, λέγουσιν οἱ Ἄγγλοι συγγραφεῖς τῆς καθολικῆς ἱστορίας, λογίζεται τὴν χρονολογίαν τούτων τῶν καιρῶν, εἴτουν τοῦ διχιλιοστοῦ ἑκατοστοῦ πεντηκοστοῦ πέμπτου ἔτους πρὸ τοῦ Ἰησοῦ Χριστοῦ, ὡς πάνυ ἀβέβαιον. προστίθησι δὲ τὸ, ὅτι ὁ μαθηματικὸς Σίνης ὁ Χούϊ ἐπεσκεύασε τά τε ἔ-
„τη καὶ τὰς ἐκλείψεις κατὰ τὸ δόξαν αὐτῷ ἁρμόδιον. περὶ δὲ τούτου
„οὐδεὶς ἀμφιβάλλειν δύναται συλλογισθεὶς, ὅτι οἱ Σῖναι ἦσαν ἀμαθέ-
„στατοι Ἀστρονόμοι καὶ κατ' αὐτὸν τὸν καιρὸν, καθ' ὃν οἱ Ἰησοῦϊται
„πρὸς αὐτοὺς παρεγένοντο, πόῤῥω ἀπέχοντες τῆς ἀπαιτουμένης ἐπι-
„στήμης εἰς τὸ ἀναλογίζεσθαι τὰς Ἐκλείψεις, ὡσαύτως καὶ εἰς τὸ
„ἐκπληροῦν ἀστρονομικήν τινα παρατήρησιν. διὸ πειθανότατόν ἐστι τὸ,
„ὅτι διχίλια καὶ ἑκατὸν πεντηκονταπέντε ἔτη πρὸ τοῦ χριστιανικοῦ ἔ-
„τους ἦσαν ὡς πρὸς τοῦτο ἐν βαθυτάτῃ ἀμαθίᾳ. πιστεύομεν δὲ, ὅτι
„δυνάμεθα τοῦτο ἀποδεῖξαι διὰ τῆς σοφῆς καὶ περιέργου ἐπιστολῆς
„τοῦ κυρίου Κοστάρδου. μέλους τοῦ συνεδρίου τοῦ Βαδὰμ τῆς ἐν τῷ Ὀ-
„ξονίῳ, ἐκδοθείσης ἐν ταῖς φιλοσοφικαῖς ὑπερβάσεσι, ταῖς ἐν τοῖς
„μησὶ Μαρτίῳ, Ἀπριλλίῳ, καὶ Μαΐῳ τοῦ 1747. ἔτους.

Ἀλλ'

Ἀλλ' ὁ ἡμέτερος φιλόσοφος λέγει, ὅτι ὁ Κύριος Μαϊγρὸτ οὐδὲ κἂν μίαν λέξιν τῶν Σινῶν ἐγίνωσκεν. ὅτε εἰς τὴν Σίναν ἐπορεύθη. Τοῦτο κἀγὼ αὐτὸς ὁμολογῶ, ἀλλ' ἔμαθον ἀναμφιβόλως, πολὺν ἐκεῖ διατρίψας χρόνον. ἐπισχὼν δὲ ἀναντιῤῥήτως μὲν μᾶλλον ἢπερ ὁ ἡμέτερος φιλόσοφος, πεθανῶς δὲ τοσοῦτον ἐγίνωσκεν, ὁσον κἀγὼ οἱ ἄλλοι περίεσμεν, πρὸς οὓς ἡμᾶς ἀποτέλει.

„Ὁ πατὴρ ὁ Φυκέτος, ὁ τῆς Ἑλευθεροπόλεως ἐπίσκοπος, „προσιόντων οἱ σοφοὶ Ἄγγλοι, ἐξέθηκε πίνακα, ἐν ᾧ σημείοις τὴν „ὀπωσοῦποτε ἀξιόπιστον ἀρχὴν τῆς Ἱστορικῆς τῶν Σινῶν ἔτους τέσσα„ρας περίπου αἰῶνας πρὸ τῆς τοῦ Κυρίου ἡμῶν γεννήσεως, ἐπιβεβαι„ῶν, ὅτι ἄνευ μεγάλου ἀπάτης κινδύνου δύναταί τις νοῆσαι τὸ ῥηθὲν „τοῦ χρόνου διάσημα ἔτι ἐγγύτερον τοῦ χριστιανικοῦ ἔτους. κἀγὼ ὁμολο„γεῖ μὲν ἀληθῶς ὅτος, ὅτι τὸ τῶν Σινῶν χρέος ἐστὶ τοσοῦτον ἀρ„χαῖον, ὅσον κἀγὼ ὁ καθάκλυσμος, ἀρνεῖται ὅμως τὸ ἀξίαν εἶναι κἂν „γνώμην μικρᾶς τινος πίστεως τὴν περὶ αὐτῶν ἱστορίαν, ἀμέλητοι τὴν „πρὸ τῆς παρ' ἡμῶν σημανθείσης τοῦ χρόνου περιόδου. πρὸς τούτοις „ὁ κύριος Φυρμόντος ἐσημείωσεν, ὅτι ταύτην τὴν γνώμην δέχεται „νῦν τὸ πλεῖον τῶν Μισσιοναρίων μέρος. Ὁ τοῦ πατρὸς Φυκέτου „πίναξ ἐξεδόθη ἐν Ῥώμῃ ἔτει 1729. ἐπιγεγραμμένος οὕτω. Πί„ναξ τῆς τῶν Σινῶν χρονολογικοῖσορείας σὺν Κύκλῳ τῷ κοινῶς „καλουμένῳ Κίατ. οἱ συγγραφεῖς τῶν Κάνγμα, ἢ μεγάλων χρο„νικῶν, τῶν ὑπὲρ τὰ ἄλλα τιμωμένων βιβλία, τὰς αὐτὰς ἔχουσιν „ἰδέας. τοιαύτη δέ ἐστι ἡ μαρτυρία ἑνὸς Δομινικάνου περὶ τῶν „τῆς Σίνης χρονικῶν. ἥτις δεκτὴ ἐστὶ τοῖς Προτεσάνταις, κατ' αὐ„τοὺς δὲ ἡ τῶν πλείστων τῶν Μισσιοναρίων μέρος.

Οἱ Ἰησουῖται ταῖς ἀστρονομικαῖς παρατηρήσεσι, περὶ ὧν μετ' ὀλίγου λαλήσω, πεποιθότες, ὡς βέβαιον ἐξέλαβον, ὅτι δύο χιλιάδας ἢ ἑκατονπεντήκοντα ἔτη πρὸ τοῦ χριστιανικοῦ ἔτους ἡ Σίνα λαῶν ἐπεπλήρωτο. τοιαύτη ἐστὶν ἡ τοῦ πατρὸς Δὲ Πρεμαρὲ γνώμη, ὅτινος ὀπαδὸς ὁ πατὴρ Δὲ Ἄλδης. πόρρω δὲ ἀπέχουσιν ὅτοι ἀπὸ τοῦ βέβαιον λέγειν, ὡς ποιεῖ ὁ φιλόσοφος, ὅτι οὐχ εὑρίσκονται μεταξὺ τῶν Σινῶν οὐδὲ διάφοροι τρόποι τοῦ ἀριθμεῖν, οὐδὲ χρονολογίαι ἀλλήλαις ἀντιφάσκουσαι. ὁ δὲ πατὴρ Δὲ Ἄλδης παρετήρησεν, ὅτι κἂν τὸ πλεῖον τῶν Σινῶν μέρος λογίζηται τὸν Φόχι, τῆς μοναρχίας θεμελιωτὴν, εὑρίσκονταί τινες ὅμως μεταξὺ αὐτῶν, μὴ ἀνάγοντες αὐτὸν, εἰ μὴ ἐν τῇ τοῦ Τάο Βασιλείᾳ· κατὰ δὲ τοὺς συγγραφεῖς τοὺς ὑπὸ τοῦ αὐτοῦ Δὲ Ἄλδε μνημονευομένους, ἔδει τὸν Φόχι βασιλεύειν ὀν τῷ διακοσιοστῷ ἔτει μετὰ τὸν καθάκλυσμον κατὰ

τὴν

τὴν τῶν Ἑβδομήκοντα μετάφρασιν, εἴτουν τρεῖς χιλιάδας καὶ εἰκοσιεννέα ἔτη πρὸ τοῦ χριστιανικοῦ ἔτους, ἄλλοι δὶ οὖν ὅμως ἐπίσημοι συγγραφεῖς Σῖναι, μνημονευόμενοι ἐν τῇ χειρογράφῳ χρονολογίᾳ, τῇ ἀπὸ τοῦ Πεκὶν σταλείσῃ ὑπὸ τοῦ πατρὸς Γαουβὴλ, ἀνάγουσι τὴν ἀρχὴν τῆς τοῦ Φόχι Βασιλείας ἄχρι τοῦ τριχιλιοστοῦ τετρακοσιοστοῦ ἑξηκοστοῦ ὀγδόου ἔτους πρὸ τοῦ χριστιανικοῦ. τοιουτοτρόπως οὖν κατὰ τὰ ὑπὸ τῶν περιηγητῶν τῶν Ἰησουϊτῶν, τῶν Δομινικάνων, κτ. ἱστορούμενα, σύμφωνοι ἀλλήλοις εἰσὶν οἱ Σῖναι ἐν τῇ χρονολογίᾳ. πρῶτος, πιστεύω, ὁ ἡμέτερος φιλόσοφος ταύτην ἐπεφήμησε τὴν παράδοξον συμφωνίαν.

„Μόνοι, προστίθησιν ὁ αὐτὸς, ἐκ πάντων τῶν ἐθνῶν οὗτοι ἐ„σημείωσαν τὰ ἔτη αὐτῶν διὰ τῶν Ἐκλείψεων, διὰ τῶν συζυγι„ῶν τῶν Πλανητῶν. οἱ δὲ ἡμέτεροι Ἀστρονόμοι, οἱ τοὺς τούτων ἀ„ναλογισμοὺς πολυπραγμονήσαντες, ἐξεπλάγησαν εὑρόντες πάντας „χεδὸν ἀληθεῖς.

Ἡ τῶν πρώτων παρατηρήσεων ἔκδοσις περιέχει κατ' αὐτὸν τέσσαρας χιλιάδας καὶ ἑκατὸν πεντηκονταδύω ἔτη. ἡ δὲ τῶν Σινῶν χρονολογία, ἣν μετῆλθεν ὁ πατὴρ Μαρτῖνος, τίθησιν ἐν τῷ εἰκοστῷ πρώτῳ ἔτει τοῦ Ὑάο, ὅπερ ἐστὶν ἐν ἔτει διχιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ πρὸ τοῦ χριστιανικοῦ ἔτους, παρατήρησίν τινα. χειμερινῆς ἡλιοστασίας. ἀλλ' ἔνθεν μὲν ὁ κύριος Κασῖνος οὐκ ἀνάγει τὴν παρατήρησιν ταύτην, εἰμὴ ἐν τῷ χιλιοστῷ ὀκτακοσιοστῷ πεντηκοστῷ δευτέρῳ ἔτει πρὸ τοῦ χριστιανικοῦ. ἐκεῖθεν δὲ ὁ κύριος ὁ Φρερέτος δείκνυσι διὰ τῶν Κίγγθς, ὅτι ὁ Ὑάο καὶ ὁ Χοῦνος οὐκ ἐβασίλευσαν, εἰμὴ δύω περί που χιλιάδας καὶ ἑξηκονταεπτὰ ἔτη πρὸ τοῦ χριστιανικοῦ. διὰ δὲ τοῦ Σεματσιαννοῦ τοῦ μεγάλου τῶν Σινῶν ἱστορικοῦ, ὅτι οὗτοι ἐβασίλευον δύω περί που χιλιάδας καὶ ἑκατὸν δέκα ἔτη πρὸ τοῦ χριστιανικοῦ. Ἰδοὺ οὖν τίνι τρόπῳ δῆλόν ἐστιν, ὅτι ἡ τῶν Σινῶν „Αὐτοκρατορία πρὸ τεσσάρων χιλιάδων ἐτῶν καὶ ἐπέκεινα συνέστη, „καὶ ἐπέλαμπεν, ὅτε οἱ Χάλδαῖοι ἤρξαντο ἐκτελεῖν τὰς ἰδίας πα„ρατηρήσεις, τὰς ἐν χιλίοις ἐννεακοσίοις ἔτεσιν.

Ἐν ὑπομν. τῆς Ἀ καδ. τῶν σοφ. Τ. 8.

Ἐν ὑπομν. τῆς Ἀ καδ. τῶν Ἐ. πιγρ. Τ. 18.

Ἐπὶ τούτῳ ὅμως τῷ τοσοῦτον στερεῷ θεμελίῳ τὸν νικηφόρον [illegible] τοῦ διαλογισμὸν στηρίζων ὁ φιλόσοφος, φησί.

„Τὸ γένος, οὗ τὰ πρῶτα χρονικὰ μαρτυροῦσιν, ὅτι [illegible] „χωρον, δυνατήν τε καὶ συνέσεως πλήρη Αὐτοκρατορί[illegible] „κης πρὸ προλαβόντων αἰώνων ὁμήγυριν λαοῦ συνίστ[illegible] „οὗτος, ὁ πρὸ τεσσάρων χιλιάδων ἐτῶν καὶ ἐπέκεινα, [illegible] „νικὰ καθ' ἑκάστην γράφων. οὐκ ἔστι δ' ἄρα μωρία, [illegible]

„ὅτι

„ὅτι ἡ ἐν πάσαις ταῖς τέχναις ἄσκησις, καὶ ἡ πρᾶξις ὁ μόνον τὸ
„γράφειν, ἀλλὰ καὶ τὸ ὀρθογράφειν ἀναγκαίως ἀπαιτεῖ πλέονα
„καιρὸν τοῦ ὅπερ διήρκεσεν ἡ τῶν Σινῶν Αὐτοκρατορία, μὴ λογι-
„ζομένου τὸν καιρὸν, εἰμὴ ἀπὸ τοῦ Αὐτοκράτορος Φόχι ἄχρι τῶν
„καθ' ἡμᾶς ἡμερῶν.

Ἐὰν ὁ συλλογισμὸς οὗτος ὀρθὸς ὑπάρχῃ, μωροί εἰσιν οἱ λο-
γιζόμενοι, ὅτι ὁ Ὅμηρος, ὁ Θουκυδίδης, ὁ Ξενοφῶν, ὁ Δημοσθένης,
καὶ πάντες οἱ τῆς παλαιᾶς Ἑλλάδος συγγραφεῖς ἠπίσαντο γράφειν.
πολὺς δὲ λέγεται καιρὸς εἰς ἀναπλήρωσιν τῶν τεσσάρων χιλιάδων ἐ-
τῶν, ἀναλογιζόμενος ἀπὸ τοῦ ἐπὶ Δουκαλίωνος κατακλυσμοῦ, ἔτι δὲ καὶ
καὶ ἀπὸ τοῦ ἐπὶ Ὠγύγου, ἄχρι τῶν καιρῶν τοῦ ἑκάστου τούτων τῶν
συγγραφέων. τῷ δὲ ἡμετέρῳ φιλοσόφῳ, τῷ καταναλίσκοντι ὅλον
τὸ εἰκοσὸν τέταρτον κεφάλαιον τοῦ συγγράμματος αὐτοῦ εἰς τὸ δεῖξαι,
ὅτι οἱ μὲν Ἕλληνες εἰσὶν ἔθνος πάνυ νέον, ἢ βάρβαρον ἐπὶ
Ὠγύγου, εἴτουν διακόσια ἔτη πρὸ τῶν Ὀλυμπιάδων, οἱ δὲ διεσαρ-
μένοι Ἀθηναῖοι, λαὸν συνέσησαν διὰ τοῦ Κέκροπος, ἐξ οὗ παρε-
λαβον τὰ πρῶτα αὐτῶν μαθήματα, ὃν ἔξεστιν ἀρνηθῆναι ταύτην
τὴν συνέπειαν, ἐὰν μὴ ὁμολογήσῃ, ὅτι ψευδὴς ἐστὶν ἡ ὑπ' αὐτοῦ
προτεθεῖσα ἀρχή.

Βέβαιον ἐστὶ τὸλάχιστον τὸ, ὅτι δύω χιλιάδες καὶ ἑκατὸν πεντη-
κονταπέντε ἔτη πρὸ τοῦ χριστιανικοῦ οἱ Σῖναι παρετήρησαν τὰς Ἐκ-
λείψεις, οἱ δὲ ἀναλογισμοὶ αὐτῶν εἰσὶν ἐξηκριβωμένοι. ἐὰν τοῦτο
ἀποδειχθῇ ἀληθὲς, ὁ μὲν τῆς Βυλγάτης ἀναλογισμὸς δοξεῖ ἐλ-
λειπὴς, ἡ δὲ τῶν Σινῶν χρονολογία ὑπέρμαχος ἔσται τοῦ τῶν Ἑβ-
δομήκοντα. ἀλλ' αὐτὴ ἡ ἀκρίβεια, ἡ βασιλεύουσα ἐντισι τῶν ἀνα-
λογισμῶν, τῶν ἀπὸ τῆς Σίνης ἐλθόντων, ἐστὶν ὁ λογος, ὃν ὁ
κύριος Κασὶν ἔκρινεν αὐτὸς μετὰ τὴν ἔκβασιν κατασκοπεύσαντας. ἰδὲ πῶς αὐτὸς λαλεῖ ἐν τῷ δεκάτῳ ὀγδόῳ τόμῳ τῶν ὑπομνη-
μάτων τῆς Ἀκαδημίας τῶν ἐπιστημῶν. „Ἡ συμφωνία αὐτῆ τῶν ἀ-
„ριθμῶν χρεὸν ἄχρι τοῦ αὐτοῦ λεπτοῦ, ἡ ἐν τοῖς πίναξι τῶν Σινῶν
„μετὰ τῶν τοῦ Τύχωνος πινάκων, ἀφορμὴν ἡμῖν παρεχει τοῦ κρί-
„ναι, ὅτι οὐχ οἱ Σῖναι, ἀλλ' οἱ πατέρες οἱ Ἰησουΐται, οἱ πρὸ ἑνὸς αἰῶ-
„νος ἐν τῇ Σίνῃ διατρίβοντες, τὰς ἐν τούτοις τοῖς πίναξιν ἀναλο-
„γισμὰς πεποιήκασι. ποίαν δὲ ἔχει πιθανότητα, τὸ μὴ ἐξαχθῆ-
„ναι τούτους ἐκ τῶν τοῦ Τύχωνος πινάκων, τοσοῦτον συμφωνοῦν-
„τας αὐτοῖς; οἱ τοῦ δὲ τοῦ αἰῶνος ἡμέτεροι Ἀστρονόμοι μόλις δύ-
„νανται συμφωνῆσαι κατὰ τὸ αὐτὸ λεπτὸν, περὶ τῆς τοποθεσίας
„τῶν ἄστρων. οἴδαμεν δὲ, ὅτι μεταξὺ τοῦ καταλόγου τοῦ Τύχωνος,

„καὶ

„ἡ τῦ ὑπὸ τῦ Λανδαγράβυ τῆς Ἀτσίας γενομένυ, τῶν συγκεκρο
„τημένων ἐκ παρατηρήσεων κατὰ τὸν αὐτὸν καιρὸν ὑπὸ τῶν ἐξο-
„χωτέρων Ἀστρονόμων πεποιημένων, διαφορὰ ἐστι πολλῶν λεπτων
„διὸ ἀπέθανον ἐγὼ, τὰς τῶν Σινῶν παρατηρήσεις μηδὲν διαπαντὸς
„ἄχρι τῦ αὐτῦ λεπτῦ συμφωνεῖν ταῖς τῦ Τύχωνος. Ἀληθὲς ἄρα,
ὅτι οἱ ἡμέτεροι Ἀστρονόμοι ἐξεπλάγησαν ὁρῶντες τὴν τότων ἀκ-
ρίβειαν. ἔδει δὲ τὸν Φιλόσοφον, ἵνα πᾶσαν εἴπῃ τὴν ἀλήθειαν, προσ-
θεῖναι, ὅτι τὰς ἀναλογισμὰς τότυς ἐλογίσαντο ὐ τῶν Σινῶν, ἀλ-
λὰ τῶν Ἰησυϊτῶν πόνημα.

Ἐπιβεβαιῦσι τῦτο ἡ αὐτοὶ οἱ μᾶλλον προκατειλημμένοι πρὸς
χάριν τῆς τῶν Σινῶν ἀρχαιότητος Μισιονάριοι. ἡ αὐτὸς δὲ ὁ
Φιλόσοφος τῦτο ὁμολογεῖ. οἱ Σῖναι μακρὰν ἀπέχοντες τῆς ἐν ταῖς
ἐπιςήμαις προόδυ, ἐξόχως ἐν τῇ Ἀστρονομίᾳ, εἰσὶ τοσῦτον κακοὶ
Φυσιολόγοι, ὅσον ἤμεθα ἡμεῖς πρὸ διακοσίων ἐτῶν. ἀλλὰ πῶς ὁ
λαὸς, ὁ πρὸ τεσσάρων χιλιάδων ἐτῶν ἡ ἐπέκεινα τὰς ἄλλας ὑπερ-
βὰς τῷ λόγῳ τῆς ἀκριβείας, ὐδέποτε τῇ τῆς εὑρέσεως ἔργυ ἥψα-
το; τῦτό ἐστι τὸ ςῆναι λίαν προώρα ἐν ὁδῷ πάνυ καλῇ.

Ὁ ἱςορικὸς ἄρα Φιλόσοφος, ὁ τὴν τῆς Σίνης Αὐτοκρατορίαν
παριςῶν ἐκλάμπυσαν ἐν τοῖς ἀπὸ τῦ Φόχι μέχρι τῆς Βασιλείας τῦ
Ὑάο ἡ Χύνυ Χρόνοις, ὐδὲν ἕτερον σκοπεῖ, εἰμὴ τὸ ἀπατῆσαι τὸν
ἀναγνώςην. κρίνον ἐκ τῆς ἐξῆς ὁμιλίας, ἣν τὸ Χυκίνγ, τὸ δεύ-
τερον τῶν παρὰ τοῖς Σίναις νομιζομένων κανονικῶν βιβλίων, τίθη-
σιν ἐν τῷ ςόματι τῦ Αὐτοκράτορος Τὺ, ὕτινος ἡ Βασιλεία μετα-
γενεςέρα τῆς τῦ Ὑάο ἡ Χύνυ. τὸ δὲ Χυκίνγ παρίςησι τὸν Τὺ λέ-
γοντα· „Τὰ ὕδατα ἕως τῦ ὐρανῦ, ἵν ὕτως εἴπω, ὑψωθέντα, ὑπε-
„ρέβησαν τὰ ὑψηλότατα ὄρη. οἱ λαοὶ ἐλεεινῶς ἀπώλοντο ἐν μέσῳ
„τότυ τῦ φοβερῦ κατακλυσμῦ. ἐπιβὰς ἐπὶ τέσσαρσι διαφόροις ὑπο-
„ζυγίοις, ἠρξάμην τέμνειν ξύλα, τῇ τῶν ὀρέων σειρᾷ ἑπόμενος.
„μετὰ ταῦτα ὁ Πέη κἀγὼ ἐδιδάξαμεν τὺς ἀνθρώπυς ἐσθίειν κρέας.
„ἐπὶ πλέον δὲ ἐγὼ ἐξεκένωσα τὰς τέσσαρας μεγάλας ποταμὰς ἐν
„ταῖς τέσσαρσι θαλάσσαις, ἡ ἐξεφόρτισα τὰς ῥύακας ἐν τοῖς πο-
„μοῖς. εἶτα ὁ Χέυτσι κἀγὼ ἐδιδάξαμεν τὺς ἀνθρώπυς τὴν τῶν ἀπερ-
„μάτων Χρῆσιν, ἡ τῆς γεωργίας τὴν τέχνην. ἐγὼ δὲ μετὰ ταῦτα
„γνωςὴν αὐτοῖς πεποίηκα τὴν ἐκ τῆς ἐμπορίας ὠφέλειαν.

Ἐγγυητὴς ὐ γίνομαι περὶ τῆς ἐν τῇ διηγήσει ταύτῃ ἀληθείας,
ἐρωτῶ δὲ, δύναταί τις ἀράγε Αὐτοκρατορία ἐκλάμπειν ἄνευ γεωρ-
γίας, ἡ χλόης τῆς ὑπὲρ τῶν ποιμνίων, ἡ ἐμπορίας; ἡ ὁμιλία αὕ-
τη, ἣν τὰ κανονικὰ τῶν Σινῶν βιβλία ἐπιγράφυσι τῷ Αὐτοκράτο-

Ἐκ τῦ Παρ. Παρενθ. κ. πρὸς τὸν Διὶ Μαιρῶα Τόμ. 26.

Ἐν κ. 18. τῆς περὶ τὴν ἱςορ. Φιλος.

ει Ὑϐ, ἀποδείκνυσιν, ὅτι πρὸ αὐτῦ ταῦτα τὰ πρώτιστα μαθήματα ἦσαν ἐν τῇ Σίνῃ ἤτοι ἐς τὸ παντελὲς παρημελημένα, ἢ αὐτὸ καθ' αὑτὸ ἀγνοούμενα. σημειῶ δὲ ἐκ παρέργυ, ὅτι ἅπερ ὁ ἡμέτερος φιλόσοφος ἤνοιγε μόνον ταύτας τὰς περιφήμυς Κίγγθς, ἃς τοσοῦτον ὑψηλὰ ἐνηχεῖν πεποίηκεν, ὡς ἂν ἔλεγεν, ὅτι τὸ τῆς Σίνης κλίμα διεσώθη ἀπὸ τῆς τῶν κατακλυσμῶν μάσιγος.

Οὐκοῦν τὰ μὲν παρὰ ταῖς Σίναις ἔτη, τὰ ὡς βέβαια λογιζόμενα, ὐχ ὑποτίθενται ἀκολυθίαν διεξοδικωτέραν τῆς ἐκ τῶν ἀναλογισμῶν τῦ ἑβραϊκῦ ὕφυς ἢ τῆς Βυλγάτης· τὰ δὲ οὔτε τῇ Σίνῃ, κἂν τῇ Εὐρώπῃ νομιζόμενα ἀβέβαια, καίπερ τοῖς μύθοις μὴ συγκατηλεγμένα, ὐχ ὑπερβαίνυσι τὴν ἐκ τῆς τῶν Ἑβδομήκοντα μεταφράσεως χρονολογίαν. ὁ δὲ φιλόσοφος ἀνακηρύττων, ὅτι ὐκ ἐσέρχεται ἐς τὰ βάθη ταύτης τῆς τῶν ἀναλογισμῶν διαφορᾶς, τῶν ἐν τοῖς Ἑβραϊκοῖς, Ἑλληνικοῖς, ἢ Σαμαρειτικοῖς τεύχεσι, παραιτεῖται ἡμᾶς πάσης τῆς περὶ τύτυ πολυπραγμοσύνης. ἐπειδὴ ὅμως ἁρμόδιον αὐτῷ ἔδοξεν ἀνακαλέσαι τὸ ὑπὸ τῦ Λὐτοκράτορος Κάμι τοῖς Μισιοναρίοις προτεθὲν ζήτημα, ἔστιν τὸ, πῶς δυνατόν ἐςι, τὰ βιβλία, οἷς ὑμεῖς πιςεύετε, πολεμεῖν ἄλληλα; Καλὸν αὐτῷ δόξῃ τὸ δῦσιν ἡμᾶς ἀπαντῆσαι ῥήμασιν· Οἱ χριςιανοὶ πιςεύειν ἐπαγγέλλονται τῷ τῶν ἱερῶν συγγραφέων ὕφει, ὐχὶ δὲ ταῖς τῶν μεταγραφέων ἀλλοιώσεσί τε ἢ παραδρομαῖς. ἄχρις ὃ δὲ ἡ Ἐκκλησία ἀποφανθῇ, τίς τῶν τριῶν χρονολογιῶν προτιμητέα, τῶν ἄλλων ἀποβληθεισῶν, ἀδεμία τύτων δύναται εἶναι ἐδικὸν τῆς πίςεως ἡμῶν ἀντικείμενον.

Σημειώσαι, ὅτι ἡ τῶν ὀρθοδόξων Ἐκκλησία τὴν τῶν Ἑβδομήκοντα μετάφρασιν δεχομένη, τὴν ὃ μόνον κατὰ τὴν χρονολογίαν, ἀλλὰ ἢ κατὰ πάντα λόγον τῶν ἄλλων προτιμητέαν, ὃ χρῄζει τῆς τῦ συγγραφέως ἀπαντήσεως ἐς τὸ τῦ Κάμι ζήτημα. ἀλλὰ οἱ καλύμενοι Μισιονάριοι εἴπερ μόνῃ τῇ τῶν Ἑβδομήκοντα μεταφρασθέντα ἐχρῶντο, καὶ αὐτὴν ὡς θεῖον προέτεινον βιβλίον, ὐδὲ ὁ Κάμι προϐαλλεν ἂν τοιῦτον ζήτημα, ὐδὲ αὐτοὶ τὴν Εὐρώπην ἐτάραττον διὰ τῆς τῶν Σινῶν ψευδοαρχαιότητος. ἡ γὰρ κατὰ τὸς Ἑβδομήκοντα χρονολογία ἀρχαιοτέρα ἐςι ἢ αὐτῆς τῆς λεγομένης βεβαίας, καὶ τῆς ἀμφιβόλυ καὶ πλαςῆς τῶν Σινῶν ἰσοεικοχρονολογίας.

Εἰς τὴν Γένεσιν.

Σημ. 314. Οὐδὲ ὁ Σάγκτες Παγγῖνος, οὐδὲ ὁ Βάταβλος, οὐδὲ ἡ Βυλγάτα, προτιμητέοι εἰσὶ τῶν ἑβδομήκοντα πρεσβυτέρων τῶν Ἑβραίων, τῶν καὶ τὴν ἑλληνίδα πάνυ καλῶς ἐδόντων, καὶ κοινῇ αὐτῶν δόξῃ καὶ γνώμῃ ἐκθέντων τὸ, ἐποίησε, καὶ οὐχὶ τὸ ἔπλασε, καὶ τὸ, Κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι· καὶ οὐχὶ τὸ, ἐκ μὴ ὄντος παρήγαγε πρὸς τὸ συςῆσαι καὶ τάξαι. ὅπερ δὴ καὶ ἡ τοῦ Χριςοῦ Ἐκκλησία, καὶ οἱ τοσοῦτοι σοφοὶ καὶ ἅγιοι πατέρες ἀπ' ἀρχῆς ὅτως ἀνεγίνωσκον. ὡσαύτως δὲ ὁ τοσοῦτον τὰ ἑβραικὰ πολυπραγμονήσας Ὠριγένης. Γεν. 1. 1. & 2, 3.

Σημ. 315. Ὁ Σαγχωνιάθων παρὰ Εὐσεβίῳ περὶ τῆς τῶν Φοινίκων Θεολογίας ταῦτα φησί· „Τὴν τῶν ὅλων ἀρχὴν ὑποτίθεν) ἀέρα ζο„φώδη καὶ πνευματώδη, ἢ πνοὴν ἀέρος ζοφώδους, καὶ Χάος θολε„ρὸν ἐρεβώδες.

Σημ. 316. Ὀκτὼ λεπτὰ πρῶτα τῆς ὥρας, ἢ ὀκτὼ πρῶτα καὶ δεκατρία δεύτερα Παρέρχον) ἄχρις οὗ τὸ ἡλιακὸν φῶς, τὴν μεταξὺ Ἡλίου καὶ γῆς διάςασιν διέλθῃ. ὅρα σελ. 2. καὶ γ. τοῦ 2. Τόμ. τῶν Ἑλληνικ. τῆς φυσικ. ςοιχ.

Σημ. 317. Ἰδοὺ πῶς σοφῶς ἅμα τε καὶ θεοπρεπῶς τὴν προκειμένην λύει δυσκολίαν ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης· Ἐπεὶ δὲν, φησὶ, „τὸ πῦρ ὁμοῦ τὸ συςῆναι τὸ πᾶν, τῶν ἑτεροφυῶν ςοιχείων ἐκτο„ξευθὲν, καθάπερ τὸ βέλος ἐν τῷ ἀνωφερεῖ καὶ κάτω τῆς κατὰ „φύσιν κινήσεως τοῦ παντὸς προεξήλατο· καὶ ἴσως νοήματι τὴν αἰθη„τὴν ὑσίαν διαπεράσαν, οὐκ ἔχει προσαγαγεῖν ἐπ' εὐθείας τὴν κί„νησιν, τῆς νοητῆς κτίσεως ἀκοινωνήτως πρὸς τὴν τῶν αἰσθητῶν ἐ„πιμιξίαν ἐχούσης. αἰσθητὸν δὲ τὸ πῦρ. τοῦτο χάριν ἐν τοῖς ἄκροις „τῆς κτίσεως ὅροις τὸ πῦρ γενόμενον, ἀναγκαίως κυκλοειδῆ ποιεῖ) „τὴν κίνησιν, πρὸς μὲν τὸ πᾶν φέρεσθαι ὑπὸ τῆς ἐγκειμένης τῇ φύ„σει δυνάμεως συνελαυνόμενον, τῆς δὲ κατ' εὐθείας φορᾶς χώραν „οὐκ ἐχούσης· πᾶσα γὰρ ἡ αἰσθητὴ κτίσις ἰδίοις ὅροις περιέχε) τῷ „ἄκρῳ πέρατι τῆς αἰσθητῆς φύσεως ἐνδιοδεύει, ἐν οἷς εὐοδῆ) κινού„μενον, τῆς νοητῆς φύσεως, καθὼς φθάσαντες εἴπομεν, ὑ παρα„δεχομένης ἐν ἑαυτῇ τοῦ πυρὸς τὸν δρόμον. διὰ τοῦτο ὁ Μωϋσῆς „ἐπακολουθήσας διὰ τῆς διανοίας τῇ τοῦ πυρὸς κινήσει, μὴ τοῖς αὐ- Νύσσ. εἰς τὴν Ἑξαήμερ.

„τοῖς μέρεσιν ἐπιμεμνηκέναι φησὶ τὸ γενόμενον φῶς. ἀλλ' ἐκπε-
„σερχόμενον τὴν παχυτέραν τῶν ὄντων ὑπόστασιν, ὐ τῷ σφοδρῷ
„τῆς κινήσεως ἀντιμετάγειν διὰ τῆς περιόδου τοῖς τε ἀφωτίστοις τὸ
„φέγγος, καὶ τοῖς πεφωτισμένοις τὸν ζόφον. ἴσως δὲ κατὰ τὰ χρο-
„νικὰ διαστήματα τῆς τοιαύτης διαδοχῆς περὶ τὴν κάτω χώραν γι-
„νομένης, τὸ φωτὸς, φημὶ καὶ τὸ σκότους, πάλιν τῷ Θεῷ τὴν ὀνομα-
„τοποιΐαν ἡμέρας τε καὶ νυκτὸς ὁ Μωϋσῆς ἀνατίθησιν, ὐδὲν τῶν
„κατὰ τὸ ἀκόλουθον γεγενημένων αὐτομάτως, ἢ ἀφ' ἑτέρου τινὸς
„ἐχηκέναι τὴν ἀρχὴν ἐπιτρέπων. διὰ τοῦτο, φησὶν, ὁ Θεὸς ἐκά-
„λεσε τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. τῆς δὲ φωτι-
„στικῆς δυνάμεως ἀτρεμοῦν ἐκ φύσεως ἀδυνατούσης, ὅτε τῷ ἄνω μέ-
„ρει τοῦ κύκλου διεξῆλθε τὸ φέγγος, ἐς πρὸς τὸ ὑποκείμενον ἦν
„ἡ φορὰ, ἐξ ἀνάγκης τῇ ὑποδρομῇ τοῦ πυρὸς τὸ ὑποκείμενον ἀπε
„σκιάσθη, τῆς παχυτέρας, ὡς εἰκὸς, φύσεως τὴν αὐγὴν ἐπιπροσθύ-
„σης. τὴν δὴ τοῦ φωτὸς ὑποχώρησιν ἑσπέραν ὠνόμασε. καὶ πάλιν ἐκ-
„περιδραμόντος τοῦ πυρὸς τὸν ὑποκείμενον κύκλον, ἐς τοῖς ἄνω τὴν
„αὐγὴν ἐπαναγαγόντος, πρωΐαν τὸ γινόμενον προσηγόρευσεν, ὅτως
„ὀνομάσας τὸν ὄρθρον.

Σημ. 318. *Δύω εἰσὶν αἱ περὶ τῆς ἀρχῆς τῶν πηγῶν δόξαι. οἱ μὲν*
γὰρ ἀρχὴν αὐτῶν τίθενται τὴν βροχὴν, ἐς τὴν γῆν πίπτουσάν τε
ἐς εἰσδύουσαν, ἐς τοὺς ἐν αὐτῇ κρατῆρας ὑπερεκπληροῦσαν, ὥσε ἐπὶ
τὰ ἄνω ἀναπηδᾶν, καὶ τοὺς πηγαίους συνιζᾶν ὀχετούς. δῆξις δὲ τού-
του ἡ ἐν μέρει ἐλάττωσις, ἢ καὶ ἡ καθόλου ἔλλειψις τοῦ ἐκ τῶν πη-
γῶν ὕδατος, ἀνομβρίας παρατεινομένης. οἱ δὲ, αὐτὰ τὰ λιμναῖα
καὶ θαλάσσια ὕδατα ἰδίῳ συνωθούμενα βάρει, δι' ὑπογείων ἀοράτων
πόρων ἐν γῇ κρατῆρσιν ἐγχεόμενα, καὶ ὑπερπληθυνόμενα, καὶ ἀνα-
πηδῶντα, τὸ πρωταίτιον εἶναι φασὶ τῶν πηγῶν. ταῦτα δὲ, καὶ ὁ τὴν
βροχὴν τὰ πηγὰς συνιζᾶν πάθος τὸ ὁρᾶν τὸ πλεῖστον τοῦ ἐπὶ τὴν
γῆν πίπτοντος ὑετοῦ μέρος μὴ ἐς πολὺ εἰσδύον βάθος, ὥσε ἐς
τοὺς ἐν τῷ βάθει τῆς γῆς κρατῆρας καταντᾶν, ἀλλὰ ῥύμη φερόμε-
νον, ἐς τὰς λίμνας εἰσρέειν, καὶ τοὺς ποταμοὺς, καὶ τὰς θαλάσσας.
ἔτι δὲ καὶ πηγάς τινας ἀεννάους ἐπίσης ὕδωρ πηγαζούσας, καὶ μετὰ
τὴν ἐπὶ πλεῖστον τῆς ἀνομβρίας παράτασιν. πρὸς τούτοις δὲ καὶ τὸ
μηδεμίαν σώζεσθαι ἀναλογίαν μεταξὺ τῆς ποσότητος τοῦ ὑετίου ὕ-
δατος, τοῦ εἰς τὴν γῆν εἰσδύοντος, καὶ τῆς τοῦ ἐκ τῶν πηγῶν ἐκβλύ-
ζοντος. ἀντιλέγειν ὅμως οὐκ ἔνεστι τὸ, ἔνθεσι τόποις, ὅπου πολὺς
μὲν ὁ ὑετὸς πίπτει, ὁ πάνυ δὲ βαθεῖς οἱ ἐν τῇ γῇ κρατῆρες, συν-

τείνειν

τάνευ τὸ τῆς βροχῆς ὕδωρ τῇ τῦ πηγαίυ αὐξομειώσει. ὃ μὴν διὰ τῦτο τὴν βροχὴν εἶναι πρῶτον ἢ μόνον αἴτιον τῆς τῶν πηγῶν παραγωγῆς. ἔςιν ὃν ἡ δευτέρα δόξα τῆς πρώτης πολλῷ πεφανοτέρα, τοῖς πράγμασι σύμφωνος, ἢ τοῖς πλέοσι δεκτή. ταύτης δὲ κειμένης, πόθεν ἡ πηγὴ τότε ἀνέβαινε, βροχῆς ἀκμὴν μὴ ἀναφανείσης, δῆλον. ἦσαν γὰρ λίμναι, ἢ θάλασσαι, ὧν τὸ ὕδωρ συνωθύμενον, ἢ τὰς ἐνδομυχῶνζας ἐν γῇ κρατῆρας ἐκπληρῶν, ἀνεπήδα τε ἢ ἀνέβλυζεν, ὐκ ἀπὸ ἑνὸς τόπυ, ἀλλὰ πανταχῦ τῆς γῆς καθάπερ ἢ νῦν. διάτοι τῦτο ἡ θεία Γραφὴ ὐκ εἶπε, μία πηγὴ, ἢ ἡ πηγὴ ἐνάρθρως, ἀλλὰ πηγὴ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς, αἰνιττομένη διὰ τύτυ, ὃ μίαν, ἀλλὰ πολλὰς ἐκ γῆς πηγὰς ἀναβαινύσας. πόθεν γὰρ πηγή; ἢ δῆλον, ὅτι ἐκ τῦ πηδᾶν ἐκ γῆς. τὸ ὃν πηγὴ, ὕδωρ ἐκ γῆς πηδον σημαίνει. ἐπήδα δὲ πάντως τότε, καθάπερ ἢ νῦν ἐκ πλέοσων τόπων. διὸ ἢ ὁ Ἀκύλας τὸ, πηγὴ, ἐπιβλυγμὸς διηρμήνευσε. ἢ ἔςιν ἄρα ἡ τῆς Γραφῆς ἔννοια ἡ ἑξῆς. ἐπεὶ ὐκ ἐβρεχεν ἐπὶ τὴν γῆν, ὕδωρ ἐκ τῆς γῆς ἀναπηδὸν ἐπότιζε πᾶν τὸ πρόσωπον αὐτῆς. Κᾶν δὲ ἢ διὰ τῶν ἀτμῶν τῦ συγγραφέως ὐκ ἀφυῶς ἡ προκειμένη διερμηνεύε) δυσκολία, πάντη ὅμως ἀπέθανον ἔοικε, τὰς μὲν ἑβδομήκοντα πρεσβυτέρυς, τὴν ἑβραϊκὴν λέξιν, τὴν δηλῦσαν ἀτμὸς μετενεγκεῖν εἰς τὸ πηγή· τὸν δὲ Ἀκύλαν, εἰς τὸ ἐπιβλυγμός. ἢ αὐτὴν δὲ τὴν Βαλγάταν, εἰς τὸ fons, ὅπερ ἐςὶ πηγή. ὅρα δὲ περὶ τύτυ ἢ τὰς ἐν τῇ Ἑλληνικῇ Ὀκτατεύχῳ ἑρμηνείας.

Σημ. 319. Ταῦτα τὰ ὀνόματα ἐν μὲν τῷ Ἡσαΐᾳ κἀν τῷ τετάρτῳ τῶν Βασιλειῶν βιβλίῳ πάντα κεῖται, ἐν δὲ τῷ Ἰεζεκιὴλ μόνον τὸ τῆς Χαρράν. περὶ δὲ παραδείσυ παρ᾽ ὐδενὶ τύτων λόγος. διὸ δὴ ἓ ἄλλως πως ἐκφρασέα τὰ τῦ συγγραφέως ῥήματα, ἅπερ αὐτὸς ἐξέφρασεν, οἷον, ὅτω· Περὶ ὧν ὀνομάτων διαλαμβάνει ὁ Ἡσαΐας, καὶ ὁ Ἰεζεκιὴλ, καὶ τὸ τέταρτον τῶν Βασιλειῶν βιβλίον. πότερον δὲ ἐπιτυγχάνει ὁ συγγραφεὺς ἢ ὄ, περὶ τῆς τῦ παραδείσυ τοποθεσίας λαλῶν; ἐπικρινάτω ἕκας τῶν ἀναγινωσκόντων. ἡμῖν γὰρ δοκεῖ ἐν τοῖς ὑπ᾽ αὐτῦ λεγομένοις εἶναί τινα ἀμφίβολα, τινὰ δὲ ἢ ὑποθετικὰ, ἢ ἄδηλα.

Σημ. 320. Καὶ τὰς Χιμαίρας τῦ ἀπίσυ παρατίθεμεν. Οὗτος, φησὶν „αὐτὸς, ὁ παράδεισος, ὅτος ὁ τῆς Ἐδὲμ κηπος ἀναγκαῖος ἦν πρὸς „τροφὴν τῦ ἀνδρὸς ἢ τῆς γυναικός. Ἄλλως τε ἐν ταῖς θερμαῖς

χώραις,

„χώραις, ὅπῃ ὁ συγγραφεὺς (ὁ Μωϋσῆς) συνέγραφεν, ὁ σκιερὸς „παράδεισος ἦν μεγίστῃ εὐτυχίᾳ. Πρὸ τῆς ἐν Παλαισίνῃ τῶν πα„χυλῶν Ἰουδαίων ἐπιδρομῆς οἱ ἐν τῇ Ἀραβίᾳ τῆς Σάμης παράδει„σοι, οἱ πλησίον τῆς Ἀδὲμ, ἢ Ἐδὲμ, ἦσαν λίαν περίφημοι, οἱ „δὲ τῶν Ἐασερίδων ἐν τῇ Ἀφρικῇ πολλῷ μᾶλλον. Τὴν τῆς Βεν„γάλης Ἐπαρχίαν διὰ τε τὰ δύω αὐτῆς δένδρα, ᾗ τὴν εὐφορίαν, „προσαγορεύουσι διαπαντὸς παράδεισον κατ᾽ ἐξοχήν. ὁ δὲ μέγας Μο„γὸλ ἔτι ἄχρι τῆς σήμερον ἐν τοῖς ἰδίοις ἐπιτάγμασι καλεῖ πάντο„τε τὴν Βενγάλην ἐπίγειον παράδεισον.

„Εὑρίσκεται προσέτι κῆπος, ἐπίγειος παράδεισος, ἐν τῇ πα„λαιᾷ τῶν Περσῶν θρησκείᾳ, Σχὰνγ, Λιζὰχο καλούμενος. Ἰραν„βίγι δὲ καλεῖται ἐν τῷ Ζάδερ, ὅπερ ἐστὶν ἡ ἐπιτομὴ τῆς διδασκα„λίας τῶν παλαιῶν τούτου μέρους τοῦ κόσμου.

„Οἱ Βραχμᾶναι ἀπὸ καιρῶν ἀμνημονεύτων εἶχον ὁμοίοντινα „παράδεισον. ὁ δὲ εὐλαβέστατος πατὴρ κύριος Καλμέτος, ὁ Βε„νεδικτῖνος, ὁ ἐκ τῆς συνάξεως τοῦ ἁγίου Βάννου, ᾗ τοῦ ἁγίου Ἰσούλ„φου, λέγει ῥητῶς· Ἡμεῖς ὑδόλως ἀμφιβάλλομεν περὶ τοῦ ὅτι ὁ „τόπος, ἐν ᾧ ἐφυτεύθη ὁ ἐπίγειος παράδεισος, ἔτι ὑπάρχει.

Gen. 2. 8. Ταῦτα εἰσι τὰ εἰς τὸ, Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ, σοφὰ αὐτοῦ ὑπομνήματα μᾶλλον δὲ μυθολογήματά τε ᾗ μωρολογήματα. τί δ᾽ ἄρα βούλονται αὐτῷ ταῦτα; ἢ δῆλον, ὅτι τὸ παῖξαί τε ᾗ περιχλιάσαι τὴν ἀλήθειαν, ᾗ τὰ ἀρχαιότερα δεῖξαι τῶν νεωτέρων μίμησιν, ᾗ ὅτω τὰ τῆς ἀπιστίας ἀσέβηματα ἐν ταῖς τῶν κόφων ᾗ ἀμαθῶν ἐναυλίσαι καρδίαις, τῶν μὴ εἰδότων, ὅτι ἄλλο τῶν τοῦ Μωϋσέως βιβλίων ἀρχαιότερον ὑδέν.

Σημ. 321. Οὐχ ὅτως ἔχει τὰ τοῦ ἀποστάτου Ἰουλιανοῦ ῥήματα, ἐκεῖνος γὰρ φησι· „Τὸ δὲ ᾗ τὸν Θεὸν ἀπαγορεύειν τὴν διάγνωσιν καλεῖτε ᾗ φαύλοις τοῖς ὑπ᾽ αὐτοῦ πλασθεῖσιν ἀνθρώποις, ἆρ᾽ οὐχ ὑπερ„βολὴν ἀτοπίας ἔχει; τί δ᾽ ἂν ἠλιθιώτερον γένοιτο τοῦ μὴ δυνα„μένου διαγινώσκειν καλὸν ᾗ πονηρόν; δῆλον δὲ, ὅτι τὰ μὲν ὑ φεύ„ξεσθαι, λέγω δὲ τὰ κακὰ· τὰ δὲ ὑ μεταδιώξειν, λέγω δὲ τὰ καλά. „κεφάλαιον δὲ φρονήσεως ἀπηγόρευσεν ὁ Θεὸς ἀνθρώπῳ γεύσασθαι, „ἧς οὐδὲν ἂν εἴη τιμιώτερον ἀνθρώπῳ. ὅτι δὲ ἡ τοῦ καλοῦ ᾗ τοῦ χεί„ρονος διάγνωσις οἰκεῖόν ἐστιν ἔργον φρονήσεως, πρόδηλόν ἐστι πᾶ ᾗ „τοῖς ἀνοήτοις.

Ἰδοὺ ᾗ ἡ τοῦ ἐν ἁγίοις Κυρίλλου ἀπάντησις· „Τὸ ὁλοτρόπως ἀγ„νοεῖν, τί μέν ἐστι τὸ ἀγαθὸν, τί δὲ δὴ ᾗ τὸ ἀνάπαλιν, κτηνοπρε„πὲς

„πὲς ἂν εἴη, ἢ λίθῳ μᾶλλον ἢ ξύλῳ προσεφυκός. λογικῆς δὲ „οἶμαι ψυχῆς ἀλλότριον παντελῶς. ἡ δέγε τῆς λέξεως δύναμις, „τῆς τῦ ἐσθέναι, φημὶ, καλόν τε ἢ φαῦλον, καταμηνύσειν ἂν πα„ράγε ταῖς θεοπνεύσοις γραφαῖς ὐχὶ δήπυ πάντως τὸ ὡς ἐν ψι„λῇ ἢ μόνῃ δέχεσθαι γνώσεως τῶν πραγμάτων τὴν ἐπιςήμην, ἀλλ' „ὡς ἐν δυνάμει ἢ πείρᾳ. καθὰ, τῦ λόγυ προϊόντ@ ἡμῖν, σαφῶς„τε ἢ ἐναργῶς δεχθήσεται. Καὶ μετὰ πολλά. Οὐ γεγόνασιν οἱ „ἀγνοίᾳ καλῦτε ἢ πονηρῦ κατὰ τὸν παράδεισον οἱ πρῶτοι. λογι„κοὶ γὰρ ὄντες, τοῖς ἀνθρώποις πρέπυσαν ἀπεκληρώσαντο γνῶσιν, „ἀρτίως ἔχυσαν πρὸς πᾶν ὁτιῦν τῶν ἀναγκαίων αὐτοῖς, ἢ προσπε„φυκότων ὐσιωδῶς, ἀποφήναντ@ τῦ δημιυργῦ. ἀτυράννυτον δὲ „τὴν διάνοιαν ἔχοντες ταῖς τῆς σαρκὸς ἡδοναῖς, ἢ ταῖς ἐκτόποις ἐ„πιθυμίαις. διετέλυν οὐ ἁγίᾳ ἢ τερισμακαρίᾳ ζωῇ. ἐσθραμένης „δὲ, ὡς ἔφην, τῆς φθορᾶς, καὶ κεκινημένων ἐν τῇ σαρκὶ τῶν εἰς „φαυλότητα καταφερυσῶν ἡδονῶν, ὐκ ἐν ἁπλῇ τῇ γνώσει γεγόνασι „τῦ κακῦ, ἀλλ' ἤδη ἢ διὰ πείρας αὐτοῖς κεχώρηκε τὸ ἀῤῥώσημα. „κἂν ἐ ἔλοιτότις ταῖς ὑπὲρ σῶμα ἢ αἴθησιν νοεραῖς ὐσίαις ἐπαφᾶ„ναι τὴν βάσανον ὅτι τὸ ἐσθέναι καλὸν, ἢ πρός γε τῦτω τὸ ἔμπαλιν, „ἔνεσίπυ πάντως αὐταῖς, ἀραρότως ἐρᾶ. ὐμὴν ὅτι ἢ ἐμπαθῶς, ἢ δι„αὐτῆς τῆς πείρας, ἢ οἷον ἐνιχημένως, καθάπερ ἀμέλει ἐ ἐφ' ἡμῶν „αὐτῶν συμβεβηκέναι φαμέν. Καὶ μετ' ὀλίγα. Ἆρα γὰ τὴν θέαν „ἢ ὑπερκόσμιον φύσιν, τὴν ὕτω σεπτὴν ἢ πάναγνον, καλῦτε ἢ „πονηρῦ τὴν γνῶσιν ὐκ ἔχειν δώσομεν; εἶτα, πῶς νομοθετᾶ, ἢ ἀ„ποφάσκει μὲν τὰ αἰσχίω, ἢ τὰς τῶν πλημμελημάτων καταδείκνυ„σι τρόπυς, ἀποφέρει δὲ πρ@ τὰ βελτίω, ἢ τὰ δι' ὧν ἂν γέ„νοιτο βιῶναι λαμπρῶς, ἢ τὴν ἔκκειτον ἀληθῶς, ἐπ' αὐτῷ δὴ „τύτω, δόξαν ἐλεῖν, καθίςησιν ἐναργῆ; ὐκῦν ἀγαθὴ μὲν, ἐ μο„νοτρόπως ἀγαθυργ@, μᾶλλον δὲ αὐτόχρημα τὸ ἀγαθὸν, ἢ „θέατε ἐςὶ ἢ ἀπόῤῥητος φύσις, ὐκ ἠγνόηκε δὲ τὸ κακὸν, πλὴν „οἶδεν ὐ πρακτικῶς. ὃ δὴ πεπονθότες ἡμεῖς, ἐν παντὶ γεγόναμεν „κακῷ. ὅρα ἢ τὰ ἐν τῇ Ἑλληνικῇ Σειρᾷ εἰς τὴν Οὐτάδυχον ὑ„πομνήματα.

Σημ. 322. *Τρία ὁ ἀντάρτης Ἰωλιαν@ συγγέγραφε βιβλία κατὰ τῶν ἁγίων Εὐαγγελίων, ἢ κατὰ τῆς εὐαγῦς τῶν χριςιανῶν πίςεως, ὡς μαρτυρᾶ ὁ ἐν ἁγίοις Κύριλλ@ ἐν τῷ πρ@ τὸν Αὐτοκράτορα Θεοδόσιον προσφωνήματι, οἷς διὰ τῶν δέκα αὐτῦ λόγων ἀπήντησε. ταῦτα δ' οἶμαι τὰ βιβλία ὑπὸ τῦ Βολτέρυ ἐκλήθησαν*

εὐφρα-

εὐφραδεςάτη ὁμιλία, ἠχὶ δὲ ὁ λόγ☉ ὁ καλόμεν☉ Μισοπώγων, ἢ Ἀντιοχικ☉, ὡς ὁ συγγραφεὺς ὑπαινίττεται, ἢ παρασημειοῖ. τοῦτον γὰρ τὸν λόγον οὐδὲ ὁ Ἰουλιαν☉ κατὰ τῆς τῶν χριςιανῶν πίςεως συνέθετο, οὐδὲ ὁ Κύριλλ☉ ἀνεσκεύασε.

Σημ. 323. Προκέκαθω ἢ ἡ αἰσχρὰ ῥῆσις εἰς αἰσχύνην τοῦ ἐκφωνήσαντ☉ αὐτὴν ἀναισχύντ. „Ἐξόχως, φησὶν, αἱ γυναῖκες ἐποίησαν „ἑαυταῖς περιζώματα εἰς ὑποδοχὴν τοῦ αἵματ☉ τῶν καταμηνίων „αὐτῶν. Ἰδοὺ τῆς ὑψηλῆς αὐτοῦ φυσιολογίας τε ἢ ἀγχινοίας τὰ μεγάλα ἢ θαυμαςὰ παρατηρήματα & μαθήματα.

Σημ. 324. Ἀναγνὰς ἐν ταῖς κατὰ τὸ Βυίλλον ἐφημερίσι μέρ☉ τῆς ὑπὸ πάνυ πολλοῦ γενομένης ὑπὸ Κὸκ τοῦ Ἄγγλου περιγέου περιόδου, εὗρον, ὅτι ὅτ☉ εἰς νῆσόν τινα τῶν ἀγνώσων καταντήσας, τὰ ἐκεῖ νομαδικὰ ὑπομέλανα πλήθη ἀνδρῶν τε ἢ γυναικῶν πάντη γυμνὰ περιπατοῦντα ἑώρακεν. οἷς ἢ προσελάσασιν αὐτῷ, ἄρτον, ἢ ἄλλα παντοῖα παρέθηκεν ἐδώδιμα. οἱ δὲ ὁδεν☉ ἤψαντο, πλὴν τῶν προτεθέντων ὀπτῶν ἀλεκτωρίδων, ἅπερ ὁρμῇ καθαρπάζοντες κατεβόθριζον. ναυτῶν δέτινων τῶν συμπερισσώτων αὐτῷ παρενοχλήσαί τινας τῶν γυναικῶν τολμησάντων, ἐκεῖνοι ὀργισθέντες, πάσης ἐκεῖθεν ἐφυγάδευσαν τὰς γυναῖκας.

Ορα τὴν Ἑλλην. Σειρ. εἰς τὴν Ὀκταετ.

Σημ. 325. Κατάληλ☉ δοκεῖ ἡ τοῦ Σοβηρανοῦ περὶ τοῦ Θε☉ ἀνάπτυξις· „Ἐπειδὴ, φησὶν, ἐμελέτησεν, (ὁ Διάβολ☉) ὡς προ„εῖπον, πολυθρίαν ἐγεῖραι τῷ κόσμῳ, προλαβὼν ὡς διηγήματι „κατέσπειρεν εἰς τὰς ἀκοὰς τῆς γυναικ☉ ἔμφασιν τοῦ εἶναι πολ„λοὺς Θεούς. ἀλλ' ὁ μὲν τῆς κακίας τεχνίτης οὕτω προκατέσπειρε „τὴν ἔννοιαν τῶν Θεῶν, ὁ δὲ Θε☉ προνοήσας, ὠκονόμησε τὴν πλά„νην τὴν μέλλουσαν μὴ λαληθῆναι ἀνθρωπίνῳ ςόματι· ἵνα μὴ πρώ„τη λογικὴ φωνὴ περὶ Θεῶν φθέγξηται, ἀλλὰ πρῶτον ςόμα ὀ„φεως. ἵνα πᾶν ςόμα λαλῇ περὶ εἰδώλων, τῷ ςόματι ἐκείνῳ ἀ„πεκάζηται. Καὶ ταῦτα μὲν ὁ Σοβηρανο☉. σκεπτέον δὲ, μήτι τὸ, Θεοὶ, εἶπεν ὁ Διάβολ☉, εἰς τὰς δύο ἀφορῶν προπάτορας, ἢ ἀμφοτέροις προσφθεγγόμεν☉, & τὸν λόγον ἐφαρμόζων, κἂν μετὰ τῆς γυναικὸς μόνης ἐλάλει· πάντα δὲ πληθυντικῶς ἐκφωνήσας, ἀποθανεῖσθε, ἢ φάγητε, ἢ διανοιχθήσονται, ἢ ἔσεσθε ἐπήγαγε ἢ τὸ, Θεοὶ, ὥσπερ ἂν εἰ ἔλεγε, σύ τε ἔσῃ Θεὸς, ἢ ὁ Ἀδὰμ Θεὸς.

Γεν. 3. 5.

δικὰ

διὰ τοῦτο οὐκ ἐνικῶς εἶπεν, ἔσεσθε ὡς Θεὸς, ἀλλὰ πληθυντικῶς, ἔσεσθε ὡς Θεοί.

Σημ. 326. Τὰς ἐπενεχθείσας τῷ ὄφει κατάρας, πλὴν τῆς τῇ γῆν φαγῇ, ἄχρι τῆς σήμερον ὁρῶμεν. ἡ δὲ ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύεται, καὶ ἡ ἐκ τοῦ φόβου τικτομένη ἔχθρα μεταξὺ αὐτοῦ τε καὶ τοῦ ἀνθρώπου πασίδηλον. ὅτι δὲ ἄλλως πρὸ τῆς κατάρας ἐπορεύετο, εὐδηλία προκύπτει ἀμφιβολία. εἰ δὲ κατάρα τὸ ἐπὶ τῷ στήθει, καὶ τῇ κοιλίᾳ πορεύεσθαι, δῆλον ὅτι ἄλλως πρὸ τῆς κατάρας ἐπορεύετο. ἀλλὰ πῶς; τὸ πῶς ἄδηλον, τῆς θεοπνεύστου Γραφῆς τοῦτο ὡς περιττὸν σιωπησάσης. εἰκάζειν ὅμως ἔνεστιν, ὅτι ἢτοι πηδῶν, ἢ ἀνορθῶν ἑαυτὸν, καὶ ἐπὶ τῇ ὀρθῇ στηριζόμενος, καθάπερ καὶ τὴν σήμερον ἐνίοτε μικρῷ καιρῷ διαστήματι ποιεῖ, ἐπορεύετο. τὸ δὲ γῆν αὐτὸν ἐσθίειν ἄδηλον, καὶ ἀπέθανον. ὁδὲ ὁ Βοχάρτος, ὁ διὰ πολλῶν δεῖξαι παρώμενος, ὅτι ὁ ὕδρος, ὁ καὶ χερσύδρος (ὕδρος μὲν ὡς ἐν λακκώδει, ἢ λιμναίῳ ὕδατι ζῶν, χερσύδρος δὲ, ὡς τοῦ ὕδατος ἐκλείψαντος ἐν τῇ χέρσῳ διάγων) εἶδος ὄφεώς ἐστι, γῆν αὐτὸν ἐσθίειν ἔφη. Σκεπτέον οὖν τὰ τῆς Γραφῆς ῥήματα, ἐξ ὧν ἔνεστι τὴν τῆς ἀπορίας πορίσασθαι λύσιν. Τρεῖς εἰσὶν αἱ τῷ ὄφει ἐπενεχθεῖσαι κατάραι, ἡ ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεία, ἡ γαιοφαγία, καὶ ἡ μεταξὺ αὐτοῦ τε καὶ τοῦ ἀνθρώπου ἔχθρα. τούτων τῇ μὲν πρώτῃ ὅρος τέθεται ὑδεὶς, τῇ δὲ δευτέρᾳ, ἡ τῆς ζωῆς τοῦ ὄφεως παράτασις· „Καὶ γῆν, φησὶ, φαγῇ πάσας τὰς ἡμέρας τῆς „ζωῆς σου, ἡ δὲ τρίτη καὶ ἐπὶ τοῦ σπέρματος τοῦ ὄφεως ἐφήπλωται· „Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικὸς, καὶ „ἀνὰ μέσον τοῦ σπέρματός σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς. Ἐκ τούτου εὐλογοφανῶς συνάγεται, ὅτι ἡ πρώτη, καὶ ἡ τρίτη κατάρα, ἡ μὲν ὡς ἀπροσδιόριστος, ἡ δὲ ὡς καὶ ἐπὶ τοῦ σπέρματος τοῦ ὄφεως παρατεινομένη, διαρκοῦσαν ἄχρι τῆς σήμερον ἐπὶ τοὺς ὄφεις. ἡ δὲ δευτέρα, ὡς οὐκ ἄλλον ὅρον ἔχουσα, εἰμὴ τὰς ἡμέρας τῆς ζωῆς τοῦ ὄφεως, ἀμέλητοι ἐκείνου τοῦ γενομένου τῷ Διαβόλῳ ὀργάνου πρὸς ἀπάτην τοῦ ἀνθρώπου, ἐπ' ἐκείνου μόνου ἐνήργηται, ἐπὶ τῷ σπέρματι αὐτοῦ μὴ παρεκταθεῖσα. διὸ ἐκεῖνος μόνος γῆν ἤσθιε πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, οὐχὶ δὲ καὶ οἱ ἐξ αὐτοῦ ὄφεις. οὕτω δὲ τὴν κατάραν ὁ Θεὸς μειώσας, ἔδαξεν, ὅτι οὐχ ὁ ὄφις, ἀλλ' ὁ δι' αὐτοῦ λαλήσας Διάβολος τῆς τῶν ἀνθρώπων ἀπάτης πρωταίτιος. Οὐ πάντη δὲ ἀπείθανος καὶ ἡ τοῦ Χρυσοστόμου ἑρμηνεία, λέγοντος· „Διὰ

Βοχ. μέρ. 2. τοῦ Ἱεροζ. β. 3. κ. 13.

Γεν. 3. 14, 15.

Ἐν τῷ αὐτῷ Σημ.

„Διὰ τὸ εἰπεῖν, γῆν φαγῇ, τοῦτο λέγει· δαπανήσει φησὶ τὴν γῆν „ἐπ' αὐτὴν ἐντριβόμενος.

Σημ. 327. Καὶ παρ' αὐτῇ τῇ θείᾳ Γραφῇ πάρεστιν ἰδεῖν τὸν ἄρτον
Γεν. 43. 31. τὰ τῆς τροφῆς εἴδη σημαίνοντα· „οἷον ἐν τῷ Παράθετε ἄρτους. τὶς δὲ ἂν πεισθείη, ὅτι μόνους ἄρτους ὁ Ἰωσὴφ παραθεῖναι ἐκέλευσεν εἰς ἐσθίασιν καὶ εὐωχίαν τῶν ἀδελφῶν αὐτοῦ, καὶ τῶν συνελθόν-
Γεν. 49. 20. των Αἰγυπτίων; „Κἂν τῷ, Ἀσὴρ, πίων αὐτοῦ ὁ ἄρτος· καὶ αὐ-
Δευτ. 10. 18. „τὸς δώσει τροφὴν ἄρχουσι· καὶ ἐν τῷ, Ἀγαπᾷ τὸν προσήλυτον δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον, καὶ ἐν ἄλλοις.

Σημ. 328. Τὸ ὑπὸ τοῦ Θεοῦ ἐπιτεθὲν τῷ Κάϊν σημεῖον, (τοῦτο ὁ στεναγμὸς ἦν ἐνδεχομένως καὶ ὁ τρόμος) ὅπερ ὁ Βολτέρος φύλακα καλεῖ, ἀποδεικτικόν ἐστιν οὐ μόνον τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τοῦ μὴ θέλοντος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι, καὶ ζῆν αὐτὸν, ἀλλὰ καὶ τῆς δικαιοσύνης, καὶ τῆς θείας αὐτοῦ προνοίας. τὸ δὲ παρατεῖναι ἐν αὐτῷ τὸν στεναγμὸν, καὶ τὸν τρόμον, καὶ τὴν ματαιοπονίαν, ποινή ἐστι καὶ αὐτοῦ τοῦ θανάτου δριμυτέρα. τὸ δὲ σημεῖον, ὅπερ ἑώρων οἱ δυνάμενοι ἀνελεῖν αὐτὸν, διδάσκαλος, λαμπρᾷ τοῖς πᾶσιν ἀνακηρύττον φωνῇ, ἀπέχετε φόνου, ἵνα μὴ στένοντες ἦτε καὶ τρέμοντες, καὶ ματαιοπονοῦντες. εἰ δὲ ὁ Κάϊν εὐθέως μετὰ τὴν ἀδελφοκτονίαν θανάτῳ κατεδικάζετο, ταχέως ἂν καὶ ἡ τῆς παιδείας μνήμη ἀπώλετο.

Σημ. 329. Ἐπειδὴ ὁ πρῶτος ἄνθρωπος ἅπαν τὸ τῶν ἀνθρώπων γένος ἐν ἑαυτῷ ἔφερεν, ὥσπερ ὁ σπόρος τοὺς πρώτους στήμονας τοῦ ἐξ αὐτοῦ φυομένου, οἷος δὲ ὁ σπόρος, τοιοῦτον καὶ τὸ ἐξ αὐτοῦ φυόμενον διὰ τοὺς τῇ φύσει ὑπὸ Θεοῦ ἐντεθέντας νόμους, φθαρτοῦ γεγονότος, καὶ ἐμπαθοῦς, καὶ ὑποδίκου τοῦ πρωτοπλάστου, ἐξ ἀνάγκης φθορᾷ τε καὶ πάθεσι, καὶ δίκῃ ὑποκειμένους ἔδει γενέσθαι φύσεως ἀκολουθίᾳ καὶ πάντας τοὺς ἐξ αὐτοῦ προαχθέντας. τὸ δὲ τὸν φθαρτὸν, καὶ ἐμπαθῆ, καὶ πταίστην, ἀφθάρτους γεννᾷν, καὶ ἀπαθεῖς, καὶ ἀθώους, ἐναντίον τῶν ἐν τῇ φύσει ὑπὸ τοῦ δημιουργοῦ τεθέντων νόμων, οὐ μὴν ἀλλὰ καὶ πάντη τερατῶδες καὶ ἀλλόκοτον. Οὐχ ὅτι δὲ ἔφαγεν ἁπλῶς ἐκ τοῦ ξύλου, ἀλλ' ὅτι φαγὼν παρέβη τὴν ἐντολὴν, ἣν παρ' αὐτοῦ τοῦ Θεοῦ ἤκουσεν, ὑπόδικος ἐγεγόνει, ὁ πρωτόπλαστος, ἑπομένως δὲ καὶ τὸ ἐξ αὐτοῦ προελθὸν ἀνθρώπινον γένος. ὁ δὲ Κάϊν νόμου φόνον ἀπαγορεύοντος, καὶ ποινὰς κατὰ τῶν φονέων ἀπει-

λοῦντος

λοῦντος οὐκ ἤκουσε· τοῦ δὲ φθόνου, ἐξ οὗ ἡ ἀδελφοκτονία, αἴτιον ἡ τοῦ Ἀδὰμ ἁμαρτία, ἐξ ἧς καὶ αὐτὸς ὡς υἱὸς αὐτοῦ ἐμπαθὴς κατέστη. ἐκ τούτων δῆλον, πόσον τὸ τοῦ Ἀδὰμ ἁμάρτημα ὑπερέχει τὸ τοῦ Κάϊν, δήλη δὲ καὶ ἡ κατ' αὐτὸν τοῦ Θεοῦ δικαιοπραγία, πρὸς τούτοις δὲ καὶ τὸ ὑπερβάλλον τῆς τοῦ ἀπίστου παραλογίας τε καὶ κακίας, τοῦ κρίνειν τολμῶντος, μᾶλλον δὲ κατακρίνειν τὰς τοῦ ἀπταίστου καὶ ὑπερτελείου κρίσεις, τοῦ ἀποστείλαντος, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, τὸν μονογενῆ αὐτοῦ υἱὸν εἰς τὸν κόσμον συγκαταλλακτὴν Θεοῦ καὶ ἀνθρώπου, καὶ λυτρωτὴν τῆς αἰωνίου κολάσεως πάντων τῶν πιστευόντων εἰς αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρούντων, ἔτι δὲ καὶ πάντων τῶν ἐν ᾅδῃ πιστευσάντων αὐτῷ, ἐκεῖ καταβάντι.

Σημ. 330. Κἂν διαφόρως ἡ ῥῆσις αὕτη ἡρμήνευθ, σαφὴς ὅμως καὶ ἀπέριττος ἡ ἔννοια αὐτῆς δοκεῖ. „Ἄνδρα, φησὶν ὁ Λάμεχ, ἀ- Γεν. 4. 23.
„πέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. Ταῦτα ἐμφανέστατα δηλοῦσιν, ὅτι ὁ Λάμεχ δύω τινὰς ἀπέκτεινε, τὸν μὲν ἀνδρικὴν, τὸν δὲ νεανικὴν ἄγοντα τὴν ἡλικίαν. τίνες δὲ οὗτοι; ἄδηλον, ὡς μὴ δηλωθεὶν ὑπὸ τῆς Γραφῆς. οὗτοι δὲ οἱ δύω φόνοι τραῦμα, φησὶ, καὶ μώλωψ τῇ συνειδήσει μου γεγόνασι, προστιθεὶς καὶ τὸν λόγον, δι' ὃν ἡ συνείδησις αὐτοῦ ἐτραυματίζετο, καὶ μώλωπας υφίστατο. „Ὅτι, λέγει, ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν· ἐκ δὲ Γεν. 4. 25.
„Λάμεχ ἑβδομηκοντάκις ἑπτά. Πάσχω, φησὶν, ἀναλογιζόμενος, ὅτι εἴπερ ὁ Κάϊν ἑπτὰ ἐκδικήσεις ὑπέστη δι' ἕνα μόνον φόνον, ἐμὲ τὸν τὴν ἐκείνου ἑπτάριθμον εἰδότα ποινὴν, καὶ οὐ μόνον ἕνα, ἀλλὰ δύω τελέσαντα φόνους, ἑβδομηκοντάκις ἑπτὰ, ὅπερ ἐστὶ πολλῷ πολλαπλασίους ὑποστῆναι δεῖ ἐκδικήσεις. δῆλον δὲ, ὅτι ἑπτὰ μὲν ἦσαν τὰ τοῦ Κάϊν ἁμαρτήματα, ἀμέλειτοι, φθόνος, ἀπάτη, φόνος, ἀδελφοκτονία, γονέων πικρία, ψεῦδος, ἀπελπισμός. ἑπτὰ δὲ καὶ αἱ κατ' αὐτοῦ ἐκδικήσεις, ἤτοι ποιναὶ, ἔλεγχος, φόβος, τρόμος, στεναγμὸς, φυγὴ, σύστημον, ματαιοπονία.

Σημ. 331. Ἰδοὺ πῶς οὗτος ὁ ψευδοφιλόσοφος ἐν τῇ 32 σημειώσει αὐτοῦ εἰς τὴν Γένεσιν σχηματίζει ταύτην τὴν ἰσχυροτάτην ἀπόδειξιν. „Ὁ Ἀδὰμ ὅμοιος ἐστὶ τῷ Θεῷ, ὁ Σὴθ ὅμοιός ἐστι τῷ Ἀδὰμ, ὁ „Σὴθ ἄρα ὅμοιός ἐστι τῷ Θεῷ.

Πάνυ καλῶς. ὥσπερ γὰρ τὰ ἑνὶ τρίτω ἴσα, καὶ ἀλλήλοις ἴσα, οὕτω καὶ τὰ ἑνὶ τρίτω ὅμοια, καὶ ἀλλήλοις ὅμοια. οἷον οὖν ὁμοιότητα εἶχον ὁ Ἀδὰμ καὶ ὁ Θεὸς, τοιαύτην εἶχον ὁ Θεὸς καὶ ὁ Σήθ. κα-

τὰ τί δὲ ὁ Θεὸς ὁμοιοῦ ἦν τῷ Ἀδάμ; κατὰ τὸ σῶμα; ἢ ὁ ἀγαλματοποιὸς ἄρα, ὁ λίθινον ἄγαλμα κατ' εἰκόνα αὐτοῦ ἢ καθ' ὁμοίωσιν κατασκευάζων, ἐξὶ κατὰ σὲ λίθοῦ, ὥσπερ ἢ τὸ ὑπ' αὐτοῦ κατ' εἰκόνα αὐτοῦ ἢ καθ' ὁμοίωσιν γεγονὸς ἄγαλμα. διαλεκτικὲ παράλογε, πῶς ἂν ἠξίουθης τοιουτοτρόπως διαλέγεσθαι; ὁ Ἀδὰμ, ὡσαύτως ἢ πᾶς ἄνθρωποῦ, εἰκὼν Θεοῦ ἐξὶ, καθὸ ψυχὴν ἔχει ἄυλον, νοερὰν, ἀθάνατον, λογικὴν, προνοητικήν· ὁ αὐτὸς δὲ ἢ καθ' ὁμοίωσιν Θεοῦ ἐξὶ, καθὸ ἐπιδεκτικὸς ὢν πάσης ἀρετῆς, ταύτην κτησάμενοῦ, ὁμοιοῦ κατὰ χάριν τῷ Θεῷ γίνεται. οἱ δὲ Ἰουδαῖοι δεδιδαγμένοι ὄντες ὑπὸ τῆς Γραφῆς συγκείμενον εἶναι τὸν Ἀδὰμ ἐκ ψυχῆς, ἣν διὰ τοῦ ἐμφυσήματοῦ ὁ Θεὸς αὐτῷ δέδωκε, ἢ σώματοῦ, ὅπερ ἐκ τοῦ χοὸς ἔπλασεν, ἀκούοντες τὰ περὶ τοῦ Σὴθ, οὐκ εὐσώματον τὸν Θεὸν ἐνόμιζον, ὥσπερ σὺ παραπαίων λέγεις, ἀλλ' ἐπίσταυον, ὅτι ὁ Ἀδὰμ, ἢ ὁ Σὴθ, ἢ πᾶς ἄνθρωποῦ κατ' εἰκόνα, ἢ καθ' ὁμοίωσιν τοῦ Θεοῦ ἐξὶ τῷ λόγῳ, ὅπερ φθάσαντες εἴπομεν. Σημείωσαι δὲ, ὅτι ἡ μὲν Βουλγάτα φησὶ τὸ, ἐγέννησε κατ' εἰκόνα αὐτοῦ, ἢ καθ' ὁμοίωσιν· ἐν δὲ τῇ τῶν Ἑβδομήκοντα μεταφράσει κεῖται τὸ, ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ, ἢ κατὰ τὴν εἰκόνα αὐτοῦ. „Ὅπερ ὁ ἐν τῇ ἑλληνικῇ Σειρᾷ τῆς Ὀκτατεύχου ἄδηλοῦ διηρμήνευσεν ὅτως· „Ἰδέα ἐξὶν ἡ σωματικὴ ὁ„μοίωσις, εἰκὼν δὲ ἡ ψυχικὴ κατάστασις.

Γεν. 5. 3.

Σημ. 332. „Ὁ μὲν Ἀκύλας φησὶ, Τότε ἤρξθη τοῦ καλεῖσθαι ἐν ὀ„νόματι Κυρίου. οἱ δὲ Ἑβδομήκοντα, οὕτοῦ ἤλπισεν ἐπικαλεῖσθαι „τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ. Ἐξ ἑκατέρας δὲ ἐκδόσεως δῆλον, ὅτι θεῖοι ἐλέγοντο οἱ ἐκτοῦ Σήθ.

Γεν. 4. 26.

Ὁρατὴν Ἑλλην. Συρ. εἰς τὴν Ὀκτατ.

Σημ. 333. Τῆς ἐναντίας ἔχονται γνώμης ὅ,τε Γεννάδιοῦ, ἢ ὁ Ἰώσηπος, ἢ ὁ Θεοδώρητοῦ· ἥτις ἢ κατὰ τὴν τοῦ λόγου σειρὰν πιθανοτέρα τῆς τοῦ συγγραφέως, τῆς ἢ ἀνασκοπαλιζομένης ὑπὸ τοῦ Γενναδίου. κατὰ δὲ τὸ ὅτι ἢ μετὰ τὸν κατακλυσμὸν πολλοὶ τὸν βίον παρέτειναν ἐπέκεινα τῶν ἑκατὸν εἴκοσι ἐτῶν, μέχρι τοῦ Μωϋσέως ἑκατὸν εἴκοσι ἔτη βιώσαντοῦ, ἀπαντητέον τοῖς ῥήμασι τῆς Γραφῆς· „Ἔσονται, φησὶν, αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσι ἔτη. περὶ δὲ τοῦ πότε τοῦτο ἔσαι, ἤτοι παραυτίκα μετὰ τὸν κατακλυσμὸν, ἢ πολλῷ ὑστερον, μηδὲν ἡ Γραφὴ ἐπῶσα, δεδήλωκεν, ὅτι ἀόριστον τὸ πότε τοῦτο ἔσαι. ὠφέλη δὲ τότε, ὅτε τῷ Θεῷ δίκαιον ἢ εὔλογον ἔδοξε.

Γεν. 6. 3.

Σημ.

Σημ. 334. Ἰςέον, ὅτι ὁ μὲν Ἀκύλας, καὶ ἡ Βουλγάτα, μετεμελήθη, φασὶν, ὅτι ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον· ὁ δὲ Σύμμαχος ἀπέςρεψεν. ἐν δὲ τῷ ἑξῆς ἐδαφίῳ καὶ τοῦ Ἄλδου ἡ ἔκδοσις, Μετεμελήθην, γράφει, ὅτι ἐποίησα αὐτούς· Ἡ δὲ τῶν Ἑβδομήκοντα μετάφρασις ἐν πάσαις, πλὴν τῆς τοῦ Ἄλδου, ἐκδόσεσιν, Ἐνεθυμήθη, ὅτι ἐποίησε τὸν ἄνθρωπον, Καὶ ἐνεθυμήθην, ὅτι ἐποίησα αὐτούς. Τὸ δὲ ἐνεθυμήθη, οὐ τὸ μετεμελήθη, ἀλλὰ τὸ, ἐσκέψατο, τὸ διελογίσθη, ἐμφαίνει. ὅπερ σημαίνοι ἂν τὸ, ὡς κριτὴς τότε ἔκρινε, πόσον πταίςης καὶ ποίας καταδίκης ἄξιός ἐςιν ὁ ἄνθρωπος ὃν ἐποίησε. κἂν δὲ καὶ αὐτὸ τὸ Ἐνεθυμήθη, ἢ ἐσκέψατο, ἢ διελογίσθη, οὐ κυρίως, ἀλλὰ μεταφορικῶς ἐπὶ Θεοῦ λέγονται, οὐχ ὅμως τοῖς ἀνθρώποις, τοῖς μὴ δυναμένοις λέξεις εὑρεῖν, καταλλήλως τὰ τοῦ Θεοῦ ἐκφραζούσας τοσαύτην τρικυμίας ἐπάγει προσβολήν. πρὸς τούτοις οὐδὲ τῇ ἐννοίᾳ προσφυὲς τὸ μετεμελήθη, ὅτι ἐποίησε τὸν ἄνθρωπον. εἰ γὰρ μετεμελήθη, ὅτι τοῦτον ἐποίησεν, ἵνα τὶ τὸν μὲν δίκαιον Νῶε, ἄνθρωπον καὶ αὐτὸν ὄντα, σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ σώζει, δι' αὐτοῦ δὲ καὶ τὸ ἀνθρώπιον γένος, τοὺς δὲ ἁμαρτωλοὺς πάντας ἀπὸ προσώπου τῆς γῆς ἐξαλείφει;

Σημ. 335. Ἀραιωθὲν ὕδωρ καλεῖ τοὺς ἐκ τῶν ὑδάτων ἀναβαίνοντας ἀτμοὺς, διὰ τὴν τούτων κουφότητα ὑπὸ τοῦ ἐν τῇ ἀτμοσφαίρᾳ ἀέρος βαςαζομένους, οἵτινες τῇ ἐν αὐτοῖς ἐφελκτικῇ δυνάμει συναφθέντες, καὶ βαρύτεροι τοῦ βαςάζοντος γεγονότες ἀέρος, ἐπὶ τὰ κάτω φέρονται, βροχὴν συνιςῶντες. ἀναγκαῖον δὲ εἰδέναι, τὴν τῶν ἀτμῶν τούτων ποσότητα εἰς τὸ ἀναλογίσασθαι τὴν ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ κατενεχθεῖσαν βροχήν. ταῦτα δὲ λέγων ὁ συγγραφεὺς, καταμυκτηρίζει τὴν παραλογίαν τῶν τοῦ Βολτέρου ἀναλογισμῶν.

Σημ. 336. Οὐ μόνον περὶ τῆς τροφῆς, περὶ ἧς ὁ Νῶε Θεοῦ ἐπιταγῇ πεφρόντικε, τῶν ἐν τῇ Κιβωτῷ ζώων, καὶ τῆς καθάρσεως τῆς κόπρου, ἣν ὁ κοπρίτης οὗτος προτεῖναι ἐσπούδασεν, ἀλλὰ καὶ περὶ πολλῶν ἄλλων· οἷον περὶ τοῦ πῶς ἀνὰ δύω, καὶ ἀνὰ ἑπτὰ ἐκ παντὸς εἴδους συνήχθησάν τε καὶ εἰσῆλθον τὰ ζῶα, καὶ αὐτὰ δὴ τὰ ἀγριώτατα καὶ ἀτίθασσα, ἐν τῇ Κιβωτῷ. καὶ πῶς ἐκεῖ ὁ λύκος οὐκ ἤσθιε τὸ πρόβατον, καὶ ὁ Λέων τὸν ἄνθρωπον, καὶ ὁ αἴλουρος τὸν μῦν, πῶς τε μεταξὺ ἀλλήλων εἰρήνευον τὰ ἀντιμαχόμενα· ἀπορήσειεν ἄντις, λόγον ἐκ τῶν ὁρωμένων ζητῶν. σκεψάμενος δὲ, ὅτι ὁ ἐκ τοῦ μὸ ὄντος τὰ πάντα παραγαγὼν, ὁ τούτων ποιητὴς καὶ δεσπότης, Γεν. 6. 21.

ὁ

ὁ τὰ πάντα δυνάμενος, καὶ τὰ πάντα κατὰ τὸ ἑαυτῦ μεταβάλλων θέλημα ὅτως ἐκέλευσε, πᾶσαν τὴν περὶ τούτων ἀπορίαν ὡς Ἰσὸν ἀράχνης διαλύσει.

Εν. 9. 5. Σημ. 337. Τίς οὐχ ὁρᾷ ἐνταῦθα, ὅτι τὸ Ἐκ χειρὸς πάντων τῶν θηρίων ἐκζητήσω τὸ αἷμα ὑμῶν, Συνεκδοχικῶς εἴρηται, ἀντὶ τῦ, ἐξ αὐτῶν τῶν θηρίων ἐκζητήσω τὸ αἷμα ὑμῶν; τίς δ' οὐ κατανοεῖ, ὅτι διὰ τῶν ῥημάτων τούτων ἐντέλλεται ὁ Θεὸς ἀποκτέινειν τὸ ζῶον
Εξ. 21. 28. τὸ ἀνελόν τινα τῶν ἀνθρώπων. καθάπερ καὶ τὸν τράγον, τὸν ἄνδρα, ἢ γυναῖκα ἀνελόντα λιθοβολεῖσθαι προσέταξε· καὶ ταῦτα, ἵνα μὴ καὶ ἄλλος τὸ αὐτὸ ἀποκτείνῃ ζῶον, ἅμα δὲ ἵνα καὶ τὸν τῦ φόνου φόβον ἐν ταῖς τῶν ἀνθρώπων ἐνσάξῃ καρδίαις; Ἐὰν οὖν ἐκ μόνης τῆς λέξεως, χειρὸς, ἢ ἐξ αὐτῆς καὶ τῶν συνημμένων αὐτῇ ῥημάτων· „Καὶ δὲ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκ χει„ρὸς πάντων τῶν θηρίων ἐκζητήσω αὐτό. Συνάγῃ ὁ ἄπιστος ἦν καλεῖ καθολικὴν γνώμην περὶ τῦ ὅτι τὰ ζῶα ἔχουσι λόγον ὥσπερ καὶ ἡμεῖς, πάνυ εὐήθης, ἢ βέλτιον φάναι, παραλογώτατος διαλεκτικός ἐστιν. ὅτι δὲ ἐνεφύτευσεν ἡ παντοδύναμος τῦ Θεῦ χεὶρ οὐ μόνον παντὶ ζώῳ, ἀλλὰ καὶ παντὶ φυτῷ τὰς ἀναγκαίας, καὶ ἀναλόγως τοῖς τούτων μέλεσι, καὶ ὀργάνοις, ἕξεσι δυνάμεις πρὸς συντήρησιν καὶ πολλαπλασιασμὸν αὐτῶν, ἐξ ὧν ὁρῶμεν ἐπιδηλόντε καὶ ἀναμφίβολον. ὅτι δὲ ὁρᾶς ἕκαστον τῶν φυτῶν, ἢ τῶν ζώων ποιῶν, ἤτοι εἰς συντήρησιν, ἢ εἰς πολλαπλασιασμὸν αὐτῦ ἀφορᾷ. ἐφέλκει πᾶν φυτὸν ἐκ τῆς γῆς οἷον προνοητικῶς μόνας τὰς προσφυᾶς αὐτῷ χυμός. τί οὖν τοῦτο καλεῖς; λόγον; οὐμενοῦν, ἀλλὰ δύναμιν ἐφελκτικὴν τῇ ἑαυτῦ ἐνοῦσαν φύσει, εἰς διατήρησιν αὐτῦ. ἀνθεῖτε πᾶν φυτὸν καὶ καρποφορεῖ. τί τοῦτο λογίζῃ; λόγον; οὐχί. ἀλλὰ δύναμιν καρποφόρον πολλαπλασιάζουσαν αὐτό. τοῦτο αὐτὸ καὶ περὶ τῶν ζώων ῥητέον. ἔτι δὲ ἂν ὁρᾷς ἕκαστον τῶν ζώων ὥσπερ προνοητικῶς, καὶ διακριτικῶς, καὶ μνημονευτικῶς, πρόσωπες δὲ, καὶ οἱονεί πως συμπερασματικῶς ποιῶν, ταῖς συμπεφυκυίαις αὐτῷ δυνάμεσι ποιεῖ, αἵτινες οὐδενὸς ἑτέρου, ἀμὴ τῆς συντηρήσεως καὶ τῦ πολλαπλασιασμοῦ αὐτῦ ἕνεκα ἐνεργοῦσι, ταύτας δὲ τὰς δυνάμεις λόγον λογίζεσθαι, οἷος ὁ ἐν τῷ ἀνθρώπῳ, ἐκτὸς παντὸς λόγου ἐστί. ποίαν δὲ παράθεσιν ἔχει τὰ ὑπὸ τῦ ἀνθρωπίνου λόγου πολλῶν καὶ διαφόρων σκοπῶν ἕνεκα τελούμενα, ἐπιστημονικὰ, τεχνικὰ, θεωρητικὰ, πρακτικὰ, ὧν τὸ πλῆθος ἀριθμῦ ὑπέρτερον, καὶ καθ' ἑκάστην πολλαπλασιαζόμενον καὶ ποικιλλόμενον, τοῖς δυσὶν, ἢ τρισὶν, ἅτινα πάντοτε τὰ

αὐτὰ

αὐτὰ εἰσι, καὶ οὐδέποτε ποικίλλεται, τῶν ζώων ἔργοις, τοῖς ὁμοιότητά τινα ἔχουσιν ἐνίοις, τοῖς ὑπὸ τῶν ἀνθρώπων τελουμένοις; ποῦ ποτε ἑώρακας ζῶον τηλεσκόπια, μικροσκόπια, διοπτήρια, ὑγρόμετρα, ἀερόμετρα, θερμόμετρα, πυρόμετρα, χρονόμετρα, ἀέρος ἀντλίας κατασκευάζον, καὶ τοσοῦτον πλῆθος ἁπλῶντε καὶ συνθέτων μηχανικῶν ὀργάνων, δι' ὧν τὰ στοιχεῖα αὐτῷ δουλεύει; ποῦ ποτε ὤφθη ζῶον γλώσσας λαλοῦν, καὶ γράφον, καὶ ἀναλογισμοὺς συντιθέμενον, καὶ λύον προβλήματα, οἷα τῆς Ἄλγεβρας οἱ τρόφιμοι; ποῦ ποτε συνήντησας ζώω τὰ ὄμματα αὐτοῦ εἰς τὸν οὐρανὸν αἴροντι, καὶ τὰς τῶν οὐρανίων σωμάτων κινήσεις, καὶ περιόδους, καὶ ἀποστάσεις παρατηροῦντι, καὶ τὰς τούτων ἐκλείψεις ἀναλογιζομένῳ, καὶ ἐξηκριβωμένως ἄχρι λεπτοῦ δευτέρου τῆς ὥρας προλέγοντι; ποῦ εἶδες ζῶον ἔργον πνευματικὸν ἐργαζόμενον; ποῦ ἠκούσθη ζῶον, ἑκουσίως νηστεῦον, ἢ ἀγρυπνοῦν, ἢ κακουχούμενον, ἢ ἐλεοῦν, ἢ δικαιοπραγοῦν φιλοτιμίας, ἢ σωτηρίας ἕνεκα. δῆλον οὖν, ὅτι τῶν ἀπίστων, ὅσοι νοῦν ἔχουσιν εἰς τὸ ταῦτα, καὶ τὰ τούτοις παραπλήσια, τὰ καὶ οὐκ εὐάριθμα ὄντα, κατανοεῖν, γνώμῃ μόνον κακεντρεχεῖ καὶ δυστρόπῳ, καὶ τῇ συνειδήσει αὐτῶν ἀπαιδούσῃ, λόγον λέγουσι τὰ ζῶα ἔχειν ὥσπερ καὶ ἡμεῖς.

Σημ. 338. Δὶς ἡ θεία Γραφὴ ἐνταῦθα καταγέλλει, ὅτι ὁ Θεὸς ἀνίστησι τὴν Διαθήκην αὐτοῦ μετὰ τοῦ Νῶε, καὶ τῶν υἱῶν αὐτοῦ. Γεν. 9. 8, 11.
„Καὶ εἶπεν ὁ Θεὸς τῷ Νῶε, καὶ τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτοῦ, λέ-
„γων. Καὶ ἰδοὺ ἐγὼ ἀνίστημι τὴν Διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρ-
„ματι ὑμῶν μεθ' ὑμᾶς. Καὶ πάλιν. Καὶ στήσω τὴν Διαθήκην μου
„πρὸς ὑμᾶς. καὶ οὐκ ἀποθανεῖται πᾶσα σάρξ. Ἐν δὲ τὸ μεταξὺ Γεν. 9. 10.
τούτων συμπεριλαβοῦσα καὶ τὰ ζῶα, ἔφη. „Καὶ πάσῃ ψυχῇ ζώ-
„σῃ μεθ' ὑμῶν ἀπὸ ὀρνέων, καὶ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς
„γῆς, ὅσα ἐστὶ μεθ' ὑμῶν, ἀπὸ πάντων τῶν ἐξελθόντων ἐκ τῆς
„Κιβωτοῦ. ἡ οὖν Διαθήκη, τουτέστιν ὁ ὅρος καὶ ἡ ἀπόφανσις τοῦ,
„Οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ, Καὶ εἰς αὐτὰ ἀφορᾷ τὰ ζῶα. τὸ δὲ, Ἀνίστημι, καὶ τὸ στήσω, οὐ τοῖς ζώοις, ἀλλὰ τοῖς ἀνθρώποις ἀπένειμεν ἡ Γραφὴ, δηλοῦσα, ὅτι τοῖς ἀνθρώποις ὁ Θεὸς τὴν τοιαύτην Διαθήκην, τὴν καὶ τοῖς ζώοις κατάλληλον, ἀνήγγειλε. διὸ δὴ καὶ πᾶσαν παραλογίαν τῇ τοῦ Βολτέρου παραπλησίαν προθέλυμνα ἀφείλετο.

Σημ. 339. Οὐ διὰ τὸ εἶναι τὰ ἄλογα λογικὰ, ἀποκτείνειν ἐκέλευσεν ὁ Θεὸς τὸ τετράποδον, ἀλλ' ἵνα μὴ τὸ τοιοῦτον ζῶον ἐθισθὲν

ἤαη

ἤδη τῇ μυσαρᾷ ταύτῃ πράξει, ἢ ἄλλοις ἀντικείμενον γένηται τοιαύτης βδελυρίας. Ὅρα δὲ ἢ τὸν Φίλωνα, οὗ τῇ Ἑλλην. εἰς τὴν Ὀκτάτευχ. Σειρ. οὐ κεφ. 20. ἐδ. 15. τῆς Λευίτ.) δύω περὶ τούτου προτιθέμενον πιθανὰς λόγους.

Ὠριγ. σ. 161. τῆς Ἑλλην. Σειρ. εἰς τὴν Ὀκτατ.

Σημ. 340. Ἰδοὺ ἡ ὑπὸ τοῦ Ὠριγένους εἰς ἡμᾶς μετενεχθεῖσα ἑβραϊκὴ παράδοσις· „Ἔφερε δὲ ὁ Ἑβραῖος ὁ ταῦτα ἐπῶν ἢ παράδοσιν τοιαύτην, ἐπενεγκὼν ἀπόδειξιν τῇ παραδόσει. ὡς ἄρα ὁ Χαναὰν πρότερος ἐώρα τὴν ἀχημοσύνην τοῦ πάππου, ἢ ἀπήγγειλεν „αὐτοῦ τῷ πατρὶ μόνῳ, καταμωκώμενος ὥσπερ τοῦ γέροντος ὁ „δὲ Χὰμ εἶδεν ὁμοίως τοῖς ἀδελφοῖς μὴ προσελθεῖν τῷ πατρὶ ἀ„σεβῶς, ἀλλ' ἐπιπλῆξαι τῷ πρώτῳ θεασαμένῳ ἢ διαβάλλοντι, „αὐτὸς δὲ ἢ πέπεισαι, ἢ ἐσῆλθε, ἢ εἶδε, ἢ ἀπήγγελε ἢ τοῖς „ἀδελφοῖς. ταῦτα δὲ δοκεῖ μοὶ εἶναι, ἐμοὶ τὸ τῆς ἀποδείξεως „ἦν ἰσχυρόν. Καὶ ἐξυπνίσθη γάρ φησι Νῶε ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ „ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ μικρότερος. Μικρότερος „δὲ υἱὸς αὐτοῦ ὁ Χὰμ, οὐκ ἦν, ἀλλὰ δεύτερος. Σὴμ δὲ φησι, ἢ „Χὰμ, ἢ Ἰάφεθ. Καὶ εἰ τὸν μικρὸν ἤθελε δεῖξαι, τὸν Ἰάφεθ ἂν „ἔλεγεν. ἐπειδὴ δὲ ἢ τοὺς ἐγγόνους ἀεὶ υἱοὺς λέγουσιν οἱ πάπποι ἢ „τοὺς μακρόθεν ἐπογόνους, τὸν βραχύτατον τῶν ἐγγόνων, τὸν Χαναὰν „εὕρηκεν ἡ Γραφὴ ἐγνωῶσθαι παρὰ τοῦ Νῶε, ὅτι αὐτὸς ἐποίησε ταῦ„τα. ἢ ὅτι τοῦτο οὕτως ἔχει, εὐθὺς ἐπάγει τὸ θεῖον λόγιον· Ἐπι„κατάρατος Χαναὰν, δοῦλος δούλων ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ.

Γεν. 9. 24.

Γεν. 9. 25.

Σημ. 341. Ὅρα τὸν Γάλλον, ἐμπαθῶς κατὰ τῶν πρώτων Ἑλλήνων συγγραφέων, ὃς ἔδει πολλῶν ἕνεκα διὰ τιμῆς ἄγειν· καταφερόμενον. ἢ αὐτῷ μὲν τυχὸν ῥᾴδιον ὅπερ προτίθησι δεῖξαι· ἡμῖν δὲ οὐδὲ πρόθεσις, ἀλλ' οὐδὲ χρεία τοῖς ὑπ' αὐτοῦ λεγομένοις ἀπαντῆσαι, ἢ μάλιστα διὰ τὸ μηδένα κατ' ὄνομα προτάττειν τῶν πρώτων Ἱστορικῶν Ἑλλήνων.

Σημ. 342. Ὁ Μωϋσῆς ἐν τῷ δεκάτῳ κεφαλαίῳ τῆς Γενέσεως γενεαλογῶν τοὺς ἀπὸ τοῦ Νῶε, ἢ τῶν τοῦ Ἰάφεθ ἢ Χὰμ ἀπογόνων μνηθεὶς, προσέθηκέ τινα ὑ κατὰ τὴν τοῦ χρόνου ἀκολουθίαν, ἀλλ' ὡς ἐν παρεκβάσει, ἀνήκοντα μὲν αὐτοῖς, συμβάντα δὲ μετὰ τὴν τῆς μιᾶς γλώττης διαίρεσιν· „ἐν οἷς ἢ τὸ, Ἐκ τούτων ἀφω„ρίσθησαν νῆσοι τῶν ἐθνῶν ἐν τῇ γῇ αὐτῶν. ἕκαστος κατὰ γλῶσ„σαν, ἐν ταῖς φυλαῖς αὐτῶν, ἢ ἐν τοῖς ἔθνεσιν αὐτῶν. Ἔτι δὲ

Γεν. 10. 5.

ἢ

ἢ ἡ ἀνάμνησις τῶν νήσων, ἢ πόλεων, ἢ διαφόρων τόπων; ἑπομένως ἢ θέσεων, τῶν μετὰ τὴν διασπορὰν, τὴν ἐκ τῆς διαιρέσεως τῆς γλώσσης οἰκηθέντων· ἢ ταῦτα, ἵνα μὴ τὰ αὐτὰ πάλιν τῶν τῦ Νῶε ἀπογόνων ὀνόματα ἐπαναγράψῃ, τὰς ἐνοικήσεις αὐτῶν δηλῶσαι θέλων. μετὰ δὲ τὴν τῆς διαληφθέσης Γενεαλογίας καταγραφὴν, ἐπαναλαβὼν ὁ τῦ Θεῦ προφήτης τὴν κατὰ χρονολογίαν σειρὰν τῆς ἱστορίας αὐτῦ, φησί. „Καὶ ἦν πᾶσα ἡ γῆ χεί- Γεν. II. 1, 2.
„λῶ οὖ, ἢ φωνὴ μία πᾶσι. Καὶ ἐγίνετο ἐν τῷ κινῆσαι αὐτὸς ἀ-
„πὸ Ἀνατολῶν. Ταῦτα δὲ ὁ Βολτέρῳ ἔτε τῷ ὄντι μὴ κατανοήσας, ἔτε ἐπίτηδες ἀνοησίαν ὑποκριθεὶς, ὃ ἢ παθανώτερον, τὰ ὑπὸ τῦ Μωϊσέως πρῶτον παρεκβατικῶς ἐρημεία, ὡς πρῶτον σύμβαντα ἢ ὑπάρξαντα ἐκλαβὼν, τὰς προκειμένας πρῶτανεν ἀποφάσεις, ἀντιφάσεις δεῖξαι ἐν τοῖς ἱεροῖς αὐδάζων λογίοις. πᾶς δὲ ὁ μὴ ἐμπαθῶς τὴν Θεόπνευστον ἀναγινώσκων Γραφὴν, εὐθὺς ἐκ τῆς ἐν αὐτῇ ἱστορίας, ὅτι πρὸ τῆς τῶν γλωσσῶν διαιρέσεως οὐδὲ νῆσοι ἀφωρίσθησαν, οὐδὲ Κήτιοι, οὐδὲ Ῥόδιοι, οὐδὲ Βαβυλὼν, οὐδὲ Νινευὶ ἦσαν, κατανοεῖ μὲν ἐντελῶς, ὅτι τὸ, Ἔκας κατὰ γλῶσσαν, ἐν „ταῖς φυλαῖς αὐτῶν, ἢ ἐν τοῖς ἔθνεσιν αὐτῶν, ὡσαύτως ἢ τὸ, ὅτι τὰ ἐμφαίνοντα τὰς διαφόρους θέσεις τῆς ἐνοικήσεως τῶν τῦ Νῶε ἀπογόνων, ὁ χρόνῳ ἀκολουθίᾳ ὁδεύων, ἀλλὰ περὶ τῶν ἀνθρώπων λαλῶν, τῶν μετὰ τὸν πολλαπλασιασμὸν τῶν διαλέκτων, οἵτινες πρὸ τύτῳ χειλῶ ἓν ἦσαν πάντες, ἢ μία φωνὴ, ὁ Μωϋσῆς ἐρήκεν. ἐκ τύτων ῥᾴδιον κατιδεῖν τὸ σκότος ἢ τὸν γνόφον τὸν τὴν διάνοιαν τῦ Βολτέρῳ συνέχοντα διανοιαν, ἐξ ὧν τὰς ἀλύτους δυσκολίας ἐφαντάσθη, ἢ τὰ ληρώδη ἐξηρεύξατο λόγια.

Σημ. 343. Ἡ θεία Γραφὴ τὸς ἀπὸ Ἀδὰμ ἄχρι τῦ Νῶε, ὡσαύτως ἢ τὸς ἀπὸ Σὴμ ἄχρι τῦ Θάῤῥα χρονολογῦσα, σημεῖ ἐφ' ἑνὶ ἑκάστῳ τύτων τὰ τῆς ἡλικίας αὐτῦ ἔτη, τότε πρὸ τῦ ἄρξασθαι γεννᾶν, ἢ τὰ μετὰ τὸ γεννῆσαι, ἢ τὰ μέχρι θανάτυ. „Ἔζησε, Γεν. 5. 3-5.
„δὲ, φησὶν, Ἀδὰμ τριάκοντα ἢ διακόσια ἔτη, ἢ ἐγέννησε τὸν
„Σήθ. ἐγένοντο δὲ αἱ ἡμέραι Ἀδὰμ, ἃς ἔζησε μετὰ τὸ γεννῆσαι
„αὐτὸν τὸν Σήθ, ἔτη ἑπτακόσια. ἢ ἐγέννησεν υἱὸς ἢ θυγατέ-
„ρας. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἀδὰμ, ἃς ἔζησε, τριάκοντα
„ἢ ἐννεακόσια ἔτη, ἢ ἀπέθανε. Τῦτο δὲ ἐπαναλαμβάνει περὶ ἑκάστῳ τῶν ἀπὸ Ἀδὰμ ἄχρι τῦ Νῶε, ἢ τῶν ἀπὸ Σὴμ ἄχρι τῦ Θάῤῥα μνημονευομένων ἀνδρῶν. περὶ δὲ τῦ Θάῤῥα (ὡσαύτως ἢ περὶ τῦ Νῶε) παρασιωπᾷ τὸ, ἐγένοντο δὲ αἱ ἡμέραι, ἃς ἔζησε

Θάῤῥα μετὰ τὸ γεννῆσαι τὸν Ἀβραάμ. τὰ μὲν οὖν ἔτη τῦ Θάῤῥα τὰ πρὸ τῦ αὐτὸν γεννῆσαι, ᾗ τὰ ἄχρι θανάτυ διηλώσασα, τὰ δὲ μετὰ τὸ γεννῆσαι τὸν Ἀβραάμ, ᾗ τὸν Ναχὼρ, ᾗ τὸν Ἀῤῥὰν παρασιωπήσασα, τῇ ἀσυνήθη περὶ τύτυ αὐτῆς σιωπῇ ἐσήμανεν, ὅτι ὐκ ἐν αὐτῷ τῷ ἑβδομηκοςῷ ἔτει τῆς ζωῆς αὐτῦ ὁ Θάῤῥα ἐγέννησε τὸν Ἀβραάμ, ἀλλὰ μετὰ τὸ ἑβδομηκοςόν. εἰ γὰρ ἐν τῷ ἑβδομηκοςῷ, προσέθηκεν ἄν, ὡς ἔθος αὐτῇ, τὸ, ἔζησε δὲ Θάῤῥα μετὰ τὸ γεννῆσαι τὸν Ἀβραάμ, κτ. διὰ γὰρ τῦ ἑβδομηκοςῦ ἔτυς ἐδήλωσεν ὐχὶ τὸ πότε ἐγεννήθη ὁ Ἀβραάμ, ἀλλὰ τὸ πότε γενναῖν ἤρξατο ὁ Θάῤῥα. ὅσις γεννήσας πρότερον τὰς μὴ ὑπὸ τῆς Γραφῆς μνημονευθείσας ἱὰς ᾗ θυγατέρας· ὐ γὰρ πάντων τῶν γεννηθέντων, ἀλλὰ μόνον τῶν ἐπισημοτέρων μνείαν ποιεῖται ἡ Γραφή. ἐγέννησεν ὕςερον ᾗ τὸν Ἀβραάμ, ᾗ Ναχὼρ, ᾗ Ἀῤῥάν, ἀλλὰ ᾗ τὸ ἐν ποίῳ ἔτει τῆς ζωῆς τῦ Θάῤῥα ἐγεννήθη ὁ Ἀβραάμ, ἐξ ὧν ἡ Γραφὴ φησι, γνῶναι ῥᾴδιον. ἐπεὶ γὰρ ὁ μὲν Θάῤῥα ἔζησε διακόσια πέντε ἔτη, ὁ δὲ Ἀβραὰμ τὴν ἑβδομήκονθα πέντε ἐτῶν, ὅτε, τελευτήσαντος τῦ Θάῤῥα, ἐξῆλθεν ἐκ Χαῤῥὰν, δῆλον ὅτι ὁ Ἀβραὰμ ἐγεννήθη ἐν τῷ ἑκατοςῷ τριακοςῷ ἔτει τῆς ζωῆς τῦ Θάῤῥα. Παραπλήσια τοῖς εἰρημένοις πεφρονηκὼς ἔοικεν ὁ Θεοδώριτος, τελευταῖον, ᾗ ὐχὶ πρῶτον ἱὸν τῦ Θάῤῥα λογισάμενος τὸν Ἀβραάμ. ὐδεμία δὲ χρεία ὐδὲ ἐπὶ τὸ Σαμαρειτικὸν καταφεύγειν ὕφος, ὐδὲ σφάλματα μεταγραφέων ὑποτίθεσθαι, συμφώνων ὄντων τῶν τῦ Μωϋσέως ᾗ Στεφάνυ ῥημάτων ἀλλήλοις τε ᾗ τῷ λόγῳ.

Ορα τὴν Ἑλλ Σειρ. κ. 12. εἰδ. 4. Γεν.

Σημ. 344. *Περὶ τῦ Θάῤῥα ὁ ἐν ἁγίοις Ἐπιφάνιος γράφει τάδε·* „*Γίγνεται δὲ τῷ Σερὺχ παῖς ὁ Ναχὼρ, Ναχὼρ δὲ γεννᾷ τὸν* „*Θάῤῥα. ἐντεῦθεν γέγονεν ἀνδριαντοπλασία ἀπὸ πηλουργίας ᾗ* „*κεραμικῆς τέχνης, διὰ τῆς τῦ Θάῤῥα τύτυ τέχνης. Καὶ πόθεν μὲν ταῦτα ὁ Ἐπιφάνιος παρέλαβεν, ἄδηλον, ἐξ αὐτῦ δὲ τὸν Βολτέρον εἰρημέναι τὸν Ἀβραὰμ κεραμέως ἱὸν, ἐνδεχόμενον.*

Σημ. 345. *Μεταξὺ τῶν ἐν τῷ δευτέρῳ τόμῳ ἐπιςολῶν τῶν Ἰουδαίων, τῶν τῷ Βολτέρῳ πεμφθεισῶν, ἐντέθειται ᾗ ἡ ἐπιτομὴ τῦ ὑπ' αὐτῶν πρότερον φιλοπονηθέντος ὑπομνήματος. ὅτοι οὖν ἐν ταύτῃ τῇ ἐπιτομῇ ἐλέγξαντες αὐτὸν, ὡς μὴ σύμφωνον ἑαυτῷ κᾶν τοῖς ἔτεσι τῆς Σάῤῥας, ὅτε τὴν Αἴγυπτον κατέλαβεν, ἀλλ' ἐν μὲν τῇ περὶ τὴν ἰσοείαν φιλοσοφίᾳ αὐτῦ ἐπιγράψαντα αὐτῇ ἔτη ἑβδομήκονθα·*

κονταπέντε, ἐν δὲ τῷ φιλοσοφικῷ λεξικῷ, καὶ τοῖς ἐν τῇ Ἐγκυκλοπαιδείᾳ ζητήμασιν, ἔτη ἑξηκονταπέντε· ἐνδέμενοι δὲ συντόμως ἢ ὅσα ὁ συγγραφεὺς τῆς δε τῆς βιβλ. ἐνταῦθά φησι, προσιθέασι τὰ ἑξῆς· „Σὺ πάνυ καλῶς γινώσκεις τὴν ὑπὸ σῦ συγγραφεῖσαν „ἱστορίαν, ἢ τὸν κατὰ σὲ αἰῶνα. διὸ ἀγνοεῖν σ' δύνασαι, ὅτι ἑκά„τερον τούτων οὐχ ἓν μόνον προτίθησι περὶ τούτου παράδειγμα·

Σημειώσαντες ἢ τὸ δε τὸ ἐκ τῆς ἐρημένης τῦ Βολτέρυ ἱστορίας ἀποσασμάτιον· „Ὁ κύριος ὁ Βολέτος ἐν ταῖς κριτικαῖς αὐτῦ ἀπο„κρίσεσι, προτείνει μετὰ τὸν Βαντόμον, τὴν Δέκαιναν τῦ Οὐαλεν„τίνυ ἀγρᾶ ἑβδομηκοντούτιδα μὲν λίαν, δε εὐπρόσωπον, ἢ νεαρὰν, „ἢ ἀγαπητὴν, ὡσπερανεὶ τριακοντούτης ἦν, ἔτι δὲ λίαν φιλο„μείνην, ὑφ' ἑνὸς τῶν μεγάλων τῦ κόσμυ Βασιλέων. ἀλλὰ ἢ δέησοι„νάν τινα, ἥτις ἑβδομηκονταεξ ἐτῶν ὄσα, μετενυμφείσατο, ἢ ἔτη „ἑκατὸν ἔζησε, τὴν ὡραιότητα μὴ ἀποτιθεῖσα· πρὸς τούτοις δὲ ἢ „τὴν μάμμην τῆς τῦ Δελφινάτυ Ἡγεμονίδος ὡραίαν, ἢ νεάζυσαν, „καίπερ ἑκατοντούτην, κτ. Ἐκ τούτων ἂν δῆλον, ὅτι ὁ Βολτέρος αὐτὸς ἑαυτῷ ἀντιλέγει, ἢ τοιαῦτα ὑποδείγματα ἐδὼς, ἢ γράψας, πάλιν ἐπιτηδευτικῇ ἐθελοκακίᾳ περὶ τῆς Σάρρας ὑποκριτικῶς ἀπορεῖ, ἢ ἐξίσα).

Σημ. 346. Ἦν ἡ Βυλγάτα παρήγαγε δυσκολίαν διὰ τῦ, ad australem plagam, εἰς τὸ μεσημβρινὸν μέρος, ῥιζόθεν ἡ τῶν Ἑβδομήκοντα μετάφρασις καταργᾶ, γράψασα ἀντὶ τούτυ τὸ, εἰς τὴν ἔρημον. Γεν. 13. 1.

Σημ. 347. Περὶ τῶν ἐν Αἰγύπτῳ Δυναστειῶν ὅρα τὴν 55. σελ. τῆς τῦ Συγκέλλυ χρονογραφίας, ἐν ᾗ παρατίθησι (σελ. 38.) ἢ τάδε· „Ἐπεὶ ἢ ἐκ τῦ πρώτυ τὴν Αἴγυπτον ὑπὸ τῦ Μεσραὶμ τῦ δευτέ„ρυ υἱῦ Χὰμ κατὰ τὴν Γραφὴν, θεὸν δὲ Λεμβρὼδ, υἱῦ Χῦς, υἱῦ „τῦ πρώτυ κατοικισθῆναι ἢ βασιλευθῆναι, ἀφ' ὗ ἢ ἕως τῦδε χρό„νυ παρ' Ἑβραίοις, ἢ Σύροις, ἢ Ἄραψιν ὕτω καλεῖται ἡ χώρα „Μεσραία. ὅρα ἢ τὴν προλαβ. 269. Σημ. Γεν. 10. 6.

Σημ. 348. Ἐν τῷ 17. ἐδαφ. τῦ 1. κεφ. τῦ Ἰὼβ τῆς ἐν Κομπλυ„τενσίᾳ ἐκδσ. ἀντὶ τῦ, Οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, „κεῖ) τὸ, Οἱ Χαλδαῖοι ἐπέθηκαν τρεῖς ἀρχάς. Ἐκ τούτυ ἂν, ὡς ἔοικε, συνάγει ὁ συγγραφεὺς, ὅτι οἱ Χαλδαῖοι εἰς τὰ τῆς Ἰδυμαίας ὅρια, ὅπυ ὁ Ἰὼβ κατῴκει, ἐρχόμενοι ἐλαφυραγώγυν.

Σημ. 340. Τοιαῦται συνέπειαι, μηδεμιᾶς ἀφεύκτυ ἀνάγκης προκειμένης, ὃ μόνον ἐισὶ μάταιαι, ἀλλὰ ἡ ἱκαναὶ πολλὴν ἐνεάξαι ἀμφιβολίαν περὶ τῦ τῶν θείων τεύχεων ἀκιβδήλυ. ἅπαξ γὰρ δοθέντ@ τῦ τὰς μεταγραφᾶς ἐν τῷ τὴν θείαν μεταγράφειν Γραφὴν ἕτερον ἀντὶ ἑτέρυ ἐπιτηδὲς ἀντικαταξῆναι ὄνομα, περὶ πάσης τῶν Γραφῶν λέξεως διςάσειεν ἄντις, ἡ ἀμφιγνοήσειε περὶ τῦ πότερον, γνησία ἐσὶν ἡ ἀναγινωσκομένη, ἢ ἀντικαταξαθεῖσα ὑπὸ τῦ μεταγραφέως. ἀλλ' ὐδὲ πεθανὸν ἔοικε τὸ ἕνα τῶν μεταγραφέων, ὄνομα ἀντὶ ὀνόματ@, τὸ νεώτερον ἡ γνωσὸν, ἀντὶ τῦ παλαιοτέρυ ἡ ἀγνώσυ σαφηνείας χάριν ἀντεισάξαι· ἡ ταῦτα ἐν τῷ Δὰν μόνον ὀνόματι, κἂν ἡ ἄλλα τοιαῦτα ὁ μεταγραφεὺς ὅτ@ συνήντησεν ὀνόματα ἀγνοούμενα, ἡ διὰ τῦτο μεταβολῆς δεόμενα· ἀλλὰ γὰρ κείσθω ἐκεῖνον τολμῆσαι τῦτο, ὅπερ ἐσὶν ἀντὶ τῦ Λάϊσα γράψαι τὸ Δὰν· πῶς ἂν πάντα τ' ἄλλα τῆς Γραφῆς τεύχη, τὰ μὴ ὑπ' αὐτῦ μεταγραφέντα, εὑρέθησαν μὴ περιέχοντα τὸ, Λάϊσα, ἀλλὰ τὸ, Δάν; ἢ χρὴ ἄρα πιςεύειν, ὅτι πάντα μὲν τ' ἄλλα ἐξέλειπον, ἐξ αὐτῦ δὲ τῦ κιβδηλοθέντ@, πάντες ὡς ἐξ ἑν@ ἡ μόνυ πρωτοτύπυ, μετέγραψαν, ἡ μετέφρασαν, ἡ ἐξέδωκαν, τὶς ὐκ ὁρᾷ, ὅτι ταῦτα ὑποθέσεις εἰσὶ πάσης πεθῦς ἄμοιροι, εἶτα τὶς ἂν ἑξῆς γένοιτο ἐκπαλαί τε ἡ νῦν ἡ τόπυς ἡ πόλεις ταυτωνύμυς ὑπάρχειν; πάνυ δὲ πεθανῦς ὄσης τῆς τῦ προκειμένυ ζητήματ@ λύσεως, ἐξ ὧν φησὶν ὁ Ἱερώνυμ@, ποία ἡ ἀνάγκη ἅλοιώσεις ἡ ὀνομάτων ἀντικαταξάσεις ἐν τῇ Γραφῇ ὑποτίθεῶαι, ἡ ἄλλας ἀπεθάνυς ζητεῖν λύσεις;

Σημ. 350. Ἐν μὲν τῇ Βυλγάτῃ κεῖται τὸ, et Danna, et Cariathsenna, hæc est Dabir. Καὶ Δάννα, ἡ Καριαθσέννα, αὕτη ἐσὶ Δαβὶρ· Ἐν δὲ τῇ τῶν Ἑβδομήκοντα, τὸ, Καὶ Ῥεννὰ, καὶ πόλις Γραμμάτων, αὕτη Δαβίρ. Ἀντὶ δὲ τῦ Δαβὶρ, Δὰβ γράφει ὁ Ἀλεξανδρ. κῶδ. ἡ ἡ τῦ Ἀλδ, ℭ ἡ ἐν Κομπλυτενσ. ἐκδ. Ιωσ. 15. 49.

Σημ. 351. Ἰδὲ τὰ τῦ Ἡροδότυ ῥήματα· „Μόνοι πάντων ἀνθρώ„πων Κόλχοι, ἡ Αἰγύπτιοι, ἡ Αἰθίοπες περιτέμνονῦ ἀπ' ἀρ„χῆς τὰ αἰδοῖα. Φοίνικες δὲ ἡ Σύροι, οἱ αὐτῇ Παλαισίνῃ, ἡ „αὐτοὶ ὁμολογέυσι παρὰ Αἰγυπτίων μεμαθηκέναι. Βιβ. 2. σ. 127. τῆς ἐν Φραγγοφ. ἐκδ.

Σημ.

Σημ. 352. Λ γνοεῖ τοῦτο ἡ αὐτὸς ὁ Ἡρόδοτος, λέγει γὰρ. „Λὺ-
„τῶν δὲ Αἰγυπτίων ἡ Αἰθιόπων οὐκ ἔχω εἰπεῖν ὁκότεροι παρὰ
„τῶν ἑτέρων ἐξεμαθον τὴν περιτομήν.

Σημ. 353. Ἐν μὲν τῇ τῶν Ἑβδομήκοντα μεταφράσει τρία μέτρα σε- Γεν. 18. 6.
μιδάλεως κεῖ). παρὰ δὲ Ἀκύλᾳ ἡ Συμμάχῳ, Σάτα, οἷς ἡ Βυλ
άτα συνάδει. τρία δὲ Σάτα συγκροτοῦσι Ἶφι ἓν. τὸ δὲ Ἶφι ἴ-
σον Πίνταις (μέτρον Γαλλῶν ἡ Πίντα) 29, ἡ μικρόντι πλέον. πολ-
λὰς δὲ πάντως ὁ Ἀβραὰμ ἡτοίμασεν ἄρτους. ἀλλ' ἔθος ἦν τοῖς
ἐν τῇ Ἀνατολῇ παλαιοῖς ἐν τῇ ποικιλίᾳ, ἀλλὰ τῷ πλήθει τῶν
βρωμάτων τὰς φιλοξενουμένους τιμᾶν ξένους. ὅρα περὶ τούτου τὰ τοῦ
Καλμέτου ὑπομνήματα εἰς τὸ 6. ἐδ. τοῦ 18. κεφ. τῆς Γενέσ. μήτι
δὲ τὰ τῶν Ἑβδομήκοντα μέτρα ἐλάττονα τῶν Σάτων ἐμφαίνει πο-
σότητα. τὸν δὲ Βολτέρου κατὰ παραδρομὴν ὅτω παχυλῶς παρα-
λογισθῆναι, ἃ πάνυ πιθανὸν ἔοικε. μήτι δὲ ἐπίτηδες παρελογίσα-
το, ἀπίθανα δεῖξαι βυλόμενος κἂν τούτῳ τὰ ὑπὸ τῆς Γραφῆς
ἰσορύμενα.

Σημ. 354. Τὸ, Εἰς τὸν καιρὸν τοῦτον ἀναστρέψω πρός σε εἰς ὥρας. Γεν. 18. 14.
„Ὁ σὺν τῇ ἑλληνικῇ εἰς τὴν Ὀκτάτευχον Σεπτ. Ἀδηλος, προσ-
φυῶς διερμηνεύων, φησί· „Τετέρτῳ τῷ ἐξῆς ἔτει σὺν καιρῷ τῆς ὁ-
„πώρας. Συνάδει δὲ τῷ, Τὴν Διαθήκην μου στήσω πρὸς Ἰσαὰκ, Γεν. 17. 21.
„ἣν τέξεταί σοι Σάρρα εἰς τὸν καιρὸν τοῦτον, σὺν τῷ ἐνιαυτῷ τῷ
„ἑτέρῳ.

Σημ. 355. „Ὁ Ὠριεὺς Κλονίαν ἔχων γυναῖκα, ἅπαις ἐτύγχανε.
„ποτὲ γὰρ Ζεὺς, ἡ Ποσειδὼν, ἡ Ἀπόλλων τῷ Ὠριεῖ τούτῳ ἐπεξενώ-
„θησαν. ἡ ὃς βᾶν θύσας, αὐτοὺς ὑπεδέξατο. οἱ δὲ ἔφασαν αἰτεῖν ὃ
„βύλοιτο, ὡς δὲ παῖδας γενέσθαι αὐτῷ ἠτήσατο. οἱ τρεῖς τῇ τοῦ
„σφαγέντος βοὸς βύρσῃ ἐξύρησαν. (σὺ ταῦτα τὴν αἰχρολογίαν
αὐτοῦ ὁ Βολτέρος ἐξέθετο, ἀντὶ τοῦ ἐξύρησαν, τὸ σπέρμα αὐ-
τῶν ἐξέχεον, ἐπών.) ἡ ἐξ αὐτῶν ὁ Ὠρίων ἐγένετο, κληθεὶς ὄ-
„τως, ὡς ἐκ τῶν οὔρων τεχθείς. ὅθεν ἡ τρίπατρον τοῦτον καλεῖ
„Λυκόφρων, κτ. παρὰ Βαρίν. ἐν τῷ Ὠριεύς.

Σημ. 356. Τῷ ὄντι περὶ τούτου ὁ συγγραφεὺς διεξοδικῶς ἐλάλησε.
(ἐν β. 1. κ. 1. Ἀρχ. 1. ἡ. β. 3. κ. 9. τοῦ περὶ τῶν Χαρακτήρ.
τοῦ Μεσίου πονήμ. αὐτοῦ.) τῶν ὑπ' αὐτοῦ δὲ εἰρημένων ἐννοίας τι-
νὰς

νὰς ἐκλέξαντες, ἢ εὐρυθμότεραν ἀναπλάσαντες, ἢ ἐπανορθώσαντες, παρατίθεμεν, ἢ τὸ δοκεῖν ἡμῖν περὶ τῆσδε τῆς τῦ Θεῦ ἐπ-
Γεν. 12. 3. αγγελίας. „Καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς „γῆς. Ἐν τῷ τέλει προθέντες.

Ἡ εὐλογία ἐνταῦθα ὐδὲν ἕτερον σημαίνει, εἰ μὴ τὸν φωτισμὸν τῆς εἰς τὸν ἀληθινὸν Θεὸν ἀληθοῦς πίστεως, ἐξ ἧς ἡ αἰωνί-
σωτηρία. ἐν τῷ Ἀβραὰμ δὲ ἐνυπάρχειν τὴν τοιαύτην εὐλογίαν καταγγέλλει, διὰ τὸ ἐκ τῦ σπέρματος αὐτῦ σαρκωθῆναι τὸν τῦ φωτισμῦ τῆς σωτηρίυ πίστεως χορηγὸν, ἢ διδάσκαλον, Ἰησῦν τὸν Σωτῆρα. πρὶν μὲν ὃ τῆς ἐν γῇ παρουσίας αὐτῦ, πλὴν τῦ Ἀ-
Δευτ. 6. 4. 5 βραὰμ ἢ τῶν ἐξ αὐτῦ· οἵτινες εἰς ἕνα Θεὸν ἄϋλον, ποιητὴν ἢ
10. 17. προνοητὴν τῦ παντὸς, βραβευτὴν τῆς ἀρετῆς, ἢ τιμωρὸν τῆς κα-
Ἡσ. 46. κίας ἐπίσταν, ὡς τὰ ἱερὰ μαρτυροῦσι βιβλία. πάντα τὰ λοιπὰ
Μαλαχ. 2. ἔθνη ἐν τῷ τῆς κακοπιστίας σκότει ἐκάθευδον. πάρεστι τῦτο ἰδεῖν
Ψαλ. 78. 5 παρ' Ὁμήρῳ, Ἑ Ἡσιόδῳ, ἢ Σαγχωνιάθωνι, ἢ Ἡροδότῳ, ἢ Διο-
95. δώρῳ τῷ Σικελιώτῃ, ἢ συνελόντι φάναι, ἐν πᾶσι τοῖς ὑπομνήμασι τῆς ἐθνικῆς θεολογίας, ἐν οἷς ἐν τοσούτοις εἴδεσιν ἡ Θεότης μερίζεται, ὅσα τὰ ἐν τῇ κτίσει τῶν διαφόρων κτισμάτων εἴδη, ἢ πάσαις ὑποβολαῖς ταῖς σωματικαῖς ἀλλοιώσεσι, ἢ πᾶσι καταφορτίζεται τοῖς τῶν ἀνθρώπων ἐλαττώμασί τε ἢ πάθεσι.

Μάτην δὲ τὴν σήμερον οἱ ἄπιστοι ἀποδεῖξαι διαχυρίζονται, ὅτι οἱ ἐθνικοὶ διέκειλον τῶν ἄλλων Θεῶν, ἢ τῶν ἡμιθέων τὸν τῶν Θεῶν κύριον· οἱ δὲ Ῥωμαῖοι ἐγνώριζον, ἢ ἀνενδότως ἐλάτρευον ἑνὶ ὑπερτάτῳ Θεῷ, ἀγαθώτατον αὐτὸν ἢ μέγιστον προσαγορεύοντες. ἐλέγχονται δὲ ἐκ τῦ τοῖς πᾶσι δῆλον εἶναι, ὅτι ὁ ὑπερτάτος ἢ ἀγαθώτατος, ἢ μέγιστος Θεὸς αὐτῶν ἦν ὁ Ζεύς. ὃν γονεῖς ἔχειν ἐκήρυττον, ἢ ἀδελφὰς, μεθ' ὧν τὴν τῦ παντὸς βασιλείαν ἐμέριζεν· ὃ ἢ τὰς πολέμους ἔψαλλον, ἢ τὰς μοιχείας ἐώρταζον, ἢ τὴν κατὰ τῦ πατρὸς αὐτῦ ἀνύμνυν ἀποσασίαν. (ὅρα τὰ ς. πρῶτα βιβλ. τῆς εὐαγγελ. προπαρ. τῦ Εὐσεβ.) ταῦτα δὲ ὐκ ἦσαν τῶν χυδαίων ἐθνικῶν ἢ δεισιδαιμόνων φρονήματα, ἀλλὰ τῶν ποιητῶν αὐτῶν, ἑ ἱστορικῶν, ἢ θεολόγων διδασκαλίαι, ἢ τῶν πόλεων θρησκεία, ἧς τὸ ἀπρεπὲς μετὰ πολὺν τὸν χρόνον τῷ τῆς ἀλληγορίας καλύμματι ἐπικαλύψαι οἱ τότων φιλόσοφοι ἠναγκάσθησαν. οἵτινες κἂν τῇ τῆς εὐφυΐας αὐτῶν δυνάμει τὸν νῦν ἄχρι τῦ πρώτυ ὄντος ὕψωσαν, ὐχ ὅμως ἢ καθάπερ ἔδει ἐδόξασαν αὐτόν. ὐδὲ ὃ ἐπαύσαντο ἐπὶ κοινῦ ἐπιτελεῖν, ἃς κατ' ἰδίαν ἀπεσχέφοντο ψοδοβεβηλολατρείας.

Τὶς

Τίς ἦν τὸν μηδαμῶ, πλὴν τῆς Ἰουδαίας, γνωριζόμενον ἀληθινὸν Θεὸν, γνωστὸν πᾶσι τοῖς ἔθνεσι πεποίηκεν; οὐδεὶς ἂν ἐξαρκήσαιτο, τοῦτο τῷ εὐαγγελικῷ κηρύγματι εἶναι κατόρθωμα. πότε τὰ ἔθνη τοὺς ψευδοθεοὺς κατέλιπον, ἵνα τῷ ἐν μόνῃ τῇ Ἰουδαίᾳ λατρευομένῳ ἀληθινῷ Θεῷ πιστεύσωσι, ἢ αὐτῷ μόνῳ τὴν λατρείαν προσενέγκωσιν; ἢ δῆλον, ὅτι τότε ἕνα Θεὸν ὁμολογεῖν ἤρξαντο, ὅτε τῷ ὑπ' αὐτοῦ σαλεύτι σωτῆρι Ἰησοῦ ἐπίστευσαν.

Ἐνετείλατο ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ μαθητεῦσαι πάντα τὰ ἔθνη τῆς εὐσεβείας τὴν ἀλήθειαν, ἣν παρ' αὐτοῦ ἐδιδάχθησαν, ἔσεσθαί τε αὐτῷ μάρτυρας οὐ μόνον ἐν Ἱερουσαλὴμ, ἢ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, ἢ Σαμαρείᾳ, ἀλλ' ἕως ἐσχάτου τῆς γῆς. οἱ δὲ ἐξελθόντες ἐκήρυξαν τὸ ὄνομα αὐτοῦ οὐ μόνον πᾶσι τοῖς ἐν τῇ Ῥωμαίων ἐπικρατείᾳ, ἀλλὰ καὶ Σκύθαις, ἢ Πάρθοις, ἢ Ἰνδοῖς. διὸ ψεύδως ἐγκληθῆναι μηδόλως δεδιὼς ὁ θεηγόρος Ἀπόστολος, ἀνυποφόλως ἔγραφεν, ὅτι ἡ μὲν τῶν ἐν Ῥώμῃ χριστιανῶν πίστις ἐν ὅλῳ τῷ κόσμῳ καταγγέλλεται, ὁ δὲ τῶν Ἀποστόλων φθόγγος εἰς πᾶσαν ἐξῆλθε τὴν γῆν, ἢ τὰ ῥήματα αὐτῶν εἰς πᾶσαν τὴν οἰκουμένην. μικρὸν δέ τι μετὰ τὴν τῶν Ἀποστόλων τελευτὴν οἱ ὑπὲρ τῶν χριστιανῶν ἀπολογούμενοι ἀκμαζούσας ἐδείκνυον ἐκκλησίας οὐ μόνον ἐν πάσαις ταῖς ὑπὸ τὸς Ῥωμαίους Ἐπαρχίαις, ἀλλὰ ἢ ἐν τοῖς ἀσηλαίοις τῆς Σκυθίας, ἢ ἐν τοῖς ἀγροῖς τῆς Γερμανίας, ἢ ἐν ταῖς εὐμεγέθεσι τῆς Ἀφρικῆς χώραις, ἐν αἷς ὅπως εἰσεληλυθότα ησαν τὰ τῶν Ῥωμαίων κρατούμενα. „Χθιζοὶ μὲν ἡμεῖς, εὐθαρσῶς ἔλεγον „ὁ Τερτυλλιανὸς τοῖς ἐν Ῥώμῃ Ἄρχουσι, πανταχῆ ὅμως ἐσμὲν, „πόλεις πληροῦντες ἢ ἀγρούς, δικαστήρια ἢ πλατείας, ἢ μέρος „συνισῶντες ἀξιόλογον τῶν ὑμετέρων κρατουμάτων. ἐν μόνοις δὲ „τοῖς τῶν Θεῶν ὑμῶν βωμοῖς ὑμᾶς οὐ συναντᾶτε, ἐὰν ἡμεῖς ἀφ' „ὑμῶν ἀπελθόντες, ἐν γωνίᾳ τινὶ τῷ κόσμῳ οἰκήσωμεν, θαυμάσε„τε, τὸ καταλειφθὲν κενὸν ἰδόντες. Τούτοις δὲ ἢ αὐτοὶ συνάδουσιν οἱ ἐθνικοί. μόλις δὲ ἑξήκοντα ἔτη παρεληλυθότα ησαν μετὰ τὴν τοῦ Σωτῆρος ἀνάστασιν. ὅτε ὁ Πλίνιος, ὁ τῆς Ἀσίας διοικήτωρ τῷ Αὐτοκράτορι ἔγραφε Τραϊανῷ, τὸς ἐν τῇ ὑπ' αὐτὸν Ἐπαρχίᾳ χρι„στιανὸς τοσούτους εἶναι τὸ πλῆθος, ὥστε ἐρημωθῆναι μὲν τὰ τῶν „Θεῶν τεμένη, μὴ εἶναι δὲ, μηδὲ μικράν τινα πόλιν, μηδὲ ἄσημον „κώμην, ἐν ᾗ μὴ περιπολεύειν τὸς τῆς θρησκείας ταύτης ὁμολο„γητάς.

Matth. 28. 19. 20.

Πράξ. 1. 8.

Rom. 1. 8. καὶ 10. 18.

Tertull. in Apologet.

Σημειωτέον δὲ ἐνταῦθα, ὅτι διεξοδικὸν ὁ συγγραφεὺς ἐκθέσεως λόγον, τὰ εἰς Χριστὸν πιστεύσαντα ἀριθμῶν ἔθνη, δεῖξαι βουλόμε-

ν

νος ἐν αὐταῖς ταῖς καθ' ἡμᾶς ἡμέραις τὴν ἁπανταχοῦ τῆς γῆς ὕπαρξιν τῆς χριστιανικῆς σωτηριώδους πίστεως. ἐπεὶ δὲ περὶ αὐτῆς λαλῶν, ἐκλαμβάνει ἀδιαφόρως πάντας τοὺς καλουμένους χριστιανοὺς, αἱρετικούς τε καὶ σχισματικοὺς, ἐνίστανται αὐτῷ οἱ ἄπιστοι, λέγοντες. ἐπεὶ κατὰ τὸ τῶν καλουμένων Καθολικῶν φρόνημα. οἱ Καθολικοὶ μόνοι σώζονται, τοῖς λοιποῖς ἄρα χριστιανοῖς ἡ εἰς Χριστὸν πίστις οὐκ ἔστι σωτήριος. πάνυ δὲ ὀλίγοι εἰσὶν οἱ Καθολικοὶ, τῶν λοιπῶν χριστιανῶν ἐξαιρεθέντων. καὶ ἀγωνίζεται μὲν ὁ συγγραφεὺς τῇ ἐνστάσει ἀπαντῆσαι. σαθρὰ δὲ τίθησι τῆς ἀπαντήσεως αὐτοῦ τὰ θεμέλια, τουτέστι τὰ τοῦ Πάππα γνωμοδοτήματα. ὧν τὰ μὲν τοῖς τῶν οἰκουμενικῶν Συνόδων κανόσιν ἀντίκειται. οἷόν ἐστι τὸ δεκτὸν καὶ σωτήριον εἶναι πάντων ἀδιαφόρως καὶ χωρίς τινος ὑποδιαστολῆς, τῶν αἱρετικῶν τὸ βάπτισμα. τὰ δὲ ἀναπόδεικτά εἰσι καὶ ἀπαράδεκτα, ὡς μηδαμοῦ στηριζόμενα, οἷον τὸ, πάντας τοὺς αἱρετικοὺς, τοὺς τὸ ὀρθόδοξον κήρυγμα μηδὲ ἀκούσαντας, μυστηρίων ἀληθινῶν διὰ χειρὸς τῶν αἱρετικῶν μεταλαμβάνειν, καὶ σώζεσθαι ἐπίσης τοῖς τὸν λόγον τῆς ἀληθείας ὀρθοτομοῦσι.

Τὴν τοῦ προκειμένου πολυθρυλλήτου ζητήματος λύσιν ἡ θεόπνευστος ἡμᾶς διδάσκει Γραφή. „τῷ δὲ Ἐνευλογηθήσονται ἐν σοὶ „πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ὡσαύτως καὶ τοῖς τούτῳ ὁμοίοις, τοῖς καταγγέλλουσι τὴν διὰ τῆς εἰς Χριστὸν πίστεως χάριν καὶ σωτηρίαν, τὸ πότε οὐ πρόσκειται. μάτην οὖν, μᾶλλον δὲ παραλόγως ἡμεῖς. οἷς περ οὐ δέδοται τὸ γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. ὁρίζομεν καιρὸν ἐκπληρώσεως τῆς καθολικῆς εὐλογίας τὸν ἀπὸ χριστοῦ ἄχρι τῆς σήμερον παρεληλυθότα χρόνον. ἱκανῶς δὲ ἀποδείκνυσι τὴν εἰς τὰ ἔθνη Ἀβραμιαίαν εὐλογίαν τά τε εὐθὺς μετὰ Χριστὸν, καὶ τὰ μετὰ ταῦτα πιστεύσαντα, καὶ ἄχρι τοῦ νῦν ὀρθοδόξως πιστεύοντα ἔθνη. ἱκανὰ δὲ παρέχει ἡ τοιαύτη ἐπιστροφὴ δείγματα, τῆς καὶ εἰς πάντα τὰ λοιπὰ ἔθνη μεταδόσεως τῆς αὐτῆς εὐλογίας πρὸ τῆς τοῦ κόσμου τούτου συντελείας κατὰ τὴν δεσποτικὴν ἀπόφασιν, τὴν φάσκουσαν, „καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ Εὐαγγέλιον. Εἰ δέ τις τὸ τοῦ παρεληλυθότος καιροῦ μῆκος προβάλλῃ, σκεπτέσθω τὸ „Χίλια ἔτη ἐν ὀφθαλμοῖς σου Κύ„ριε ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθεν. ἔτι καὶ τὸ, ὅτε ἦλθε τὸ „πλήρωμα τοῦ χρόνου ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ. Ὥσπερ δὲ ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου τῆς ἐν γῇ παρουσίας τοῦ υἱοῦ αὐτοῦ, τότε ἐξαπέστειλεν αὐτὸν ὁ Θεὸς, οὕτως ἐπειδὰν ἔλθῃ τὸ πλήρωμα τοῦ χρόνου τῆς εἰς πάντα τὰ ἔθνη εὐλογίας αὐτοῦ, τότε πάντα τὰ

Γεν. 15. 3. καὶ 18. 18. καὶ 22. 16. καὶ 26. 4.

Πράξ. 1. 7.

Μάρ. 13. 10.

Ψαλ. 91. 4.

Γαλ. 4. 4.

ἔθνη

ἔθνη τῷ τῆς ὀρθοδοξίας φωτὶ καταλαμφθήτε). μόνῳ δὲ τῷ Θεῷ γνωσὸν τότε τὸ χρόνῳ τὸ πλήρωμα. Ἀλλ' ἐρεῖτις, διατί τοσαῦτα ἀνθρώπων πλήθη ἡ μετὰ τὴν Χριςὸ ἐπὶ γῆς παρουσίαν κατελέφθησαν ἀφώτιςα; διότι τῆς τοιαύτης χάριτος ὐκ ἦσαν ἄξια διὰ τὴν τῆς προαιρέσεως αὐτῶν μοχθηρίαν. ἐγίνετο δ' ἂν αὐτοῖς τὸ τῆς πίςεως κήρυγμα πλέον κατάδικης πρόξενον, κατὰ τὸ, „ὁ γνὺς ἡ μὴ ποιήσας, δαρήσεται πολλὰς, ὁ δὲ μὴ γνὺς. ποιή- „σας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. ἡ κατὰ τὸ. Τύρῳ ἡ „Σιδῶνι ἀνεκτότερον ἔσαι ἐν τῇ κρίσει, ἢ ὑμῖν. Λυκ. 12. 47. 48. Λυκ. 10. 14.

Σημ. 357. Εἰπὼν ὁ Βολτέρος τὸ, ὃ λογίζονῦ εὐλογημένοι, προσίθησι τὰ ἑξῆς. „Ταῦτά εἰσι μικραὶ δυσκολίαι, συχνάκις συναντώμε- „ναι. δεῖ δὲ ὑπεράνω αὐτῶν διελθόντας, καταντῆσαι εἰς τὸ ὐσιῶδες, „ὅπερ ἐςὶν ἡ εὐσέβεια, ἡ τελεία ὑπακοὴ εἰς τὴν κεφαλὴν τῆς Ἐκ- „κλησίας, Ϛ εἰς τὰς οἰκυμενικὰς Συνόδυς. τὶς γὸ ἄνῳ τῆς ὑπα- „κοῆς ταύτης μόνῃ τῇ τῦ νοὸς αὐτῦ δυνάμει κατανοῆσαι δύναται, „πῶς ὁ Θεὸς τοσῦτον φιλικῶς ἐλάλει μετὰ τῦ Ἀβραὰμ, κατα- „ποντῆσαι, ἡ καταπαῦσαι μέλλων πέντε ὁλοκλήρυς πόλεις; ποία „δὲ διαλέκτῳ ἐλάλει; πῶς εἰς γέλωτα ἐκίνησε τὴν Σάῤῥαν; πῶς „ἔφαγε; πᾶσα λέξις κὰν τῇ πιςοτάτῃ ψυχῇ ἀμφιβολίαν ἐπε- „γείρει.

Πᾶσα ψυχὴ πιςὴ πάνυ καλῶς οἶδεν, ὅτι ὐχ ὁ Θεὸς τὴν Σάῤῥαν εἰς γέλωτα κεκίνηκεν, ἀλλ' ἐκείνη ἀνθρώποις διαλέγεσθαι τὸν Ἀβραὰμ νομίζυσα, τὸ παράδοξον τῦ τοκετῦ ἀκύσασα, ἐγέλασε. πᾶς τις δὲ, ὁ Θεὸν πάντα δύνασθαι πιςεύων, ὡς ἰσὸν ἀράχνης διαλύει πάντα τὰ προκείμενα ζητήματα. ἔςω, ἀγνοῦμεν τὸ πῶς. τί ὖν ἐκ ταύτης συνάγεται τῆς ἀγνοίας; τὸ, ὅτι ὐ γεγόνασι τὰ γεγονότα; ἀγνοῦμεν τὸ πῶς ὁ Θεὸς ἐκ τῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παρήγαγε. πῶς τοσῦτον πλῆθῳ ὐρανίων σωμάτων, ἡ τοσαύτην ποικιλίαν ζώων, φυτῶν, λίθων πεποίηκε. πῶς ἕκαςον τῶν ὄντων κοινοῖς ἡ ἰδίοις ἀμεταβλήτοις νόμοις ὑπέταξε. συνάγωμεν δ' ἄρα ἐκ τῆς ἀγνοίας τῦ πῶς τὸ, ὅτι ταῦτα ὐ γεγόνασιν; ὐδαμῶς, ἡ γὸ ὑπάρχυσι, ἡ ὁρῶνται, ἡ τὸ παντοδύναμον τῦ ποιητῦ αὐτῶν κηρύττυσιν. εἰπάτω ἡμῖν αὐτὸς, πῶς ὁ μάγνης πόλυς ἔχει ἐπὶ τὺς τῦ ὐρανῦ ῥέποντας Ϛ διευθυνομένυς, πῶς ἕτερον τὸ ἕτερον σῶμα ἀπωθεῖται, ἡ ἐφέλκει. εἰπάτω κἂν, πῶς τὸ ὠθῦν τῷ ὠθυμένῳ μεταδίδωσιν, ἣν ἀπόλυσι δύναμιν, ἡ τότε ἐρῦμεν αὐτῷ πῶς ὁ Θεὸς ἐλάλει, οἱ δὲ ἄνθρωποι αὐτῦ ἤκυον, πῶς ἔφαγε, πῶς

τὴν τῦ Λὼτ γυναῖκα εἰς ςήλην ἁλὸς μετέβαλε. κτ. εἰ ὃν κατανοῆσαι ἃ δυνάμεθα τὸ πῶς γίνονται τὰ εν χερσὶν ἡμῶν γενόμενα, πόσῳ μᾶλλον τὸ πῶς ὁ Θεὸς ἐν τοῖς ποιήμασιν αὐτῦ ἐνεργεῖ.

Σημ. 358. Ὅτι σῶμα ὑλικὸν, οἷον τὸ ἡμέτερον ἀνέλαβον οἱ ἐν Σοδόμοις Ἄγγελοι, ἐδαμόθεν δῆλον. ἀλλ' ὅδε ἀναγκη τῦτο ὑποτίθεσθαι. δυνατὸν γὰρ τῇ τῦ Θεῦ παντοδυναμία τοιαύτην ἐν ἡμῖν ἐμποιῆσαι προτβολὴν, οἵαν ἡ τὸ ἔμπροσθεν ἡμῶν ἐςὸς ἀνθρώπινον σῶμα, κἂν πράγματι ἡ ἀληθὲς τῦτο μὴ παρῇ. οἴδαμεν δὲ, ὅτι ἐνίοτε κοιμώμενοι, μηδενὸς παρόντος, ἢ τῶν αἰσθήσεων καθησυχαζόντων, ἢ ὁρῶμεν τινὰς, τῦς χαρακτῆρας τῦ προσώπυ αὐτῶν ἐντελῶς διακρίνοντες, ἢ ἀκόμεν αὐτῦς λαλῦντας, ἢ συλλαλῦμεν αὐτοῖς, ἢ ἁπτόμεθα αὐτῶν, ἢ ταῦτα τοιῦτον παχυλῶς, ὥςε ἢ γελᾶν ἐνίοτε, ἢ δακρύειν, ἢ ξένειν. ἢ ἄλλο τὶ πραγματικῶς ἢ αἰσθητικῶς ἡμᾶς ἐνεργεῖν, ἅπερ ὃν ἡ τῆς φύσεως δύναμις ποιεῖ, ἡμῶν μηδὲν κατανοόντων, πολλῷ μᾶλλον ἡ τῦ Θεῦ παντοδυναμία ποιῆσαι δύναται. Κἂν ὁποιοδήποτε δὲ τὴν μορφὴν ὤφθησαν οἱ Ἄγγελοι, ὄχ ἵνα βδελυρὰς ἐμπνεύσωσιν ἐπιθυμίας τοιῦτοι ἐφάνησαν, ὡς ὁ ἄπις ἄνδρ τινὸς ἀποδέξεως λέγει, ἀλλ' ἵνα τὸν Λὼτ ἐκ τῆς καταςροφῆς διαφυλάξωσιν, ὡς ἡ τῆς θεοσδότυ Γραφῆς ἱςορία ἐπιβεβαιοῖ.

Κωλ. ἐν τοῖς εἰς το 19. κεφ. τῆς Γεν. υ-πομν.

Σημ. 359. „Καὶ αὐτὸ τὸ τῆς γυναικὸς τῦ Λὼτ ὄνομα, φησὶν ὁ Καλ-„μέτος, τῦς Ῥαββίνυς ὄκ ἔλαθεν. Ὁ μὲν γὰρ Ῥαββίνος Ἰακὼβ „Βαὰλ Τσρὶμ καλῶ αὐτὴν Ἀριθ, ἢ Ἐριθ. ὁ δὲ Ζεννορένας, Ἀ-„ρὼθ, ἢ Ἰρὼθ. ὁ δὲ Πρίκε Ἐλιέζερ, Ἀλὼθ. ἄλλοι δὲ Λίτεαν. „πάντα δὲ ἀβέβαια. Ἐκ τύτων δὲ, ὡς ἔοικε, προήχθη τὸ τῦ Βολτέρυ Ἐδίθ.

Σημ. 360. Πῶς; ἡ μεταμόρφωτις τῆς τῦ Λὼτ γυναικὸς εἰς ςήλην (ὄκ εἰς ἀνδριάντα) ἄλατος, ἐςὶ μεγάλη σκανδάλυ πέτρα; τὐναντίον ἀληθές. μεγάλη γὰρ ὠφελείας πέτρα τοῖς ευφρονῦσι τὸ παράδειγμα τῦτο πέφυκε. Ἡ τῦ Λὼτ γυνὴ ἐκ τῶν Σοδόμων φεύγυσα, ποίαν ὁδὸν ἐπορέυετο; ἢ δῆλον, ὅτι τὴν τῆς σωτηρίας αὐτῆς. τὶ δὲ ἰδεῖν ἐςράφη; τὸν τῆς ἀπωλείας πάντως τόπον, ἢ ταῦτα ἐντολὴν λαβῦσα τῦ μὴ περιβλέψαι εἰς τὰ ὀπίσω. διὰ τῦτο ὃν ἐμφανέσατα ἐδίδαξεν ἡμᾶς ὁ Θεὸς, ὁποίω ἑαυτὸς ἐμβάλλυσι κινδύνω οἱ τὴν ὁδὸν τὴν πρὸς σωτηρίαν αὐτὸς ἄγυσαν καταλιμπάνοντες, ἢ

Γεν. 19. 17.

πάλιν

πάλιν τὸ τῆς ἀπωλείας περιβλέποντες, βάραθρον. διὸ δὴ ϗ ὁ Σωτὴρ ἔφη. „Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτῦ ἐπ' ἄροτρον, ϗ βλέ„πων εἰς τὰ ὀπίσω, εὔθετός ἐςιν εἰς τὴν Βασιλείαν τῦ Θεῦ. μνημονεύειντε τῆς τῦ Λὼτ γυναικὸς ἐνετείλατο.

Σημ. 361. Ἰδὲ τὰ παράδοξα, τὰ προσεθέντα τῇ τῆς Γραφῆς ἱςορίᾳ. Ὁ μὲν Σεβήλιος, ϗ Βικτωρ ὁ Κλαύδιος, (ἐν βιβ. 3. εἰς τὴν Γεν. κ. 2.) ϗ ἄλλοι φασὶ, τὸν τῦ ἁλὸς ἀνδριάντα τὴν τῆς γυναικὸς τῦ Λὼτ μορφὴν ἐμφαίνειν, ϗ ἀνελλιπῆ διαμένειν, κἂν οἱ ἐκεῖθεν διερχόμενοι τμήματα ἀπ' αὐτῦ συνεχῶς ἀποτέμνωσι. τὸ δὲ Ψευδεπίγραφον τῦ Τερτυλλιανῦ περὶ τῶν Σοδόμων ςοιχείωμα, ϗ καταμήνια ἐκ τῦ αὐτῦ ἐκρεῖν ἀνδριάντος διαλαμβάνει. μάτην δὲ τῦτο αὐτὸ ϗ τὸν ἐν ἁγίοις Εἰρηναῖον εἰρηκέναι ὁ Βολτέριος ἔφη. τὸ μὲν δὴ περὶ τῦτο ἑλληνικὸν τῦ Εἰρηναίυ ὕφος ἐξέλειπε, καθάπερ ϗ ἄλλα τῶν τῦτο πονημάτων. ἡ δὲ λατινικὴ τῦτο μετάφρασις ἀσαφὴς ἐςι ϗ κακόζηλος, ϗ ἀκατανόητος, τὸ δὲ Ἱεροσολυμητικὸν Τάργον, ϗ ὁ Ἰωνάθαν προσιθέασι τὸ, ὅτι ὁ ἀνδριὰς ὅτος διαμένει ἄχρι τῆς συντελείας. ἐπεὶ δὲ οὐδὲν τοιῦτον τὸ ἱερὸν προτίθησι γράμμα, οὐδόλως τῦτοις προσεκτέον. Παρὰ Καλμ. εἰς τὸ 19. κεφ. τῆς Γεν.

Σημ. 362. Τὸ Σιδδὶμ οὐδὲ παρὰ τοῖς Ἑβδομήκοντα, οὐδὲ παρὰ τῇ Βυλγάτῃ κεῖται. ἀντὶ δὲ τῦτο τὸ, „ἡ δὲ κοιλὰς ἡ ἁλυκὴ, φρέα„τα ἀσφάλτυ. Γεν. 10. 10.

Σημ. 363. Οἱ Μασορίθαι, ἢ Μασορέται, διδάσκαλοι ὄντες τῶν Ἑβραίων, κατὰ τὸν ἔννατον ἀπὸ Χριςῦ αἰῶνα, ὡς πάνυ πιθανὸν ἔοικεν, ἁρμάσαντες, ςιγμάς τινας ἐπενόησαν εἰς ἀναπλήρωσιν τῶν ἐν τοῖς ἑβραικοῖς ῥήμασιν ἐλλειπόντων, φωνηέντων, ϗ ὅτως ἢ ἄλλως προφερομένοις κατὰ τὴν ἀπὸ πατρὸς εἰς υἱὸν παράδοσιν. ϗ δὴ ὡς ἐπὶ τὸ πλεῖςον ἔθεσαι τοῖς Ἑβραίοις τὸ διὰ φωνηέντων γράφειν. Μασορέθαι δὲ οἱ τοιῦτοι διδάσκαλοι ἐκλήθησαν ἐκ τῆς ἑβραικῆς λέξεως Μασόρα, ἥτις παράδοσιν σημαίνει. ὅτοι δὲ διὰ τῶν ἐρημένων ςιγμῶν τῶν ἐπεχόντων τόπων φωνηέντων, ἐνέφηναν τὸ πῶς κατὰ παράδοσιν προφέρειν δεῖ τὰς φωνηέντων ἀμοιρούσας ἑβραικὰς λέξεις. Σῶμα τὸ λεξ. τῦ Καλμ. εἰς τὸ Μασόρα.

Σημ. 364. Διὸ τὸ τῦ Γεράρων ἐπισκόπυ ὄνομα ἐν τοῖς πρακτικοῖς τῆς ἐν Χαλκηδόνι Συνόδυ εὑρομεν. ἐν τῷ καταλόγῳ τῶν ἐκεῖ συνελ-

νελθόντων πατέρων γεγραμμένα οὕτω. „Μαρκιανοῦ Γεράρων. ἐν δὲ „τῇ ἕκτῃ πράξει οὕτω. Μαρκιανὸς ἐπίσκοπος Γεράρων ὁρίσας ὑπέ„γραψα. (παρὰ Βιν. Τομ. 3. τῶν πρακτικ. τῶν Συνόδ. σ. 41. καὶ 350.) Περὶ δὲ Γεράρων ὁ μὲν Εὐσέβιος (ἐν τῷ περὶ τοπικ. ὀνομάτ.) φησί. „Γέραρα, ἀφ' ἧς νῦν καλεῖται ἡ Γεραριτικὴ ὑπὲρ τὸν Δω„ρομὲν κειμένη, ἀπέχουσα Ἐλευθερουπόλεως σημείοις κέ. πρὸς νό„τον. ἦν δὲ τὸ παλαιὸν ὅριον πρὸς Μεσημβρίαν, καὶ πόλις βασιλι„κὴ τῶν Φυλιστιαίων. Τὰ αὐτὰ δὲ καὶ ὁ Ἱερώνυμος. (ἐν τῷ εἰρημ. βιβλ.) ὁ δὲ Θεοδώριτος ἐν τῇ εἰς τὴν 2. τῶν Παραλ. ἐρωτ.) „ὅ„τι δὲ τὰ Γέραρα τῆς Παλαιστίνης ἐστιν, οὐδένα ἀντερεῖν οἶμαι. πε„ρὶ τοῦ τὴν καλουμένην Ἐλευθερόπολιν, Γεραρηνὸν σαλτὸν μέχρι „τοῦ παρόντος ὠνόμασται. εἰκὸς τοίνυν ἀποίκους Αἰθιόπων ἐκείνην „οἰκῆσαι τὴν χώραν, καὶ ἄλλους δέ τινας Ἀμαζονεὶμ ὠνομασμένους. ὁ δὲ ἐν ἁγίοις Κύριλλος, (ἐν κ. 5. τῶν εἰς τὸν Ἀμμ. ὑπομνημ.) „Φρέαρ δὲ ὅρκου τὰ Γέραρα φησί. πόλις δὲ αὕτη τοῦ Φυλιστιείμ, ἤ„τοι τῶν Παλαιστινῶν. Καὶ μετ' ὀλίγα. Γάλγαλα δὴ οὖν, καὶ Βαι„θὴλ, καὶ μέν τοι τὰ Γέραρα πόλεις ἦσαν πολὺ πρὸς ἀσέβειαν ἐκ„τετραμμέναι. Ὁ δὲ Σωζόμενος, (ἐν β. 8. κ. 19. τῆς ἱστορ.) „ἀπὸ „δὲ τοῦ πελάγους ὧδε συμβὰν κατῆρεν (ὁ Θεόφιλος) εἰς Γέρας, πό„λιν μικρὰν, ἀμφὶ πεντήκοντα στάδια τοῦ Πηλουσίου ἀφεστῶσαν. Ἄλ„λη δὲ ἔοικεν ἡ Γέρας, περὶ ἧς ὁ Σωζόμενος ἐνταῦθα λαλεῖ, τῆς ἐν Παλαιστίνῃ Γεράρων πόλεως.

Σημ. 365. Οἱ Βεδουῖνοι Ἄραβές εἰσι σκηνῖται, καὶ ἐρημῖται, καλοῦντες μὲν ἑαυτοὺς Ἰσμαηλίτας, οἰκοῦντες δὲ μεταξὺ τοῦ ὄρους Σινᾶ, καὶ τῆς Μέκας, ὡσαύτως ἐν Συρίᾳ τε καὶ Παλαιστίνῃ, καὶ Αἰγύπτῳ, καὶ Ἀσίᾳ, καὶ Ἀφρικῇ. ὅρα τὸ Λεξικ. τοῦ Βόσγιεν.

Σημ. 366. Ὅτι δεκαεπταέτης ἦν ὁ Ἰσμαὴλ, ὅτε τῆς πατρικῆς οἰκίας σὺν τῇ μητρὶ αὐτοῦ ἐξεβλήθη, δύναταί τις συνάξαι οὕτω. Δεκα-
Γεν. 17. 25. τριῶν ἦν ἐτων, ὅτε περιετμήθη, δεκατεσσάρων ἄρα, ὅτε ὁ Ἰσαὰκ
Γεν. 17. 24. ἐγεννήθη. ὁ τοῦ Ἀβραὰμ ἐννενηκονταεννεαέτης ὢν ἅμα τῷ Ἰσμα-
Γεν. 18. 5. ὴλ περιετμήθη, ἑκατοντούτης δὲ τὸν Ἰσαὰκ ἐγέννησεν. ὁ Ἰσμαὴλ
Γεν. 18. 8. κτ. δὲ ἐξεβλήθη μετὰ τὸ ἀπογαλακτισθῆναι τὸν Ἰσαὰκ, τριετῆ που ὄντα.

2. Παραλ. 3. 1. Καλμ. ἐν τῷ Λεξικ. Σημ. 367. Ἐν τῷ ὄρει Ἀμορίᾳ ὁ Σολομῶν, κατὰ τὸ β'. βιβλίον τῶν Παραλειπομένων, ᾠκοδόμησε τὸν ναόν. φέρεται δὲ, ὥς φησιν

ὁ

ὁ Καλμέτ©, ἐν αὐτῷ τῷ ὄρει τὸν Ἀβραὰμ προσενεγκεῖν τὸν Ἰσαάκ.

Σημ. 368. Ὁ μὲν Βολτέρος οὐ τελ. 210. τῆς ἑαυτῦ ψυδεφιλοσοφίας φησὶν, τὸν Τρκανὸν λαβεῖν ἄδειαν ὑπὸ Ἀντιόχυ τῦ Σεδήτυ τῦ ἐκτυπῶν νομίσματα. νόμισμα δὲ Ἰυδαϊκὸν ὐδέποτε ὑπῆρξεν. Ἰδὺ ἡ ἐπιτομὴ τῆς τῦ συγγραφέως ἀπαντήσεως, ἡ ἐν τῷ 7 Ἀρδρ τῦ 4. κεφ. τῆς ὑπερασπίσ. τῆς παλ. Διαθ. Οὐτῶ Τρκανῶ, ἀλλὰ τῶ πατρὶ αὐτῦ Σίμωνι, κατὰ τὴν τῦ πρώτυ βιβλίυ τῶν Μακκαβαίων μαρτυρίαν, τὴν τῦ ἐκτυπῶν νομίσματα ἄδειαν ὁ Σιδήτης Ἀντίοχος παρέχειν αὐτοπροαιρέτως. σώζονται δὲ νομίσματα ἐν τοῖς πρώτοις τέσσαρσιν ἔτεσι τῆς τῦ Σίμων© διοικήσεως ἐκδοθέντα, ὅπερ ἐςὶ πρὸ τῆς δοθείσης αὐτῶ ἀδείας. ἐξ ὧν δῆλον, ὅτι ὁ Σίμων ἡ πρὶν τῆς ἀδείας ἰδίᾳ ἐξυσίᾳ νομίσματα ἐτύπωσεν. ἀληθῶς δὲ τινὲς τῶν Φιλαρχαιολόγων κατὰ τῶν νομισμάτων τύτων, τῶν τὴν σήμερον σωζομένων, προτείνυσί τινας δυσκολίας. ἐκ τύτυ δὲ ὁ Βολτέρος παραλόγως ἐπήγαγε τὸ, μηδέποτε Ἰυδαϊκὸν ὑπάρξαι νόμισμα. ἀλλὰ πρῶτον μὲν οἱ τῶν Φιλαρχαιολόγων τύτων λόγοι ὐκ εἰσὶν ἀποφαντικοί. δεύτερον δὲ ὃ κρατεύονται κατὰ τῶν νομισμάτων, ἅπερ πρὸ πεντακοσίων ἐτῶν ὁ Ραββῖνος ὁ Μεχμὰν, ὁ τῦ Μωϋσέως υἱὸς, (ὅρα τὴν τῦ Βαλτὸν. διάλεξ. ἡ τὴν περὶ τῶν Ἰυδ. ἱερ. τῦ Πριδώ.) ἑώρακεν, ἀλλὰ μόνον κατάτινος μέρυς τῶν νῦν σωζομένων. εἶτα τίν© ἕνεκα ὁ Σίμων, ἢ κατ' αὐτὸν ὁ Τρκανὸς, τοιαύτην ἔλαβεν ἄδειαν, εἰμὴ πρὸς τὸ μετελθεῖν αὐτήν;

1. Μακκ. 15. 6.

Σημ. 369. Ἐνώτια χρυσᾶ ἀνὰ δραχμήν. „Ἄλλη ἔκδοσις, ἀνὰ δί„δραχμον. ὁλκῆς, ἡ δύω ψέλλια ἐπὶ τὰς χεῖρας αὐτῆς, δέκα χρυ„σῶν ὁλκὴ αὐτῶν. Οἱ Ἑβδομήκοντα.

Σημ. 370. Τῶν Ῥινοκολούρων δὶς μνημονεύει ὁ Στράβων, (ἐν β. 16. σ. 1102, 1128. τῆς εν Αἰγυπτ. ἐκδ.) ὧδεν δὲ τοιῦτον εὕρομεν. οὐ δὲ σελ. 1112. τῦ δεκάτυ ἕκτυ βιβλίυ ὁ Ἐρατοσθένης ταῦτα περὶ τῆς Ἀραβίας διαλαμβάνει. „Τὰ δὲ ἑκατὰ πρὸς νότον ἡ ἀνταίρον„τα τῇ Αἰθιοπίᾳ βρέχεται θερινοῖς ὄμβροις ἡ διαπορεῖται παρα„πλησίως τῇ Ἰνδικῇ. ποταμὸς δὲ ἔχει καταναλισκομένυς εἰς πεδία „ἡ λίμνας.

Σημ.

Σημ. 371. Τὸ Σακι δεξαμενήεσιν, ἐν ᾗ ἡ σκεύη εἰς τὸ πίνειν ἕτοιμα. τοῦτο αὐτὸ καθ' ὅσον ἡ τὸ Σιβιλ.

Σημ. 372. Οὐκ ἐν τῇ ἐκβολῇ τῶ χειμάῤῥω, ἀλλὰ παρὰ τὸν χειμάῤῥων τὴν Θαβηθὰ κεῖσθαι ὁ Σωζόμενος ἔφη. ἰδὲ τὰ τότε ῥήματα.

Σωζ. β. 3. κ. 34 „Διέπρεπε δὲ τότε ἐνθάδε Ἱλαρίων ὁ θεοσέσιος. τοῦτω δὲ πατρὶς „μὲν Θαβαθὰ κώμη. πρὸς νότον δὲ Γάζης κειμένη παρὰ τὸν χει„μάῤῥων, ὃς ἐπὶ θάλασσαν, τὰς ἐμβολὰς ἔχων, ἐπιχωρίως ἀπ„αὐτῆς τῆς κώμης τὴν ἐπωνυμίαν ἔλαβε.

Σημ. 373. Γελοῖον τῷ ὄντι τὸ, ὄνυχας ἐν αὐταῖς οὐχ εὗρε. τὶς δὲ αὐτῷ εἴρηκεν, ὅτι τὰς ὄνυχας τῦ Ἰακὼβ κατεκάλυψεν ἡ Ῥεβέκκα; ἢ τὶς λόγος πάθος, ὅτι οὐκ ἄλλως περικαλύψαι ηὐνατο τὰς χεῖρας τῦ υἱῦ αὐτῆς, εἰμὴ ἡ τὰς ὄνυχας περισκεπάσασα, ἡ μὴν ἡ τῆς θείας Γραφῆς ἔκθεσις νοεῖν ἡμᾶς παρασκευάζει, ὅτι οὐ μόνον τὰς ὄνυχας, ἀλλὰ καὶ τὰς δακτύλας ἀπερικαλύπτας ἀφῆκεν ἡ Ῥε-

Γεν. 27. 16. βέκκα. φησὶ δὲ, „καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκεν ἐπὶ τὰς „βραχίονας, ἡ ἐπὶ τὰ γυμνὰ τῦ τραχήλυ αὐτῦ. Ἀλλὰ ἡ αὐτὸ δὴ τὸ τῶν ἐρίφων δέρμα ψηλαφώμενον τοιαύτην ἐνεποίει αἴσθησιν, οἵαν καὶ τὸ τῦ δασυτάτυ ἀνθρώπυ, διὰ τὸ τὰς ἐρίφυς, κατὰ τὴν τῆς Ῥεβέκκας παραγγελίαν, ἁπαλὰς εἶναι, ὅπερ ἐσὶν ἀρτιγεννή-

Γεν. 27. 9. τυς, ἡ καλάς. „Λάβεμοι, ἔφη ἐκείνη τῷ υἱῷ αὐτῆς, δύω ἐρίφυς „ἁπαλὰς ἡ καλάς· Ὀσμῆς δὲ εὐωδεμιᾶς ἄλλης ἤθετο τότε ὁ Ἰακὼβ,

Γεν. 27. 27. εἰμὴ τῆς τῶν ἱματίων τῦ υἱῦ αὐτῦ. „Καὶ ὡσφράνθη, φησὶ, τὴν „ὀσμὴν τῶν ἱματίων αὐτῦ. Ὀσμὴν δὲ ἱματίων νοητέον, εἴτε τὴν

Γεν. 27. 15. ἐκ τῆς καλῆς, ἣν ἐνεδύσατο αὐτὸν ἡ μήτηρ αὐτῦ, στολῆς, ἥτις ὀσμὴν εἶχε τυχόν. εἴτε τὴν ἐκ τῆς ἀρετῆς τῆς ψυχῆς αὐτῦ, ἣν εὐω-

2. Κορ. 2. 15. δίαν καλεῖ ὁ θεῖος Ἀπόστολος.

Σημ. 374. Ἰδὲ ἡ εὔφημος, ἡ τῆς ἀληθείας ἐμφαντικὴ φράσις τῆς

Γεν. 27. 34. τῶν Ἑβδομήκοντα μεταφράσεως. „Ἀνεβόησε φωνὴν μεγάλην ἡ πι„κρὰν σφόδρα.

Σημ. 375. Ταλισμὰμ μεταλλόνεσι πλανητοειδὲς, ἀσεβισμοῖς τισι πεποικιλμένον ὅπερ δυνάμεις ἐξαισίας ἔχειν νομίζυσι. καλῦσι δὲ Ταλισμὰν, ἡ χήματά τινα, ἡ πέτρας χαρακτήρων πλήρεις, τὰς αὐτὰς δυνάμεις αὐταῖς ἀπονέμοντες. ὅρα τὸ Γαλλοιταλικὸν Λεξ. τῦ Ἀλβέρτ. εἰς τὸ Ταλισμ.

Σημ.

Σημ. 376. Περὶ τῆς Βαιθὴλ ὁ Εὐσέβιος σημειοῦ τάδε. Βαιθὴλ ἡ „νῦν ἐστὶ κώμη Αἰλίας ἀπόθεν σημείοις ιβ'. ἡ δὲ πρότερον ἐκαλεῖ„το ἡ Λυζᾶ, ἣ γέγονε φυλῆς Βενιαμίν. Τὰ αὐτὰ δὲ ἡ Ἱερώνυμος, ὅστις ποὸς τούτοις διερμηνεύων ἡ τὴν ἐν τῇ μεταφράσει τῶν Ἑβδομήκοντα ἐπωνυμίαν; „Οὐλαμλὺζ, φησί. Σφάλλουσιν οἱ σφάλ„μα τοῦτο νομίζοντες τῶν ἑλληνικῶν τεύχεων, συναψάντων τὸ ἑ„βραϊκὸν ῥῆμα τῷ τῆς πόλεως ὀνόματι. τὸ δὲ Ουλα σημαίνει τὸ „πρότερον. ἡ δὲ ἔννοια (τῆ Οὐλαμλὺζ) ἐστὶν αὕτη· Πρότερον ἡ „Βαιθὴλ ἐκαλεῖτο Λυζά. Τοῦτο αὐτὸ ἐπιβεβαιοῖ ἡ ὁ Ἀκύλας „(ἐν ταῖς σημειώσ. ταῖς ἐν τῇ κατὰ τὴν Φρανεκ. ἔκδ.) λέγων πρό„τερον Λὺζ ὄνομα τῇ πόλει. ὁ δὲ Εὐσέβιος συμφώνως τῷ Ἱερω„νύμῳ φησί Λυζᾶ, ταύτην ἐπωνόμασεν Ἰακὼβ Βαιθήλ. οἰκεῖ„ται δὲ εἰς ἔτι κώμη ὅσα ἐπ' ἀριστερὰ τῆς ὁδοῦ, τῆς ἀγούσης ἐπ' „Αἰλίαν ἀπὸ νέας πόλεως, ἣ γέγονε φυλῆς Βενιαμίν. Ὅτι δὲ ἡ Βαιθὴλ ἡ αὐτὴ ἦν τῇ Λυζᾶ μαρτυρεῖ ⸗ αὐτὴ ἡ θεία Γραφή, λέγουσα. „Ἦλθε δὲ Ἰακὼβ εἰς Λυζᾶ, ἣ ἐστιν ἐν γῇ Χαναὰν, ἥ„τις Βαιθήλ. Μάτην ἄρα ὁ σοφὸς Γεωγράφος, μίαν ⸗ τὴν αὐτὴν πόλιν εἰς δύο διεῖλεν ἀνυπάρκτους πόλεις.

Εὐσ. ἐκ τοῦ περὶ τοπικ. ὀνομ.

Γεν. 25. 6.

Σημ. 377. Ἰδοὺ τὰ παρ' Εὐσεβίῳ τῷ Σαγχωνιάθωνος ῥήματα. „Ἐ„πενόησε Θεὸς ὁραιὰς Βαιτύλια, λίθους ἐμψύχους μηχανησάμενος. Πρῶτον μὲν οὖν σημείωσον τὴν μεταμόρφωσιν τῶν Βαιτύλια εἰς Βαιθήλας. δεύτερον δὲ σκέψαι, εἴπερ ὁ Σαγχωνιάθων διὰ τῶν δὲ τῶν ῥημάτων λαλεῖ περὶ τῶν ὑπὸ τῶν ἀνθρώπων εἰς μνήμην πράγματός τινος ἀνιχαμένων ἀψύχων λίθων.

Εὐσ. β. 1. ε. 10.. Ευαγγ. Προπαρ.

Σημ. 378. Ὅτι μὲν Βαιθὴλ σημαίνει οἶκον Θεοῦ, ἀληθές. ὁ δὲ τόπος, ἐν ᾧ ὁ Θεὸς ὤφθη τῷ Ἰακὼβ, ἐκλήθη ὑπ' αὐτοῦ οἶκος Θεοῦ, ὁ αὐτὸς δὲ ἡ Βαιθήλ. ὅτι δὲ ἡ Βαιθήλη. γαλλισὶ Bethilla, παράγεται ἀπὸ τοῦ Βαιθὴλ, οὐκ ἄντις ῥᾳδίως πεισθῇ. τί δὲ βούλεται δεῖξαι ἡ τοιαύτη παραγωγή; ὅτι ὁ Ἰακὼβ, ἢ ὁ Μωϋσῆς κατὰ μίμησιν τῶν ἐθνικῶν τῶν Βαιτύλια καλούντων τοὺς ἀναστηλωθέντας λίθους, Βαιθὴλ ἐκάλεσε τὸν ὑπ' αὐτοῦ ἀναστηλωθέντα; ἀλλ' ἆρά γε τὸ, Βαιτύλια, ταυτόν ἐστι τῷ Βαιθήλ; σημαίνει ἆρά γε τὸ Βαιτύλια λίθους ἀναστηλωθέντας; ὁ μὲν Σαγχωνιάθων ἄλλο τι ἐοικεῖ δηλοῦν διὰ τῶν ἐμψύχων λίθων. ὁ δὲ Φώτιος ἀνερμήνευτον κα„τέλιπεν, εἰπών. Τῶν Βαιτύλων ἄλλων ἄλλῳ ἀνακεῖσθαι θεῶν. εἶτα τὸν ἀναστηλωθέντα λίθον; ἀλλὰ τὸν τόπον, ἐν ᾧ ὁ Ἰακὼβ ὠκο-

Γεν. 28. 19.

Γεν. 35. 7.

Ὅρα τὴν ὄνομ.

Φώτ. ἐν κώδ. 242.

Γεν. 35. 7. ὠκοδόμησε τὸ θυσιαστήριον ἐκάλεσε Βαιθήλ. „Καὶ ὠκοδόμησε, φησὶν, ἐκεῖ θυσιαστήριον, ᾗ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ. ἀλλὰ ᾗ τὸ ἐναντίον δυναμάδεκτον, ἀμέλειτοι τὸ τοὺς ἐθνικοὺς τὸ Βαιτύλια ἐκ τοῦ ὀνόματος Βαιθὴλ παραγαγόντας, τοὺς ὑπ' αὐτῶν ἀνασκλαμμένους λίθους, Βαιτύλια προσαγορεύειν.

Σημ. 379. Ὀκτὼ εἰσὶ τὰ τοιαῦτα ψοδοαιτιάματα. τούτων τὸ θσιῶδες παρατίθημι, χαίρειν εἰπὼν ταῖς περιττολογίαις, μᾶλλον δὲ μωρολογίαις.

Α'. Ὁ Ἰακὼβ εὐχόμενος τάδε. ἐγὼ λατρεύσω σοι, ἐὰν δῷς „μοι ἄρτον, ᾗ ἱμάτιον, κτ. δοκεῖ λέγειν, ἐγὼ δὲ λατρεύσωσοι, ἐ„ὰν μηδὲν δῷς μοι.

Πῶ εὗρε τὸν Ἰακὼβ ταῦτα λέγοντα; πῶς δὲ φιλοσοφίαν ἐπαγγελλόμενος, δὲ μόνον πλάττει ῥήματα, ἀλλὰ ᾗ ἐκ τῶν πλα-
Εν. 28. 21. σθέντων τὴν τοιαύτην προτίθησι δόκησιν; ἐρῶ τυχὸν, ὅτι τὸ, ᾗ ἔσαι Κύριός μοι εἰς Θεὸν, σημαίνει τὸ, ἐγὼ λατρεύσω σοι, ἀλλ' ἀπατᾶται. δ γὰρ περὶ λατρείας ἐνταῦθα ὁ τοῦ Ἰακὼβ λόγος, ἀλλὰ
Εν 28. 20. 21. περὶ βοηθείας ᾗ ἀντιλήψεως. „Ἐὰν, φησὶν, ᾖ Κύριος ὁ Θεὸς „μετ' ἐμοῦ, ᾗ διαφυλάξῃ με ἐν τῇ ὁδῷ ταύτῃ, ᾗ ἐγὼ πορεύομαι, „ᾗ δῷ μοι ἄρτον φαγεῖν, ᾗ ἱμάτιον περιβαλέσθαι, ᾗ ἀποστρέψῃ „με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου. ᾗ ἔσαι Κύριος μοι „εἰς Θεόν. Καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσαι μοι οἶκος „Θεοῦ. ᾗ πάντων, ὧν ἐάν μοι δῷς, δεκάτην ἀποδεκατώσω αὐτά „σοι. Ἐκ τούτων δὲ δῆλον, ὅτι ταύτης τῆς τοῦ Ἰακὼβ εὐχῆς μέρος μέν ἐστιν ὑποθετικόν πως, μέρος δὲ ἐπαγγελτικόν. τὸ δὲ, „ᾗ ἔσαι „Κύριός μοι εἰς Θεὸν, οὐκ εἰς τὸ ἐπαγγελτικὸν, ἀλλ' εἰς τὸ ὑποθετικὸν ἀνάγε), σημαῖνον τὸ, ἐὰν ὁ Κύριος γένηταί μοι Θεὸς βοηθὸς ᾗ ὑπερασπιστής. ᾗ περιληπτικὸν δὲ ἐστὶ πάντων, ὧν πρότερον εἴρηκεν, εἴτουν τῶν, διαφυλάξῃ με, ᾗ δῷ μοι, ᾗ ἀποστρέψῃ με. τὰ γὰρ ἐπαγγελτικὰ ῥήματα. εἴτουν ἡ εἰς Θεὸν ὑπόσχεσις τοῦ Ἰακὼβ, ἄρχε) ἀπὸ τοῦ, „ᾗ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην. ἔσαι μοι οἶκος Θεοῦ, κτ. ὅτω ᾗ νοεῖν, ᾗ λέγειν πείθει ἥτε γνωσὴ τοῦ Ἰακὼβ εὐσέβεια, ᾗ τῶν ῥημάτων αὐτοῦ ἡ σειρὰ, ὐχὶ δὲ ὅπερ τῷ Βολτέρῳ δοκεῖ, τῷ δὲ μόνον ῥήματα πλάττοντι, τὰ ἐν τῇ Γραφῇ μὴ κείμενα, ᾗ τὰς ἐννοίας αὐτῆς διαστρέφοντι, ἀλλὰ ᾗ διὰ τῶν δοκήσεων αὐτοῦ πειρωμένῳ εἰς τὸν τῆς ἀπιστίας ὄλεθρον τοὺς ἀκροατὰς αὐτοῦ καταποντίζειν.

„Β'.

„Β'. Δὶς λαλεῖ περὶ τῶν δεκάτων, τῶν τῷ Κυρίῳ προσφερο-
„μένων. πρῶτον μὲν ὅτε ὁ Ἀβραὰμ ἔδωκε δεκάτην τῷ Μελχισε-
„δέκ. δεύτερον δὲ, ὅτε ὁ Ἰακὼβ ὑπέσχετο δεκάτην δώσειν πάντων
„ὧν ἂν κερδήσῃ. ἐκ τούτου ἀκαταλλήλως εἰκάζουσιν οἱ κριτικοὶ, ὅτι
„ἡ ἱστορία αὕτη συνετέθη ὑπό τινος τῶν τὰς δεκάτας λαμβανόντων.

Οὐ μόνον ἀκατάλληλος, ἀλλὰ καὶ παράλογος ἡ εἰκασία. Ἰδὲ δὴ πῶς ἐληρίζεται. Δὶς ἡ Γραφὴ μνημονεύει δεκάτων, ἆρα εἷς τῶν τὰς δεκάτας λαμβανόντων τὴν ἱστορίαν ταύτην συνέγραψε. καὶ μὴν τοὐναντίον κατάλληλόν τε καὶ εὔλογον, ἀμέλει τοι τὸ, ὅτι τῷ τοῦ Μελχισεδέκ, „ὃς ἱερεὺς ἦν τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ Ἰακὼβ ὑπο- Γεν. 14. 18.
δείγματι τοὺς ἱερεῖς τὰς δεκάτας λαμβάνειν ὥρισαι. ἐπὶ τούτοις, ἐπειδὴ ὁμολογεῖ, ὅτι ἀκατάλληλος ἡ εἰκασία, ἵνα τί καὶ τὰ ἀκατάλληλα προτείνει; ἢ δῆλον, ὅτι ἤτοι εἰρωνικῶς λαλεῖ, ἢ καὶ διὰ τῶν ὁμολογουμένως ἀκαταλλήλων τὴν ἀπιστίαν διδάξαι ἐπιχειρεῖ.

„Γ'. Ἡ μεταξὺ τοῦ Ἰακὼβ καὶ τοῦ Λάβαν ἐμπορία δείκνυσιν ἐ-
„ναργῶς, ὅτι ὁ μὲν Ἰακὼβ οὐδὲν εἶχεν, ὁ δὲ Λάβαν πάνυ ὀλίγον.
„..... Τοιοῦτος γάμος ὁ προαγορεύει τὴν τῷ Ἀβραὰμ, καὶ Ἰσαὰκ,
„καὶ Ἰακὼβ ἐπαγγελθεῖσαν πάσης τῆς γῆς αὐτοκρατορίαν.

Ἑκάτερον τούτων ψεῦδος. καὶ δὴ οὐδὲ οἱ πολλὰ ἔχοντες κτήνη πτωχοί εἰσιν, οὐδὲ ἐπηγγείλατο ὁ Θεὸς τῷ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ πάσης τῆς γῆς Αὐτοκρατορίαν, ἀλλὰ τὴν διὰ τοῦ σπέρματος αὐτῶν εἰς πάντα τὰ ἔθνη εὐλογίαν.

Δ'. „Κατανοῆσαι, φησὶν, ὃ δύναμαι, πῶς ὁ μὲν Ἰακὼβ ὁ
„κατενόησε τὴν τοῦ Λάβαν ἀπάτην, κοιμηθεὶς μετὰ τῆς Λείας.
„ὁ δὲ Ἰσαὰκ, τὴν τοῦ Ἰακώβ.

Σὺ μὲν ὡς παμπόνηρος εἶχες ἂν κατανοῆσαι τὴν τοῦ Λάβαν ἀπάτην, ὁ δὲ Ἰακὼβ ἁπλοῦς ὤν, κατανοῆσαι αὐτὴν οὐκ ἠδυνή- Γεν. 25, 27.
θη. Πῶς δὲ ὁ Ἰσαὰκ τὴν τοῦ Ἰακὼβ ὃ κατενόησεν ἐρρέθη σοι ἀνω-
τέρω ὑπό τε τῆς συγγραφέως, καὶ παρ' ἡμῶν ἐν σημ. 373. σὺ δὲ οὐκ
αἰσχύνῃ παλιλογῶν, καὶ τὰ αὐτὰ δὶς καὶ τρὶς ἀναμασσώμενος.

Ε' „Ἰδοὺ ὁ Ἰακὼβ, ὁ τοῦ Ἰσδαϊκοῦ γένους πατὴρ, δουλεύει ἔτη
„δεκατέσσαρα ὑπὲρ μιᾶς γυναικός. παντὸς μὲν γένους αἱ ἀρχαὶ
„μικραί εἰσι καὶ βάρβαροι, τούτῳ δὲ τῷ γένει οὐδὲν ὅμοιον.

Κατὰ σὲ ἄρα ἡ ὑπομονὴ, καὶ ἡ καρτερία, καὶ ἡ σωφροσύνη, καὶ τὸ δουλεύειν πιστῶς ἔτη δεκατέσσαρα ὑπὲρ τοῦ λαβεῖν ἣν ἠρετίσατό τις γυναῖκα. διαβλητὸν καὶ βάρβαρον, ἔτι δὲ καὶ αἶσχος τοῦ ἐκ τῆς συζυγίας ταύτης γένους. εὖγε τῶν ἀσυνέτων σου φρονημάτων. οὐδὲ τοῦτο δὲ, ὡς ἔοικεν, οἶσθα, ὅτι ἡ τοῦ Ἰακὼβ δουλεία οὐδὲν ἕτερον ἦν,

εἰμὴ τὸ ποιμαίνειν πρόβατα, ὅπερ τότε οὐ δουλεία, ἀλλὰ τιμὴ, καὶ πλούτου πορισμὸς ἐλογίζετο. καλῶς δὲ εἶπας, ὅτι οὐδὲν γένος τῶν Ἰουδαϊκῶν ὅμοιον. „ἐν αὐτῷ τοῦ μόνῳ ἡ εὐσέβεια, καὶ ἡ τοῦ Θεοῦ νομοθεσία. τὶς δὲ ἀγνοεῖ ὁποῖοι ἦσαν οἱ πατέρες τοῦ ἐνδοξοτέρου τῶν ἄλλων ἐθνῶν γένους τῶν Ῥωμαίων, εἴτουν οἱ δίδυμοι Ῥωμύλος καὶ Ῥῶμος, ὅπως τε καὶ ἐκ ποίων τὸ Ῥωμαϊκὸν συνέστη γένος; οἱ μὲν τοῦ σκότιοι ἦσαν, καὶ βουκολικὸς ἦν αὐτοῖς βίος, καὶ δίαιτα αὐτουργὸς, ἐν ὄρεσι τὰ πολλὰ πηξαμένοις διὰ ξύλων καὶ καλάμων σκηνὰς αὐτορόφους. ὁ δὲ ἕτερος τούτων τὸν ἕτερον ἀπέκτεινεν. ἡ δὲ ὑπ' αὐτῶν συσταθεῖσα πόλις. ἡ Ῥώμη, βαρβάρων, καὶ δραπετῶν, καὶ ἀνεστίων ἀνθρώπων καταφυγὴ, ὥς τινες διαμαρτύρονται.

Ὁρα β. 1. Διαν Ἁλικαρν.

ϛ'. „Αἱ τῶν μανδραγορῶν ῥίζαι ἐν τοῖς ἀρχαιοτάτοις ἔτεσι „γονοδότιδες ἐνομίζοντο.... Εἷς καὶ οὗτος τῶν λόγων, δι' ὃν οἱ κρι„τικοὶ ἐλογίσαντο τὰ ἐν τῇ Γενέσει μηδὲ συμβῆναι, μηδὲ γραφῆ„ναι ἐπὶ Μωϋσέως. ἀλλ' ἡ ἐπίκρισις αὕτη πασῶν τῶν ἄλλων ἀσθε„νεστέρα ἡμῖν δοκεῖ. ἡμεῖς δὲ λογιζόμεθα, ὅτι προβάτων καὶ αἰγῶν „φύλακες, οἵους περιγράφουσι τοὺς Πατριάρχας, ἠδύναντο φαντασ„θῆναι τὸ τῶν μανδραγορῶν ἰδίωμα, ὥσπερ καὶ οἱ ἐν ταῖς μεγάλαις „πόλεσιν ἀγύρται. ταῦτα δὲ τὰ τριχιῶντα φυτὰ ῥαδίως διατμηθῆ„ναι δύνανται εἰς ἀνδρῶν καὶ γυναικῶν σχήματα, τὰ τῆς συνουσίας ἐμ„φαίνοντα μόρια. τοῦτο δὲ τυχόν ἐστιν ἡ πρώτη τῶν πριάπων ἀρχή.

Ἀνωτέρω μὲν τὰς ἀκαταλλήλους τῶν κριτικῶν εἰκασίας, νῦν δὲ ἐφ' ἑνὶ καὶ τῷ αὐτῷ σκοπῷ τὰς τούτων ἀσθενεστέρας πασῶν τῶν ἄλλων προβάλλει ἐπικρίσεις. εἴτε δὲ ἐν ἀρχαιοτάτοις, εἴτε ἐν μεταγενεστέροις ἔτεσιν γονοδόται οἱ μανδραγόραι ἐνομίζοντο, πῶς σὺ δεῖξαι ἔχεις, ὅτι οἱ μὲν Πατριάρχαι τοιοῦτόν τι ἐφαντάσθησαν, ἡ δὲ Ῥαχὴλ τοὺς μανδραγόρας ὡς παιδογόνους ἐζήτησεν; ἡ περὶ τούτου τῆς θείας Γραφῆς διήγησις πάνυ ἁπλῆ ἐστὶν, οὐ μόνον δὲ τοιαύτης ἐννοίας οὐδὲ ἴχνος ἐμφαίνει, ἀλλὰ καὶ πόῤῥω ἀφίστησι τοῦ τοιαῦτα περὶ τῆς Ῥαχὴλ εἰκάζειν. ἡ γὰρ Ῥαχὴλ ἰδοῦσα τὰ τῶν μανδραγορῶν μῆλα, ἐπεθύμησεν αὐτῶν. ἵνα δὲ τούτων τύχῃ ὑπεχώρησε τῷ Ἰακὼβ κοιμηθῆναι τὴν νύκτα ἐκείνην μετὰ τῆς Λείας. καὶ μὴν τοὐναντίον ἔδει αὐτὴν ποιῆσαι, τουτέστι πάντα κάλων κινῆσαι, ὅπως ἂν μετ' αὐτῆς κατ' ἐκείνην τὴν νύκτα ὁ Ἰακὼβ κοιμηθῇ. εἴπερ παιδογόνους τοὺς μανδραγόρας ἐνόμιζεν. ἀλλ' οὐδὲ ὅτι ἔφαγε τὰ τούτων μῆλα τὸ ἱερὸν γράμμα εἴρηκεν. ὁ Καλμέτος (ἐν τοῖς εἰς τὸ 30. κεφ. τῆς Γεν. ὑπομν.) ἐπιβόλως εἰκάζει, ὅτι τὰ λεγόμενα τῶν μανδραγορῶν μῆλα κέδρινα, ἢ μηδικὰ ἦσαν μῆλα, ὧν τῆς εὐωδίας, οὐχὶ δὲ καὶ τῆς βρώσεως οἱ παλαιοὶ μετεῖχον,

χον. ὅπερ ἂν σὺ ἄνευ ὑδενὸς λόγυ τοῖς Πατριάρχαις ἀπονέμεις, ψευδόσεσι, ἢ συκοφαντία. ὃ δ' ἅπερ οἱ ἐν ταῖς μεγάλαις πόλεσιν ἀγύρται, ταῦτα ἢ οἱ Πατριάρχαι ἐφαντάσθησαν, ἀλλὰ σὺ ἢ φαντάζῃ, ἢ λαλεῖς χέρονα τῶν ὧν οἱ ἀγύρ) ἢ φαντάζονται ἢ λαλῶσι. τὶς δ' ἀγύρτης τοιαύτας ἐκφωνεῖ αἰσχρολογίας; ἢ τὶς ἀγύρτης ἀποφαίνε). ἐκ τῶν φυτῶν τῶν μανδραγορῶν. ὐχὶ δὲ ἢ ἐκ παντὸς ἄλλυ ὑένδρυ, χήματα κατασκευασθῆναι δύναθαι, οἷα αὐτὸς ἐκ τῶν μανδραγορῶν κατασκευάζεις; ἀλλ' ὐδὲ τριχιῶντες οἱ μανδραγόραι, ὡς ὄῆλον ἐκ τῶν ὑπὸ τῦ Καλμέτυ ἐκτυπωθέντων (αὐτ.) χημάτων αὐτῶν. ἀκάνθαις δ' ἢ ὃ ὄριξὶν ἐοίκασι τὰ ἐκ τῶν τῦ κορμῦ τῶν μανδραγορῶν προκύπτοντα.

Ζ'. „Ὁ Ἡσαῦ ὑποχώρεῖ τῶν πρωτοτοκίων πίνακ© φακῦ ἕ „νεκα. ἡ Ῥαχὴλ ὄίδωσι τὸν ἴδιον ἄνδρα τῇ ἀδελφῇ αὐτῆς Χάριν ῥί„ζης, ἀνδρὸς αἰδοίῳ ὁμοίας. τινὲς ἐκ πασῶν τῶν ἱςοριῶν τύτων „σκανδαλιθέντες, ἐξέλαβον αὐτὰς ὡς παχυλὺς μύθυς, ὑπὸ „χυδαίων Ἀ'ράβων ἐναντίον τῦ λόγυ, ἢ τῦ πρέποντ©, ἢ τῆς „παθανότητ© ἐφθορεθέντας.... Ἡμεῖς ὁρῶμεν ὐχ ἧττον ἐκτάκ„τυς ὑποθέσεις ἐν πάσῃ τῇ τῶν Ἑλλήνων μυθολογίᾳ, κἂν τοῖς „τῶν Ἀ'ράβων μύθοις. προειρήκαμεν δὲ ἤδη, ἢ πάλιν λέγομεν, „ὅτι ὅπερ ἦν τότε καλὸν, νῦν ὐκ ἔτι καλόν ἐςι.

Περὶ μὲν τῶν πρωτοτοκίων ἱκανῶς ὁ συγγραφεὺς τῆς δὲ τῆς βίβλυ ἀπεκρίθη σοι, περὶ δὲ τῆς ῥίζης μετὰ τῆς προσηκύσης σοι εὐλαβείας ἀναγγέλλομέν σοι, ὅτι ἀναισχύντως κατεψεύσῃ. ὃ δὲ ῥίζης, ἀλλὰ μῆλον μανδραγορυ ἕνεκα ὑπεχώρησε τὸν ἴδιον ἄνδρα τῆς Γεν. 30. 14.
ἀδελφῆς αὐτῆς, μετ' αὐτῆς κοιμηθῆναι τὴν νύκτα ἐκείνην. εἰ δέ τινες τῶν ἀπίςων σκανδαλιθέντες, ὡς παχυλὺς ἱςορικὺς μύθυς ἐξέλαβον πάσας τὰς ἱςορίας ταύτας, σὺ οἶδας, ὅτι μυριάδων ἀνθρώπων σοφῶν τε ἢ ἐπιςημόνων, ὡς ἀληθεῖς, ἢ χειρὶ Μωϋσέως γεγραμμένας ἱςορίας ἐκλαβόντες, ὠφελήθησαν. ἐκ μὲν τῆς πρώτης τῶν προκειμένων ἱςοριῶν μαθόντες, πόσον ἐπιβλαβὲς τὸ τῆς λαιμαργίας πάθος. ἐκ δὲ τῆς δευτέρας τὸ ἁπλῶν ἦθος τῶν πρὸ νόμυ ἀνθρώπων, ἢ οἱ μὲν ἄπιςοι, περὶ τῦ ὅτι αἱ ἱςορίαι αὗται παχυλοὶ χυδαίων Ἀ'ράβων μῦθοι εἰσὶ, πλὴν τῆς μαρτυρίας τῆς ἀπίςυ αὐτῶν φαντασίας, ἄλλην ἔχυσιν ὠφέλειαν. αἱ δὲ μυριάδες τῶν σοφῶν ἀνθρώπων μάρτυρας ἔχυσι περὶ τῶν ὑπ' αὐτῶν πιςευομένων ἀναριθμήτυς, ἀπὸ τῶν Μωϋσέως χρόνων ἄχρι τῆς σήμερον κατὰ διαδοχὴν προϊόντας, ἢ διαμαρτυρομένυς, τὴν Πενταβίβλον συγγραφὴν εἶναι τῦ Μωϋσέως. τί δὲ σὺ, ὁ ἐκτὸς παντὸς λόγυ, ἢ πρέπον-

ποντος. καὶ πειθανότητος, εὑρίσκεις ἐν ταῖς ἱστορίαις ταύταις, ἢ τῷ λόγῳ ἀντιπίπτον, ἢ τὸ πρέπον λυμαῖνον, ἢ τῇ πειθανότητι προσκρῦον, εἰκότως ἐσιώπησας. εἰπεῖν μὴ δυνάμενος. τὸ δὲ τῷ ὄντι καλὸν, καὶ τότε καλὸν, καὶ νῦν, καὶ εἰς τὸν αἰῶνα.

Ἡ „Ἀληθῶς πιστεύσειεν ἄντις, ὅτι οἱ μανδραγόραι ἐνήργη„σαν ἐν τῇ Ῥαχήλ. μετὰ δὲ τὸ φαγεῖν αὐτὴν τούτους, συνέλαβεν „υἱὸν, καὶ τὴν εὐχαριστίαν τῷ Κυρίῳ προσήνεγκε.

Καὶ ταῦτα ψεύδη ἐκ τῶν συνήθων σοι. καὶ δὲ μηδὲ φαγεῖν τοὺς μανδραγόρας ἡ θεία ἔφη Γραφὴ, μηδὲ νομίσαι αὐτοὺς γονίμους, μηδὲ τὴν εὐχαριστίαν προσενεγκεῖν ὑπὲρ τοῦ συλλαβεῖν τῇ τῶν μανδραγορῶν ἰσχύϊ. ἐκείνη μὲν δὲ ᾔτησε τοὺς μανδραγόρας διὰ τὸ κάλλος αὐτῶν καὶ τὴν εὐωδίαν, ὥσπερ ἡμεῖς τὰ ὡραῖα καὶ εὐώδη ἄνθη, προσέφερε δὲ τῷ Θεῷ τὴν εὐχαριστίαν, πιστεύουσα, ὅτι αὐτὸς πεποίηκεν αὐτὴν μητέρα, στείραν οὖσαν καὶ ἐπωνείδιστον. „Καὶ συλλαβοῦσα, „φησὶν, ἔτεκε τῷ Ἰακὼβ υἱόν. εἶπε δὲ Ῥαχὴλ, ἀφεῖλεν ὁ Θεός „μου τὸ ὄνειδος, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰωσὴφ, λέγουσα, προ„σθήτω ὁ Θεός μοι υἱὸν ἕτερον. Ἀκούεις; οὐ παρὰ τῶν μανδραγορῶν, ἀλλὰ παρὰ τοῦ Θεοῦ ἠτεῖτο, καὶ ἐπίστευε τοκετοῦ προσθήκην λήψεσθαι. πρὸς τούτοις καὶ τοῦτο ἰστέον, ὅτι ἡ Ῥαχὴλ συνέλαβε τὸν Ἰωσὴφ τριῶν τοὐλάχιστον ἐτῶν παρελθόντων μετὰ τὸ φαγεῖν αὐτὴν κατ' αὐτὸν τοὺς μανδραγόρας. μετὰ δὲ τὴν τούτων ἐμφάνειαν τρία ἔτεκε τέκνα ἡ Λεία, τὸν Ἰσάκχαρ, τὸν Ζαβολὼν, καὶ τὴν Δεῖναν, εἶτα συνέλαβεν ἡ Ῥαχήλ.

Γεν. 30. 23. 24

Σημ. 380. Ὁ μὲν Ἱερώνυμος (ἐν τοῖς εἰς τὸ 30. κεφ. τῆς Γεν. ὑπομν.) τὰ περὶ τούτου παραδείγματα προτίθησιν οὕτως. „Οὐδὲ δὴ „παράδοξόν ἐστι, τὰ θήλεα ἐν τῇ συλλήψει οὕτω κατὰ φύσιν διά„κεισθαι, ὥστε οἷα ἂν θεάσωνται, ἢ νοήσωσιν ἐν αὐτῇ τῇ ὑπερβολι„κῇ τῆς ἐν τῷ συλλαμβάνειν ἡδονῆς φλογὶ, τοιούτους εἶναι καὶ τοὺς „ἐξ αὐτῶν τικτομένους γόνους. τοῦτο δὲ αὐτὸ κἂν ταῖς τῶν Ἱσσα„νῶν ἵπποις συμβαίνειν φασί. καὶ ὁ Κουϊντιλιανὸς δὲ ἐν τῇ συζητή„σει, δι' ἧς δέσποινά τις ἐνεκαλεῖτο ὡς Αἰθίοπα τέξασα, ὑπερα„σπιζόμενος αὐτῆς ἔφη, τοιαύτην εἶναι τὴν τῆς συλλήψεως φύσιν, „οἵαν ἡμεῖς εἰρήκαμεν. γέγραπται δὲ καὶ ἐν τοῖς τοῦ Ἱπποκράτους βι„βλίοις, ὅτι παιδευθῆναι ἔδει γυναῖκά τινα μοιχείας ἕνεκα, ὡς ὡ„ραιότατον τεκοῦσαν γόνον, ἑκατέρου τῶν γεννητόρων ἀνομοίου αὐτῷ „ὄντος, εἰ μὴ ὁ ῥηθεὶς ἰατρὸς τὸ ζήτημα ἐπέλυεν, εἰσηγησάμε„νος ἐρευνῆσαι, εἴπερ ἄρα τοιαύτη εἰκὼν ἐν τῷ θαλάμῳ ἔκειτο,

ἧς τινος εὑρεθείσης, ἡ γυνὴ τῆς κατηγορίας ἀπήλλακτο. Περὶ δὲ τῶν ὑπὸ τοῦ Ἀππιανοῦ εἰρημένων παραπέμπει ὁ τῆς βίβλου συγγραφεὺς ἐπὶ τὸ 1. τῶν τοῦ Ἀππιανοῦ κυνηγετικῶν. ἀλλ' οὐ τοῖς ἐκδεδομένοις αὐτοῦ συγγράμμασιν εὑρὸν περὶ κυνηγετικῶν ἐκδέδοται, ἀλλ' οὐδὲ συγγράψαι αὐτὸν περὶ κυνηγετικῶν εἰρηται. ἐξ ὧν εἰκάζειν ἔνεστιν, ὅτι τύπῳ παραφορᾷ τὸ τοῦ Ἀππιανοῦ ὄνομα παρεισήχθη. ἀλλ' οὐδὲ ἐν τοῖς τοῦ Ξενοφῶντος κυνηγετικοῖς τοιαῦτα εὕρηνται παραδείγματα. ὁ δὲ Ἀριστοτέλης ἐν ἐπιτομῇ δεκάτῃ τῶν προβλημάτων φησί. „Διατὶ τῶν ζώων τὰ μὲν, μεταβάλλοντα τὰ ὕδατα, με„ταβάλλει τὰς χρόας, ἢ ὅμοια γίνεται τοῖς ἐκεῖ, οἷον αἶγες. τὰ „δὲ, οὐ, οἷον ἄνθρωποι; ἢ ὅλως δὲ, διατὶ τὰ μὲν μεταβάλλει, „τὰ δὲ οὔ, οἷον ὁ κόραξ οὐ μεταβάλλει; Ἢ ὧν μὲν ὁ κρατεῖ ἡ φύ„σις τοῦ ὑγροῦ, ὥσπερ ἡ τῶν ὀρνέων, διὸ καὶ κύσιν οὐκ ἔχει. ὁ μετα„βάλλει. Καὶ διατὶ οὐκ αὐτὰ, ἀλλὰ τὰ ἔκγονα ὁ μεταβάλλει; Ἢ ὅτι ἀσθενέστερα τὰ νέα τῶν γεννησάντων. Οἱ δὲ λοιποὶ μνημονεύομενοι συγγραφεῖς ἡμῶν ὁ πάρεισι. Κἂν δὲ τὰ τοιαῦτα παραδείγματα, ἢ ἄλλα ὅσα ἄντις προτείνῃ, τὸ πρᾶγμα ὅτως ἔχειν πείθῃ, ἀκατάληπτον ὅμως τὸ πῶς ἡ τοιαύτη προσβολὴ, ἡ ἐκ τῶν ἀντικειμένων, ἢ ἡ ἐκ τῆς φαντασίας, τὴν τῶν ἐμβρύων χρόαν μεταβάλλει. Ὁ Ἰακὼβ τῇ τοῦ Θεοῦ δυνάμει ἀπένειμε τὸ ἐν τοῖς ὑπ' αὐτοῦ ποιμαινομένοις προβάτοις συμβάν. „Εφη γὰρ, ὡς ἀφείλετο ὁ „Θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν, ἢ ἔδωκέ μοι αὐτά. Γεν. 31. 9.

Σημ. 381. Ὁ μὲν Σύμμαχος ἀντὶ τοῦ εἴδωλα, τοῦ ἐν τῇ τῶν Ἑβδομήκοντα μεταφράσει, Θεραφὶν γράφει, ὁ δὲ Ἀκύλας, μορφώματα. ἐν ταῖς σημ. ταῖς ἐν τῇ, κατὰ τὴν ἐν Φρανεκ. ἐκδ.

Σημ. 382. Ὁ Λάβαν τῇ εἰδωλολατρείᾳ περιπεσεῖν ἔοικε, κἂν ἢ τῷ ἀληθινῷ ἐλάτρευε Θεῷ, ὃν ἢ μάρτυρα ἐκάλεσε, ἢ ἐπ' αὐτῷ ὤμοσεν. ἄλλως γὰρ, τίνος χάριν εἰδωλα ἐν τῇ οἰκίᾳ αὐτοῦ εἶχεν, ἅπερ ἢ Θεὸς ἀλλοτρίους ἡ Γραφὴ προσηγόρευσε, ἢ κλαπέντα εὑρεῖν ἔσπευδεν; Ἡ δὲ Ραχὴλ τῇ θεοσεβείᾳ ὑπὸ τοῦ Ἰακὼβ ἐνισχυρισθεῖσα, ἢ τὸν πατέρα αὐτῆς τῆς τῶν εἰδώλων λατρείας ἀπαλλάξαι βουλομένη, τὰ εἰδωλα αὐτοῦ ἔκλεψεν. ἐπὶ γὰρ ἢ αὐτὴ εἰδωλολάτρης ἦν, οὐκ ἂν τοσοῦτον αὐτὰ περιεφόρει, εἰς τὰ τῆς καμήλου σάγματα ἐμβαλοῦσα, ἢ ἐπικαθήσασα αὐτοῖς. ἀλλ' οὐδὲ παρεδίδω αὐτὰ τῷ Ἰακὼβ εἰς τὸ κατακρύψαι ὑπὸ τὴν Τερέβινθον. Γεν. 31. 49. 50. Γεν. 31. 34. Γεν. 35. 4.

Σημ.

Σημ. 383. Ἀλλὰ πρὸς τούτοις, πῦ εἶρον ὁ Βολτέρ@ τὸν Θεὸν, ἤτοι ἀπαγορεύοντ@ τοῖς τελεῖ Πατριάρχαις μὴ λαβεῖν γυναῖκας εἰδωλολάτριδας, ἢ ἐπιτάττοντ@ αὐτοῖς γυναῖκας λαβεῖν τὰς, κατ' αὐτὸν, εἰδωλολάτριδας αὐτῶν συγγενίδας; Ὁ Ἀβραὰμ ἐδῶς, ὅτι αἱ μὲν τῶν Χαναναίων θυγατέρες, μεθ' ὧν αὐτ@ κατῴκει, τοῖς εἰδώλοις ἐλάτρευον, αἱ δὲ ἐκ τῆς φυλῆς, αὐτῦ τῷ ἀληθινῷ Θεῷ, καίπερ μηδεμίαν περὶ τούτυ λαβὼν παρὰ Θεῦ ἐντολὴν, εὐ-
Γν. 24. 2. 4. λαβεία μόνῃ τῆς εὐσεβείας, αὐτοκινήτως τὸν παῖδα αὐτῦ τὸν πρεσβύτερον ἐξώρκισεν, ἵνα μὴ λάβῃ γυναῖκα τῷ υἱῷ αὐτῦ Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἀλλ' ἀπὸ τῆς φυλῆς αὐτῦ.
Γν. 28. 1. 2 τῷ αὐτῷ λόγῳ κ) ὁ Ἰσαὰκ παρήγγειλε τῷ Ἰακὼβ, λέγων. Οὐ λήψῃ γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων.,.. Λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν τῦ ἀδελφῦ τῆς μητρός συ. Ὅρα δὲ τὴν τῆς γνώμης τῦ ἀπίςυ ςρεβλότητ@, πλάττει οἷας θέλει ἐννοίας, δι' ὧν τὰς τῆς Γραφῆς διασρέφων, ἀναισχύντως κατ@ψεύδε). ἅπερ δὴ οἱ τρεῖς Πατριάρχαι αὐτοπροαιρέτως πεποιήκασι, ταῦτ@ τὸν Θεὸν ἐπιτάξαι ἔφη. ἵνα δὲ ἀντιφάσκοντ@ τὸν Θεὸν δείξῃ, εἰδωλολάτριδας εἶναι θεατίζει τὰς ἐκ τῆς οἰκίας τῦ Λάβαν εὐσεβύσας θυγατέρας, κ) Θεῦ ἐπιταγῇ ἐξ αὐτῶν λαβεῖν αὐτὸς γυναῖκας, λέγει. ταῦτ@ δὲ καίπερ τοιαῦτα ὄντ@, χαυδὸν αὐτὰ οἱ τούτυ ὀπαδοὶ ἐκροφῶσι.

Σημ. 384. Εἴρηκε μὲν ὁ Φίλων, τὸ ὄνομα Ἰσραὴλ σημαίνειν τὸ, ὁρῶν τὸν Θεὸν, ὐκ ἀπέκλεισεν ὅμως τὸ ἕτερον σημαινόμενον, εἶτυν τὸ, ἰσχυρ@ ἐναντίον τῦ Θεῦ, ὡς ὁ Βολτέρ@ ψευδόμεν@ ἔφη· τὸς δὲ Ἑβραίυς, ὡς ἄλλοθί πυ εἴπομεν, (ἐν σημ. 48.) Χαλδαίυς ὀνομάζει, ὡσαύτως κ) τὰ ἑβραϊκὰ ὀνόματ@ Χαλδαϊκὰ διὰ τὸ Χαλδαῖον εἶναι τὸν τῦ γένυς αὐτὸν πατέρα Ἀβραάμ. ὅτι δὲ ὁ Φίλων ἐντελῶς τὴν ἑβραΐδα ἐγνώκει, ἀμφιβάλλειν ὐκ ἔπεσι. μήτι δὲ τὸ Ἰσραὴλ δύω σημασίας ἔχει, τήν τε, ἐνίσχυσας μετὰ Θεῦ, κ) τὴν, ὁρῶν τὸν Θεόν.

Σημ. 385. Ἡ Βυλγάτα ἀντὶ τῦ, σκηναὶ. τῦ παρὰ τοῖς Ἑβδομήκοντ@, γράφει Σοκὸθ, ὅπερ σκηνὰς σημαίνει.

Σημ. 386. Τὸ διακόσια δεκαπέντε ἔτη, ὅπερ ὁλόγραφον, ἓ ὁ δὲ ἀριθμῶν γράφει, deux ceus quinze années, παραδρομὴ πάντως ἐςὶν, ἤτοι αὐτῦ τῦ συγγραφέως, ἢ τῦ τυπογράφυ. τετρα-

κόσια

κόσια λδ ἔτη ἡ τῆ πατριάρχη Ἰακὼβ οἰκία ἐν Αἰγύπτῳ διέμεινεν, ὡς ὁ Θεὸς τῷ Ἀβραὰμ προκατήγγειλε, λέγων· „Γινώσκων „γνώσῃ, ὅτι πάροικον ἔσαι τὸ σπέρμα σε ἐν γῇ ὐκ ἰδίᾳ. καὶ δουλώ- Γεν. 15. 13. „σουσιν αὐτὸς, καὶ κακώσουσιν αὐτὸς, καὶ ταπεινώσουσιν αὐτὸς τετρα- „κόσια ἔτη. Τῦτο δὲ αὐτὸ ἐπαναλαμβάνει καὶ ὁ πρωτομάρτυς Στέ- Πράξ. 7. 6. φανος. συμπαραλαμβανομένων δὲ καὶ τῶν ἐτῶν, ἐν οἷς οἱ υἱοὶ Ἰσραὴλ κατώκησαν ἐν γῇ Χαναὰν, συμποσῦνται ἔτη τετρακόσια τριά- κοντα τῆς ἐν ἀλλοτρίᾳ γῇ κατοικήσεως τῆ Ἰσραὴλ, ὡς ὁ Μωϋσῆς διαμαρτυρόμενος φησιν. „Ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραὴλ, ἣν Ἐξ. 12. 40. „κατώκησαν ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν γῇ Χαναὰν, ἔτη τετρακόσια „τριάκοντα. Τὸ αὐτὸ δὲ καὶ θεσπέσιος κηρύττει Παῦλος. Τὰ δὲ δια- Γαλ. 3. 17. κόσια ἔτη, ἐν οἷς διήρκεσαν αἱ ὀκτὼ τῶν Ἰδουμαίων Βασιλεῖαι, ἀ- ναγραφομένων ἑκάστη τῶτων, ἐτῶν εἰκοσιπέντε, ὃ μόνον ὐχ ὁλο- κλήρως ἀναπληροῦσιν, ἀλλὰ καὶ πολλῶ γε δεῖ αὐτοῖς εἰς ἐκπλήρω- σιν τῶν τετρακοσίων ἐτῶν, ἐν οἷς ἡ τῆ Ἰακὼβ οἰκία ἐν Αἰγύπτῳ κατῴκησε.

Σημ. 387. Οὕτω μὲν τὸ ὕφος τῦτο ὁ συγγραφεὺς παρατίθησιν, „ἴσως ἐκ τῆ ἑβραϊκῆ μετενεγκών. ἡ δὲ Βυλγάτα, Κύριος ὁ Θε- Αρι9. 23. 61 „ὸς αὐτῆ μετ' αὐτῆ, καὶ κλαγγὴ νίκης Βασιλέως ἐν αὐτῷ. Οἱ δὲ „Ἑβδομήκοντα, Κύριος ὁ Θεὸς μετ' αὐτῆ. τὰ ἔνδοξα ἀρχόντων „ἐν αὐτῷ.

Σημ. 388. Οἱ ἐν τῷ Ἀραχανίῳ Τάρταροι τὴν σήμερον ὐ μόνον ὐ- δόλως μισῦσι τὰς ἐμπορίας, ἀλλὰ καὶ πολλοὶ ἐξ αὐτῶν ἐμπορικὰ κα- θεσηκότα ἔχοντες παντοπωλεῖα, πωλῦσί τε καὶ ἀγοράζυσιν, τὴν ἐμ- πορίαν ἀσμένως μετερχόμενοι. τῦτο μάρτυρες ἡμεῖς καὶ αὐτόπται.

Σημ. 389. Περὶ ὑπάρξεως ψυχῆς μετὰ θάνατον ὑπὸ Ἰουδαίων γνω- ριζομένης ὅρα τὸ 2. Ἄρθρ. τῆ 4. κεφ. τῆ 6. βιβλ. καὶ τὴν ἐκεῖ αὐ- τὸ 254. 255. σημείωσιν.

Σημ. 390. Οὐ κιλίκιον, ἀλλὰ σάκκον ἡ ἑλληνικὴ μετάφρασις γρά- Γεν. 31. 34. φει· Καὶ ἐπέθετο σάκκον. καὶ τὸ μὲν cilicium, κιλίκιον, τῆς Βυλ- γάτης ἐστί. τὸ δὲ σάκκος, κἂν ἀπὸ τῆ ἑβραϊκῆ σακ δοκῇ παρα- γόμενον, δύναται ὅμως ἀπὸ τῆ σάττω, τὸ φορτίζω, τὴν παραγω- γὴν ἔχειν. ἐξ ὧν καὶ τὸ σακκίζω, καὶ τὸ σακκελίζω, καὶ τὸ σάκτας, καὶ τὸ σακτήρ.

Σημ.

Σημ. 391. Τὸ φέυδον ἡγεμονία ἐςὶν εὐγενέσιν ἀνήκυσα. καλῶσι δὲ φέυδον δεσποτικὸν τὸ ἐξ ὃ ἄλλα ἤρτηνται φέυδα δηλικὸν δὲ, ὅπερ ὁ ὑπὸ χεῖρα κατὰ κληρονομίαν λαμβάνει ὑπὸ τῦ δεσπότυ, ἐξ ὃ ἤρτηνται, πίσιντε καὶ ὑπακοὴν αὐτῷ ὀφείλων. ὅρα τὸ τῦ Ἀλβερτ. Λεξικ. εἰς τὸ tief,

Σημ. 392. Ἡ Ἄντεια, ἡ τῦ Προίτυ γυνὴ ἐρωτικῶς ἐπεμάνη Βελλεροφόντη. ὡς δὲ ὐκ ἐπείσθη συγγενέσθαι αὐτῇ, διαβάλλει παρ' αὐτῆς Προίτῳ, ὡς πειράζων αὐτήν. (ὅρα τὸ τῦ Βαρὶν. λεξ. εἰς τὸ Βελλεροφ.) Ἡ Φαίδρα, ἡ τῦ Μίνω θυγάτηρ, τῦ Θησεως γυνὴ, καὶ τῦ ἡῦ αὐτῦ Ἱππολύτυ μητρυιὰ, καθ' ὑπερβολὴν τῦ Ἱππολύτυ ἐραθεῖσα, ἐπεὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐκπληρῶσαι ἐκεῖνος ἀπέπατο, ἑαυτὴν ἐκρέμασε, γράψασα πρότερον ἐπιςολὴν τῷ ἀνδρὶ αὐτῆς, δι' ἧς ἐδήλυ αὐτῷ, ὅτι τῦτο ἔπραξε, μὴ δυνηθεῖσα ἐνεγκεῖν τὸ ὄνειδος, ὃ πεποίηκεν αὐτῇ ὁ Ἱππόλυτος. Ἄλλοι δέ φασιν, ὅτι περιμένασα τὴν Θησέως ἐκ τῦ ᾅδυ ἐπιςροφὴν, ὅπυ πρότερον κατῆλθε, παρέςη αὐτῷ θορύβυ πλήρης, τὸ τῦ Ἱππολύτυ ξίφος κατέχυσα εἰς ἔνδειξιν τῆς βίας, ἣν ποιῆσαι αὐτῇ ἠθέλησεν ὁ Ἱππόλυτος. (ὅρα τὸ μυλογ. Λεξ. τὸ ὐ Παρισ. ἔτ. 1765. ἐκδοθ. εἰς τὸ Θησεὺς, ἢ Ἱππόλ.) τί δ' ἄρα βάλει ὁ Βολτέρος ταῦτα προτείνων τὰ μυθικὰ μεταγενέςερα ὑποδείγματα; σμικρύναι τάχα τὸ τῦ Ἰωσὴφ κατόρθωμα, ὡς μὴ ἀπαραδείγματιςον; ἀλλ' ὑπερτερεῖ τὸ τῦ Ἰωσὴφ τἄλλα, ἃ μόνον ὡς ἀντισάντος τῇ δεσποίνῃ αὐτῦ, ἀλλὰ καὶ ὡς σωφρονήσαντος ὐκ ἀνθρωπίνῳ φόβῳ, ἢ φυσικῇ ἀντιπαθείᾳ, ἀλλὰ μίσει τῦ κακῦ, καὶ πίσει τῇ εἰς τὸν δεσπότην αὐτῦ καὶ εὐγνωμοσύνῃ, καὶ αἰδοῖ τῦ παροργίσαι τὸν Θεόν. „Καὶ πῶς, ἔλε-
Γεν. 39. 9. „γε τῇ Αἰγυπτίᾳ, ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τῦτο, καὶ ἁμαρτή-
„σομαι ἐναντίον τῦ Θεῦ.

Σημ. 393. Οἶμαι τοίνυν ἐγὼ τῶν δύω τὸ ἕτερον, ἢ διὰ τὸ εὔνυν, „εὐνύχον αὐτὸν καταχρησικῶς προσειρῆθαι, ἢ καὶ τῷ ὄντι, τῶν „μορίων ἐκτετμημένων, ἔχειν ὐ γαμετῆς τάξει τὸ γύναιον. ὃ δὴ „καὶ ἐφ' ἡμῶν ἔγνωμεν ὑπὸ πολλῶν πολλάκις γινόμενον." Ταῦτα ὁ Δηλος ἐν τῇ Ἑλληνικῇ Σειρᾷ εἰς τὴν Ὀκτάδυχον. (Γεν. κ. 39.) ὁ δὲ Προκόπιος (αὐτ.) τὰ ἑξῆς. „Ἡ θεία Γραφὴ ασάδοντας, καὶ „εὐνύχους καλεῖ καὶ τὰς μὴ ὄντας εὐνύχους, καὶ τὸν τόπον δὲ τάτων, „καὶ τὴν πίσιν ἐπέχοντας. ὥσπερ καὶ ὁ μακάριος Ἡσαΐας τὰς περὶ „Δανιὴλ, καὶ τὰς τρεῖς παῖδες προφητικῶς ασάδοντας καλεῖ, λέγων

οὐ

„ὐ τῶ Ἐζεκία. Καὶ ἀπὸ τῶν ὑῶν σε τῶν ἐξερχομένων ἀπὸ σε,
„ὧν γεννήσεις, λήψονῦ ἀπὸ σε, ᾗ ποιήσουσι ἀπάδοντας ὐ τῷ οἴκῳ
„τε Βασιλέως Βαβυλωνίων.

Σημ. 394. Εὑρίσκομεν ὐ τῶ περὶ τῶν ὀνομαςῶν ἀνδρῶν λεξικῶ (ἐκδ. Λ' μσελ. ἔτ. 1770) Φαβορῖνον τινὰ Γάλλον ἀκμάσανῦα ἐπὶ Λ' δριανε Αὐτοκράτορ&, τε ἔτε 138. μετὰ Χριςὸν βασιλεύαν ἀρξαμένε, περίφημον σοφιςὴν, κατά τινας μὲν εὐνεχον, κατ' ἄλλας δὲ ἐρμαφρόδιτον, ὃς περὶ τριῶν ἐθαύμαζε πραγμάτων, ἀμέλετοι περὶ τε τοσῦτον καλῶς ἑλληνιςὶ λαλεῖν Γάλλον ὄνῦα, περὶ τε ἐγκληθῆναι μοιχείας, εὐνεχον τυγχάνονῦα, ᾗ περὶ τε δύνασθαι ζῆν, ἐχθρὸν ὑπάρχοντα τε Αὐτοκράτορ&. τῦτον ὧν ἡγέμεθα εἶναι τὸν Φαβορῖνον, περὶ ᾧ ὁ συγγραφεὺς λαλεῖ.

Σημ. 395. Ἡ μὲν Βυλγάτα ὐ κεφ. 39. ἐδ. 1. τῆς Γενέσ. γράφε Princeps exercitus ſui, ἄρχων, ἢ ἀρχηγὸ& τε ςρατε αὐτε. ὐ δὲ κεφ. 41. ἐδ. 10. Principis militum, ἀρχηγε τῶν ςρατιωτῶν. ὐ δὲ ἐδ. 12. τε αὐτε 40. κεφ. Ducis militum, ὁδηγὸς τῶν ςρατιωτῶν. Ἡ δὲ τῶν Ἑξδομήκονῦα μετάφρασις ὐ ἑκάςῳ τῶν τόπων τύτων ἀρχιμάγειρον προσαγορεύα τὸν Πετεφρῆ. ἐπεὶ ὧν ἡ Βυλγάτα ᾗ ὐ τοῖς ἄλλοις ἁμαρτάνυσα ἐλέγχε&, ὐ τύτῳ δὲ ᾗ διὰ τὴν χρῆσιν τῶν διαφόρων λέξεων ὡς τὸ τὴν αὐτὴν τε αὐτε προσώπε σημάναι ἀξίαν, ἔτι δὲ ᾗ διὰ τὸ πάντη ἀπέθανον εἶναι, ἀρχηγὸν ςρατε ὑπάρχειν τὸν Πετεφρῆ, εὐνεχον ὄντα, ἤτοι πράγματι, ἢ μόνῳ ὀνόματι, ᾗ τὴν φυλακὴν τῆς κλίνης, ᾗ τὴν ἔνδον τε βασιλικε παλατίε ἐπισασίαν ἔχονῦα, ὐδόλως προτιμητέα ᾗ ταύτης ἀνάγνωσις τῆς τῶν Ἑξδομήκονῦα.

Σημ. 396. Ὀνεροπολεῖς ὦ δέλαιε. ὁ δὲ θύσαι ὁ Ἰωσὴφ θυσίας τῷ θεῷ αὐτε προσέταξεν ὑπὲρ τῆς τῶν ἀδελφῶν αὐτε ὑποδοχῆς, ἀλλὰ σφάξανῦα πρόβαῦα, ἢ βόας, ἢ ἄλλα τινὰ τῶν σφαζομένων ᾗ ἐδιομένων ζώων, ἑτοιμάσαι τράπεζαν, ἵνα τοῖς ἀδελφοῖς αὐτε συνδωχηθῇ. σαφῶς δὲ ὅπερ λέγω τὰ ἱερὰ ἐκτίθενται λόγια. „Εἶδε δὲ
„Ἰωσὴφ αὐτὸς, ᾗ τὸν Βενιαμὶν τὸν ἀδελφὸν αὐτε τὸν ὁμομήτρι- Γεν. 43. 16.
„ον. ᾗ εἶπε τῷ ἐπὶ τῆς οἰκίας αὐτε, εἰσάγαγε τὸς ἀνθρώπυς εἰς
„τὴν οἰκίαν, ᾗ σφάξον θύματα, ᾗ ἑτοίμασον. μετ' ἐμὲ γὰρ φάγον-
„ται οἱ ἄνθρωποι ἄρτυς τὴν μεσημβρίαν. Εἰ δὲ τὸ, victimas τε ἐνέρε σε αὐτυργὸν, εἰδέναι σε ἔδει, ὅτι τὸ ἑλληνικὸν θύματα ᾗ αὐ-

τὸ διασκεδάζεσθαι τὸ ὄνειρον. τὸ δὲ θύω, ἐξ οὗ τὰ θύματα, ἐκ τοῦ θέω ὅπερ καὶ τὸ τίθημι σημαίνει. διὸ τὸ θύματα ἐνταῦθα δηλοῖ τὸ θετά. τὸ δὲ σφάξον θύματα ἰσοδυναμεῖ τὸ σφάξον τὰ τῇ τραπέζῃ τεθεισόμενα.

Σημ. 207. Ἵνα σαφὲς ᾖ τὸ πόθεν ὁ Βολτέριος συμπεραίνει τὸν τῆς Γενέσεως συγγραφέα ἀγνοεῖν τὴν τῶν Αἰγυπτίων θρησκείαν, ἐκθετέον καὶ τὰ πρὸ τούτου ὑπ' αὐτοῦ εἰρημένα κατὰ σειράν. „Οἱ Αἰ-„γύπτιοι, φησίν, ἐβδελύττοντο τοὺς ξένους, νομίζοντες, ὅτι συνε-„θίοντες αὐτοῖς μιαίνουσι. οἱ Ἰουδαῖοι ἐξ αὐτῶν παρέλαβον τοῦτο „τὸ ἄξενον καὶ βάρβαρον ἦθος. ἡ τῶν Γραικῶν Ἐκκλησία κατὰ „τοῦτο τοσοῦτον ἐμιμήθη τοὺς Ἰουδαίους, ὥστε πρὸ τοῦ μεγάλου Πέτρου „μηδένα τῶν ἐκ τοῦ λαοῦ τῶν Ῥώσσων σέργειν συμφαγεῖν Λουθη-„ρανῶν, ἤτινι τῶν καλουμένων Καθολικῶν. ἐκ τούτου ἐρῶμεν τὸν Ἰω-„σὴφ ἐν τάξει Αἰγυπτίου, μὴ τῇ αὐτῇ, ἀλλ' ἑτέρᾳ τοὺς ἀδελφοὺς αὐ-„τοῦ ἐθιάσαντα τραπέζῃ, καὶ δι' ἑρμηνέως αὐτοῖς λαλοῦντα. ἐνταῦ-„θα δὲ ἐπιδήλως ὁρᾶται ἡ διαφορὰ τῆς θρησκείας, κἂν ὁ αὐτὸς ὁ-„μολογῆται Θεός. θύειν θύματα ἐν αὐτῷ τῷ οἴκῳ τοῦ πρώτου ὑ-„πάργου, καὶ χρῶνται τούτοις ἐπὶ τῇ τραπέζῃ. ὐδεὶς ὅμως λογοῦ ὐ-„δέποτε, οὐδὲ περὶ Ἴσεως, οὐδὲ περὶ Ὀσίρεως. λίαν παράδοξον τὸ „τὸν συγγραφέα τῆς Γενέσεως ἀγνοεῖν παντελῶς τὴν τῶν Αἰγυπ-„τίων θρησκείαν, καίπερ ἐν ταῖς αὐτῶν ἀνατραφέντα ἐπιστήμαις. „ἔστιν δὲ καὶ οὗτος εἷς τῶν λόγων, τῶν παθόντων, ὅτι ὁ Μωϋσῆς „οὐκ ἠδύνατο εἶναι συγγραφεὺς τῆς Πεντατεύχου.

Ἀλλὰ πόθεν ἄρα δῆλα γίνονται τὰ τῆς θρησκείας παντὸς γέ-νους. ἐκ τῶν ἀπαιδεύτων καὶ Ἰουδαίων, ἢ ἐκ τῆς ἐγγράφου νομοθε-σίας, καὶ τῶν τοῦ γένους διδασκάλων; οὐδεὶς ἂν εὖ φρονῶν ἐκ τῶν πρώτων εἴποι, ἢ οὐκ ἐκ τῶν δευτέρων. τίς δὲ Ἰουδαῖος καὶ ἀπαίδευ-τος λαὸς, ἤτοι τὰ τῆς θρησκείας αὐτοῦ ἐντελῶς οἶδεν, ἢ προλή-ψεων, καὶ δεισιδαιμονιῶν καθαρεύει; ἐν ποίᾳ δὲ τῶν Ἑβραίων νο-μοθεσία, ἢ ἐν ποίοις τῶν πρώτων διδασκάλων αὐτῶν βιβλίοις εὗ-ρεν αὐτὸς τοὺς Ἰουδαίους τὸ ἄξενον καὶ βάρβαρον ἦθος ἐκ τῶν Αἰ-γυπτίων παραλαβόντας; μήτι ἐν τῷ Δεκαλόγῳ, ἢ ἐν τῷ οὐβδε-λύξῃ Ἰσραὴλ, ὅτι ἀδελφός σου ἐστίν. „ὃ βδελύξῃ Αἰγύπτιον, ὅτι Deut. 23. 7.
„πάροικος ἐγένου ἐν γῇ αὐτοῦ. Ἀλλὰ ταῦτα προφανῶς ἀξένῳ καὶ „βαρβάρῳ ἀντίκειται ἤθει. ἐκεῖ δὲ πάντως εὗρε τοῦτο, ὅπου καὶ τὴν τῶν Γραικῶν Ἐκκλησίαν εὗρε μιμηθεῖσαν κατὰ τοῦτο τοὺς Ἰουδαίους. Ἤκουσεν, ὅτι ὁ Ἰουδαῖος τῶν Ῥώσσων λαὸς πρὸ τοῦ μεγάλου Πέτρου

συ-

συνεσθίειν οὐκ ἤθελε Λουθηρανοῖς, καὶ Καθολικοῖς. ἐκ τούτου οὖν ὡς τέλειος διαλεκτικὸς ἐπήγαγεν, ἔτι ἡ τῶν Γραικῶν Ἐκκλησία ἐμιμήθη τὸ τῶν Ἰουδαίων ἄξενον καὶ βάρβαρον ἦθος. ἰδών τινας Ἰουδαίους τοῖς ἑτερογενέσι μηδενὶ τρόπῳ συνεσθίειν συγκατατιθεμένους, φόβῳ τοῦ μὴ φαγεῖν τὰ ἀπὸ τοῦ νόμου ἀπαγορευθέντα, ἐπήγαγε, τὸ ἄξενον καὶ βάρβαρον ἦθος παντὶ τῷ γένει αὐτῶν ἀνήκειν, ἐκ τῶν Αἰγυπτίων παραλαβόντι. οὕτως ἄρα, ὦ μάταιε, ἐδίδαξέ σε ἡ καινή σου φιλοσοφία συλλογίζεσθαι καὶ συμπεραίνειν; ἐκ τῶν μερικῶν τὰ καθόλου, ἐκ τοῦ φρονήματος χυδαίων τινῶν καὶ ἀμαθῶν τὸ ἦθος ὅλου τοῦ γένους, καὶ τὴν τῆς Ἐκκλησίας αὐτοῦ νομοθεσίαν; καὶ τὶς ἂν τοὺς τοιούτους σου συλλογισμοὺς ἀκούων, οὐκ ἂν καταπτύσῃ σου τὸ τοῦ τρόπου παράλογον.

Ἀλλὰ καὶ τὸ ἑξῆς σου, εἴτε συμπέρασμα, εἴτε παρατήρημα, εἴτουν τὸ, „ἐνταῦθα ἐπιδήλως ὁρᾶται ἡ τῆς θρησκείας διαφορὰ, κἂν ὁ αὐτὸς ὁμολογῆται Θεοῦ, οὐχ ἧττον τῶν προτέρων παράλογον. Ἐνταῦθα γὰρ λέγεις. ἀλλὰ πῦ; ἢ δῆλον, ὅτι ἐν τῷ ὁρᾷν τὸν Ἰωσὴφ ὑποκρίνεσθαι Αἰγύπτιον εἶναι, καὶ διὰ τοὺς συνδειπνοῦντας αὐτῷ Αἰγυπτίους μὴ ἐν τῇ αὐτῇ τραπέζῃ τοῖς ἀδελφοῖς αὐτοῦ συνεσθίειν, καὶ δι' ἑρμηνέως λαλεῖν αὐτοῖς, σὺ βλέπεις διαφορὰν μὲν θρησκείας, ὁμολογίαν δὲ τοῦ αὐτοῦ Θεοῦ, καὶ μὴν ἐνταῦθα οὐδὲ ἴχνος ὁρᾶται ὁμολογίας Θεοῦ. πάντα δὲ τὰ ὑπὸ τοῦ Ἰωσὴφ τότε πραττόμενα ἐπ' οὐδὲν ἕτερον ἐπέβλεπον, εἰμὴ ἐπὶ τὸ μὴ γνωσθῆναι εὐθέως ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ.

Καὶ τὸ τρίτον δὲ τῶν συμπερασμάτων σου τοῖς προτέροις ὅμοιον. οὐδεὶς, λέγεις, λόγος οὐδέποτε, οὐδὲ περὶ Ἴσεως, οὐδὲ περὶ Ὀσίρεως, ἄρα τί; ἄρα, λέγεις, ὁ τῆς Γενέσεως συγγραφεὺς ἠγνόει παντελῶς τὴν τῶν Αἰγυπτίων θρησκείαν. ἀλλὰ τῷ τῆς Γενέσεως συγγραφεῖ, νομοθετοῦντι „Κατὰ τὰ ἐπιτηδεύματα Αἰγύπτου, „ἐν ᾗ κατωκήσατε ἐν αὐτῇ, οὐ ποιήσετε. ἀνθίστατο τὸ περὶ Ἴσεως „καὶ Ὀσίρεως διαλαμβάνειν. ἔπεθ' δ' ἄρα τὸ ἀγνοεῖν αὐτὸν παντελῶς τὴν Αἰγυπτίων θρησκείαν διὰ τὸ μὴ περὶ Ἴσεως καὶ Ὀσίρεως διαλαβεῖν; πῶς οὐκ αἰσχύνῃ ταῦτα λέγων, εἶτα καὶ ἐκ τούτων συνάγων τὸ ἔτι παραλογώτερον, ὅπερ ἐστὶ τὸν Μωϋσῆν μὴ εἶναι τῆς Πεντατεύχου συγγραφέα, ἀντιμαρτυρούντων σοι ἀπὸ τῶν χρόνων Μωϋσέως ἄχρι τῆς σήμερον πάντων Ἰουδαίων, καὶ χριστιανῶν, καὶ αὐτῶν δὴ τῶν Μωαμεθιτῶν;

Σημ. 398. An ignoratis, quod non fit similis mei in augurandi Scientia! Ἄγνοεῖ) ἄρα, ὅτι οὐκ ἔστιν ὅμοιος ἐμοὶ ἐν τῇ τοῦ οἰωνίζεσθαι ἐπιστήμῃ; Ταῦτα μὲν ἡ Βυλγάτα, ἅπερ πόρρω τῆς ἀληθείας ἀφέστηκεν, ὡς προδήλως ἐμφαίνοντα τὸν Ἰωσὴφ τῶν μάγων ὑπέρτερον. „Ἡ δὲ τῶν Ἑβδομήκοντα μετάφρασις, οὐκ οἴδατε, „ὅτι οἰωνισμῷ οἰωνίζεται ἄνθρωπος, οἷος ἐγώ; ἰδοὺ ἡ ἀρίστη τούτων ἀνάπτυξις, (ἐν τῷ Σχολ. τῷ ἐν τῇ ἑλλην. Σειρᾷ εἰς τὴν Ὀκτάτευχ.) „Ἀντὶ τοῦ, οὐκ ἐννοεῖτε, ὅτι οἱ κατ' ἐμὲ ἐν ὑπεροχῇ „ὄντες, οἰωνίζονται ἐκ τῆς ἀπωλείας τῶν τοιούτων, ἃ μὴν αὐτὸς, ἃ „δὲ εἶπεν, ἐγὼ οἰωνίζομαι, ἀλλ' οἱ ὄντες τῆς ἐμῆς καταξιώσεως. „Τὰ αὐτὰ δὲ ἡ ὁ Προκόπιος προτίθησι, λέγων. Ὅτι οἰωνισμῷ „οἰωνίζεται ἄνθρωπος, οἷος ἐγώ; ἀντὶ τοῦ ἕκαστος. ἀσφαλῶς δὲ „καὶ μέχρι ῥήματος τὸ, οἰωνίζομαι λέγειν ἠνέχετο. Πᾶσαν δὲ „ὑποψίαν περὶ τοῦ τὸν Ἰωσὴφ μάγον εἶναι προθέλυμνα αἴρει ἡ τῆς τῶν Ἑβδομήκοντα μεταφράσεως ἀνάγνωσις.

Gen. 44. 15.

Σημ. 399. Εἰπὼν ὁ Βολτέριος τὸ, ὁ Θεὸς ἀνεβίβασεν αὐτὸν μετὰ θάνατον, προσίθησι παρὰ πόδας τάδε. „Ὁ Μωϋσῆς κατὰ τὴν „παράδοσιν, ἣν εἶχον οἱ Ἰουδαῖοι, ἀναχωρήσας ἀπὸ τῆς Αἰγύπτου, „εὗρε τὸ τοῦ Ἰωσὴφ μνημεῖον, ὅπερ ἐπ' ὤμων ἄρας μετεκόμισεν. „ἡ παράδοσις αὕτη ἔτι σώζεται ἐν τῷ ἑβραϊκῷ βιβλίῳ τῷ ἐπιγε„γραμμένῳ, περὶ βίου καὶ τελευτῆς Μωϋσέως, μεταπεφρασμένῳ δὲ εἰς τὴν Λατινικὴν διάλεκτον ὑπὸ τοῦ σοφοῦ Γαυλμίνου.

Ὁ Γαυλμῖνος, ὁ καὶ Γιλβέρτος λεγόμενος, Γάλλος μὲν ἦν τὸ γένος, ταῖς ἀρχαίαις τε καὶ νεωτέραις γεγυμνασμένος διαλέκτοις, ἐξέδοτο δὲ μεταφράσεις τινὰς ἐς στιχουργήματα, ἔτι δὲ πλὴν τῶν ἐπιγραμμάτων, καὶ ᾠδῶν καὶ ὕμνων, καὶ τῆς περὶ τὴν Ὑφιγένειαν τραγωδίας, σημειώματα εἰς τὸ τοῦ Ψελλοῦ πόνημα, τὸ περὶ τῆς ἐνεργείας τῶν Δαιμόνων, εἰς τὸ Θεοδώρου τοῦ Προδρόμου, εἰς τὸ περὶ τῶν ἐρώτων τοῦ Ῥοδάντου καὶ Δοσικλέους, εἰς τὸν ψυδοκαλιφένη, καὶ εἰς τὸ περὶ βίου καὶ τελευτῆς Μωϋσέως, τὸ ὑπὸ ἀνωνύμου τινὸς Ῥαββίνου συντεθὲν. ἐτελεύτησε δὲ ἔτει 1661. (ὅρα τὸ ἐν σημ. 394. μνημονευθ. Λεξ.) προτίθησιν ἄρα ἡμῖν ὁ σοφὸς κριτικὸς καὶ φιλόσοφος, καὶ ἃς ἐκ τῶν Ῥαββινικῶν μεταφρασθέντων μύθων ἐξήντλησε μαρτυρίας, εἰς ἔνδειξιν ἐναργῆ τῆς πολυμαθείας αὐτοῦ καὶ τῆς ἀπιστίας.

Σημ.

Σημ. 400. Ταῦτα μὲν ἔλεγον ἂν οἱ τὴν ψευδοπολιτικὴν, ὅπερ ἐστὶ τὴν ἀπάτην καὶ τὸ ψεῦδος, πρὸς ἰδίαν μετερχόμενοι ὠφέλειαν. οὐχ οὕτω δὲ λελάληκεν ὁ Ἰωσὴφ, ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ τῆς ἀληθείας κήρυξ. μέμψιν γὰρ ἑαυτῷ προσέτριβεν, εἴπερ μηδενὸς κινδύνου προκειμένου ψευσθῆναι αὐτοὺς ἐδίδασκεν. εἰσηγησάμενος δὲ αὐτοῖς εἰπεῖν, ὅτι ποιμένες εἰσὶ, τῆς ἀληθείας ὤφθη εἰσηγητὴς καὶ διδάσκαλος. ἡ δὲ ἀλήθεια ὀνησιφόρος αὐτοῖς ἐγεγόνει. τ' ἀληθὲς γὰρ εἰπόντες, τὴν βελτίστην γῆν τῆς Ῥαμεσσῆ ἐκτήσαντο. φυγόντες δὲ καὶ τὴν ἀδιάκοπον τῶν Αἰγυπτίων ἀνάφυρσιν διὰ τῆς κατ' ἰδίαν ἐνοικήσεως, ἔφυγον ἅμα καὶ τὸν συνεχῆ κίνδυνον τοῦ εἰς τὴν εἰδωλολατρείαν, καὶ εἰς τὰς αἰγυπτιακὰς περιπεσεῖν δεισιδαιμονίας. Γεν. 46. 34. Γεν. 47. 11.

Σημ. 401. Ὑπόθεσις ἐπὶ ὑποθέσεσι, καὶ ταῦτα μηδεμιᾶς ἀνάγκης κατεπειγούσης. ὁ γὰρ Ἰωσὴφ, ὁ τὸν σῖτον συνάξας ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας, συνήγαγε πάντως καὶ ἄχυρα εἰς τροφὴν τῶν ζώων καὶ χορτάσματα, ἅπερ τῷ τῶν βρωμάτων ὀνόματι τὸ ἱερὸν ἐνέφηνε λόγιον. „Καὶ συνήγαγε, φησὶ, πάντα τὰ βρώματα τῶν „ἑπτὰ ἐτῶν, ἐν οἷς ἦν εὐθηνία ἐν τῇ γῇ Αἰγύπτου. καὶ ἔθηκε τὰ „βρώματα ταῖς πόλεσι. βρώματα τῶν πεδίων τῆς πόλεως τῶν ἐν „κύκλῳ αὐτῆς ἔθηκεν ἐν αὐτῇ. Τὸ δὲ οἰκειοποιηθῆναι πάντα τὰ ζῶα, ὅτε ἡ γῆ οὐκ ἐβλάστανε τὴν τῇ τροφῇ αὐτῶν ἀναγκαίαν χλόην, καὶ ταῦτα ἀντὶ τῶν ἄρτων, οὓς ὁ Ἰωσὴφ τοῖς κεκτημένοις αὐτὰ παρέσχεν, οὐκ ἔστιν ἀτοπώτατον, ἀλλ' εὐλογοφανέστατον, καὶ εὐσπλαγχνικώτατον. ἐκεῖνοι μὲν γὰρ χορτάσματα, ὥστε αὐτὰ τρέφειν οὐκ εἶχον, ὁ δὲ Ἰωσὴφ παραλαβὼν ἔτρεφε. διὰ τῆς τοιαύτης δὲ οἰκονονομίας τά τε ζῶα, καὶ τοὺς τούτων δεσπότας ἔσωσε. Γεν. 41. 48.

Σημ. 402. Μαρτυρεῖ δὲ ταῖς ἱεραῖς βίβλοις καὶ Φίλων (ὁ Βύβλιος) ἐν τῇ ι δ'. „περὶ Ἱεροσολύμων, λέγων οὕτω.

Τοῖσιν ἕδος μακαριστὸν ὅλης ἔκτισεν ἄκτωρ.
Ὕψιστος, καὶ πρόσθεν ἀφ' Ἀβραάμοιο, καὶ Ἰσὰκ,
Ἰακὼβ εὐτέκνοιο τόκος Ἰωσὴφ, ὃς ὀνείρων
Θεσπιστὴς, σκηπτοῦχος ἐν Αἰγύπτοιο θρόνοισι.
Δινεύσας λαθραίᾳ χρόνου πλημμύριδι μοίρης.

Ταῦτα παρ' Εὐσεβίῳ. (ἐν β. 9. κ. 24. τῆς Εὐαγγ. Προπαρα) παρὰ τῷ αὐτῷ δὲ καὶ Δημήτριος παρὰ Ἀλεξάνδρου τοῦ Πολυίστορος παραλαβὼν, (αὐτ. κ. 21,) καὶ Ἀτράπωνος, (αὐτ. 23.) τὰ αὐτὰ διαμαρτύρεται. ὡσαύτως καὶ Τρῶγος ὁ Πομπήϊος, ἐν τῷ 24. τῶν

αὐτοῦ

αὐτȣ̃ τεύχεων, τῷ περὶ τῶν Ἰȣδαίων. Γάλλος δὲ ἦν ȣ̃τος, ἐπὶ Αὐγȣ́ςȣ Καίσαρος ἀκμάσας. ὅρα Τȣ́χ. 1. σελ. 429, ϗ 531. τῆς τȣ̃ Φαβρικ. βιβλιοθ. τῆς περὶ τῶν παλαιῶν Λατίνων. συγγραφέων.

